1.Cor.6 dicens fugite fornicationem, & auaritiam; quandoquidẽ expediti, vt currant ad brauium conſequendũ, niſi concito ferantur impetu, longè abſunt, vt comprehendant, inimicis, qui perſequuntur, habentibus æquè greſſus celeriores.

ἵν᾽ ἡμῖν ἡ τῶν μηδὲν χρησιμευόντων ἀποδῶται ἀπορία; τί τῶν ἀλλοτρίων ὡς οἰκείων ἀντιποιούμεθα, βαρείας ἑαυτοῖς τὰς πέδας τῆς ὕλης κατασκευάζοντες, καὶ τοῦ ταλανίζοντος τοὺς τοιούτους οὐκ ἀκούομεν; Οὐαὶ, φησὶν ὁ Προφήτης, ὁ συνάγων ἑαυτῷ τὰ οὐκ ὄντα ἑαυτοῦ, καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς. Εἰ γὰρ κοῦφοι εἰσὶν οἱ διώκοντες, κατὰ τὸν λέγοντα, κοῦφοι ἐγένοντο οἱ διώκοντες ἡμᾶς ὑπὲρ ἀετοὺς οὐρανοῦ, ἡμεῖς δὲ βαρύνομεν ἑαυτοὺς τοῖς κοσμικοῖς πράγμασι, δῆλον, ὅτι ἀργότερον κινούμενοι πρὸς τὸν δρόμον, εὐχερῶς παρὰ τῶν ἐχθρῶν καταληφθησόμεθα, οὓς φεύγειν ὁ Παῦλος ἐδίδαξε λέγων· φεύγετε τὴν πορνείαν, καὶ τὴν πλεονεξίαν, ὁπότε καὶ οἱ ἀσταλεῖς ἐν τῷ τρέχειν ἐπὶ τὸ βραβεῖον, ἐὰν μὴ συντόνῳ ῥύμῃ φέρωνται, πολὺ τῆς καταλήψεως ἀπολιμπάνονται, τῶν διωκόντων ἐχθρῶν ἴσως ταχυτέρας ἐχόντων τὰς βάσεις.

CAPVT XIII.

Magnum quippe impedimentum eſt ad virtutem tendentibus, rerum mundanarum affectus, & animæ, atque corpori ſæpè perniciem conciliat. quid enim Nabaoth Iſraelitem per-
3.Reg. 22. didit? nonne inuidioſa vinea mortis ipſi cauſa fuit, cum ad cædem aduerſus ipſum concitaſſet vicinum Achab? quid verò duas dimidiatas tribus extra Promiſſionem ma-
Ioſ.cap. 22. nere fecit, niſi multitudo iumentorum? Ecquid verò Abrahamum
Geneſ. 1.13. à Lotho ſeparauit, niſi pecudum multiplex numerus, qui aſſiduas mouens inter Paſtores diſcordias, eo vſq; donec tandẽ illos ab inuicem abrupit.

ΚΕΦΑΛΑΙΟΝ ιγ'.

ΜΕγα τοῖς πρὸς ἀρετὴν ἐπειγομένοις ἐμπόδιον ἡ τῶν κοσμικῶν πραγμάτων προσπάθεια καὶ ψυχῇ καὶ σώματι πολλάκις ὄλεθρον προξενοῦσι. Τί γὰρ τὸν Ναβουθαὶ τὸν Ἰσραηλίτην ἀπώλεσεν; οὐχὶ ἀμπελὼν ἐπίφθονος αἴτιος αὐτῷ θανάτου γεγένηται, πρὸς φόνον κατ᾽ αὐτοῦ κινήσας τὸν γείτονα Ἀχαάβ; τί δὲ τὰς δύο ἡμισυφυλὰς ἔξω τῆς ἐπαγγελίας μένειν παρεσκεύασεν, οὐχὶ πλῆθος κτηνῶν; τί δὲ καὶ τὸν Λὼτ ἀπὸ τοῦ Ἀβραὰμ ἐχώρισεν, οὐχὶ ὁ τῶν βοσκημάτων πολὺς ἀριθμὸς, συνεχεῖς τοῖς ποιμέσι κινήσας τὰς ἔριδας

Digitized by Google

αὐτοὺς πάλιν ἀπέῤῥηξεν ἀπ' ἀλλήλων; εἰ οὖν καὶ πρὸς φόνον τοὺς βασκάνους κατὰ τῶν ἐχόντων ἐρεθίζει τὰ κτήματα, καὶ τῶν σπουδαιοτέρων ἀποκλίνει τοὺς κεκτημένους καὶ συνήθειαν διατέμνει, καὶ φίλους εἰς ἔχθραν καθίστησι, καὶ πρὸς τὴν μέλλουσαν ζωὴν οὐδὲν ἔχει κοινὸν, καὶ πρὸς τὸ σῶμα, οὐδὲν μέγα χρησιμεύει, τί τῆς τοῦ Θεοῦ θεραπείας ἀφιστάμενοι ὅλοι γινόμεθα τῆς ματαιότητος; μὴ γὰρ ἡμεῖς ἐσμὲν οἱ τὰ τῆς ζωῆς ἀνύοντες τῶν ἑαυτῶν; Θεός ἐστιν ὁ ταῦτα οἰκονομῶν, καὶ ἡ μὲν ἀνθρωπίνη σπουδὴ μὴ τυχοῦσα τῆς τοῦ Θεοῦ βοηθείας, ἐξ ἀνάγκης ἀτυχεῖ τοῦ τέλους, ἡ δὲ τοῦ Θεοῦ οἰκονομία καὶ δίχα τῆς ἀνθρωπίνης σπουδῆς, πάντα τὰ ἀγαθὰ παρέχει. τί ὤνησεν ἐκείνους ὁ ἴδιος μόχθος, πρὸς οὓς ἔλεγεν ὁ Θεὸς, ἐσπείρατε πολλὰ, καὶ εἰσενέγκατε ὀλίγα, καὶ ἐξεφύσησα αὐτὰ ἐκ τῶν οἰκιῶν ὑμῶν; τί δὲ τοῖς κατ' ἀρετὴν βιώσασιν ἐπέλειψε τῶν ἀναγκαίων; μηδ' ὅλως φροντίσασι περὶ τούτων; οὐκ ἐν ἐρήμῳ τεσσαράκοντα ἔτη ὁ Ἰσραὴλ μηδενὸς τῆς ἐκ γεωργίας ἀπολαύοντες ἐτρέφοντο καὶ οὐκ ἐπεδεήθησαν βρώματος, ἀλλὰ θάλασσα μὲν ἐκαρποφόρει τροφὴν παράδοξον, ὀρτυγομήτραν ἀναγομένη; πέτρα δὲ νοτίδος ἄμοιρος ῥαγεῖσα παρεῖχεν ἄφθονον τὸ νάμα, οὐρανὸς δὲ μάννα καταφέρων, ὑετὸν ἀήθη καὶ ξένον; ἱμάτια δὲ καὶ ὑποδήματα ὑπηρέτει πάντα τὸν χρόνον μὴ παλαιούμενα. ποίαν δὲ γεωργῶν ἐν τῷ χειμάῤῥῳ τὴν Ἡλίας ἐτρέφετο; οὐ κόρακες αὐτῷ παρεκόμιζον τὴν τροφήν; οὐκ ἐν Σαρεφθίᾳ ἐλθόντι, χήρα καὶ τῶν ἀναγκαίων ἐνδεὴς, ἄρτον παρεῖχε τοῦ στόματος τῶν ἰδίων τέκνων ἀφαρπάσασα, ἵνα φανῇ ὅτι καὶ φύσεως προτιμοτέρα ἡ ἀρετή;

rupit. Si ergò poſſeſſiones, & ad cædem inuidos prorirant aduerſus eos, qui poſſident illas, quin & poſſeſſores ipſos auertunt à rebus magis ſerijs, & cognationem dirimunt, & amicos ad inimicitiam traducunt, denique cum futura vita nihil habent commune, nec corpori valdè ſunt neceſſariæ; cur conuertimur toti ad vanitatem, abſtracti à Dei ſeruitute? nunquid enim nos ſumus, qui ea, quæ ad vitam pertinent, nobis ipſis conficimus? Deus eſt, qui diſpenſat illa, humana quippe diligentia, quæ diuino non fulcitur auxilio, exitum ſortitur neceſſario infelicē. Dei verò diſpenſatio ſine humana cooperatione bona exhibet perfecta. Quid profuit illis proprius labor. ad quos dicebat Deus ſeminaſtis multa, & intuliſtis pauca; & exſufflaui illa è domibus veſtris? *Agga cap. 1.* Quid autem ijs, qui virtutem excolunt, & ſecundùm eam vitam degunt; neceſſariarum defuit rerum, cum nihil omninò de hiſce cogitarent? nonne in deſerta ſolitudine per annos 40. Iſraelitę nihil ex agrorum cultu percipientes, nutriti ſunt, nec alimento eguerunt, ſed mare quidem eſcam admirabilem innouando prębuit euomens Ortygometram ſeu Coturnicum matricem, ac ſaxum humoris expers diſruptum, vberrimum laticem effudit? cælum verò Manna demittens, pluuiam peregrinam, & inſuetam; veſtimenta etiam, atque calcei omnes inſeruiebant, neutiquam tanto temporis ſpatio vetuſtate conſumpti. Qualem verò terram colens in torrente Helias nutritus fuit? corui nempè cibum illi afferebant; Nonne in Sarapthia redeunti, Vidua, etſi neceſſariorum penuria laborans, panem exhibuit, eripiens ex ore propriorum filiorum; vt perſpicuum eſset virtutem præſtantiorem eſse natura?

Sap. c. 19. Num. 20. Deut. 29.

3. Reg. 17.

CA-

CAPVT XIV.

ET hæc admiranda equidem verùm & habita quoq; ſunt rationi conſentanea; nam poſſibile eſt, & non edentem viuere, quando voluerit Deus: Quomodò enim Helias quadraginta dierum iter, in
Exod.c. 12. robore vnius cibi peregit? quomodò verò Moyſes diebus octoginta in monte cũ Deo colloquens, humani alimenti nihil guſtans permanſit? poſt enim quadraginta dies deſcendens, & indignatus ob vitulos conflatos, ſtatim, contritis Tabulis in montem recurrit, alioſque totidem dies in monte diuerſatus
Deut.8. ita ſecundas Tabulas aſsumens, deſcendit ad populum. Quæ autem humana ratiocinatio dicendo poterit exprimere rationẽ miraculi congruam? quo pacto fluxa corporis natura tamdiu exinanita ſuffecerit nulla re quotidiè robur perſpiratum adimplente. Soluit autem hoc dubium diuinus ſermo, quando di-
Matt. 4 xit: Non ex pane ſolo viuit homo, ſed in omni verbo procedente de ore Dei. Cur igitur cœleſte inſtitutum in terram deuoluimus materialibus ærumnis trahentes in profundum? quare ſtercora nobis ipſis circumdamus, qui nutriebamur quondam in Cocco? vti de quibuſ-
Hierem dam Hieremias in Lamentationibus dicebat. quando etenim conquieſcimus in cogitationibus ſplẽdidis, atque feruidis, tunc nutrimur in Cocco; at cum dimiſſo illo ſtatu terrenis inquinamur negotijs, ſtercoribus circumuallamur. quid ſpem deficientes à Deo
Iob 31. fulcimus carnem brachio noſtro (id eſt) prouidentiam Domini manibus noſtris adſcribentes? & quod ſibi ipſi Iob in maximum peccatum imputare expertus eſt, imponentem ad os manum exoſculatum eſſe, id facere

modo

ΚΕΦΑΛΑΙΟΝ ιδʹ.

Καὶ ταῦτα παράδοξα μὲν, ὅμως καὶ τοῦ εἰκότος ἐχόμενα, δυνατὸν γὰρ καὶ μὴ ἐσθίοντα ζῆν, ὅταν βούληται ὁ Θεός, πῶς γὰρ Ἠλίας τεσσαράκοντα ἡμερῶν ὁδὸν διήνυσεν ἐν ἰσχύϊ βρώσεως μιᾶς; πῶς δὲ ὁ Μωϋσῆς ὀγδοήκοντα ἡμέρας ἐπὶ τοῦ ὄρους προσομιλῶν τῷ Θεῷ ἀνθρωπίνης τροφῆς ἔμεινεν ἄγευστος; μετὰ γὰρ τεσσαράκοντα ἡμέρας κατελθὼν καὶ διὰ τὴν μοσχοποιΐαν θυμωθεὶς, εὐθέως συντρίψας τὰς πλάκας ἐπὶ τὸ ὄρος ἀνέδραμεν, καὶ τοσαύτας ἄλλας ἡμέρας ἐνδιατρίψας τῷ ὄρει οὕτως τὰς δευτέρας ἀναλαβὼν πλάκας κατῆλθε πρὸς τὸν λαόν. ποῖος δὲ λογισμὸς ἀνθρώπινος τὸ εὔλογον τοῦ θαύματος τούτου παραστῆσαι δυνήσεται; πῶς ἡ ῥοώδης τοῦ σώματος φύσις πρὸς τοσοῦτον διήρκεσεν κενουμένη, οὐδενὸς ἀναπληροῦντος τὸ καθ' ἡμέραν διαπνεόμενον τῆς δυνάμεως; λύει δὲ τοῦτο τὸ ἄπορον ὁ θεῖος λόγος, ὅταν λέγῃ· οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. τί τοίνυν τὸ πολίτευμα τὸ οὐράνιον εἰς γῆν κατασπῶμεν ταῖς ὑλικαῖς ἐμβαρύνοντες ταλαιπωρίαις, διὰ τί κοπρίας περιβαλλόμεθα οἱ ποτὲ τιθηνούμενοι ἐπὶ κόκκου; ὥς περί τινων Ἱερεμίας θρηνῶν ἔλεγεν. ὅταν γὰρ ἐπὶ τῶν λαμπρῶν καὶ διαπύρων ἀναπαυώμεθα νοημάτων ἐπὶ κόκκου τιθηνούμεθα, ὅταν δὲ ταύτην ἀφέντες κατάστασιν, τοῖς γηΐνοις ἐμφυρόμεθα πράγμασι, κοπρίας περιβαλλόμεθα. τί τὴν ἐλπίδα ἀφιστῶντες ἀπὸ τοῦ Θεοῦ τὴν σάρκα τῷ βραχίονι στηρίζομεν, τὴν τοῦ δεσπότου πρόνοιαν ταῖς ἑαυτῶν ἐπιγράφοντες χερσί; καὶ ὅπερ εἰς μεγάλην ἁμαρτίαν ἑαυτῷ λογισθῆναι ὁ Ἰὼβ ἐπεφράσατο, τὸ ἐπιθέντα τὴν χεῖρα τῷ στόματι καταφι-

λῆσαι. Τοῦτο ποιοῦντες νῦν οὐ δεδοίκαμεν· ἔθος γὰρ τοῖς πολλοῖς τὰς χεῖρας καταφιλεῖν, ἐξ ἐκείνων ἔχειν τὴν εὐπορίαν λεγόντων, οὓς αἰνιττόμενος διὰ συμβόλου ὁ νόμος φησίν, ὃς πορεύεται ἐπὶ χειρῶν, ἀκάθαρτος· καὶ ὃς πολυπληθεῖ ποσίν, ἀκάθαρτος, καὶ ὃς πορεύεται ἐπὶ τεσσάρων διὰ παντὸς ἀκάθαρτος. ἐπὶ χειρῶν δὲ πορεύεται ὁ ταῖς χερσὶν ἐπερειδόμενος, καὶ πᾶσαν ἐπ' αὐταῖς ἔχων τὴν ἐλπίδα, ἐπὶ τεσσάρων δὲ ὁ τοῖς αἰσθητοῖς πράγμασι προσπεποιθώς, καὶ τῇ τούτων ἀσχολίᾳ διὰ παντὸς ἐπισύρων τὸ ἡγεμονικόν, πολυπληθεῖ δὲ ποσὶν ὁ πέριξ τῶν σωματικῶν περιεχόμενος. διὰ τοῦτο ὁ σοφὸς παροιμιαστὴς οὐδὲ δύο πόδας βούλεται ἔχειν τὸν τέλειον, ἀλλ' ἕνα, καὶ τοῦτον σπανίως ἐπὶ τὰ σωματικὰ κινούμενον πράγματα· σπάνιον, λέγων, εἴσαγε σὸν πόδα πρὸς τὸν ἑαυτοῦ φίλον, ἵνα, μήποτε πλησθείς σου, μισήσῃ σε. εἰ γάρ τις σπανιάκις τῷ Χριστῷ περὶ τῆς χρείας ἐνοχλοίη τοῦ σώματος, ἀγαπητὸς αὐτῷ ἔσται (αὕτη γὰρ ὁ σκοπὸς τῶν φίλων τῶν τοιούτων ἐστὶν ὡς πρὸς τοὺς ἑαυτοῦ μαθητὰς φησὶν ὁ Σωτήρ, ὑμεῖς φίλοι μου ἐστέ) ἐὰν δὲ συνεχέστερον τοῦτο ποιῇ, μισητὸς γίνεται.

modo non timemus: moris eſt enim multis manus exoſculari, ex illis habere ſe copiam opum dicentibus, quos lex obſcurè deſignans ait per ſymbolum. Qui graditur ſuper manus immundus, & qui pedibus multiplicibus, immundus, & qui progreditur ſuper quatuor, omninò immundus; ſuper manibus autem incedit, qui manibus innititur, & omnem in illis habet ſpem; ſuper quatuor autē, qui ſenſibilibus rebus affectus eſt, & earum occupatione principem partem animi attrahit penitùs; multiplicibus verò pedibus ambulat, qui circumquaque corporeis obuoluitur; idcirco ſapiens Prouerbiorum auctor neque duos pedes habere vult hominem perfectum, ſed vnum, & hunc rarò ad corporea commotum negotia, rarò (dicens) pedem tuum introducito ad amicum tuū, vt ne vnquam aſpectu tuo ſatiatus, te odio proſequatur; ſi quis enim rarò Chriſtum importunus laceſſat ſuper his, quæ ſunt neceſſaria corpori, erit eidē amabilis (huius etenim amicorum hic eſt ſcopus, vt ipſe Saluator ait ad ſuos diſcipulos (Vos amici mei eſtis) ſin frequentius fecerit, & quaſi continuò, euadit odioſus.

Leuit. cap. 11. *Prouer. cap. 25.* *Ioann. cap. 15.*

ΚΕΦΑΛΑΙΟΝ ιε΄.

Τίνι ἄρα πείσεται, καὶ πῶς βδελυκτὸς οὐκ ἔσται ὁ διὰ παντὸς ταύταις ἐνασχολούμενος ταῖς χρείαις, καὶ μηδέποτε πρὸς τὴν ὄρθιον ἀνεγειρόμενος ζωήν; διὰ τὸ μὴ ἔχειν σκέλη ἐπάνω τῶν ποδῶν, ὥστε πηδᾶν ἐν ἑαυτοῖς ἀπὸ τῆς γῆς, ὡς γὰρ τὰ σκέλη διὰ τῆς συννεύσεως, ὅλον μὲν δέχεται πρότερον ἐφ' ἑαυτὰ τὸν ὄγκον τοῦ σώματος, μικρὸν δὲ προσεγγίσαντα τῇ γῇ ἀθρόον ἐναλλεσθαι παρασκευάζει πρὸς τὸ μετέωρον, οὕτως ὁ διακριτικὸς τῶν τῆς φύσεως

CAPVT XV.

Qvid igitur exorabit, & quomodo non abominandus erit, qui penitus iſtis lucris eſt occupatus, nec vnquam ad rectam vitam erectus? quia non habet crura ſuper pedes, vt ex ſe ipſis reſiliat e terra; ſicut enim crura, quia deuergunt, vniuerſam quidem ſuſcipiunt prius totius in ſe corporis molem, humi verò pauliſper appropinquātia, ſtatim, vt in ſublime proſiliāt, ſe præparāt; ita ratio-

ratiocinatio diſcernens res naturæ, poſtquàm priùs depreſſa fuit ob neceſſitates corporeas, rursùs ad ea, quæ ſuperna ſunt, ocyus agilem remittit cogitationem, nihil materialium corruptionum ſibi adiunctum rursùs attollens. habere namque crura recta conuenit & his, qui voluptati valdè ſunt dediti, quiquè omninò deorsùm iacent; congruit & Sanctis Poteſtatibus, quæ nullatenùs indigēt corporeis rebus, nequè ad hasce deuergere cogūtur. Hoc (vt puto) ſignificans magnus Ezechiel dicebat, quod erant earum crura recta, & alati pedes, quod demonſtrat ſtabilitatem mentis, velocitatemque motus ipſarum naturæ ad intelligendum. Hominum autem proprium eſt habere crura inclinata, & aliquando quidem ad neceſſitates corporeas, nonnumquam verò ſeſe accommodare ad animæ exercitamenta ſursùm efferentia, atquè propter animæ cognationem cum ſuperioribus Poteſtatibus, multoties ſimul cum illis ſublimia perluſtrare; propter corporis autem vires, ac robur tantum ſollicitudinis in terram demittere, quantum neceſſitas cogit, inſerere quippe ſe omninò deliciarum apparatibus, immundum eſt verè, nec congruum hominibus diuinam ſortitis cognitionem. Cautè namquè ſuper quatuor ambulantem & non ſimpliciter, dixit immundum; ſed ſi omninò ſuper quatuor gradiatur; tribuit enim tēpus, his, qui ſunt in corpore, deſcendendi ad neceſſitatem corporis. Etenim Ionathan bellū gerens cum Naas Ammonita, ſuper quatuor cum inceſſiſſet, victoriam retulit, quandoquidem neceſſitati naturæ obſequutus eſt; Nam oportebat, vt qui aduersùs ſerpentem ſuper pectus tractu quodam repentem bellaret (ſit enim Naas exponi-

Ezech. 1.

1. *Reg.* 14.

πραγμάτων λογισμὸς μετὰ τὸ πρότερα συγκωθῆναι τῇ χρείᾳ τοῦ σώματος, ὀξέως πάλιν τοῖς ἄνω κοῦφον ἀναπέμπει τὸ φρόνημα, μηδένα τῶν χοϊκῶν ἑαυτῷ συνανακουφίζων μολυσμῶν. Τὸ γὰρ ἔχειν ὀρθὰ τὰ σκέλη πρέπει μὲν καὶ τοῖς ἄγαν ἀπολαυστικοῖς, καὶ κάτω κειμένοις διὰ παντός· πρέπει δὲ καὶ ταῖς ἁγίαις δυνάμεσι διὰ τὸ μηδ' ὅλως τῶν σωματικῶν, μηδὲ τῆς πρὸς ταῦτα χρήζειν ἐπινεύσεως. τοῦτο γάρ, ὡς οἶμαι, σημαίνων ὁ μέγας Ἰεζεκιὴλ ἔλεγεν, ὅτι ἦν τὰ σκέλη αὐτῶν ὀρθά, καὶ πτερωτοὶ οἱ πόδες αὐτῶν, ὅπερ δηλοῖ τὸ ἀκλινὲς τῆς γνώμης, καὶ τὸ πρὸς τὰ νοήματα τῆς φύσεως ἐκείνης ὀξυκίνητον. ἀνθρώποις δὲ ἱκανὸν σκέλη ἔχειν κλινόμενα, καὶ ποτὲ μὲν πρὸς τὰς σωματικάς, ποτὲ δὲ πρὸς τὰς τῆς ψυχῆς ἀναφερεῖς χρησιμεύειν διατριβάς, καὶ διὰ μὲν τὴν πρὸς τὰς ἄνω δυνάμεις τῆς ψυχῆς συγγένειαν, τὰ πολλὰ συμμετεωροπολεῖν ἐκείναις, διὰ δὲ τὸν τοῦ σώματος τόνον, τοσοῦτον ἐπασχολεῖν τῇ γῇ τὴν φροντίδα, ὅσον ἡ χρεία βιάζεται· ἐφέρπειν δὲ διὰ παντὸς ταῖς ἀπολαυστικαῖς παρασκευαῖς, ἀκάθαρτον ὄντως, καὶ οὐχ ἁρμόζον ἀνθρώποις λογικῆς μεμοιρασμένοις γνώσεως. παρατετηρημένως γὰρ τὸν ἐπὶ τεσσάρων πορευόμενον οὐχ ἁπλῶς εἶπεν ἀκάθαρτον, ἀλλ' εἰ διὰ παντὸς ἐπὶ τεσσάρων πορεύοιτο· ἔδωκε γὰρ τοῖς ἐν σώματι καιρὸν καταβαίνειν πρὸς τὴν χρείαν τοῦ σώματος. καὶ γὰρ ὁ Ἰωνάθαν τῷ Ναὰς πολεμῶν τῷ Ἀμμανίτῃ ἐπὶ τεσσάρων περιπατήσας, ἐνίκησεν. ἐπειδὴ τῇ ἀνάγκῃ τῆς φύσεως ὑπηρέτησε μόνῃ, ἔδει γὰρ τὸν πρὸς τὸν ἐπὶ τῷ στήθει συρόμενον ὄφιν πολεμοῦντα (τοῦτο γὰρ Ναὰς ἑρμηνεύεται) σχηματίσασθαι πρὸς ὀλίγον τὴν πρὸς αὐτὸν ὁμοιότητα διὰ τοῦ πορεύ-

θῆναι ἐπὶ τεσσάρων. καὶ οὕτως διανιστάμενα ἐπὶ τὴν οἰκείαν ἕξιν χειρώσασθαι τοῦτον μετὰ πολλῆς τῆς εὐκολίας.

exponitur) eius ad ſimilitudinem pauliſper ſeſe componeret; ita vt graderetur ſuper quatuor, ſicquè denuò reſurgens, & erectus ad propriam habitudinem, facillimè ipſum debellaret.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Τί δὲ καὶ ἡ κατὰ τὸν Ἰεβουθὲ ἱστορία ἡμᾶς οὐ παιδεύει; δηλαδὴ μὴ πεφορτισμένως ἐπέχεσθαι τῶν σωματικῶν, μηδὲ τῇ αἰσθήσει τὴν ἑαυτῶν ἐγχειρίζειν φυλακήν. Οὗτος γὰρ βασιλεὺς ὤν, καὶ ἐν τῷ ταμείῳ ἀναπαυόμενος, τῇ ἑαυτοῦ γυναικὶ φησὶ θυρωρεῖν ἐπέτρεψεν. ἐλθόντες δὲ οἱ περὶ τὸν Ῥαχάν, καὶ εὑρόντες αὐτὴν πυροὺς καθαίρουσαν, καὶ νυστάζουσαν· διαλαθόντες εἰσῆλθον, καὶ ἀνεῖλον τὸν Ἰεβουθὲ, ὃν αὐτὸν εὑρόντες καθεύδοντα. Πάντα γὰρ ὑπνοῖ, ὁ νοῦς, καὶ ψυχή, καὶ διάνοια, καὶ αἴσθησις, τῶν σωματικῶν κρατούντων. Τὸ γὰρ τὴν θυρωρὸν κεκαθαρκέναι πυρούς, δείκνυσι τὸ ἐπιμελῶς περιεσχολῆσθαι τὴν διάνοιαν τοῖς σωματικοῖς, καὶ οὐ παρέργως, ἀλλὰ μετά τινος σπουδῆς τὴν τούτων ἐπιτηδεῦσαι καθαρότητα, ὅτι γὰρ οὐκ ἐν ἱστορίας εἴδει τοῦτο διδάσκει ἡ γραφή, δῆλον ἐκεῖθεν. πῶς γὰρ βασιλεὺς γυναῖκα θυρωρὸν εἶχεν, ὀφείλων παρὰ πλήθους δορυφορεῖσθαι στρατιωτῶν, καὶ πᾶσαν περὶ αὐτὸν τὴν τοῦ ἀξιώματος ἔχειν σκηνήν; ἢ πῶς οὕτως ἐνδεὴς, ὡς δι' αὐτῆς καθαίρειν τοὺς πυρούς; ἀλλὰ πολλάκις τῇ ἱστορίᾳ μίγνυται τὸ παράλογον διὰ τὴν τῶν σημαινομένων ἀλήθειαν. ὁ γὰρ ἑκάστου νοῦς καθάπερ βασιλεὺς ἔσωπου διατρίβει, θυρωρὸν τῶν αἰσθήσεων ἔχων τὴν διάνοιαν, ἥτις ὅταν τοῖς σωματικοῖς ἑαυτὴν ἐγχειρίσῃ (σωματικὸν δὲ τὸ καθαίρειν πυρούς) οἱ ἐχθροὶ διαλαθόντες οἱ ἐπίβουλοι θανατοῦσι τὸν νοῦν. διὰ τοῦτο ὁ μέγας Ἀβραὰμ οὐ πιστεύει γυναι-

CAPVT XVI.

ECquid verò Hiſtoria *Iebuthe* nonne nos edocet? ne ſcilicèt 2. Reg. 4.
rebus corporis curam nimiam impendamus, nequè ſenſui noſtram committamus cuſtodiam; Ille namquè eum Rex eſſet, & requieſceret in cubiculo, ſuæ vxori permiſit cuſtodire oſtium; Venientes autem, qui erant cũ Rachan, & inuenientes eam frumenta purgantem, & dormitantem, clam ingreſſi ſunt, & Iebuthe interfecerunt, quem repererant dormientem, omnia namquè dormiunt, & mens, & anima, & cogitatio, & ſenſus, quando corporeæ res dominantur. Quod enim oſtiaria purgabat frumenta, deſignat cogitationem rebus corporeis occupatam fuiſſe ſtudioſiùs, nequè obiter, ſed quodam ſtudio earum munditiæ dediſſe operam; quod enim non in Hiſtoriæ ſpecie hoc docet ſcriptura, manifeſtum ibi eſt. Quomodo enim Rex habuit oſtiariã coniugem, cum deceret illũ a militum haſtatorum multitudine cuſtodiri, & omnem circa ſeipſum dignitatis obtinere pompã: aut qua ratione tàm indigens erat, vt per ipſã frumenta purgaret? Sed miſcetur ſæpiùs Hiſtoriæ, quod pręter proportionẽ decorũ eſt, ad veritatẽ deſignandarũ rerũ: mens etenim cuiuſq; veluti Rex intùs quodammodo diuerſatur habens oſtiariam ſenſuũ cogitationẽ, quæ quãdo corporeis ſe rebus applicat (corporeum enim eſt purgare frumenta), facilè latentes inſidiatores mentem perimunt. Ideò magnus Abraham non fidit coniu-

coniugi cuſtodiam portæ; ſciebat enim ſenſus vim deceptricem eſſe; quandoquidem viſu ſenſibilium oblectatus diſtrahit mentem, & perſuadet ipſi delectabilia ſecum percipere, etſi clarè periculoſa ſit perceptio: At ille ipſe ſimùl aſſidet præbens aditum patefactum diuinis cogitationibus, portam verò mundanis ſollicitudinibus occludens. Quid enim nobis ad vitam è tam ſtulto labore circa hæc prouenit? Nonne omnis labor hominis (ſecundùm Eccleſiaſtem) in ore eius; victus autem, & veſtimēta (iuxtà Apoſtolū) ſatis ſunt ad infelicis huius carnis ſuſtentationem? Cur igitur infinitis laboribus, & ærumnis (vt loquitur Salomon) incumbimus ad ventum, ideſt fruſtrà, *Eccleſ. cap. 5. conc. 15* præ ſtudio terrenarum rerum præpedientes animam ne diuinis bonis perfruatur, & carnem curantes, & fouentes pluſquàm honeſtum eſt? ipſam verò inimicis & hoſtibus vicinis alimus, itaut, non ſolùm cum ipſis anceps pugna fiat, ſed validiùs, & multò ſuperiùs decertans aduersùs animam mœrore hanc afficiat, adeoquè nec honores, neq; coronas ipſam admittere permittat. Nā quid eſt neceſſitas corporis, vt eā prætexentes cupiditatē extēdamus ad inutilē difficultatem rerū, & anguſtiam? panis nimirùm eſt, & aqua. Si quidem hoc, non ne fontes præbent laticem copioſè? Panis verò paratu facilis his, qui manus habent? ſicquè è tot operibus poſſumus eum comparare; e quibus expletur, & neceſſitas corporis, & parùm aut non omninò diſtrahimur; ſed indumentum præbet ingentem curam; nec illud; ſi non ad eam mollitiem, quæ moris eſt, ſed ad ſolam neceſſitatem reſpiciamus; quales enim velut ab Aranea contextas veſtes, qualem byſſum, aut purpuram, aut ſericum

κὶ τὴν θύραν φυλάττειν· ᾔδει γὰρ τὸ ἐξαπατητικὸν τῆς αἰσθήσεως, ὅπως τῇ ὄψει περιπομένη τῶν αἰσθητῶν διχάζει τὸν νοῦν, καὶ πείθει συμμεταλαβεῖν αὐτῇ τῶν τερπνῶν, κἂν ἐπικίνδυνος ἡ μετάληψις εἴη σαφῶς. ἀλλ' αὐτὸς ἐκεῖνος παρακαθέζεται, τοῖς μὲν θείοις νοήμασιν ἀναπεπταμένην παρέχων τὴν εἴσοδον· ταῖς δὲ κοσμικαῖς φροντίσιν ἀποκλείων τὴν θύραν. Τί γὰρ ἡμῖν εἰς τὴν ζωὴν ἐκ τῆς περὶ ταῦτα ματαιοπονίας ἐπιγίνεται; οὐχ ἅπας μόχθος ἀνθρώπου, κατὰ τὸν ἐκκλησιαστὴν, εἰς τὸ στόμα αὐτοῦ; διατροφὴ δὲ καὶ σκεπάσματα κατὰ τὸν Ἀπόστολον, ἱκανὰ πρὸς τὴν σύστασιν τῆς δυστήνου σαρκός; τί οὖν ἀπέραντα πονούμεθα, καὶ μοχθοῦμεν εἰς ἄνεμον, ὥς φησι Σολομὼν· ἐκ τῆς περὶ τὰ γήϊνα σπουδῆς ἐμποδίζοντες τὴν ψυχὴν πρὸς τὴν τῶν θείων ἀγαθῶν ἀπόλαυσιν, καὶ τὴν σάρκα περιέποντες, καὶ θάλποντες πλέον, ἢ καλῶς ἔχοι; ἐχθρῶν δὲ ἐπηρείαν αὐτὴν καὶ πολέμιον τρέφομεν, ὡς μὴ μόνον ἀμφήριστον αὐτοῖς γενέσθαι τὴν μάχην ἀλλ' ἐκ πολλοῦ τοῦ περιόντος ἐρρωμενεστέρων ἀγωνιζομένην κατὰ τῆς ψυχῆς ἀνιᾷν, ὡς μηδὲ τιμῶν, καὶ στεφάνων συγχωρεῖν αὐτὴν ἐφίεσθαι. τί γὰρ ἐστιν ἡ χρεία τοῦ σώματος, ὅτι ταύτην προφασιζόμενοι εἰς ἀνόνητον ἀμηχανίαν τὴν ἐπιθυμίαν ἐκτείνομεν; ἄρτος ἐστὶ πάντως καὶ ὕδωρ. εἰ τ' οὐχ αἱ μὲν πηγαὶ ἀφθόνως τὸ νᾶμα παρέχουσιν; ὁ δὲ ἄρτος εὐπόριστος τοῖς χεῖρας ἔχουσι; καὶ ἐκ τοιούτων ἔργων δυνάμεθα πορίζεσθαι, ἐξ ὧν καὶ ἡ χρεία πληροῦται τοῦ στόματος, καὶ ὀλίγον ἢ οὐδ' ὅλως περισπώμεθα. ἀλλ' ἔνδυμα πολλὴν παρέχει φροντίδα· οὐδὲ τοῦτο. ἐὰν μὴ τὴν ἐκ τῆς συνηθείας μαλακίαν, ἀλλὰ πρὸς τὴν χρείαν βλέπωμεν μόνην. ποίας γὰρ ἀραχνοϋφεῖς ἐσθῆτας, ποίαν δὲ βύσσον;

ἣ πορφύραν, ἣ σηρικοῦ ὁ πρῶτος ἐφόρεσεν ἄνθρωπος; οὐκ ἐκ δερμάτων ἐσχεδίασεν αὐτῷ ὁ δημιουργὸς τὸ ἔνδυμα, καὶ χόρτῳ τρέφεσθαι παρήγγειλε; τούτους θεὶς τοὺς ὅρους τῆς χρείας τοῦ σώματος, οὕτω διαταξάμενος, καὶ πόῤῥωθεν ἀναστέλλων τὴν νῦν πολιτευομένην αἰσχρότητα τοῦ ἀνθρώπου. οὐ λέγω δὲ, ὅτι καὶ νῦν θρέψει πάντως εὖ βιοῦντας, ὁ τὰ πετεινὰ τοῦ οὐρανοῦ τρέφων, καὶ ἐνδύσει, ὁ τοῖς κρίνοις τοῦ ἀγροῦ τοσαύτην περιθεὶς δόξαν. ἐπεὶ μηδέπω πεισθῆν δυνατὸν τοῖς πολὺ ταύτης ἀφεστῶσι τῆς πίστεως. τίς γὰρ οὐ μεθ' ἱκεσίας παρέξει τὰ ἐπιτήδεια τῷ κατ' ἀρετὴν βιοῦντι;

ricum primus homo geſtauit? Nonne ipſi ſummus opifex e pellibus opere ſubito veſtimentum dedit, & herba virente veſci eum mandauit, hoſce terminos ponens corporeæ neceſſitatis, ſic diſponens, & procùl cohibens nunc receptam hominis turpitudinem. Non autem dico, quod & nunc nutriet omninò benè viuentes, qui cæli volucres nutrit; & veſtiet, qui lilijs agri tantum decus circumponit; quando neutiquàm perſuaderi poteſt his, qui multùm ab hac diſtant fide. Quis enim non præbebit cum ſupplicatione neceſſaria viuenti ſecundùm virtutem?

ΚΕΦΑΛΑΙΟΝ ιζ'.

Εἰ γὰρ ἄνθρωποι βάρβαροι, καὶ πολέμου νόμῳ λαβόντες τὰ Ἱεροσόλυμα, οἱ Βαβυλώνιοι τὴν ἀρετὴν ᾐδέσθησαν τοῦ Ἱερεμίου, καὶ πᾶσαν θεραπείαν παρέσχον σωματικὴν ἀφθόνως, οὐ τὰ πρὸς τροφὴν μόνον δεδωκότες, ἀλλὰ καὶ σκεύη, οἷς ἔθος ἐστὶ διακονεῖσθαι τοὺς ἑστιωμένους, πῶς οὐκ αἰδεσθήσονται βίον ἐνάρετον οἱ ὁμόφυλοι, καὶ οἱ τὸν λογισμὸν παιδόθεν τοῦ βαρβαρικοῦ μᾶλλον διακεκαθαρμένοι πρὸς τὴν τῶν καλῶν κατανόησιν, καὶ ἀρετῆς ζηλωταί; εἰ γὰρ καὶ μὴ δεδύνηνται ταύτης ἀσκηταὶ γενέσθαι δι' ἀσθένειαν τῆς φύσεως, ἀλλ' οὖν γε τιμῶσιν ἀρετὴν, καὶ τοὺς ἀσκητὰς αὐτῆς θαυμάζουσι. Τίς ἔπεισε τὴν Σουμανῖτιν οἰκοδομῆσαι τῷ Ἐλισσαιὲ καταγώγιον, καὶ θεῖναι τράπεζαν ἐκεῖ, καὶ δίφρον, καὶ κλίνην, καὶ λυχνίαν. οὐχ ἡ ἀρετὴ τοῦ ἀνδρός; Τί δὲ τὴν χήραν ἐκείνην ἐδυσώπησε λιμοῦ πᾶσαν καταναιμομένου τὴν γῆν τῆς ἰδίας χρείας προκρῖναι τὴν τοῦ προφήτου θεραπείαν; πάντως γὰρ ἀ-

CAPVT XVII.

SI enim homines Barbari, & lege belli capientes Hieroſolyma Babylonij, virtutem Hieremiæ *Hier.*
reueriti ſunt, & omnem famulatum corporeum ſubminiſtrarunt 40.
affatim, non ea ſolum, quæ ad alimenta pertinebant tribuentes, ſed & vaſa, quibus mos eſt miniſtrari conuiuio exceptis, Quomodo non reuerebuntur vitam virtute inſignẽ contribules, Et à pueritiâ, ab eo, quod ad Barbarorum mores accedit, purgatiorem habentes intellectum ad honeſtarum rerũ cognitionem, virtutiſquè cũ zelo, ſectatores? etſi enim eam non poſſunt exercere propter naturæ debilitatẽ, virtutem tamen colunt, eiuſq; mirantur exercitatores. Quis perſuaſit Sunamitidi, ædificare diuerſorium Eliſſæo, & ponere ibi mẽſam, & ſellã, & lectũ, 4. *Reg.*
atquè lucernam; Nonne virtus viri? 4.
Quid viduam illam flexit, fame per vniuerſam terram graſſante, propriæ neceſſitati famulatum Prophetæ anteferre? Nam niſi ſapientiam

Eliæ

3. Reg. 27. Eliæ fuiſſet penitùs admirata, num-
quam exiguum vitæ ſuæ, libero-
rumquè ſolatium auferens, illi ex-
hibuiſſet, mortem, quam poſt bre-
ui futuram imaginabatur, hanc eli-
gens antè tempus, propter ſtudium
ergà hoſpitem.

CAPVT XVIII.

Fecit verò hoſce tales generoſus animus, & ad labores numquam remiſſus ipſeq; deſpecus, quo nihili habebant quæcumquè ad vitam ſpectant; ſtudio namquè ſectãtes frugalitatem, ac parſimoniam, & ad rei nullius indigentiã (vt ita loquar) progredientes, ex paucarum rerum indigẽtia proximi Poteſtatibus incorporeis adſtiterunt; Hinc itaquè quoad corpus obſcuri, & ignoti, euaſerunt potentiores illis, qui omnia tenebant, tanta cum libertate his, quibus corona circumpoſita erat, colloquẽtes, cum quanta nec illi ſuis ſubditis; Quibus enim confiſus armis aut qua potentia di-
3. Reg. 17. cebat Elias ad Achab; non euerto
ego Iſraelem; ſed tu, & domus Pa-
tris tui? Quo pacto verò, & Moy-
ſes obſiſtit Pharaoni ad contentio-
nem vſquè nullum habens viati-
cum præter virtutis confidentiam?
4. Reg. 3. qua ratione Eliſſæus congregato ad
bellum exercitu duorum Regum Iſrael, & Iuda dicebat Ieze. Viuit Dominus Poteſtatum, cui in conſpectu ipſius hodie adſum, quod niſi vultum Ioſaphat ego deprehenderem, non vertiſſem me, nequè reſpexiſſem te, nihil veritus commotum exercitum nequè feruidam Regis iram metuens, quem circa tempus belli veriſimile eſt, etiam impetu fuiſſe temerario, ratiocinatione ob prælium confuſa. quid enim tantum poteſt Regnum terrentum, quantum virtus? qualis purpu-

μὴ φιλοσοφίαν κατεπλήττετο τοῦ Ἡλιοῦ, οὐκ ἂν τὴν μικρὰν τῆς ζωῆς παραμυθίαν ἑαυτῆς καὶ τῶν τέκνων ἀφελομένη παρεχώρησεν ἐκείνῳ, ὃν μετ' ὀλίγον ἐφαντάζετο θάνατον πρὸ καιροῦ τοῦτον ἑλομένη διὰ τὴν εἰς τὸν ξένον φιλοτιμίαν.

ΚΕΦΑΛΑΙΟΝ ιη'.

Ἐποίησε δὲ τοιούτους αὐτοὺς τὸ γενναῖον καὶ τὸ πρὸς τοὺς πόνους ἀνένδοτον, καὶ τὸ καταφρονητικῶς ἔχειν πρὸς τὰ τοῦ βίου πράγματα· ἀφέλειαν γὰρ ἐπιτηδεύσαντες, καὶ ἐπὶ τὸ ἀνενδεὲς, ὡς εἰπεῖν, ἐκ τῆς ὀλιγοδείας προκόψαντες πλησίον τῶν ἀσωμάτων ἔστησαν δυνάμεων· ὅθεν καί τοι ἀφανεῖς ὄντες κατὰ τὸ σῶμα, καὶ ἄσημοι, τῶν πάντα φερόντων ἐγίνοντο δυνατώτεροι, μετὰ τοσαύτης παῤῥησίας τοῖς τὸ διάδημα περικειμένοις διαλεγόμενοι, μεθ' ὅσης οὐκ ἐκεῖνοι τοῖς ὑποχειρίοις. ποίοις γὰρ ὅπλοις θαῤῥῶν ἢ ποίᾳ δυνάμει πρὸς τὸν Ἀχαὰβ ἔλεγεν ὁ Ἡλιοῦ, οὐ διαστρέφω Ἰσραὴλ, ἀλλ' ἢ σὺ, καὶ ὁ οἶκος τοῦ πατρός σου; πῶς δὲ καὶ ὁ Μωϋσῆς ἀντικαθίστατο τῷ Φαραὼ πρὸς ἅμιλλαν, οὐδὲν ἔχων πλὴν τῆς ἀρετῆς τοῦ θάρσους ἐφόδιον; πῶς δὲ ὁ Ἐλισσαιὲ συνηγμένης ἐπὶ πόλεμον τῆς στρατιᾶς τῶν δύο Βασιλέων τοῦ Ἰσραὴλ, καὶ τοῦ Ἰούδα. ἔλεγε τῷ Ἰεζῇ, ζῇ κύριος τῶν δυνάμεων ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον, ὅτι εἰ μὴ πρόσωπον Ἰωσαφὰτ ἐγὼ κατελάμβανον, εἰ ἐπέβλεψα, καὶ εἶδόν σε· οὔτε τὴν στρατιὰν κεκινημένην φοβηθεὶς, οὔτε τὸν θυμὸν δείσας τοῦ Βασιλέως, ὃν περὶ καιρὸν τοῦ πολέμου εἰκὸς χρήσασθαι, καὶ ἀλόγῳ ὁρμῇ, τοῦ λογισμοῦ δι' ἀγωνίαν συγκεχυμένου. Τί γὰρ τοιοῦτον δύναται βασιλεία

ἐπίπλος, οἷον ἡ ἀρετή; ποία πορφυρὶς ἔῤῥηξε ποταμὸν ὡς ἡ μηλωτὴ τοῦ Ἠλιοῦ; ποῖον διάδημα νοσήματα ἔλυσεν, ὡς τὰ τῶν Ἀποστόλων σουδάρια; ἤλεγξε προφήτης Βασιλέα παρανομήσαντα μόνος μετὰ πάσης ὄντα τῆς στρατιᾶς, καὶ ἐπειδὴ τὸν θυμὸν ὁ ἔλεγχος ἠρέθιζεν, ἐκτείνας ὁ Βασιλεὺς τὴν χεῖρα ἐπὶ τὸν προφήτην, οὔτε ἐκείνου ἐπελάβετο, καὶ τὴν χεῖρα πρὸς ἑαυτὸν συναγαγεῖν ξηρανθεῖσαν οὐκ ἠδυνήθη. καὶ ἦν ἀγὼν ἀρετῆς, καὶ δυναστείας βασιλικῆς, ἰσχυροτέρα ἡ νίκη τῆς ἀρετῆς ἐγίνετο, οὐκ ἐμάχετο ὁ προφήτης, καὶ ἡ ἀρετὴ ἐτρέπετο τὸν πολέμιον. ἤργει ὁ ἀγωνιστής, καὶ ἡ πίστις εἰργάζετο. οἱ σύμμαχοι τοῦ Βασιλέως βραβευταὶ τοῦ ἀγῶνος ἐγίνοντο, καὶ ἡ χεὶρ εἱστήκει τῇ ἀρετῇ μαρτυροῦσα τὴν νίκην.

purpura diuiſit flumen, ſicuti ouina pellis Heliæ? quodnam diadema, morbos diſſoluit, ſicut Apoſtolorũ ſudaria? arguit quandoquè Propheta ſolus Regem, qui mandatum Dei tranſgreſſus fuerat, ſtipatum vniuerſo exercitu, cumquè reprehenſio prouocaſſet iram, extendit Rex manum aduerſus Prophetam, nec illum apprehendit, neque manum ad ſe colligere potuit arefactam. Fuit certamen virtutis, & potentiæ Regiæ, fortiorquè victoria virtutis euaſit, & virtus, Propheta non pugnante, bellatorem repulit, inhibebat pugnator, & fides operabatur, commilitones Regis fuerunt arbitri certaminis, & præmiorum, manuſquè conſtitit victoriam virtuti atteſtata.

4. Reg. 2. *Act. 19.* *3. Reg. 13.*

ΚΕΦΑΛΑΙΟΝ ιθʹ.

Ταῦτα δὲ ἔπραττον, ἐπειδὴ μόνῃ ψυχῇ ζῆν ἔκρινον, τὸ σῶμα, καὶ τὰς τοῦ σώματος ἀνάγκας ἀποστρεφόμενοι, καὶ πάντων αὐτοὺς ὑψηλοτέρους ἐποίει τὸ μηδενὸς χρείαν ἔχειν. μᾶλλον γὰρ καταλιπεῖν τὸ σῶμα ᾑροῦντο, καὶ τῆς ἐν σαρκὶ ζωῆς ἀπαλλαγῆναι ἢ καταπροδοῦναι τῆς ἀρετῆς τὸ ἀξίωμα, ἢ χρείας ἕνεκα σωματικῆς κολακεῦσαι τινὰ τῶν εὐπόρων; ἡμεῖς δὲ ὅταν ἐν χρείᾳ καταστῶμεν τινὸς, καθάπερ τὰ κυνίδια μετ' ἱλαρωτέρας κινήσεως κέρκου, προσσαίνουσι τοῖς, ὀστέον ἴσως γυμνὸν, ἢ ψίχας, προσακοντίζουσιν, οὕτως τοῖς πλουσίοις προστρέχομεν, εὐεργέτας αὐτοὺς, καὶ τῶν χριστιανῶν κηδεμόνας ἀποκαλοῦντες, καὶ πᾶσαν αὐτοῖς ἁπλῶς μαρτυροῦμεν ἀρετὴν, κἂν ἐν ἐσχάτῃ κακίᾳ τυγχάνωσιν ὄντες, ἵνα τὸ ἀνύσαι τὸ σπουδα-

CAPVT XIX.

Illa verò geſſerunt quandoquidem ſolâ animâ viuere delegerunt, corpus, & commoda corporis reſpuentes, & omnibus eos excelſiores efficiebat nullius rei indigentia, corpus verò potiùs derelinquere ducebant ſatiùs, & à carnali vitâ ſolui, quàm dignitatem virtutis deferere, & commoditatis corporeæ gratiâ alicui horum qui opibus circumfluunt adulari. Nos verò cum laboramus conſtituti in alicuius rei penuriâ, quemadmodum catelli cum hilariori motu caudæ abblandiuntur his, qui oſſiculum fortè nudum, aut micas inſuper iaculantur; ſic accedimus ad diuites, illos beneficos, & tutores Chriſtianorum vocitantes, omnemquè ipſis planè ineſſe virtutem atteſtantes, quamuis in extremâ ſint malitiâ; vt perficiamus quod ſtudemus, non accuratè inquirentes conuerſationem Sanctorum, quorum

rum ſcilicèt virtutem ſectari nobis in animo propoſuimus. Venit aliquando ad Eliſſæum Neeman Præfectus exercitus Syriæ dona plurima ſecum ferens. Quid igitur Propheta, nunquid inſeruiuit ei? nunquid occurrit ei? Nonne per vnum puerum patefecit ipſi neceſſitatem, propter quam venerat, ne quidem eum admittens in conſpectum ſuum, vt ne delatorum munerum ergo præſtitiſſe illi curationem putaretur? Hæc dicuntur, non vt diſcamus iactantiam, ſed ne corporeæ vtilitatis cauſa aſſentemur his, qui illas res curant, ac fouent, quas nos deſpicere profeſſi ſumus. Quid igitur nos dimittentes ſcopum philoſophiæ incumbimus agriculturæ, & commercio, Quid enim magnum Deo conferimus nobis metipſis ſolliciti exiſtentes? vt autem manifeſtetur commune fore agriculturæ ſtudium; humana cura terram proſcindit, & ſemina deijcit; Deus verò alternis imbribus irrigat, quæ ſeminata ſunt, diſponens radices, vt extendantur in teneris terræ cauitatibus, ſolem oriri facit, qui percalefaciat humum, & æſtu plantas euocet, ſeù eliciat ſurſùm, auras ventorum inſpirat fructuum enutritorum maturitati aptas, mollibus quidem ſpiritibus initio ſubuentilans planitiem, quæ viridem præfert herbam, ne flatibus feruidis inflammentur ſata calefacta, vehementioribus verò ventorum immiſſionibus excoquens in vaginis grani lacteum ſuccum, trituræ tempore flammam præbens congruam & ventilationis, ſeù frumentorum cum vanno purgationis tempore, ventos opportunos; quod ſi aliquid horum deficiat, vanus deprehendetur humanus labor, noſtrumquè

4.Reg.5

σπουδαζομένων. οὐ περιεργαζόμενοι τὴν τῶν ἁγίων διαγωγήν, ὧν δῆθεν ζηλωτὴν τὴν ἀρετὴν προεθέμεθα. ἦλθε ποτὲ πρὸς Ἐλισσαιὲ Νεεμὰν ὁ τῆς Συρίας στρατηλάτης, πολλὰ κομίσας δῶρα μεθ' ἑαυτοῦ. Τί οὖν ὁ προφήτης, ἆρα ἐξυπηρέτησεν; ἆρα προσέδραμεν; οὐχὶ δι' ἑνὸς μειρακίου τὴν χρείαν αὐτοῦ, ἐφ' ἣ παρῆν, ἐδήλωσεν οὐδὲ εἰς ὄψιν αὐτὸν δεξάμενος ἵνα μὴ τῶν κομισθέντων ἕνεκα τὴν θεραπείαν παρέξαι νομισθῇ; ταῦτα δὲ εἴρηται οὐχ ἵνα μάθωμεν ἀλαζονείαν. ἀλλ' ἵνα μὴ χρείας ἕνεκα σωματικῆς κολακεύωμεν τοὺς ἐκεῖνα περιέποντας, ὧν ἡμεῖς καταφρονεῖν ἐπηγγέλμεθα. Τί οὖν ἡμεῖς ἀφέντες τὸν σκοπὸν τῆς φιλοσοφίας, γεωργίας, καὶ ἐμπορίας ἐπιτηδεύομεν. Τί γὰρ μέγα τῷ Θεῷ ἐπὶ τῇ ἑαυτῶν συμφέρομεν φροντίδι; ἵνα δὲ ἐκδηλωθῇ κοινὴν εἶναι τὴν τῆς γεωργίας ἐπιμέλειαν. ἡ ἀνθρωπίνη σπουδὴ τὴν γῆν ἀνατέμνει, καὶ τὰ σπέρματα καταβάλλει, ὁ δὲ Θεὸς ὑετοῖς ἐπαλλήλοις ἄρδει τὰ σπαρέντα ἁπαλαῖς ταῖς λαγόσι τῆς γῆς τὰς ῥίζας ἐνδιατείνεσθαι παρασκευάζων, ἥλιος ἀνατέλλει διαθερμαίνοντα τὴν γῆν καὶ τῇ θέρμῃ προσκαλούμενος ἄνω τὰ φυτά, αὔρας ἀνέμων ἐπιπνεῖ τῇ ἡλικίᾳ τῶν τρεφομένων γεννημάτων συμμέτρους. μαλακαῖς μὲν πνοαῖς ἐπιρριπίζων ἐν ἀρχῇ χλοηφόρον τὴν πεδιάδα, ὡς ἂν μὴ θερμοῖς τοῖς πνεύμασιν ἀλεαινόμενα περιφλέγοιτο τὰ σπαρέντα, σταθεραῖς δὲ ἐμβολαῖς πνευμάτων ταῖς θήκαις τὸ γαλακτῶδες πεπαίνων τοῦ κόκκου, ἀλοητῷ φλογμὸν παρέχων ἐπιτήδειον, λικμητῷ δὲ προσφόρους ἀνέμους. κἂν ἕν τινι τούτων ἐπιλείπῃ, μάταιος ὁ ἀνθρώπινος ἠλέγχθη πόνος, καὶ ἤργησεν ἡ ἡμετέρα σπουδή, μὴ συνεργηθεῖσα ταῖς τοῦ Θεοῦ δωρεαῖς. πολλάκις δὲ καὶ τούτων ἐνέλιπε πρὸς τελείωσιν οὐδέν. ὑετὸς

δὲ λαῦρος παρὰ καιρὸν γινόμενος καὶ πολύς. ἢ ξηραινόμενον ἔτι τὸν ἄσταχυν, ἢ κατὰ καιρὸν σωρευθέντα τὸν σῖτον. κατέφθειρεν. ἔστι δ' ὅτε καὶ ἐν αὐτῇ τῇ ἀποθήκῃ σκώληξ, καὶ σὴς διέφθειρεν ἐξ αὐτοῦ τοῦ στόματος, ὡς εἰπεῖν, ἑτοίμην ἀποσυλήσας τὴν τράπεζαν.

què ſtudium inutile fuit Dei donis minimè obſignatum. Sæpè verò nihil illorum defecit ad perfectionem, copioſus autem & plurimus imber intempeſtiuus ingrués, aut tritam adhuc ſpicam, aut accumulatum ſecundùm tempus triticum diſtraxit; accidit quandoquè vt in horreo ipſo vermis, & ſeps illud corruperint, ex ore ipſo (vt dicitur) præparatam diripiendo menſam.

ΚΕΦΑΛΑΙΟΝ κ.

Ποῦ τοίνυν ἡμῖν, καὶ εἰς τί χρήσιμος ἡ ἡμετέρα σπουδὴ, Θεοῦ τοὺς οἴακας τῶν πραγμάτων κρατοῦντος, καὶ πάντα φέροντος καὶ ἄγοντος, ὡς ἂν βούληται; ἀλλ' ἐν ταῖς ἀσθενείαις ἐροῦμεν παραμυθίας χρῄζειν τὸ σῶμα. καὶ πόσῳ βέλτιον τεθνάναι, ἢ πρᾶξαί τι τῶν τῷ ἐπαγγέλματι μὴ πρεπόντων; πάντως δὲ αὖ ἄρα ἔτι ζῆν ἡμᾶς βούληται ὁ Θεὸς, ἢ ἰσχὺν ἐντίθησι τῷ σώματι ἰσόρροπον τῇ ἀσθενείᾳ, ὡς καὶ τὸν ἐκ τῆς ἀρρωστίας πόνον φέρειν, καὶ τοὺς ἐπὶ γενναιότητι δέξασθαι στεφάνους, ἢ πόρον ἐπινοήσει πρὸς παραμυθίαν τοῦ κάμνοντος, καὶ οὐκ ἐπιλείψει πρὸς σωτηρίαν ἐπίνοια τῇ πηγῇ τῆς σωτηρίας καὶ τῆς σοφίας. καλὸν οὖν, ἀγαπητοὶ, καλὸν, πάλιν εἰς τὴν ἀρχαίαν ἀναβλέψαι μακαριότητα, καὶ τῆς τῶν παλαιῶν ἐπιδράξασθαι πολιτείας. ἔστι γὰρ πᾶσιν εὔκολος ὡς νομίζω, θελήσασι. κἂν δέ τις προσῇ πόνος, οὐκ ἄκαρπος ἔσται, ἱκανὴν ἔχων παραμυθίαν τὴν τῶν προωδευκότων εὔκλειαν, καὶ τῶν ἑψομένων τὴν διόρθωσιν, οὐ μικρὸν γὰρ ἔσται κέρδος τοῖς ἀρξαμένοις τοιαύτης διαγωγῆς καὶ τοῖς μετέπειτα καταλιποῦσι πολιτείας ἀρίστης εἰκόνα, ἢ τῶν ἀπολειφθέντων ἀνάληψις. φύγωμεν τὰς ἐν πόλεσι, καὶ κώμαις διαγωγὰς, ἵνα οἱ ἐν πόλεσι, καὶ κώμαις τρέχωσι πρὸς

CAPVT XX.

VBi ergo nobis, & ad quid conducit noſtrum ſtudium, Deo rerum gubernacula tenente, & omnia ferente, ac ducente quò vult; ſed in infirmitatibus egere corpus ſolatio dicemus, & quantò melius eſt mori, quàm patrare aliquid, quod inſtitutum dedeceat; Omninò verò, ſi nos adhuc viuere velit Deus, aut robur præpollens morbo ſubminiſtrabit, vt laborē ex ægritudine cōtractū ferat infirmus, & corollas e generoſa cōſtantia ſuſcipiat; aut adinueniet viam ad conſolationem dolentis, neque fonti ſalutis, & ſapientiæ deficiet modus excogitatus ad ſalutem. Pulchrum igitur (o Dilecti) pulchrum, rurſus ad antiquam regredi beatitatem, & ad veterum inſtitutum confugere. Eſt enim facilis (vt arbitror) volentibus, etſi adſit labor, nec infructuoſus erit, idoneū habens ſolamen, eorum, qui præiuerunt gloriam, & illorum, qui ſubſequuntur, directionem; non paruum autem lucrum erit incipientibus hanc vitæ rationem, & his, qui poſtea deſeruerint inſtituti optimi ſimulacrum, reſumptio derelictorum. Fugiamus in Ciuitatibus & Vicis celebritates, vt qui ſunt in Ciuitatibus, ad nos decurrant, perſequamur ſolitudi-

tudines, vt eos, qui nos nunc fugiunt, attrahamus. Si quidem vniuerſim quibuſdam id placet, ete-
Eſaie cap. 49. nim de aliquibus ſcriptum eſt cum laude, quod dereliquerunt vrbes, & habitarunt in ſaxis, & euaſerunt vti columbæ meditabũdæ, & Ioan-
Matth. cap. 3. nes Baptiſta degebat in Eremo, & vrbes omnes ad illum cum ipſis ciuibus adibant, Atquè ad inſpiciendam zonam pellitam adducebantur, qui ſericis induti erant veſtibus, & ſubdialem ſumebant moleſtiam, qui deauratas habebant domos, quin ab his, qui in lectis diſtinctis varietate gemmarum quieſcebant, magis æſtimabatur recubare in arena, omniaquè illis erant tolerabilia, licèt præter conſuetudinem accciderent. Senſum enim in laborioſis ademit virtutis viri deſiderium, & dolorem in dura tractatione ſubripuit admiratio iſtum contemplandi.

ἡμᾶς, ἐρημίας μεταδιώξωμεν, ἵνα ἐπισπασώμεθα τοὺς νῦν ἡμᾶς φεύγοντας, εἰ φίλον ὅλως τοῦτο τισί. καὶ γὰρ περί τινων ἐν ἐπαίνῳ γέγραπται, ὅτι κατέλιπον τὰς πόλεις καὶ ᾤκησαν ἐν πέτραις, καὶ ἐγένοντο ὡς περιστεραὶ μελετητικαί. καὶ ὁ Βαπτιστὴς δὲ Ἰωάννης ἐν ἐρήμῳ διέτριβε. καὶ πᾶσαι πρὸς αὐτὸν αὔτανδροι παρῆσαν αἱ πόλεις, καὶ πρὸς θεωρίαν τῆς δερματίνης ζώνης ἠπείγοντο οἱ τὰ σηρικὰ περιβεβλημένοι ἱμάτια, καὶ τὴν ὑπαίθριον ἠροῦντο ταλαιπωρίαν οἱ τὰς χρυσορόφους ἔχοντες οἰκίας, καὶ τὰς ἐπιλιθοκολλήτων κλινῶν ἀναπαύσεις, ἡ ἐπὶ τῆς ψάμμου παρεδοκίμαζε κατάκλισις, καὶ πάντα ἦν αὐτοῖς ἀνεκτά, καίτοι παρὰ τὸ ἔθος γινόμενα. ὑπετέμνετο γὰρ τὴν ἐπὶ τοῖς ἀλγεινοῖς αἴσθησιν ὁ πόθος τῆς ἀρετῆς τοῦ ἀνδρός, καὶ τὸν ἐπὶ τῇ σκληραγωγίᾳ πόνον ἔκλεπτε τὸ θαῦμα τῆς θεωρίας.

CAPVT XXI.

TAnto magis præ diuitijs æſtimatur virtus, & vita quieta præ multis pecunijs clarior habetur; Quanti circà tempus illud fuerunt diuites, & ob gloriam magni ſe ſe facientes, & ſiletur de illis, obliuioniquè dati ſunt; at miraculum inglorij nunc vſquè decantatur, & memoria eius, qui deſertum locum incolebat, ab omnibus ſtudioſe celebratur; proprium enim virtutis eſt decantatam fore, ac famam diffundere vndiquè nuntiam ſuorum bonorum; Recuſemus pecudum nutritionem, vt recipiamus habitum paſtoralem; Derelinquamus commercium pudendum, vt acquiramus margaritam pretioſiſſimam; fugiamus terræ culturam ſpinas, & tribulos germinantis,

ΚΕΦΑΛΑΙΟΝ κα.

ΤΟσοῦτον ἐστὶν ἀρετὴ πλούτου τιμιωτέρα, καὶ βίος ἡσύχιος χρημάτων πολλῶν περιφανέστερος· πόσοι κατὰ τὸν καιρὸν ἐκεῖνον ἦσαν πλούσιοι καὶ μεγαλοφρονοῦντες ἐπὶ δόξῃ, καὶ σεσίγηνται, καὶ λήθῃ παρεδόθησαν, καὶ τὸ θαῦμα τοῦ ἀδόξου μέχρι τοῦ νῦν ᾄδεται, καὶ ἡ μνήμη τοῦ ἐρημοπολίτου πᾶσιν ἐστὶ περισπούδαστος. ἴδιον γὰρ τῆς ἀρετῆς τὸ ἀοίδιμον καὶ τὴν φήμην ἐξαποστέλλειν ἄγγελον τῶν οἰκείων καλῶν. παραιτησώμεθα κτηνοτροφίαν, ἵνα ποιμαντικὴν ἕξιν ἀναλάβωμεν. καταλίπωμεν ἐμπορίαν ἐπονείδιστον, ἵνα τὸν πολύτιμον κτησώμεθα μαργαρίτην. φύγωμεν γεωργίαν γῆς ἀκάνθας καὶ τριβόλους ἀνατελλούσης, ἵνα ἐργάται καὶ φύλακες τοῦ παραδείσου

γυμνώμεθα. πάντα ῥίψωμεν, καὶ τὸν ἡσύχιον ἑλώμεθα βίον, ἵνα ἐντρέψωμεν τοὺς νῦν ἡμῖν ὀνειδίσαντας, τὸ κεκτῆσθαι προσφέροντας. οὐδὲν γὰρ οὕτω δυσωπεῖ τοὺς ἐπεμβαίνοντας, ὡς ἡ ἐπὶ τοῖς ὀνειδιζομένοις, μετ' ἐπιεικείας διόρθωσις. τῶν γὰρ ἡ τῶν ὀνειδιζομένων μεταβολὴ τοῖς ὀνειδίζουσι διατροπή. αἰσχρὸν δὲ καὶ τοῦτο (νομίζω) καί ἐστιν αἰσχρὸν ἀληθῶς. ἐφ' ᾧ καὶ παρὰ πάντων εἰκότως γελώμεθα. ἀρτὶ γάρ τις προσελθὼν τῷ μοναχικῷ βίῳ, τὰ ἤθη μόνον μαθὼν τῆς ἀσκήσεως. ὅπως τε προσεύχωνται, καὶ πότε καὶ ποία τίς ἐστιν ἡ τῆς διαίτης ἀγωγή, διδάσκαλος εὐθὺς ὧν μὴ μεμάθηκε προσέρχεται ὁρμαθὸν μαθητῶν ἐπισυρόμενος αὐτὸς δεόμενος διδασκαλίας, καὶ τοσούτῳ πλέον, ὅσῳ καὶ εὔκολον τὸ πρᾶγμα ἐνόμισεν, οὐκ εἰδὼς ὅτι πάντων μᾶλλον ἐστὶ χαλεπώτατον ψυχῶν ἐπιμελεῖσθαι. δεομένων πρότερον μὲν καθάρσεως τῶν παλαιῶν μολυσμάτων. ἔπειτα πολλῆς προσοχῆς εἰς τὸ δέξασθαι τύπους τῶν μαθημάτων τῆς ἀρετῆς. ὁ δὲ μηδὲν πλέον τῆς σωματικῆς ἀσκήσεως φαντασθεὶς, πῶς διορθώσεται τὰ ἤθη τῶν ὑποτασσομένων; πῶς δὲ μεταρρυθμίσει τοὺς τῇ πονηρᾷ συνηθείᾳ κρατουμένους; πῶς δὲ τοῖς πολεμουμένοις ὑπὸ παθῶν βοηθήσει. μηδόλως τὸν κατὰ διάνοιαν εἰδὼς πόλεμον. ἢ πῶς τὰ ἐν τῷ πολέμῳ συμβαίνοντα τὰ τραύματα θεραπεύσει, αὐτὸς ἐν τραύματι κατακείμενος, καὶ καταδέσμων δεόμενος.

nantis, vt operarij, & cuſtodes Paradiſi efficiamur; Omnia proijciamus, & vitam quietam apprenendamus, vt pudore afficiamus illos, qui nobis exprobrant, & nunc proferunt nos poſſeſſionibus incubare; Nihil enim æquè ignominia afficit inſultantes, quàm in his, quæ exprobrantur, correctio cum moderatione;probro enim affectorum conuerſio, fit exprobrantium confuſio. Turpe quippe hoc, & exiſtimo, & eſt verè turpe, in quo & ab omnibus iure ridemur. Nuper enim aliquis monaſticam ad vitam accedens, & inſtituta ſolummodò addiſcens exercitationis; quomodo, & quando fundunt preces, & qualis eſt viuendi modus: ſtatim doctor fit eorum,quæ nō didicit.& incedit longam ſeriem diſcipulorum trahens, ipſe verò doctrinæ inops eſt, eo magis quòd rem facilem opinatus fuit,ignorans etenim omnium difficillimam eſſe rem,curam animarum gerere, egentium in primis purgatione veterum corruptionum, multa dein attentione ad ſuſcipiendas diſciplinas, quæ ad virtutem formant; Qui verò nihil præter corpoream exercitationem animo concepit, quomodo corriget mores ſubditorum? quo pacto tranſmutabit eos, quibus praua conſuetudo dominatur? Qua ratione ſubſidium feret his, qui à paſſionibus debellantur, neque vniuerſim per cogitationem quidem belli gnarus interni,aut quomodo vulnera, quæ in bello contingunt, curabit ipſe præ vulnere decumbens & egens faſcijs, ſeu vinculis, quibus vulnera obligantur.

CAPVT XXII.

OMnis quidē ars eget tempore, & plurima diſciplina ad directionem; ſoli verò arti artium ſine vllo tyrocinio ſtudetur, & agri culturam quidem non audebit inexpertus exercere, neque medicinæ opera non inſtructus medicinæ traditionibus, reprehendetur etenim ille, quia ægrotantibus opem nullam afferet, imo & ipſis grauiorem morbum apponet; iſte verò terrā optimam in aſperam, & ſqualidam rediget. Solum Dei cultum, vti præ omnibus faciliorem audebunt penitùs indocti attrectare, & res, quæ difficillimè dirigitur, nullius negotij eſſe a multis cenſebitur; quodque Paulus dicit ſe neutiquam comprehendiſſe, hoc diligenter ſe noſſe affirmabunt, qui nec hoc ipſum ſciunt, ſe id neſcire; Ideò abijt in contemptum vita Monaſtica, quique ſuſcipiunt ipſam, ab omnibus irridentur; Quis enim non ridebit eum, qui heri ferebat aquam in caupona, hodie conſpicatus ipſum vti doctorem virtutis a diſcipulis, quaſi ab haſtatis ſatellitibus ſtipatum, aut mane recedentem ab vrbanis nequitijs, ſerò cum diſcipulorum multitudine per totum forum ſuperbè incedentem; ſi verò perſuaſi ſunt luculenter, quod magnus labor eſt ad pietatem aliquos inducere, quodque rem illam conſequitur periculum optimè norunt, Omnino negotium illud velut ipſos ex ſuperans recuſarent; quandoquidem verò illud neſciunt, & glorioſum putant aliquibus præeſſe deuoluuntur facilè præcipites in tantum barathrum, & in ardentem hunc caminum inſilire leue opinantur, riſum mouentes his, qui heſternam eorum vi-

Ad Philipp c. 3.

ΚΕΦΑΛΑΙΟΝ κϐ.

Η Πᾶσα μὲν τέχνη χρόνου δεῖται καὶ διδασκαλίας πολλῆς πρὸς κατόρθωσιν, μόνη δὲ ἡ τέχνη τῶν τεχνῶν ἀμαθητεύτως ἐπιτηδεύεται· καὶ γεωργίας μὲν οὐκ ἂν καταθαρσήσει ἄπειρος, οὐδὲ ἀμύητος ἰατρικῆς ἐγχειρήσειεν ἔργοις. ἐλεγχθήσεται γὰρ ὁ μὲν πρὸς τὸ μηδὲν ὀνῆσαι τοὺς κάμνοντας, ἔτι καὶ βαρυτέραν αὐτοῖς καταστοιβάσας τὴν νόσον, ὁ δὲ χέρσον, καὶ ῥυπαρὰν τὴν ἀρίστην γῆν καταστήσας. μόνης δὲ τῆς θεοσεβείας ὡς πάντων εὐκολωτέρας κατατολμῶσιν ἀπαιδοτρίβητοι, καὶ τὸ δυσκατόρθωτον πρᾶγμα εὐχερὲς εἶναι νενόμισται τοῖς πολλοῖς. καὶ ὃ μηδέπω Παῦλος κατειληφέναι λέγει, τοῦτο ἀκριβῶς ἐγνωκέναι διαβεβαιοῦνται οἱ μηδ' αὐτὸ τοῦτο εἰδότες ὅτι ἀγνοοῦσι, διὰ τοῦτο δὴ καταφρόνητος ὁ βίος ἐγένετο καὶ οἱ μετερχόμενοι αὐτὸν παρὰ πάντων χλευάζονται, τίς γὰρ μὴ γελάσεται τὸν χθὲς ἐν καπηλείῳ ὑδροφοροῦντα, σήμερον ὁρῶν ὡς διδάσκαλον ἀρετῆς παρὰ μαθητῶν δορυφορούμενον, ἢ τὸν πρωῒ τῶν πολιτικῶν ἀναχωρήσαντα κακοπραγμάτων, ὀψὲ μετὰ πλήθους μαθητῶν διὰ πάσης σοβοῦντα τῆς ἀγορᾶς. εἰ δὲ ἦσαν πεπεισμένοι σαφῶς ὅτι πολύς ἐστιν ὁ πόνος ἐνάγειν τινὰς εἰς θεοσέβειαν, καὶ τὸν ἀκολουθοῦντα τῷ πράγματι κίνδυνον ᾔδεσαν ἀκριβῶς, πάντως ἂν ὡς ὑπερβαῖνον αὐτοὺς παρῃτήσαντο τὸ πρᾶγμα. ἕως δ' ὅτε τοῦτο ἀγνοοῦσι, καὶ δόξαν ἡγοῦνται τὸ προεστάναι τινῶν, εὐχερῶς κυβιστῶσι κατὰ τοῦ τοιούτου βαράθρου. καὶ τὸ ἐνάλλεσθαι καιομένῃ τῇ καμίνῳ, κοῦφον νομίζουσι. γέλωτα μὲν ἐπικινοῦντες τοῖς ἐπισταμένοις τὸν χθὲς αὐτῶν βίον. Θεῷ δὲ ἀγανάκτησιν ἐπὶ τῇ τοιαύτῃ προπετείᾳ.

rum vi-

rum vitam nouerunt, Deo verò indignationem, propter hanc temeritatem.)

ΚΕΦΑΛΑΙΟΝ κγ'.

Εἰ γὰρ τὸν Ἠλεὶ οὐδὲν παρῃτήσατο τῆς ὀργῆς τοῦ Θεοῦ, οὐ γῆρας σεμνὸν, οὐ παλαιὰ παῤῥησία, οὐχ ἱερατικὴ τιμὴ, ἀμελήσαντα τῆς τῶν τέκνων διορθώσεως. πῶς ἐξελεῖται νῦν τῆς τοιαύτης ἀγανακτήσεως, ὅσοι οὔτε ἐκ παλαιῶν ἀξιοπιστίαν ἔχοντες ἔργων παρὰ τῷ Θεῷ. οὔτε εἰδότες ἢ τὸν τοῦ ἁμαρτήματος τρόπον, ἢ τῆς διορθώσεως τὴν μέθοδον. ἀλλ' ἀπείρως δι' ἔρωτα δόξης ἐγχειροῦντας κινδύνῳ πράγματι. διὰ τοῦτο τῷ μὲν δοκεῖν Φαρισαίους διαβάλλων ὁ Χριστὸς ἔλεγεν. οὐαὶ ὑμῖν γραμματεῖς, καὶ Φαρισαῖοι ὑποκριταί. ὅτι περιάγετε τὴν θάλασσαν, καὶ τὴν ξηρὰν τοῦ ποιῆσαι ἕνα προσήλυτον, καὶ ὅταν εὕρητε, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. τῷ δ' ἀληθεῖ διὰ τῆς κατ' ἐκείνων ἐπιπλήξεως, νουθετῶν τοὺς ὕστερον τοῖς αὐτοῖς ἁλίσκεσθαι μέλλοντας παραπτώμασιν, ἵνα τῷ οὐαὶ προσεχόντες εἴρξωσιν ἑαυτοὺς τῆς ἀκαίρου ἐπιθυμίας, τῆς παρὰ τοῖς ἀνθρώποις δόξης, φοβερώτερον κρίναντες τὸν ταλανισμόν. δυσωπείτω δὲ καὶ ὁ Ἰὼβ αὐτοὺς ἢ ὁμοίως κήδεσθαι τῶν ὑποτεταγμένων, ἢ παραιτεῖσθαι τὴν τοιαύτην προστασίαν. μὴ εἰδότας τὰ αὐτὰ ἐκείνῳ ποιεῖν. μηδὲ τὴν αὐτὴν ὑπὲρ τῶν προειρημένων εἰσφέρειν βουλομένους σπουδήν. εἰ γὰρ ἐκεῖνος καὶ ἀπὸ τῶν κατὰ διάνοιαν ῥύπων τοὺς υἱοὺς καθαροὺς εἶναι θέλων, θυσίας καθ' ἑκάστην ἡμέραν ὑπὲρ αὐτῶν προσέφερε, λέγων. μήποτε οἱ υἱοί μου ἐν τῇ καρδίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς τὸν Θεόν, πῶς οὗτοι καὶ τῶν φανερῶν ἁμαρτημάτων ἀγνοοῦντες τὴν διάκρισιν, διὰ τὸ εἶναι τὸν ἐκ τῆς πρὸς τὰ πάθη μάχης κονιορτὸν ἐπισκοτεῖν αὐτῶν τῷ λογι-

CAPVT XXIII.

SI enim nihil ab ira Dei excuſauit Heli, neque grauis ſenectus, nec colloquendi antiqua libertas, neque ſacerdotalis honor, cum filios corrigere negligeret; Quomodo excludentur nunc ab hac indignatione, qui non e priſtinis operibus dignam fiducia apud Deum merentur, neque ſciunt aut peccati modum, aut correctionis methodum, ſed imperitè præ cupiditate gloriæ rem periculi plenam aggrediuntur. Ideò Phariſæos accuſans, quod videri volunt, dicebat Dominus. Væ vobis ſcribæ, & Phariſæi hypocritæ, quia circumitis mare, & aridam, vt Proſelytum vnum faciatis, & cum inueneritis, facitis illum filium gehennæ duplo magis quam vos, verè quidem hac illorum obiurgatione admonens poſteros, qui lapſuri erant in ſimilia peccata, vti cauentes illud Væ, ſe ipſos cohibeant ab intempeſtiuo deſiderio, illamquè humanę gloriæ, iudicent miſeriam maxime formidandam. Confundat vero ipſos Iob, aut perinde, ac ille, curam gerant ſubditorum, aut recuſenr huiuſmodi Præfecturam, ignorantes eadem, quæ ille agere, & idem ſtudium afferre nolentes ſuper his, quæ præuidenda ſunt; ſi namquè ille volens filios puros eſſe, a ſordibus etiam cogitationum, quotidie ſacrificia offerebat pro ipſis, dicens, ne fortè filij mei mala cogitarinr in corde contra Deum; Quomodo iſti, & manifeſtorum criminum neſcientes diſcrimen, quandoquidem puluis e pugna aduerſus

1. Reg. c. 2.

Matthæi c. 23.

Iob. c. 1.

uerſus paſſiones excitatus ipſorum ratiocinationem tenebris offundit, ſuſcipiunt aliorum præfecturam, aliorumquè curam aſſumunt, cum necdum ſuas paſſiones proprias curarint, neque poſſint ex ipſarum victoria ſimiliter alios ad vincendum deducere.

στικῶ ἐπιπηδῶσιν εἰς τὴν ἑτέρων προστασίαν, καὶ θεραπείαν ἄλλων ἀναδέχονται, οὔπω τὰ ἑαυτοῦ πάθη θεραπεύσαντες, οὐδὲ ἐκ τῆς ἑαυτοῦ νίκης ἑτέρους ἐπὶ τὸ νικᾶν ὁμοίως ὁδηγεῖν δυνάμενοι.

CAPVT XXIV.

Oportet enim prius debellare paſſiones, & cum multa prudentia, quæ in bello euenere, memoriæ tradere; & ſic ex his, quæ ipſis ſucceſſerunt, alijs bellandi rationem proponere, faciliorem què reddere hiſce victoriam, quia prædicunt illis methodos belligerandi. Sunt enim aliqui, qui dominati ſunt paſſionibus cum aſperitate dura, ignorantes ipſum victoriæ modum, quia, vt in pugna nocturna non ſequuti ſunt teſſeras militares, neqne diligenter induxerunt in ani-
Ioſue c. 4. mum quomodo inſidias hoſtium euitarint; hoc fecit Ieſus Naue per figuram, exercitu pertrãſeunte Iordanẽ noctu, mãdans e medio flumine lapides extrahi, & in cippũ erigi calceque induci extra flumẽ, & hoc inſcribi, vbinam Iordanem pertranſiiſſent, ſignificans, quod oporteat profundas cogitationes vitæ paſſionibus obnoxiæ propalam efferre, clareque velut in cippo proponere, nec alijs notitiam inuidere, vt non ſolùm, qui pręterijt, tranſitus modum agnoſcat, ſed & qui facere idem proponunt, facilem tranſitum edocti, reperiant, alienaquè experientia, fiet aliorum doctrina. ſed hæc quidem nequè vident illi, nec alios dicentes audiunt, reſpicientes ad ſuam propriam perſuaſionem, fratribus velut emp-

ΚΕΦΑΛΑΙΟΝ κδ'.

Δεῖ γὰρ πρότερον μαχέσασθαι τοῖς πάθεσι, καὶ μετὰ πολλῆς νήψεως τὰ ἐν τῷ πολέμῳ τῇ μνήμῃ παραδοῦναι, καὶ οὕτως ἐκ τῶν καθ' αὐτοὺς ἑτέροις ὑποθέσθαι τὰ τῆς μάχης, καὶ τὴν νίκην αὐτοῖς εὐχερεστέραν ποιῆσαι διὰ τὸ προλέγειν τὰς ἐν τῷ πολέμῳ μεθόδους. εἰσὶ γάρ τινες τῶν κεκρατηκότες τῶν παθῶν, διὰ πολλὴν ἴσως σκληραγωγίαν, καὶ τὸν τρόπον ἀγνοοῦντες τῆς νίκης, διὰ τὸ ὡς ἐν νυκτομαχίᾳ μὴ παρηκολουθηκέναι ταῖς συμβολαῖς; μὴ δὲ ταῖς τῶν ἐχθρῶν ἐπιβουλαῖς ἀκριβῶς ἐπιστῆσαι τὸν νοῦν. τοῦτο συμβολικῶς καὶ ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐποίει ἐν νυκτὶ τὸν Ἰορδάνην διαβαινούσης τῆς στρατιᾶς, προστάξας ἐκ μέσου τοῦ ποταμοῦ λίθους ἀνιμήσασθαι. καὶ ἔξω τοῦ ποταμοῦ στηλώσαντας κονιάσαι, καὶ ἐπιγράψαι τὸ ὅπως παρῆλθον τὸν Ἰορδάνην. σημαίνων ὅτι δεῖ τὰ βύθια τῆς ἐμπαθοῦς διαγωγῆς νοήματα εἰς φανερὸν ἄγειν, καὶ σαφῶς στηλιτεύειν, καὶ μὴ φθονεῖν ἑτέροις τῆς γνώσεως ἵνα μὴ μόνον ὁ παρελθὼν γινώσκῃ τὸν τρόπον τῆς διαβάσεως. ἀλλὰ καὶ οἱ τὸ αὐτὸ ποιεῖν προαιρούμενοι εὐχερῆ τὴν διάβασιν ἐκ τῆς μαθήσεως ποιήσωνται, καὶ ἡ ἑτέρων πεῖρα γένηται ἑτέροις διδασκαλία. ἀλλὰ ταῦτα μὲν οὐδ' ὁρῶσιν ἐκεῖνοι. οὐδ' ἑτέρων λεγόντων ἀκούουσιν, εἰς μόνην τὴν ἑαυτοῦ ἀφορῶντες πληροφορίαν, καθάπερ ἀργυρωνήτοις δουλικὰς ἐπιτάσσουσιν ὑπηρεσίας τοῖς ἀδελ-

φοῖς. ἐν τούτῳ τὸ πᾶν τῆς δόξης τιθέμενοι, ἐν τῷ προεστάναι πλειόνων. καὶ ἔστιν ἅμιλλα μὴ ἥττονα τῶν λοιπῶν ἐν ταῖς προόδοις ἐπισύρεσθαι ἀνδράποδα. καπήλων μᾶλλον ἢ διδασκάλων κατάστασιν ἐπιδεικνύμενοι.

lut emptitijs operas ſeruiles imponunt, omnem gloriam in eo ſtatuentes, ſi præſint pluribus, eſt etiã contentio ne minorem numerum quam alij, in proceſſibus trahãt pediſequorum; cauponum magis quã Magiſtrorum ſtatum exhibentes.

ΚΕΦΑΛ. κέ.

Ὅταν γὰρ λόγῳ μὲν εὐχερὲς ᾖ τὸ ἐπιτάττειν, ἡγοῦνται, κἂν βαρέα ᾖ τὰ ἐπιτασσόμενα. ἔργῳ δὲ διδάσκειν οὐδὲ ἀνέχονται· πρόδηλον πᾶσι τὸν ἑαυτῶν ποιοῦσι σκοπόν, ὅτι οὐκ ὠφελῆσαι τοὺς προσερχομένους ἀλλ' ἰδίαν ἡδονὴν ἀνύσαι σπουδάζοντες, τὴν ἡγεμονίαν ὑποδύονται ταύτην. μαθέτωσαν, εἰ βούλοιντο, παρὰ τοῦ Ἀβιμέλεχ, καὶ τοῦ Γεδεών, ὅτι οὐ λόγος, ἀλλ' ἔργον τοὺς ἀρχομένους ἐνάγει πρὸς τὴν μίμησιν. τοῦ μὲν ποιήσαντος φορτίον ξύλων, καὶ μετὰ τὸ βαστάσαι λέγοντος. ὃν τρόπον εἴδετέ με ποιοῦντα, ποιήσατε καὶ ὑμεῖς. τοῦ δὲ ἔργου ἀφηγουμένου κοινὸν καὶ ἑαυτὸν προτάσσοντος τῆς ἐργασίας, καὶ λέγοντος, ἀπ' ἐμοῦ ὄψεσθε, καὶ οὕτως ποιήσατε. καὶ ὁ Ἀπόστολος δὲ λέγων. ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. καὶ αὐτὸς ὁ Κύριος ποιῶν, καὶ τότε διδάσκων, τίνα οὐ πείθουσιν ἀξιοπιστοτέραν τὴν ἐν τοῖς ἔργοις διδασκαλίαν τῆς διὰ λόγων ἡγεῖσθαι, οἱ δὲ πρὸς μὲν τὰς τοιαύτας εἰκόνας καμμύουσιν· ἀλαζονικῶς δὲ τὰ πρακτέα προστάσσουσιν. ὅταν δὲ καὶ εἰδέναι τι τούτων δόξωσιν ἐξ ἀκοῆς. κατὰ τοὺς ἐπὶ ἀπειρίᾳ διαβαλλομένους ὑπὸ τοῦ προφήτου ποιμένας. μάχαιραν ἐπὶ τοῦ βραχίονος φοροῦντες. διὸ καὶ ἐπὶ τὸν βραχίονα ὁ δεξιὸς ὀφθαλμὸς αὐτῶν ἐκτυφλοῦται· ἀμελουμένη γὰρ δι' ἀπόνοιαν ἡ δεξιὰ πρᾶξις συγκατασβέννυσιν ἑαυτῇ, καὶ

CAPVT XXV.

Qvando enim cenſent facilè eſſe verbo imperare, etſi grauia ſint, quæ imperantur, opere verò docere nequè ſuſtinent, omnibus ſuum ſcopum manifeſtum faciunt, quod non prodeſſe illis, qui ad eos conueniunt, ſed voluptatem propriam ſtudentes perficere, ipſam ſubeunt adminiſtrationem. Diſcant ergo ſi velint hi ab Abimelech, & a Gedeon, *Iudic. c. 7. & c. 8.* quod non verbum, ſed opus eos, qui præſunt, inducit ad imitationẽ; conficiente iſto ſtruem lignorum, & poſteaquam portauerit eam, dicente; quomodo videtis me feciſſe; ita, & vos facite. hoc verò commune opus aggrediente, ac ſe ipſum in operando proponente, & dicente, ad me aſpicite, ſicquè facite. *2. Corinth. cap. 11.* Et Apoſtolus certè dicens, quod neceſſitatibus meis, & his, qui mecum ſunt, miniſtrauerunt manus iſtæ. *Act. 1.* Et ipſe Dominus faciens, deinde docens, quem non perſuadent? efficaciorem doctrinam eam, quæ in operibus conſiſtit, illa, quæ in ſermonibus eſt, exiſtimãdam fore. Illi verò ad iſtas quidem ſimilitudines conniuent, & facienda imperant arroganter; Quando autẽ, & ſcire aliquid horũ videntur ex auditu, ſecundum Paſtores deprehenſos a Propheta in *Zachar. cap. 11.* imperitia, gladium ferentes in brachio, ideoque ſuper brachium, dexter ip-

ter ipſorum oculus excæcatur, neglecta enim propter inertiam actio dextera ſimul extinguit ſecum contemplationis ſplendorem. Id verò contingit his, qui docent crudeliter, & inhumanè. quando poteſtatem ad manum habent illicò puniendi; ſtatim cogitationes ſpeculatiuæ, quæ ſunt a dextris, extinguuntur, rursùs verò actiones orbatæ ſpeculatione marceſcunt, cùm nec agere, neque videre quidquam poſſint, qui non in femore, ſed in brachio geſtant gladium; In femore verò gladium ſubcingunt, qui aduersùs proprias paſſiones ſunt vſi Diuino ſermone, In brachio verò, qui pœnam aduersùs alienas culpas in promptu habent.

τὴν λαμπηδόνα τῆς θεωρίας. τοῦτο δὲ ὁ ὠμῶς καὶ ἀπανθρωπίνως παιδεύοντες πάσχουσιν, ὅταν πρόχειρον τὴν τιμωρητικὴν ἔχωσι δύναμιν, εὐθέως τὰ θεωρητικὰ μὲν νοήματα τὰ ἐκ δεξιῶν σβέννυνται. πάλιν δὲ αἱ πράξεις στερηθεῖσαι τῆς θεωρίας μαραίνονται. ὅτε πρᾶξαί τι οὔτ' εἰδέναι δυναμένων τῶν μὴ τῷ μηρῷ, ἀλλὰ τῷ βραχίονι περιζωσάντων τὴν μάχαιραν· ἐπὶ τῷ δὲ μηρῷ προσκολλῶν τὴν μάχαιραν, οἱ κατὰ τῶν ἰδίων παθῶν κεχρημένοι τῷ θείῳ λόγῳ· ἐπὶ τοῦ βραχίονος δὲ, οἱ τὴν τιμωρίαν πρόχειρον ἐπὶ τῶν ἀλλοτρίων ἔχοντες ἁμαρτημάτων.

CAPVT XXVI.

Ammanites 1. Reg. c. 11. Sic enim & Naas Somanites, qui exponitur ſerpens, minatur perſpicaci Iſraeli effoſſurum ſe omnem oculum ipſius dexterum, vt nulla dextera cogitatio inſiſtens ipſi, ad actionem dexteram deducat eum quem poſſidet; ſciens cauſam hanc eſſe magni progreſſus his, qui à contemplatione ad vitam actiuam procedunt, fit enim iſtis innoxium, quod agitur, præuiſum oculis cognitionis acutiſſimè perſpicientibus. quod verò leuium ſit hominum, & nullum domi habentium emolumentum aliorum præſidatum ſuſcipere, clarum illud eſt & ex experientia, nec enim quis aſſumet, qui deguſtauerit quietem, & inceperit contemplationi vacare ſollicitudinibus circà res corporeas mentem illigare, diſtrahendo à cognitione ipſà, & ſublimem, & multum elatam ad terrena detrahere negotia. *Ionathan Iudic. c. 9.* Euidentiùs verò eſt, & valdè celebrata illa parabola, quam Ionathan Sicemitis propo-

ΚΕΦΑΛ. κϛ.

Οὕτως γὰρ καὶ Νααᾶς ὁ σομανίτης, ὃς ἑρμηνεύεται ὄφις, ἀπειλεῖ τῷ διορατικῷ Ἰσραὴλ ἐξορύξαι πάντα δεξιὸν αὐτοῦ ὀφθαλμὸν, ἵνα μηδὲν νόημα δεξιὸν συνυπάρχον ἐπὶ δεξιὰν πρᾶξιν ὁδηγήσῃ τὸν κεκτημένον. εἰδὼς αἴτιον τοῦτο μεγάλης προκοπῆς τοῖς ἀπὸ θεωρίας ἐπὶ τὴν πρακτικὴν ἐρχομένοις. γίνεται γὰρ τοῖς τοιούτοις ἀνυπαίτιον τὸ πραχθὲν προθεωρηθὲν τοῖς τῆς γνώσεως ὀξυδερκεστάτοις ὀφθαλμοῖς. ὅτι δὲ ἀχρείων ἀνθρώπων, καὶ μηδεμίαν οἴκοθεν ἐχόντων ὠφέλειαν, ἐπὶ τὴν ἑτέρων ἀναδέχεσθαι προστασίαν, δῆλον μὲν καὶ ἐκ τῆς πείρας, οὐ γὰρ ἂν ἕλοιτό τις ἡσυχίας γευσάμενος, καὶ θεωρίᾳ ποσῶς σχολάζειν ἀρξάμενος, ταῖς περὶ τῶν σωματικῶν φροντίσιν ἐνδῆσαι τὸν νοῦν, ἀποστήσας αὐτὸν τῆς γνώσεως, καὶ μετάρσιον τὰ πολλὰ φερόμενον ἐπὶ τὰ γήϊνα κατασύρειν πράγματα. ἐνδηλότερον δὲ καὶ ἐκ τῆς πολυθρυλλήτου παραβολῆς ἐκείνης ἣν ὁ Ἰωνάθαν τοῖς σικημίταις προὔβα-

λέτο λέγων· πορευόμενα ἐπορεύθησαν τὰ ξύλα τοῦ δρυμοῦ τοῦ χρίσαι ἐφ᾽ ἑαυτῶν Βασιλέα. καὶ εἶπον τῇ ἀμπέλῳ δεῦρο βασίλευσον ἐφ᾽ ἡμᾶς, καὶ εἶπεν ἡ ἄμπελος, ἀφεῖσα τὸν καρπόν μου τὸν ἀγαθὸν, ὃν ἐδόξασεν ὁ Θεὸς, καὶ οἱ ἄνθρωποι, πορεύσομαι ἄρχειν ξύλων; ὁμοίως δὲ καὶ τῆς συκῆς διὰ τὴν γλυκύτητα· καὶ τῆς ἐλαίας, δι᾽ ἣν ἔχει πιότητα παραιτησαμένων Ῥάμνος ξύλον ἄκαρπον, ἀκανθῶδες τὴν τούτων ἀρχὴν κατεδέξατο οὔτε οἰκείαν ἔχουσα πιότητα, οὔτε τῶν ὑποτεταγμένων ξύλων. οὐ γὰρ παραδείσου ξύλα ἀλλὰ δρυμοῦ τὰ δεόμενα τῆς ἐπιστασίας εἶπεν παραβολή, ὥσπερ γὰρ ἡ ἄμπελος, καὶ ἡ συκὴ, καὶ ἡ ἐλαία παρῃτήσαντο ἀρχὴν τῶν ξύλων τοῦ δρυμοῦ. μᾶλλον τῷ ἑαυτῶν εὐφραινόμεναι καρπῷ, ἢ τῷ τῆς ἀρχῆς ἀξιώματι. οὕτως καὶ ἐν ἑαυτοῖς τινὰ βλέποντες καρπὸν ἀρετῆς, καὶ τῆς ἐκ τούτου ὠφελείας αἰσθόμενοι, κἂν πολλοὶ πρὸς τὴν τοιαύτην ἀρχὴν βιάζωνται, ἀνανεύουσι τῆς παρὰ τῶν πολλῶν τιμωρίας τὴν ἑαυτῶν ὠφέλειαν προκρίνοντες.

propoſuit dicens. venientia proceſſerunt ligna nemoris, vt vngerent ſuper ſe Regem, & dixerunt viti. Agedum Regna ſuper nos, & dixit vitis dimittam fructum meum bonum, quem Deus glorificauit, & homines; & ibo imperatum lignis; pariter & ficu, propter dulcedinem, & oliua propter pinguedinem, quas habent, recuſantibus. Rhamnus lignum infructuoſum, & ſpinoſum horum ſuſcepit principatum, neque propriam habens pinguedinem, neque lignorum ſubditorum; nec enim ligna horti, ſed nemoris indigebant præſidatu (inquit parabola), quemadmodum enim vitis, ficus, & oliua recuſarunt præeſſe lignis Nemoris, magis ſuo fructu oblectatæ, quam dignitate principatus; ſic in ſemetipſis aliquem virtutis intuentes fructum, & ex eo vtilitatem perſentientes (quamuis multi cogant ad imperium huiuſmodi) renuunt, commodum ſuum præferentes multorum ſubſidio.

ΚΕΦΑΛΑΙΟΝ κζ΄.

Ὅπερ δὲ ἐπηράσατο τοῖς ἐν τῇ παραβολῇ ξύλοις Ῥάμνος, τοῦτο καὶ τοῖς ὁμοίως ἐκείνοις πραγματευσαμένοις ἀνθρώποις συμβαίνει. ἢ γὰρ ἐξέλθοι φησὶ πῦρ ἐκ τῆς Ῥάμνου καὶ καταφάγοι τὰ ξύλα τοῦ δρυμοῦ. ἢ ἐκ τῶν ξύλων ἐξέλθοι, καὶ καταφάγοι τὴν Ῥάμνον. τῶν γὰρ συνθηκῶν ἀνωφελῶν γενομένων, ἀνάγκη κίνδυνον ἀκολουθεῖν, τοῖς τε ὑποτάσσουσιν ἑαυτοὺς ἀπείρῳ διδασκάλῳ, αὐτοῖς τε τοῖς τὴν ἀρχὴν ἀναδεξαμένοις ἐπὶ τῇ τῶν μαθητευομένων ἀπροσεξίᾳ. καὶ γὰρ ἡ τοῦ διδασκάλου ἀπειρία ἀπόλλυσι τοὺς μαθητευομένους. καὶ ἡ τῶν μαθητῶν ἀμέλεια κίνδυνον φέρει τῷ διδασκάλῳ, καὶ μάλιστα ὅταν

CAPVT XXVII.

Hoc verò quod in parabola imprecata eſt Rhamnus lignis, pariter & illis negotiantibus hominibus contingit. Aut enim egrediatur (inquit) ignis e Rhamno, & deuoret ligna nemoris, aut e lignis egrediatur, & deuoret Rhamnum; pactis enim inutilibus initis, neceſſe eſt ſubſequi periculum, his quidem ſubijcientibus ſeipſos imperito Magiſtro, iſtis verò, qui ſuſceperunt Imperium ob diſcentium ſegnitiem. Etenim magiſtri imperitia peſſundat Diſcipulos, & Diſcipulorum negligentia periculum affert magiſtro, maximè

E autem,

autem, quando, propter ipſius ignorantiam, illi pigri fiunt. nec enim latere debet magiſtrum quidquam eorum, quæ pertinent ad ſubditorum directionem; neque diſcentes debent aliquod deſpicere mandatum magiſtri. Hiſce namque non obaudire, & iſti conniuere peccantibus, graue atque periculoſum eſt æquè; neque verò arbitrentur hanc rem eſſe prætextum remiſſionis, & delectationis; Omnium enim laborioſius eſt opus præeſſe animabus; qui enim præſunt Animalibus, & iumentis, habent greges nihil ſibi obſiſtētes, & ideò ſæpius, quæ ad præfecturam ſpectant, facilè ipſis procedunt. Illis autem qui præpoſiti ſunt hominibus, varietas morum, & aſtutia ratiocinationis reddit præfecturam difficiliorem, & oportet eos, qui ad eam accedunt, vngi quaſi ad palæſtræ certamen, proquè laboribus, vti & omnium defectus perferant cum multa patientia, &, quæ occulta ſunt ob ignorantiam, ipſos edoceant longanimiter.

ἐπὶ τῇ αὐτοῦ ἀνεπιστημοσύνῃ ῥαθυμοῦσιν ἐκεῖνοι, οὔτε γὰρ τὸν διδάσκαλον λανθάνειν τι ὀφείλει τῶν εἰς διόρθωσιν τῶν ὑποτεταγμένων ἡκόντων, οὔτε τοὺς μαθητευομένους παρορᾷν τι τῶν τοῦ διδασκάλου παραγγελμάτων ὀφείλουσι. καὶ γὰρ τούτοις τὸ παρακούειν, κἀκείνῳ τὸ παριδεῖν τοὺς πλημμελοῦντας, βαρὺ γὰρ καὶ ἐπικίνδυνον. μὴ δὲ νομιζέτωσαν ἀνέσεως, καὶ ἀπολαύσεως εἶναι πρόφασιν τὸ πρᾶγμα. πάντων γὰρ ἐστὶν ἐπιπονώτερον τὸ ἄρχειν ψυχῶν. οἱ μὲν γὰρ ἀλόγων ἄρχοντες καὶ κτηνῶν, πρὸς οὐδὲν ἀντιπαρατασσομένας ἔχουσι τὰς ἀγέλας, καὶ διὰ τοῦτο αὐτοῖς τὰ τῆς ἀρχῆς εὐοδοῦνται πολλάκις. τοῖς δὲ ἀνδρῶν ἐπιστατοῦσιν ἡ ποικιλία τῶν ἠθῶν, καὶ τὸ ἐκ τοῦ λογισμοῦ πανοῦργον, δυσχερεστέραν ποιεῖ τὴν ἐπιστασίαν, καὶ δεῖ τοὺς ἐπὶ τοῦτο ἐρχομένους ἀλείψασθαι ὡς πρὸς ἀγῶνα ἐπὶ πόνων. ἵνα καὶ τὰ πάντων ἐλαττώματα, μετὰ πολλῆς φέρωσι τῆς ἀνεξικακίας. καὶ τὰ λανθάνοντα διὰ τὴν ἀγνωσίαν αὐτῶν διδάσκωσι μακροθύμως.

CAPVT XXVIII.

ΚΕΦΑΛ. κη.

Exod. cap. 25. EAm ob rem Luterem, ſeu labrum ad lauandum portant in templo boues, candelabrum autem totum ſolidum, & tornatum præparatum fuit; ſignificante quidem candelabro; quod is qui præpoſitus eſt, vt alios illuminet, debet omni ex parte ſolidus eſſe, nihilque vacuum, aut inane habere. ſed omnia vndequaq; excedentia quaſi torno rotundare, quæcumque non vſui forent, ad exemplum regiminis inculpati intuentibus. Bobus verò, qui ſuberant vaſi, demonſtrantibus illum, qui opus iſtud ſuſcipit, nihil recuſare rerum illarum, quæ

Διὰ τοῦτο γὰρ τὸν μὲν νιπτῆρα βόες ἐν τῷ ναῷ βαστάζουσιν. ἡ δὲ λυχνία ὅλη στερεὰ καὶ τορνευτὴ κατεσκευάσθη. δηλούσης τῆς μὲν λυχνίας, ὅτι ὁ φωτίζειν ἑτέρους προτιθέμενος ὀφείλει δι' ὅλων ἐστερεῶσθαι τῶν μερῶν, καὶ μηδὲν κοῦφον ἔχειν ἢ ὑπόκενον, καὶ πάντα περιτετορνεῦσθαι τὰ περιττά, ὅσα μὴ χρησιμεύειν εἰς παράδειγμα πολιτείας ἀνεπιλήπτου τοῖς ὁρῶσιν ἔμελλε. τῶν δὲ ὑπὸ τῷ νιπτῆρι βοῶν μηδὲν παραιτεῖσθαι τῶν ἐπερχομένων τὸν ὑπελθόντα τὸ τοιοῦτον ἔργον. ἀλλὰ καὶ τὰ λύθρα, καὶ τὸν ῥύπον φέ-

ρειν τῶν ἐλαττόνων, ἕως ὅτι ἀκίνδυνον τὸ φέρειν ἐστί. πάντως γὰρ εἰ μέλλοι καθαρῶς ἐργάζεσθαι τὰς πράξεις τῶν προσιόντων, ἀνάγκη τινὸς, καὶ αὐτὸν παραπολαῦσαι ῥύπου. ἐπεὶ καὶ ὁ νιπτὴρ καθαίρων τὰς τοῦ νιπτομένου χεῖρας, αὐτὸς δέχεται τὸν ἐκείνου ῥύπον. ὁ γὰρ περὶ παθῶν διαλεγόμενος, καὶ ἑτέρους τῶν τοιούτων ἀποσμήχοντα κηλίδων, οὐκ ἔστιν ἀμόλυντον παρελθεῖν. αὐτὴ γὰρ ἡ μνήμη ῥυποῦν τὴν διάνοιαν τοῦ λέγοντος πέφυκε. κἂν γὰρ μὴ γλαφυρωτέραις βαφαῖς τῶν αἰσχρῶν ἐνσφραγίσηται τοὺς τύπους, ὅμως τὴν ἐπιπολὴν μιαίνει τοῦ νοῦς, ταῖς τοῦ λόγου διεξόδοις χρώμασιν οὐ καθαροῖς ἐπιθολοῦσα. δεῖ δὲ καὶ ἐπιστήμονα τὸν ἡγούμενον οὕτως εἶναι, ὡς μηδὲν ἀγνοεῖν τῶν τοῦ ἐχθροῦ ἐνθυμημάτων. ἵνα τὰ λανθάνοντα τοῖς ἐγκεχειρισμένοις αὐτῷ τῶν παλαισμάτων ἀπογυμνῶν ἐπιδεικνύῃ. καὶ τὰς ἐπιβουλὰς προλέγων τοῦ ἀντιπάλου ἀπονητὶ τὴν νίκην αὐτοῖς βραβεύσῃ, καὶ στεφανίτας ἐξαγάγῃ τοῦ ἀγῶνος αὐτούς. σπάνιος δὲ ὁ τοιοῦτος καὶ οὐ ῥᾳδίως εὑρισκόμενος.

quæ ſuperueniunt, ſed onera, & ſordes ferre inferiorum, quoaduſque ſine periculo ferri poſſunt. Si enim omnino puras actiones accedentium efficere oportet, neceſſe aliquam & ipſum ſordem ſuſcipere, quandoquidem, & labrum manus expurgans loti, accipit & ipſum illius inquinamentum. Eum namquè, qui de affectibus vitioſis diſſerit, & alios huiuſcemodi maculis detergit, non licet impollutum pertranſire. Ipſa enim ſordium memoria cogitationem dicentis afficit, Quamuis enim non imprimit formas rerum turpium tincturis magis concauis, inficit vt plurimum tamen mentem ſermonis digreſſionibus, eam obfuſcans coloribus impuris. Oportet verò & doctum eum, qui præeſt eſſe, ita vt ignoret nulla hoſtium ſenſa, quò artificia occulta denudans his, qui commiſſi ſunt ipſi, patefaciat, & inſidias aduerſarij prædicens, victoria ſine labore ipſos præmietur, & coronatos educat e certamine; rarus verò huiuſcemodi, neque facilè reperitur.

ΚΕΦΑΛΑΙΟΝ κθ.

Ὁ μὲν γὰρ μέγας Παῦλος τοῦτο αὐτὸ μαρτυρεῖ λέγων. οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. ὁ δὲ θαυμαστὸς Ἰὼβ ἀπορῶν περὶ τῶν τοιούτων, φησί. τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ, εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι, πύλας δὲ προσώπου αὐτοῦ τίς ἀνοίξει. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. οὐκ ἔστι φησὶ τὸ φαινόμενον πρόσωπον ἐπ᾽ αὐτοῦ, πολλοῖς γὰρ ἐνδύμασι καλύπτει τὴν πονηρίαν. δελεάζων μὲν τῷ φαινομένῳ ἀπατηλῶς, ἐνεδρευτικῶς δὲ τῷ κεκρυμμένῳ τεκταίνων τὸν ὄλεθρον, καὶ ἵνα μὴ ἑαυτὸν συναριθμήσῃ τοῖς ἀγνοοῦσι τὰ κατ᾽ αὐτὸν, λέγει τὰ τεκμήρια αὐτοῦ. συ-

CAPVT XXIX.

MAgnus quippe Paulus hoc ipſum teſtatur dicens. nec enim eius cogitationes ignoramus. mirabilis verò Iob de iſtis dubitans. ait. Quis reuelabit faciem veſtimenti eius? & in plicam thoracis eius quis ingredietur? ianua verò vultus eius quis reſerabit? quod quidem dicit huiuſcemodi eſt; non eſt (ait) manifeſta facies in ipſo, multis enim operit indumentis malitiam, fraudulenter dolum faciens eo, quod apparet; inſidioſè autem, eo quod latet fa- *Iob.cap. 34.*

bricans perniciem, & ne ſeipſum adnumeret ignorantibus illa, quæ circum ipſum ſunt, tradit indicia eius, probè ſciens omne, quod circum ipſum eſt, monſtruoſum eſſe. Oculi eius (inquiens) ſpecies Luciferi, interiora eius aſpides ænei. Et hæc ait arguens ipſius malignitatem, vti formam ſibi affingendo Luciferi, attrahat ad ſe aſpicientes decipiendo; per interiores verò aſpides, mortem appropinquantibus inferendo. Et prouerbium rei periculum obſcurè deſignat, dicens. *Eccl. c. 10.* qui ſcindit ligna, periclitabitur in illis, ſi excidat ferramentum, qui enim ſecat res ratione; & ea quæ cenſentur vnita eſſe, ſeparans a coniunctione, extranea omninò inuicem oſtendit, malens ipſa, quæ verè bona ſunt, præ his, quæ putantur huiuſmodi eſſe, niſi vndique rationem ſecurè obfirmatam habent, periclitatur apud audientes, cum ratio excidens a ſecuritate, ſcandali præbeat impulſum his, qui addiſcunt;

φαὶς εἰδῶς πᾶσαν τὴν περὶ αὐτὸν τερατείαν, οἱ ὀφθαλμοὶ αὐτοῦ, λέγων, εἶδος ἑωσφόρου. τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χαλκαῖ. καὶ ταῦτα φησὶ ἐλέγχων τὴν ἐκείνου κακουργίαν· ὡς διὰ μὲν τοῦ ἐπιμορφάζεσθαι τὴν τοῦ ἑωσφόρου ἰδέαν ἐπισπᾶσθαι πρὸς ἑαυτὸν τοὺς ὁρῶντας μηχανώμενον. διὰ δὲ τῶν ἐντὸς ἀσπίδων, θάνατον τοῖς προσπελάζουσι πραγματευόμενον; καὶ ἡ παροιμία δὲ τὸ ἐπικίνδυνον τοῦ πράγματος αἰνίττεται λέγουσα· σχίζων ξύλα κινδυνεύσει ἐν αὐτοῖς, ἐὰν ἐκπέσῃ τὸ σιδήριον. ὁ γὰρ διαιρῶν τῷ λόγῳ τὰ πράγματα, καὶ τὰ νομιζόμενα ἡνῶσθαι χωρίζων τῆς συμφυΐας, καὶ ξένα πάντη ἀλλήλων δεικνύναι βουλόμενος τὰ ὄντως ἀγαθὰ τῶν νομιζομένων τοιούτων, ἐὰν μὴ πάντοθεν ἔχῃ ἠσφαλισμένον τὸν λόγον, κινδυνεύει ἐν τοῖς ἀκούουσι τοῦ ἐκπεσόντος τῆς ἀσφαλίας λόγου σκανδάλου ἀφορμὴν τοῖς μαθητευομένοις παρέχοντος.

CAPVT XXX.

SIc quidam ex his, qui ventitabant ad Eliſſæum, ſcindens ligna ad Iordanem, *Lib. 4. Reg. c. 6* & excidente in fluuium ſecure ferrea periculum ſuſpiciens, ad magiſtrum clamabat dicens! Hei mihi Domine, & hæc mutuò accepta erat. Id verò patiuntur, qui docere tentantes ex his, quæ malè didicerunt, & ad finem peruenire nequeuntes, quia non loquuntur ex proprio habitu, quando namque, aliquid contrarium propoſito differentes intereà deprehenduntur, tunc confitentur ignorantiã periclitantes ſuper ſermone, quem acceperę mutuò. Ideò & magnus Eliſſæus lignum iniiciens in profundum innatare fecit ſecurim abiectam a Diſcipulo, inque

ΚΕΦΑΛΑΙΟΝ λʹ:

ΟΥτω τις τῶν τῷ Ἐλισσαίῳ φοιτησάντων κόπτων ξύλον ἐν τῷ Ἰορδάνῃ, καὶ τοῦ σιδηρίου εἰς τὸν ποταμὸν ἐκπεσόντος, τὸν κίνδυνον ὑφορώμενος, πρὸς τὸν διδάσκαλον ἐβόα λέγων· οἴμοι Κύριε, καὶ αὐτὸ κεχρημένον. τοῦτο δὲ πάσχουσιν οἱ ἐκ παρακουσμάτων διδάσκειν ἐπιχειροῦντες, καὶ πρὸς τὸ τέλος ἐλθεῖν ἀδυνατοῦντες, διὰ τὸ μὴ ἀπὸ οἰκείας ἕξεως λέγειν, ὅταν γὰρ ἐν τῷ μεταξὺ ἐναντιόν τι τῷ προκειμένῳ φωραθῶσι λέγοντες, τότε τὴν ἄγνοιαν ὁμολογοῦσιν ἐπὶ τῷ κεχρημένῳ λόγῳ κινδυνεύοντες. διὸ καὶ ὁ μέγας Ἐλισσαῖος ξύλον εἰς τὸν βυθὸν ἐμβαλὼν, ἐπιπολάσαι παρεσκεύασε τὸ σιδήριον. τὸ ἀπορρι-

φὲν παρὰ τοῦ μαθητοῦ, καὶ ἐν βυθῷ κεκαλύφθαι νομισθὲν νόημα σαφηνίσας καὶ ὑπ' ὄψιν ἀγαγὼν τῶν ἀκουόντων, ἰδοὺ ὁ Ἰορδάνης ἐστὶ τῆς μετανοίας σημαίνει λόγον. ἐκεῖ γὰρ ἐπετελεῖτο παρὰ τοῦ Ἰωάννου τὸ βάπτισμα τῆς μετανοίας. ὁ δὲ περὶ μετανοίας μὴ ἠκριβωμένως εἰρηκὼς, ἀλλὰ διὰ τοῦ γυμνῶσαι τὴν κεκρυμμένην χρηστότητα εἰς καταφρόνησιν ἐλθεῖν παρασκευάσας τοὺς ἀκροατὰς ἐν τῷ Ἰορδάνῃ κατέβαλε τὸ σιδήριον. εὔδηλον καὶ τὸ φανὲν ξύλον ἀναφέρειν ἐκ τοῦ βυθοῦ τὸ σιδήριον, καὶ ἐπιπολάζειν ἐμποιεῖν. πρὸ μὲν γὰρ τοῦ σταυροῦ ἐνεκρύπτετο ὁ περὶ μετανοίας λόγος. διὸ καὶ ὁ περὶ αὐτῆς εἰπεῖν τι βουληθεὶς ἠλέγχθη προχείρως τολμήσας. μετὰ δὲ τὸν σταυρὸν φανερὸς πᾶσι γέγονεν ἐν τῷ οἰκείῳ καιρῷ διὰ τοῦ ξύλου ἀναδειχθείς.

que profundo deliteſcere exiſtimatam cogitationem declarans, & ſub aſpectum audientium deducens, ecce Iordanes pœnitentiæ ſermonem ſignificat, ibi enim perficiebatur a Ioanne Baptiſma pœnitentiæ, Qui autem non accuratè de pœnitentia verba fecit, ſed denudando benignitatem, adduxit auditores, vt ad eius deſpectum procedant, In Iordane deiecit ſecurem. Euidens certè eſt quod oportet vt apparens lignum referat e profundo ſecurim, & innatare faciat. Antè Crucem etenim ſermo pœnitẽtiæ latebat. ideò de ipſa, qui voluit loqui, reprehenſus fuit, in promptu nimium auſus; poſt Crucem verò is omnibus patefactus fuit, ſuo tempore per lignum repræſentatus.

ΚΕΦΑΛ. λα'.

ΤΑῦτα δὲ φημὶ οὐκ ἀποτρέπων ἡγεῖσθαί τινων οὐδὲ κωλύων ὁδηγεῖν τινας τῶν νέων ἐπὶ τὴν θεοσέβειαν, ἀλλὰ παρακαλῶν πρότερον ἀναλαβεῖν ἕξιν τῆς ἀρετῆς ἀναλογοῦσαν τῷ μεγέθει τοῦ πράγματος. καὶ μὴ προχείρως ἑαυτοὺς ἐπιδιδόναι τῷ σκοπῷ. τὰ μὲν ἡδέα λογιζομένους, καὶ τὴν ἐκ τῶν μαθητῶν θεραπείαν, καὶ τὴν παρὰ τῶν ἔξωθεν εὐφημίαν. Τὸν δὲ ἀκολουθοῦντα κίνδυνον παραλογιζομένους. καὶ μὴ πρὸ τῆς εἰρηνικῆς καταστάσεως τὰ πολεμικὰ ὄργανα σκεύη ποιεῖν γεωργικά. μετὰ γὰρ τὸ πάντα ὑποτάξαι τὰ πάθη, καὶ μηδαμόθεν ἔτι πολεμίους ὀχλεῖν, μηδὲ εἰς ἀνάγκην χρήσεως ἀμυντηρίων ἕλκεσθαι ὀργάνων, καλὸν τὸ γεωργεῖν ἑτέρους. ἕως δ' ὅτε τυραννεῖ τὰ πάθη, καὶ συνέστηκεν ὁ πρὸς τὸ φρόνημα τῆς σαρκὸς πό-

CAPVT XXXI.

HAec verò dico non auocans a regendo aliquos, neque prohibens, quin quoſdam iuniorum deducant ad Diuinum cultum, ſed adhortans primùm, vt recipiant virtutis habitum congruentem amplitudini rei, vtque non ſubitò ſeipſos fini applicent, arguentes ea dulcia fore, nempe famulatum diſcipulorum, & exterorum applauſum; ſubſequens autem periculum falſa ratiocinatione prætereuntes; & ne antè pacem conſtitutam bellica inſtrumenta in agricolarum apparatus vertant. Etenim poſt omnes paſſiones ſubditas, & poſteaquam hoſtes etiam nullatenus perturbant, neque arma ad defenſionem apta ſunt amplius vſui neceſſaria, pulchrum eſt alios excolere. donec verò paſſiones Tyrannidem exercent & viget

bellum

bellum conſtitutum aduerſus carnis prudentiam, abſtinere manus ab armis nequaquam oportet, ſed ea inceſsāter præ manibus habere, vt ne inſidiatores tempore inſultus remiſſionem noſtram captantes incruentè nos ſubijciant. Sicut namq; ad eos, qui præclarè pro virtute decertant,& præ multa humilitate nequaquam ſeſe viciſſe exiſtimant, ait exhortando ſermo. Concidite gladios veſtros in vo-
Eſaiæ. 2. meres, & haſtas veſtras in falces. admonens ipſos ne victis hoſtibus fruſtra deinceps otientur, verum ad plurium vtilitatem transferant animæ robur a militandi habitu ad illos excolendos, quicumq; in operibus malitiæ adhuc inſaniunt; ita illis, qui antè huiuſmodi ſtatū ſiue per inexperientiā, ſiue per væcordiā aggrediuntur ſuprà vires ſuas iſta, contrarium conſulit, dicens. Concidite vomeres veſtros in enſes, & falces veſtras in Loricas.

λεμος, ἀνέχειν τὰς χεῖρας τῶν ὅπλων οὐδ᾽, ἀλλ᾽ ἐπ᾽ αὐτοῖς ἀδιαλείπτως ἔχειν τὰς χεῖρας. ἵνα μὴ καιρὸν ἐπιθέσεως οἱ ἐπίβουλοι τὴν ἡμετέραν ἄνεσιν λαβόντες, ἀναιμωτὶ χειρώσωνται ἡμῶν, ὡς γὰρ τοῖς καλῶς ὑπὲρ τῆς ἀρετῆς ἀγωνισαμένοις, καὶ διὰ πολλὴν ταπεινοφροσύνην οὐδέπω νενικηκέναι νομίζουσι φησὶ προτρεπτικῶς ὁ λόγος· συγκόψατε τὰς μαχαίρας ὑμῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας ὑμῶν εἰς δρέπανα. παραινῶν αὐτοῖς μὴ τοῖς ἡττημένοις ἐχθροῖς μάτην λοιπὸν προσβαλεῖν ἀλλ᾽ ἐπ᾽ ὠφελείᾳ τῶν πολλῶν ἀπὸ τῆς πολεμικῆς ἕξεως μετασκευάσαι τὰς δυνάμεις τῆς ψυχῆς ἐπὶ τὸ γεωργεῖν ἐκείνους, ὅσοι ἔτι ἐν τοῖς τῆς κακίας ὑλομανοῦσιν ἔργοις; ὑπὸ τοῖς πρὸ τῆς τοιαύτης καταστάσεως εἴτε δι᾽ ἀπειρίαν, εἴτε δι᾽ ἀπόνοιαν ἐγχειρίσασιν ὑπὲρ τὴν ἑαυτῶν δύναμιν συμβουλεύει τὸ ἐναντίον λέγων. συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας, καὶ τὰ δρέπανα ὑμῶν εἰς σιρομάστας.

CAPVT XXXII.

QVid enim prodeſt nobis agricultura bello per terram graſſante, & voluptatem eorum, qui agros excoluerunt, prohibente, atque potius hoſtibus quam his, qui laborarunt, copiam fructuum præbente? Idcircò Iſraelitis adhuc in ſolitudine aduerſus varias gentes pugnantibus non committebat curam colendorum agrorum, vt ne impedirentur ab exercitationibus bellicis; poſteaquam verò eorum in manus, hoſtes venerunt, illa vti conſulit dicens. Quando ingreſſi fueritis terram promiſſionis, plantate in ipſa omne lignum frugiferum; ante-

ΚΕΦΑΛΑΙΟΝ λβʹ.

ΤΙ γὰρ καὶ ὄφελος ἡμῖν τῆς γεωργίας πολέμου τὴν γῆν κατέχοντος, καὶ τὴν ἀπόλαυσιν τῶν γεωργηθέντων κωλύοντος. καὶ τοῖς πολεμίοις μᾶλλον, ἢ τοῖς πονήσασι τὴν ἀφθονίαν παρέχοντος. διὰ τοῦτο τάχα καὶ τοῖς ἔτι κατὰ τὴν ἔρημον πρὸς διάφορα μαχομένοις ἔθνη Ἰσραηλίταις, οὐκ ἐπιτρέπει τὴν τῆς γεωργίας ἐπιμέλειαν. ἵνα μὴ ταῖς πολεμικαῖς ἐμποδίσῃ γυμνασίαις. μετὰ δὲ τὴν τῶν πολεμίων ἐκχειρίαν, ταύτῃ χρήσασθαι συμβουλεύει λέγων. ὅταν εἰσέλθετε εἰς τὴν γῆν τῆς ἐπαγγελίας, φυτεύσατε ἐν αὐτῇ πᾶν ξύλον κάρπιμον, πρὶν δὲ εἰσέλθητε, οὐ φυτεύσετε. προσυπακούεται γὰρ ἐκείνῳ τὸ, καὶ εἰκότως. πρὸ γὰρ τῆς τελειότητος τὰ φυτευόμενα οὐ

quam

τῶν βέβαια μάλιστα περιφερομένων ἔτι ἐν ἀστάτῳ τῷ ἤθει τῶν φυτεύειν ἐθελόντων. τάξις γὰρ, καὶ ἀκολουθία εἴπερ ἐν ἄλλῳ τινὶ, καὶ ἐν τοῖς τῆς θεοσεβείας ἔργοις δεῖ. καὶ δεῖ ἀπὸ τῶν ἀρχῶν προσάγεσθαι τῇ πολιτείᾳ. οἱ γὰρ παριδόντες τὰ τῆς εἰσαγωγῆς, καὶ τοῖς λιχνοτέροις δελεασθέντες, καὶ κατ' ἀνάγκην στοιχεῖν τῇ τῆς τάξεως ἀκολουθίᾳ πείθονται· καθάπερ Ἰακὼβ τῷ κάλλει τῆς Ῥαχὴλ ἑλκυσθεὶς ὑπερεῖδε τὸ ἀσθενὲς τῶν τῆς Λείας ὀφθαλμῶν. οὐ μὴν ἔφυγε τὸν ἐπὶ τῇ κτήσει τῆς τοιαύτης ἀρετῆς πόνον, ἀνεπλήρωσε γὰρ καὶ τὰ ταύτης ἑβδομα. δεῖ οὖν τὸν ἐννόμως τῇ πολιτείᾳ στοιχεῖν ἐθέλοντα, μὴ ἀπὸ τοῦ τέλους ἐπὶ τὰς ἀρχὰς κατάγεσθαι, ἀλλ' ἀπὸ τῆς ἀρχῆς προκόπτειν ἐπὶ τὴν τελειότητα.

quam verò ingrediamini, non plantabitis, ſuccedit enim hoc illi & aptè; quæ namque plantantur non ſunt antè perfectionem firma, maximè cum hi, qui plantare volunt, inſtabili etiamnum in more circumferantur. Ordo enim & ſeries, ſiquidem in alia quapiam re, in his & quæ pertinent ad Dei cultum operibus, ſeruanda eſt, & oportet a principijs ad regimen produci, nam qui deſpiciunt ea, quæ ſpectant ad introductionem, & delicatioribus rebus decipiuntur, neceſſariò perſuadētur, vt deinde procedāt ordinis ſerie, & quemadmodū Iacob illectus Rachel pulchritudine, Liæ oculorum infirmitatem deſpexit, non tamen effugit. poſt poſſeſſionem *Geneſ. c. 29.* illius laborem virtutis; adimpleuit enim rursùs & huius ſeptennium; oportet igitur iuſtè progredi volentem in regimine, non a fine ad principia deduci, ſed ab initio protendere ad perfectionem.

ΚΕΦΑΛ. λγʹ.

ΟΥτω γὰρ αὐτὸς ἐπιτεύξεται τοῦ σπουδαζομένου, καὶ τοὺς ὑποτεταγμένους ἀμέμπτως ὁδηγήσει πρὸς τὸ τέλος τῆς ἀρετῆς, ἀλλ' οἱ πολλοὶ μηδένα πόνον προσενέγκαντες. μὴ δὲ μικρὸν, ἢ μέγα κατορθώσαντες ἔργον θεοσεβείας, ὡς ἔτυχεν ἐπιτρέχουσι τῷ ὀνόματι, μανίαν δεινὴν ἐπιδεικνύμενοι, μὴ κίνδυνον τοῦτο ἡγούμενοι. καὶ οὐ μόνον οὐ παραιτοῦνται προτρεπομένων αὐτοὺς ἰέναι ἐπὶ τὸ ἔργον. ἀλλὰ καὶ περιερχόμενοι τοὺς στενωποὺς ἄκοντας ἕλκουσι τοὺς περιτυγχάνοντας, πᾶσαν ἐπαγγελλόμενοι θεραπείαν καθάπερ οἱ πρὸς μισθωτοὺς συνθήκας περὶ τροφῆς, καὶ ἐνδυμάτων τιθέμενοι. ἀνάγκη δὲ τοὺς οὕτως ἐρῶντας τοῦ πράγματος, καὶ βουλομένους μετὰ πλήθους ἐν ταῖς προόδοις φαίνεσθαι καὶ χει-

CAPVT XXXIII.

SIc enim & ipſe, quod ſtudet, componet, & ſine querela deducet ſubditos ad virtutis apicem. Sed plerique cum nullum pertulerint laborem neque paruum, magnumuè direxerint opus Diuini cultus, quaſi forte incurrunt in id nomen, grauem amentiam oſtentantes, nec quod ſubeſt periculum animaduertentes, neque ſolummodo non auerſantur quempiam eorum, qui concitat ipſos ad opus, ſed & circumeuntes angiportus, inuitos trahunt circum obuios omnia obſequia pollicentes, quemadmodum hi, qui mercenarijs apponunt pacta circà alimenta & veſtes. neceſſum verò eſt ita negotij captos amore, & volentes cum multitudine in proceſſibus ſpectari, & manuducētibus acquieſcere, omnemque obſer-

obſeruare ſcenam præſidum, vti fabulæ ſimulationem referentes, ne deſeranrur ab his, qui hoc ipſis exhibent obſequium, multa libidinibus ipſorum gratioſè dilargiri, eorumque cupiditatibus permittere, inſtar aurigæ demittentis habenas, & ipſis curſum committentis ad arbitrium liberum, ita hinc ad prærupra deferri, & ad barathra, neceſſum eſt ipſos, & in omne, quod ad pedes eſt obuium, procidere, cum nemo ſit, qui amoueat, & inordinatos impetus præpediat.

ραγωγοῖς ἐπαναπαύεσθαι, καὶ πᾶσαν τὴν σκηνὴν σώζειν τῶν καθηγουμένων, ὡς δράματος ὑπόκρισιν ὑπελθόντας ὑπὲρ τοῦ μὴ καταλειφθῆναι παρὰ τῶν ταύτην αὐτοῖς ἐκπληρούντων τὴν ὑπουργίαν. χαρίζεσθαι τὰ πολλὰ ταῖς ἡδοναῖς αὐτῶν, καὶ ταῖς ἐπιθυμίαις ἐᾶν, καθάπερ ἡνιόχου ἀφέντος τὰς ἡνίας, καὶ αὐτεξούσιον αὐτοῖς τὸν δρόμον ἐπιτρέψαντος, ὡς ἐκ τούτου κατὰ κρημνῶν φέρεσθαι, καὶ κατὰ βαράθρων. καὶ παντὶ προσπταίειν τῷ ἐν ποσὶν, οὐδενὸς ὄντος τοῦ ἀνακόπτοντος, καὶ ταῖς ἀτάκτοις ὁρμαῖς ἐμποδίζοντος.

CAPVT XXXIV.

ΚΕΦΑΛ. λδ'.

VErùm audiant iſti beatum Iezechielem commiſerantem eos; qui aliorum voluptatibus ſuggerunt materiam, & quia circumferuntur vniuſcuiuſque voluntatibus, væ ſibi ipſis theſaurizant. Ait enim, væ ſubſuentibus puluillos ſub omni cubiro manus, & facientibus ceruicalia ſub omni capite ætatis cuiuſcumque ad perdendas animas propter pugillum hordei,
Ezechiel cap. 13. vel pro fruſto panis. Sic enim & hi commoda corporis ſibi metipſis e contributis donis colligentes, & inſtragulis conſutis e centonibus requieſcentes, eos, qui nudo capite orare, & ſacta ſcripta interpretari debent, per ceruicalia pudore ſuffundunt, virilē ſtatum ſuppoſitis ſtragulis effæminantes, & animabus, quas perire non decebat, exitium aſſerentes. Et magis quidem oportebat obedientes Chriſto verè magiſtro recuſare, quoad poterant, aliorum gubernationem; ad ſuos enim inquit Diſcipulos. Vos
Matth. cap. 23. quidem ne vocemini Rabbi. Si verò Petrum, & Ioannem, & vniuerſum

ſum

Ἀλλ' ἀκουέτωσαν οἱ τοιοῦτοι τοῦ μακαρίου Ἰεζεκιὴλ ταλανίζοντος τοὺς ταῖς ἑτέρων ἡδοναῖς ὕλας ἐκπορίζοντας, καὶ διὰ τὸ συμπεριφέρεσθαι τοῖς ἑκάστου θελήμασιν. ἑαυτοῖς τὸ οὐαὶ θησαυρίζοντας. φησὶ γὰρ, οὐαὶ ταῖς συρραπτούσαις προσκεφάλαια ὑπὸ πάντα ἀγκῶνα χειρός. καὶ ποιούσαις ἐπιβόλαια ἐπὶ πᾶσαν κεφαλὴν πάσης ἡλικίας τοῦ ἀπολέσαι ψυχὰς, ἕνεκα δρακὸς κριθῶν. καὶ ἕνεκα κλάσματος ἄρτου, οὕτως δὴ καὶ οὗτοι τὰς χρείας ἑαυτοῖς τοῦ σώματος ἐξ ἐράνου συλλέγοντες, καὶ ταῖς συνερραμμέναις ὡς ἐκ ῥακῶν παρασκευαῖς ἐπαναπαύοντες τοὺς γυμνῇ τῇ κεφαλῇ προσεύχεσθαι, ἢ καὶ προφητεύειν ὀφείλοντας διὰ τῶν ἐπιβολαίων αἰσχύνουσι, τὴν ἀνδρείαν κατάστασιν ταῖς τῶν σκεπασμάτων ἐπιβολαῖς ἐκθηλύνοντες, καὶ ψυχὰς ἀπολλοῦντες, ἃς οὐκ ἔδει ἀποθανεῖν. καὶ μάλιστα μὲν ἔδει πειθομένους τῷ ὄντως διδασκάλῳ Χριστῷ παραιτήσασθαι, ὅση δύναμις, τὴν ἑτέρων κηδεμονίαν, φησὶ γὰρ πρὸς τοὺς ἑαυτοῦ μαθητάς. ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί. εἰ δὲ καὶ Πέτρῳ, καὶ Ἰωάννῃ,

καὶ παντὶ τῷ χορῷ τῶν Ἀποστόλων παραινεῖ μακρὰν ἑστάναι τοῦ τοιούτου ἔργου, καὶ μικροὺς ἡγεῖσθαι ἑαυτοὺς τῆς τοιαύτης ἀξίας, τίς ἔσται λοιπὸν, ὁ ὑπὲρ ἐκείνους ἑαυτὸν φαντάζων καὶ ἐγκρίνων ἀξιώματι οὗπερ ἐκωλύθησαν ἐκεῖνοι, ἢ τάχα λέγων μὴ κληθῆναι Ῥαββὶ, οὐ τὸ εἶναι, ἀλλὰ τὸ καλεῖσθαι κωλύει.

ſum Apoſtolorum chorum adhortatus eſt procul abſiſtere ab iſto opere, ſeque ipſos exiſtimare ad hanc dignitatem exiguos. quis erit deinceps, qui ſuper illos ſeſe circumſpiciat, ſibique adiudicet dignitatem, qua illi prohibiti ſunt, aut fortè qui dicit non vocari Rabbi, non eſſe; ſed vocari vetuit?

ΚΕΦΑΛΑΙΟΝ λέ.

Εἰ δέ τις ἀπροαιρέτως, ἐκ τοῦ ἕνα, ἢ δεύτερον καταδέξασθαι, βιασθείη καὶ πλειόνων ἡγεῖσθαι, πρῶτον μὲν ἀκριβῶς ἑαυτὸν δοκιμαζέτω, εἰ οἷός τέ ἐστιν ἔργῳ μᾶλλον, ἢ λόγῳ διδάσκειν τὰ πρακτέα. εἰκόνα ἀρετῆς τὸν ἑαυτοῦ βίον προτιθεὶς τοῖς μανθάνουσιν, ὡς μὴ τοὺς μεταγράφοντας ἐκεῖθεν ἀμορφίᾳ τοῦ σφάλματος ἀμβλῦναι τὸ κάλλος τῆς ἀρετῆς. ἔπειτα γινωσκέτω, ὅτι οὐκ ἔλαττον ὑπὲρ τῶν ἀρχομένων ἢ ὑπὲρ ἑαυτοῦ ἀγωνιᾷν ὀφείλει. ὡς γὰρ καὶ ὑπὲρ αὐτοῦ, οὕτω καὶ ὑπὲρ ἐκείνων ὑφέξει λόγον ἅπαξ καταδεξάμενος τὴν σωτηρίαν αὐτῶν, καὶ γὰρ τοῖς ἁγίοις σπουδὴ γέγονε μὴ ἐλαττουμένους τῆς ἑαυτῶν ἀρετῆς καταλιπεῖν τοὺς ἑαυτῶν μαθητάς. ἀλλ' ἐκ τῆς προτέρας καταστάσεως μεταρυθμίσαι εἰς βελτίονα κατάστασιν. οὕτως ὁ μὲν Ἀπόστολος Παῦλος τὸν Ὀνήσιμον ἐκ δραπέτου μάρτυρα πεποίηκεν. ὁ Ἡλίας δὲ ἐξ ἀροτῆρος Προφήτην τὸν Ἐλισσαῖον κατεσκεύασεν. ὁ δὲ Μωϋσῆς Ἰησοῦν πάντων ἐπὶ τὸ βέλτιον κατεκόσμησεν, ὁ δὲ Ἡλεὶ τὸν Σαμουὴλ καὶ μείζονα ἑαυτοῦ ἔδειξεν. εἰ γὰρ καὶ ἡ τούτων αὐτῶν σπουδὴ συνήργησεν αὐτοῖς πρὸς τὴν κτῆσιν τῆς ἀρετῆς. ἀλλὰ καὶ τὸ πᾶν τῆς προκοπῆς αἴτιον αὐτοῖς γεγένηται τὸ τυχεῖν διδασκάλων τῶν καλῶν δυνηθέντων τὸν τυφόμενον σπιν-

CAPVT XXXV.

SI verò quis præter volũtatem, quia vnum, aut alterum ſuſcepit regendum, cogatur & pluribus præeſſe; primum equidem ſeipſum diligenter probet, ſi talis eſt, qui magis opere quam verbo doceat, quæ ſunt facienda; vitam propriam virtutis omnis effigiem proponens diſcentibus, vt ne ſententiam mutantes ex inde deformitate erroris pulchritudinem virtutis contaminent; Norit poſteà quod non minus pro his, quibus imperat, quam pro ſeipſo decertare debet. Vt enim & pro ſemetipſo, ſic & pro illis reddet rationem, cum ſemel ſuſceperit eorum ſalutem procurandam. Etenim ſanctis ſtudium fuit non derelinquere ſua virtute minus inſtructos ſuos diſcipulos, ſed e primo ſtatu tranſmutare meliorem in ſtatum. ſic Apoſtolus quidem Paulus Oneſimum e fugitiuo ſeruo fecit Martyrem; Elias autem Eliſſæum ex aratore prophetam reddidit; Moſes Ieſum adornauit præ omnibus meliùs; Eli maiorem ſeipſo Samuel exhibuit. Si enim & horum ipſorum ſtudium multum contulit ipſis ad virtutem adipiſcendam, ſed & omnis cauſſa progreſſus ipſorum fuit illis, quod ſortiti ſunt magiſtros honeſti, qui potuerunt fumigantem ſcintillam alacritatis ad maiorem profectum in ſubli-

me attollere; ac effecerunt vt reſplenderet, & eamobrem Dei os facti ſunt, qui voluntates ipſius denuntiarent hominibus, audierunt namque dicentem, ſi eduxeris honorandum ex indigno, ſicut os meum eris.

θύρα τῆς προθυμίας ἐπὶ τὸ μεῖζον τῆς πρὸς ἔσω τῆς ἀναρριπίσαι, καὶ ἐκλάμψαι ἐποίησε, καὶ διὰ τοῦτο στόμα Θεοῦ γεγόνασιν. οἱ τὰ αὐτοῦ βουλήματα τοῖς ἀνθρώποις διακονήσαντες. ἤκουσαν γὰρ τοῦ λέγοντος. ἐὰν ἐξαγάγῃς τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσῃ.

CAPVT XXXVI.

MAgiſtri autem facultatem Ezechieli Deus oſtendit docens quoſnam ex quibus oportet diſcipulos inſtituere, Fili enim (inquit) hominis accipe tibi ipſi laterem, & pone ipſum ante faciem tuam, & in ipſo deſcribes ciuitatem Hieruſalem, ſignificans, quòd e luto templum ſanctum, magiſter diſcipulum ſanctum fabricatur. pulchrum verò & quod ipſum pones antè faciem tuam, ſic enim in melius profectus diſcipulo celeriter erit, ſi omninò ſit in conſpectu magiſtri. nam continuæ bonorum exemplorum memoriæ perſimiles imprimũt imagines animabus non valdè duris, & aſperis. Idcircò Giezi, & Iudas exciderunt. hic quidem furto, ille verò proditione, quando ſubduxerunt ſe oculis magiſtrorum, quod ſi manſiſſet apud emendatores, non deliquiſſet vterque illorum. Quantum verò periculum ſequatur magiſtrum ex ipſorum diſcipulorum negligentia, in his, quæ deinceps euenerunt, declarauit, dicens. Et pones ſartaginem ferream inter te, & inter ciuitatem, & erit murus inter te, & inter ipſam; nam qui non vult negligenti punitionem inferre, poſteaquam illum ex laterculo effecit ciuitatem, debet retrocurrentibus ab huiuſmodi ſtatu, quæ miſatus eſt ſupplicia denuntiare, vt illa muri effecta inſtar innocentem a reo

ΚΕΦΑΛ. λϛʹ.

ΤΗν δὲ τοῦ διδασκάλου ἕξιν καὶ τῷ Ἰεζεκιὴλ ὑποτίθεται ὁ Θεὸς διδάσκων οἵους ἐξ οἵων δεῖ τοὺς μαθητὰς κατασκευάζειν. υἱὲ γάρ φησιν ἀνθρώπου. λάβε σεαυτῷ πλίνθον, καὶ θήσεις αὐτὴν πρὸ προσώπου σου καὶ διαγράψεις ἐπ' αὐτὴν πόλιν Ἱερουσαλήμ, σημαίνων ὅτι ἐκ πηλοῦ ναὸν ἅγιον ὁ διδάσκαλος τὸν μαθητὴν ἀπεργάζεται. καλὸν καὶ τὸ τῷ θήσεις αὐτὴν πρὸ προσώπου σου. οὕτω γὰρ ταχεῖα βελτίωσις ἔσται τῷ μαθητῇ ἐὰν ἐν ὄψει τοῦ διδασκάλου ᾖ διαπαντός. αἱ γὰρ συνεχεῖς τῶν καλῶν παραδειγμάτων μνεῖαι παρὰ πλησίας εἰκόνας ἐγχαράττουσι ταῖς μὴ πάνυ σκληραῖς, καὶ ἀποκρότοις ψυχαῖς. διὰ τοῦτο Γιεζῆ, καὶ Ἰούδας ἐπέπεσον, ὁ μὲν τῇ κλοπῇ. ὁ δὲ τῇ προδοσίᾳ, ἐπειδὴ ὑπεξήγαγον ἑαυτοὺς τῶν τοῦ διδασκάλου ὀφθαλμῶν. ὡς εἰ ἔμεινον παρὰ τοῖς σωφρονισταῖς οὐκ ἂν ἐπλημμέλησαν ἑκάτερος αὐτῶν. ὅτι δὲ κίνδυνος ἀκολουθεῖ τῷ διδασκάλῳ ἐκ τῆς ἀμελείας αὐτῶν διὰ τῶν ἑξῆς ἐδήλωσεν εἰπών, καὶ θήσεις τήγανον σιδηροῦν ἀναμέσον σοῦ, καὶ ἀναμέσον τῆς πόλεως. καὶ ἔσται τεῖχος ἀναμέσον σοῦ, καὶ ἀναμέσον αὐτῆς. ὁ γὰρ μὴ θέλων κοινωνεῖν τῷ ῥαθυμοῦντι τῆς κολάσεως μετὰ τὸ ποιῆσαι αὐτὸν ἐκ πλίνθου πόλιν, πῶς τοῖς παλινδρομοῦσιν ἀπὸ τῆς τοιαύτης καταστάσεως ἐπιλελησμένας τιμωρίας, ἐπιλέγειν ὀφείλει. ἵνα τεῖχος γενόμενον εἴργωσι τὸν ἀναίτιον ἀπὸ τοῦ αἰτίου. τοῦτο

Digitized by Google

γὰρ περιστάντων ὁ Θεὸς τῷ Ἰεζεκιὴλ φησὶ υἱὲ ἀνοῦ σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραὴλ καὶ ἐὰν ἴδῃς τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ διαμαρτύρῃ, αὐτοῖς, λάβῃ δὲ τινὰ ἐξ αὐτῶν τὴν ψυχὴν αὐτοῦ, ἐκ τῆς χειρός σου ἐκζητήσω.

a reo diſtinguant. Hoc etenim Deus Ezechieli mandans ait. Fili hominis, dedi te ſpeculatorem domui Iſrael, & ſi videris gladium venientem, nec ipſi obteſtatus fueris, excipiat autem quemquam ex illis, animam eius de manu tua requiram. *Ezech. c.33.*

ΚΕΦΑΛ. λζʹ.

Τοιοῦτον τεῖχος τίθη καὶ Μωϋσῆς ἑαυτῷ, λέγων τοῖς Ἰσραηλίταις· πρόσεχε σεαυτῷ μὴ ἐκζητήσῃς ἐπακολουθῆσαι αὐτοῖς μετὰ τὸ ἐξολοθρευθῆναι αὐτοὺς ἀπὸ σοῦ. συμβαίνει γὰρ τοῦτο τοῖς ἀμελέστερον τῇ διανοίᾳ προσέχουσι τῇ ἑαυτῶν μετὰ τὴν τῶν παθῶν ἐκκοπὴν, ὥσπερ βλαστοί τινες παρακύπτειν ἄρχονται αἱ εἰκόνες τῶν παλαιῶν φαντασιῶν, αἷς εἴ τις δῷ χώραν συνεχῶς ἐκπίπτειν τῷ ἡγεμονικῷ, καὶ μὴ κωλύειν τὴν εἴσοδον αὐταῖς. αὖθις εἰσοικίσει τὰ πάθη ἑαυτῷ ἐπαγώνιον μετὰ τὴν νίκην πάλιν ποιῶν τὴν διαγωγὴν, ἔστι γὰρ τῶν παθῶν ἐξημερωθέντων, καὶ χόρτον ἴσα βουσὶν ἐσθίειν δεδιδαγμένων ἀμελείᾳ τοῦ τιθασσεύοντος πάλιν ἐξαγριωθῆναι, καὶ τὴν τῶν θηρίων ἀναλαβεῖν ὠμότητα. ὡς ἂν οὖν φησι μὴ τοῦτο γένηται μὴ ἐκζητήσῃς ἐπακολουθῆσαι αὐτοῖς. μετὰ τὸ ἐξολοθρευθῆναι αὐτοὺς ἀπὸ σοῦ ἵνα μὴ ἐν τῷ ἐκζητεῖν ἕξιν λαβοῦσα ἡ ψυχὴ ταῖς τοιαύταις ἐνήδεσθαι φαντασίαις, ἐπὶ τὴν ἀρχαίαν παλινδρομήσῃ κακίαν. τοῦτο εἰδὼς ὁ μέγας Ἰακὼβ γενόμενος. ὅτι θεωρούμενα, καὶ συνεχῶς μελετώμενα τὰ τοιαῦτα μᾶλλον βλάπτει τὴν διάνοιαν. φανοτάτας καὶ ἀριδήλους ἐνσφραγιζομένας τὰς τῶν αἰσχρῶν φαντασιῶν εἰκόνας, ἐν Σικήμοις κρύπτει, τοὺς Θεοὺς τοὺς ἀλλοτρίους, ὁ γὰρ περὶ τὰ πάθη πόνος κρύπτει καὶ ἀπόλλυσι ταῦτα οὐ πρὸς βραχύν τινα χρόνον. ἀλλ' ἕως

CAPVT XXXVII.

Hvnc murum poſuit & Moyſes ſibi ipſi dicens. Attende Tibi, ne quæras illos ſubſequi poſteaquã eos a te aboleueris. Accidit enim negligentiùs attendentibus mente in ſua, poſt exciſas paſſiones, vt, quemadmodum germina quædam, incipiant propenſe ſerpere imaginationum veterum ſimulacra, quibus ſi quis locum det, continuò vt inuadant intellectum; nec ipſa prohibeat aditu, rurſus introducet paſſiones, ſibi ad certamen, paratam poſt victoriam reparans viuendi formam. Sunt enim paſſiones edomitæ bobus perſimiles edoctis fœnum edere, negligentia nutrientis iterum efferatis, & ferarum crudelitatem recuperantibus, vt ne igitur (inquit) id fiat, ne quæras eos ſubſequi, ne inquirendo anima conttahens habitum oblectandi ſe imaginationibus huiuſmodi recurrat in antiquam malitiam, Hoc ſciens accidere magnus Iacob, quod contemplata, & aſſiduè meditata magis nocent menti, apertiſſimas, & valdè manifeſtas turpium imaginationum effigies cælatas abſcondit in Sicemis, Deos alienos, labor etenim circa paſſiones abſcondit, & deperdit illas, non ad breue aliquod tempus, ſed vſque ad hodiernam diem,

 hoc

Geneſ. c. 35. hoc eſt in omne tempus, quandoquidem ſæculo coextenditur hodierna dies, tempus omninò præſens deſignans, Sicema verò denuntiat id, quod pugna, quia demonſtrat laborem circà paſſiones. Ideò & Iacob dat Ioſeph Sicema poſſeſſionem eximiam, nempe aduerſus paſſiones depugnantem in ipſis laborem.

τὴν σήμερον ἡμέραν. τοῦτ' ἔστι τὸν ὅπαντα χρόνον. ἐπειδὴ τῷ παντὶ αἰῶνι συμπαρεκτείνεται τὸ σήμερον. τὸν ἐνεστῶτα πάντοτε σημαίνων καιρὸν, τὰ Σίκημα δείκνυσιν ὅτι μάχη, ὅπερ δηλοῖ τὸν περὶ τὰ πάθη πόνον. διὸ Ἰακὼβ καὶ τῷ Ἰωσὴφ δίδωσι τὸ Σίκημα κτῆμα ἐξαίρετον τὸν πρὸς τὰ πάθη μαχόμενον τὸν ἐν αὐτοῖς πόνον.

CAPVT XXXVIII.

Geneſ. c. 38. IAcob etenim ipſe in gladio, & arcu Sicema acquiſita dicens, oſtendit quod pugna, & labore, paſſionibus potitus ſit, ipſas in terra Sicemorum occultans. Videtur verò apparere quodammodò contrarium; abſcondere Deos in Sicemis, & ponere Idolum in occulto, hoc enim eſt laudabile, quod in Sicemis abditur. iſtud verò reprehendendum locare Idolum in occulto. Sic igitur & cum imprecatione poſuit

Deuter. c. 27. hoc dicens, Maledictus, qui ponit Idolum in occulto; nec enim idem eſt in terra penitus abſcondere, & ponere in occulto; quod enim abſconditur in terra, & nunquam ſenſui apparens, tempore procedente deficit e memoria. Sed quod in occulto ponitur, forſitā quidem eos latet, qui ſunt exteriùs, apud eū verò, qui poſuit, cōtinuè aſpectum, memoriam renouat clam ferentem ſimulacrum. Omnis quippe turpis cogitatio in mente formata occultum eſt ſculptile. Sic igitur pudor eſt in medium proferre tales cogitationes, periculoſum ergo & hoc ſculptile ponere in occulto, periculoſius verò & ſubſequi, & requirere formas iam oblitteratas

ΚΕΦΑΛ. λη'.

ΚΑί γὰρ αὐτοῖς ὁ Ἰακὼβ ἐν μαχαίρᾳ καὶ τόξῳ λαβὼν λέγων Σίκημα δείκνυσιν, ὅτι μάχῃ, καὶ πόνῳ κεκράτηκε τῶν παθῶν κατακρύψας αὐτὰ ἐν τῇ Σικήμων γῇ. δοκεῖ δὲ πως ἐναντίον φαίνεσθαι τὸ κατακρύπτειν ἐν Σικήμοις τοὺς Θεοὺς, καὶ τὸ τιθέναι εἴδωλον ἐν ἀποκρύφῳ. τὸ μὲν γὰρ ἐστὶν ἐπαινετὸν τὸ ἐν σικήμοις κατακρύπτειν, τὸ δὲ ψεκτὸν τὸ τιθέναι εἴδωλον ἐν ἀποκρύφῳ. οὕτω γοῦν καὶ μετὰ κατάρας ἔθηκε τοῦτο εἰπὼν, ἐπικατάρατος ὁ τιθεὶς εἴδωλον ἐν ἀποκρύφῳ. οὐ ταυτὸν γάρ ἐστιν ἐν γῇ παρὰ τὸ παντελὲς κατακρύψαι, καὶ τὸ θεῖναι ἐν ἀποκεκρύφῳ. τὸ μὲν γὰρ ἐν γῇ κατακρυφθὲν, καὶ μηκέτι τῇ αἰσθήσει φαινόμενον, τῷ χρόνῳ καὶ τῆς μνήμης ἀπαλείφεται. τὸ δὲ ἐν ἀποκρύφῳ τεθὲν τοὺς μὲν ἔξωθεν ἴσως λανθάνει. παρ' αὐτοῦ δὲ τοῦ τεθεικότος ὁρώμενος συνεχῶς τὴν μνήμην ἀνακαινίζει ἀγαλματοφορούμενος λαθραίως. πᾶς γὰρ λογισμὸς αἰσχρὸς μορφούμενος ἐν τῇ διανοίᾳ. Γλυπτόν ἐστιν ἀπόκρυφον. εἴπως γοῦν αἰσχύνη ἐστὶν εἰς μέσον προσενεχθῆναι τὰς τοιαύτας ἐννοίας, ἐπισφαλὲς γοῦν καὶ τῷ ἐν ἀποκρύφῳ θεῖναι γλυπτὸν, ἐπισφαλέστερον δὲ, τὸ ἐπακολουθεῖν, καὶ ἐκζητεῖν τὰς ἤδη ἐξαφανισθείσας μορφὰς, ἀρχαίας τῆς διανοίας πάλιν ἐρπούσας ἐπὶ τὸ ἐκβλη-

tas

τὸν πάθος, καὶ τὴν τῶν εἰδώλων πλάστιγγα ἐπιβριθούσας ἕως ἐδάφους. τοιαύτη γὰρ ἡ ἕξις ὀξυῤῥεπὴς τίς ἐστι τῆς ἀρετῆς καὶ ἄγαν εὐκόλως. εἰ ἀμελοῖτο ἐπὶ τὰ ἐναντία ταλαντεύουσα.

tas cogitatione facilè propendente in expulſam paſſionem, atque deprimente ad ſolum vſque ſimulacrorum lancem. Huiuſcemodi namque habitus virtutis celeriter quodãmodò vergit, & valdè facilè, ſi negligatur, in cõtraria præponderans.

ΚΕΦΑΛΑΙΟΝ λθ'.

Τοῦτο γὰρ διὰ συμβόλου σημαίνειν ἔοικεν ἡ γραφή. ὅταν φησί, ἡ γῆ, εἰς ἣν εἰσπορεύεσθε μετακινουμένη ἐστὶν ἐν μετακινήσει λαῶν τῶν ἐθνῶν. ἅμα γὰρ ἐκινήθη πρὸς τὰ ἐναντία ὁ τὴν ἕξιν ἔχων τῆς ἀρετῆς, καὶ συμμετεκινήθη, καὶ αὐτή, γῆ γὰρ μετακινουμένη ἐστί. διὸ χρὴ τὴν ἀρχὴν μὴ διδόναι πάροδον ἐπὶ τὴν διάνοιαν ταῖς τῶν βλάπτειν πεφυκότων λογισμῶν φαντασίαις, μηδὲ συγχωρεῖν αὐτῇ καταβαίνειν εἰς Αἴγυπτον, ἐκεῖθεν γὰρ εἰς Ἀσσυρίους βίᾳ κατάγεται, ἐὰν γὰρ εἰς τὸν σκοτασμὸν τῶν ἀκαθάρτων καταλογισθῇ λογισμῶν ἡ διάνοια (τοῦτο γὰρ Αἴγυπτος μεθερμηνεύεται) βίᾳ λοιπὸν καὶ μὴ θέλουσα ὑπὸ τῶν παθῶν ἐπὶ τὴν ἐργασίαν ἕλκεται. διὰ τοῦτο συμβολικῶς καὶ ὁ νομοθέτης ἀποκλείων τῆς ἡδονῆς τὴν παρείσδυσιν, τὴν κεφαλὴν τοῦ ὄφεως τηρεῖν ἐκέλευσεν. ἐπειδὴ γὰρ κἀκεῖνος τὴν πτέρναν τηρεῖ. ἐκείνῳ μὲν γὰρ σκοπὸς ἡ ἐνέργεια πρόκειται, ἧς εἰ μὴ ἐπιλάβηται, ἐγκεράσαι τῷ δήγματι τὸν ἰὸν οὐκ εὐχερῶς δύναται. ἡμῖν δὲ σπουδὴ αὐτὴν θλάσαι τὴν προσβολὴν τῆς ἡδονῆς, ταύτης γὰρ συντριβείσης ἀσθενὴς ἡ ἐνέργεια. τάχα δὲ καὶ Σαμψὼν οὐκ ἂν ἐνέπρησε τὰ τῶν ἀλλοφύλων θέρη, εἰ μὴ τὰς κεφαλὰς ἀντιστρέψας τῶν ἀλωπέκων συνέδησε ταῖς οὐραῖς. ὁ γὰρ δυνηθεὶς τῶν πανούργων λογισμῶν ἐκ προοιμίων στοχάσασθαι τὴν ἔνεδραν, καὶ τὰς

CAPVT XXXIX.

Hoc enim per figuram ſignificare videtur ſcriptura, cum ait, terra, quam ingredimini, mutabilis eſt in mutatione populorum e gentibus, ſtatim enim, ac is, qui habitu virtutis eſt præditus, motus eſt ad contraria, & ipſa commutatur, terra etenim commutabilis eſt. Ideò non oportet præbere initium peruium ad mentem, imaginationibus aptis ad lædendam ratiocinationem, nec indulgere ipſi vt deſcendat in Aegyptum, inde namque ad Aſſyrios violenter abducitur. ſi enim in caliginem impurarum ratiocinationum mens adſciſcatur (hoc enim interpretatur Aegyptus) violenter deinceps, & inuita trahitur a paſſionibus ad operationem. Quamobrem per figuram & legiſlator occludens voluptatis aditum, obſeruare iuſſit caput ſerpentis; quando enim & ille calcaneum obſeruat, illi quippe propoſitus eſt pro ſcopo efficax operatio, quam niſi apprehenderit, morſu non facilè poteſt infundere venenum. nobis verò ſtudendum eſt ipſum impetum voluptatis elidere, hoc namque contrito, debilis eſt operatio. Forſan autem, & Samp- *Iudic. cap. 15*
ſon meſſes alienigenarum non incendit, niſi capitibus obuerſis vulpium colligaſſet illas caudis, qui enim potuit verſutarum rationum inſidias ex principijs conſiderare attentè, & ipſa initia præteriens, (grauia

enim

enim vt fiant apparenter, ad finem apprehendendum machinantur) & e terminorum mutua comparatione ineptiam rationum arguere potuit, caudam caudæ colligans, facemque ponens in ipſarum medio reprehenſionem.

ἀρχὰς παριδών. σεμνὰς γὰρ τῷ δοκεῖν αὐτὰς ποιεῖσθαι μηχανῶνται τοῦ ἐπιλαβέσθαι τοῦ τέλους. καὶ ἐκ τῆς τῶν περάτων πρὸς ἄλληλα συγκρίσεως ἐλέγξαι τὸ ἄτοπον τῶν λογισμῶν, κέρκον συνδήσας κέρκῳ λαμπαδωθεὶς ἀναμέσον αὐτῶν τὸν ἔλεγχον.

CAPVT XL.

VTque fiat manifeſtius quod dictum eſt, In duobus argumentis denudabo, quod ſum præfatus; erit enim hinc & reliquorum vera fides. ſæpe venit a vana gloria ratiocinatio libidinis, & grauia quidem exhibet veſtibula viarum deducentium ad Infernum, abſcondit verò diuerticula exitialia, per quæ in penetralia inferni abducit hos, qui ſine ratione ea conſectantur; proponit quippe nonnunquam ſacerdotium, aliquando perfectam vitam monachi, multos verò facit ad ipſam accedere propter vtilitatem, & e ſermone, & ex opere bonam illi apparere famam parat, & appoſitè quandoque ipſum iſtis circumpaſcens cogitationibus auertit plerunque a naturali ſobrietate, tunc felicem occurſum grauis ſcilicet mulieris ſubſingens, ad patrandam rem impuram defert conſcientiæ libertatem ad extremam deturbans infamiam. Qui vult igitur caudas colligare ſumat duarum rationum fines, inanis quidem gloriæ honorem, fornicationis verò dedecus, & quando clarè viderit aduerſantes ſibi inuicem, tunc ſtatuat idem, quod Sampſon, faciendum. Rursùs gulæ ratio finem habet fornicationis, fornicationis verò finis eſt dolor, ſtatim enim dolor, & anxietas animi ſubſequuntur eum, qui ab hiſce rationibus vincitur poſtea-

quam

ΚΕΦΑΛΑΙΟΝ μ:

Καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον ἐπὶ δύο λογισμῶν γυμνώσω τὸ εἰρημένον, ἔσται γὰρ τοῦτο καὶ τῶν λοιπῶν πίστις ἀληθής. πολλάκις ἀπὸ κενοδοξίας ἔρχεται ὁ τῆς πορνείας λογισμός, καὶ σεμνὰ μὲν δείκνυσι τὰ προπύλαια τῶν ἐπὶ τὸν ᾅδην φερουσῶν ὁδῶν. κρύπτει δὲ τὰς ὀλεθρίους ἐκτρόπους, δι' ὧν εἰς τὰ τοῦ ᾅδου ταμεῖα κατάγει τοὺς ἑπομένους ἀλογίστως αὐτῷ. ὑποτίθεται γὰρ ἔσθ' ὅτε μὲν ἱερωσύνην. ἔσθ' ὅτε δὲ βίον μοναχοῦ τέλειον, πολλούς τε τοὺς ἐπ' ὠφελείᾳ παραγινομένους, ποιεῖ πρὸς αὐτὸν, καὶ τὴν εὐδοκίμησιν ἔκ τε λόγου, καὶ πράξεως αὐτὸν φαντάζεσθαι παρασκευάζει. καὶ ὅτε ἱκανῶς αὐτὸν ταύταις προσβουκολήσας ταῖς ἐννοίαις ἀπαγάγῃ πολὺ τῆς φυσικῆς νήψεως, τότε ἐντυχίαν δῆθεν σεμνῆς γυναικὸς ὑπογράψας, ἐπὶ τὴν τοῦ μικροῦ πράγματος φέρει ἐνέργειαν τὴν τῆς συνειδήσεως παῤῥησίαν εἰς ἐσχάτην καταφέρων αἰσχύνην. ὁ τοίνυν τὰς κέρκους συνδῆσαι βουλόμενος λαμβανέτω τῶν δύο λογισμῶν τὰ τέλη τῆς μὲν κενοδοξίας τὸ ἐπίτιμον, τῆς δὲ πορνείας τὸ ἄτιμον, καὶ ὁ τὰς ἐναντιουμένας ἴδῃ σαφῶς ἀλλήλαις. τότε νομιζέτω τὸ τοῦ Σαμψὼν πεποιηκέναι. πάλιν ὁ τῆς γαστριμαργίας λογισμὸς τέλος ἔχει τὸν τῆς πορνείας. ὁ δὲ τῆς πορνείας τέλος τὸν τῆς λύπης. εὐθέως γὰρ λύπη καὶ ἀθυμία ἕπεται τῷ ἡττημένῳ τοῖς τοιούτοις λογισμοῖς μετὰ τὴν ἀνάληψιν. λογιζέσθω

οὕτω ὁ ἀγωνιζόμενος μὴ τὴν ἀπόλαυσιν τῶν βρωμάτων, μηδὲ τὸ λεῖον τῆς ἡδονῆς· ἀλλ᾽ ἑκατέρων τούτων τὰ τέλη, καὶ ὅταν εὕρῃ λύπην ἀκολουθοῦσαν ἀμφοτέροις· ἴστω κέρκον κέρκῳ συνδεδεκώς· καὶ τῷ ἐλέγχῳ τὰ τῶν ἀλλοφύλων ἀφανίσας θέρη.

quam reſipuit. Ratiocinetur igitur decertans nec circà delicias edulio-rum, neque circà lubricum voluptatis,ſed circà horum vtrorumque fines, & quando compererit dolorem ambobus eſſe aſſeclam, ſciat caudam caudæ colligare, & hoc argumento meſſes alienigenarum delebit.

ΚΕΦΑΛ. μα΄.

Εἰ τοίνυν τοσαύτης ἐπιστήμης, καὶ ἐμπειρίας δεῖται ὁ πρὸς τὰ πάθη πολεμῶν. γινωσκέτωσαν οἱ τὴν ἑτέρων ἀναδεδεγμένοι προστασίαν πόσης αὐτοῖς χρεία τῆς γνώσεως· ἵνα καὶ τοὺς ὑποτεταγμένους ἐμφρόνως ὁδηγήσωσιν ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως. καὶ πάντα σαφῶς τὰ τῆς ἀπάτης διδάξωσιν. ὡς μὴ χειρονομοῦντας μόνον ἐν ἀέρι τὰ τῆς νίκης σχηματίζειν. ἀλλὰ καὶ ἐν αὐτῇ τῇ πρὸς τὸν ἀντίπαλον μάχῃ. καιρίας ἐπιφέρειν τὰς πληγάς, ἵνα μὴ διὰ κενῆς διαρρίπτωσιν ἐν ἀέρι τὰς χεῖρας ἀλλ᾽ αὐτὸν θλίβωσι τὸν ἀντίπαλον. τοῦ γὰρ γυμνικοῦ ἀγῶνος οὗτος ὁ ἀγὼν δυσχερέστερος. ἐκεῖ μὲν γὰρ ἀθλητῶν σώματα κλίνεται ῥαδίως ἀνορθοῦσθαι δυνάμενα. ἐν ταύτῃ δὲ ψυχαὶ καταπίπτουσιν. ἃς ἅπαξ ἀνατραπείσας, μόλις ἐστὶν ἀνεγεῖραι. εἰ δέ τις ἔτι τὸν ἐμπαθῆ βίον διαπικτεύων. καὶ πεφυρμένος ἐν αἵματι ναὸν Θεοῦ ἐκ λογικῶν οἰκοδομεῖν ἐπιχειροίη ψυχῶν, πάντως ἀκούσεται ὁ τοιοῦτος. ὅτι οὐ σὺ οἰκοδομήσεις μοι ναόν. ὅτι ἀνὴρ αἱμάτων εἶ σύ, εἰρηνικῆς γὰρ δεῖ καταστάσεως οἰκοδομεῖν ναὸν τῷ Θεῷ. καὶ Μωϋσῆς μὲν λαβὼν τὴν σκηνήν, καὶ ἔξω τῆς παρεμβολῆς πηξάμενος δηλοῖ πορρωτάτω τοῦ πολεμικοῦ θορύβου δεῖν, εἶναι τὸν διδάσκαλον καὶ μακρὰν τοῦ πεφυρμένου ἀποικίζεσθαι στρατο-

CAPVT XLI.

Si igitur tanta ſcientia, & experientia opus ſit, ei,qui bellum gerit aduersùs paſſiones, dignoſcant qui aliorum gubernationem ſuſcipiunt,quanta ipſi notitia egēt, vt & ſubditos prudenter deducant ad brauium ſupernæ vocationis, & dilucidè omnes fraudes edoceant, vt non tantum in aere iactantes manum præbeant victoriæ ſpeciem, ſed & in ipſa pugna contrà hoſtem lethalia inferant vulnera, vt ne in vanum per aerem manus diſijciant, ſed ipſum conterant aduerſarium; certamine namque Gymnico multò difficilior hæc eſt pugna, ibi enim Athletarum corpora inclinantur,quæ facilè poſſunt rurſus erigi; In iſta verò animæ decidunt, quas ſemel afflictas ægrè licet reſurgere; ſi verò quis in vita cupiditatibus plena etiamnum decertans, & inuolutus in ſanguine, templum Dei e rationalibus animabus ædificare aggrediatur, omninò ipſe audiat. quod tu non ædificabis mihi templum,quia vir ſan- 1. Paral cap. 22.
guinum tu es. ſpectat enim ad ſtatum pacificum ædificare templum Deo. Et Moyſes quidem accipiens tentorium,& extra metationem caſtrenſem illud figens, oſtendit longiſſimè a tumultu bellico debere eſſe magiſtrum, & habitare procul

a caſtris

a caſtris perturbatione refertis eű, qui ad pacificam minimequè bellicoſam vitam tranſlatus eſt, ſed cum inuenientur huiuſmodi magiſtri, requirunt diſcipulos, qui ſic abnegent ſeipſos, & proprias voluntates, nihil vt illi ab inanimo corpore magis differant, aut a materia artifici ſuppoſita, vt quemadmodum anima in corpore, quod vult, operatur, corpore nihil contrarium faciente, & ſicut artifex in materia propriam exhibet artem, nihil ab ipſa præpeditus aduersùs proprium ſcopum. Ita magiſter in ſuis diſcipulis Virtutis ſcientiam operetur habens ipſos obedientes, & in nulla re contradicentes.

πέδου πρὸς εἰρηνικόν, καὶ ἀπόλεμον καταστάντα βίον. ὅταν εὑρεθῶσι τοιοῦτοι διδάσκαλοι χρῄζουσι μαθητῶν οὕτως ἀρνησαμένων ἑαυτούς, καὶ τὰ ἑαυτῶν θελήματα, ὡς μηδὲν ἀψύχου σώματος ἑαυτοὺς διαφέρειν, ἢ ὕλης ὑποβεβλημένης τεχνίτῃ. ἵν' ὥσπερ ψυχὴ ἐν σώματι ἐνεργεῖ ὃ βούλεται οὐδὲν τοῦ σώματος ἀντιπράττοντος. καὶ ὥσπερ τεχνίτης ἐν ὕλῃ τὴν οἰκείαν ἐπιδείκνυται τέχνην, οὐδὲν παρ' αὐτῆς πρὸς τὸν ἴδιον σκοπὸν ἐμποδιζόμενος. οὕτως ὁ διδάσκαλος ἐν τοῖς μαθηταῖς τὴν τῆς ἀρετῆς ἐπιστήμην ἐργάσηται ἔχων πειθηνίους, καὶ πρὸς μηδὲν ἀντιλέγοντας.

CAPVT XLII.

NImis curioſè namque inquirere in adminiſtrationem magiſtri, & ea examinare velle quæ mandat, eſt id impedire proprios progreſſus, nec enim omninò quod videtur inexperto conueniēs, ac perſuaſibile, hoc & verè conuenit; ſed vti artifex, & alio modo imperitus artis, iudicant ea, quæ ſpectant ad artem; pro regula enim ille vtitur ſcientia, iſte autem conueniente, raro autem conueniens collineat ad veritatem, ſæpiùs vero illud magis aberrat a rectitudine, cumque deceptione quaſi cognationem quamdam habet. Quid enim videtur primo aſpectu abſurdius. gubernatore nauis, quæ fertur errabunda obliquè in nauigatione, quam vocant nautæ ad rectum, ſeu in altum tendentem, ad tranſtrum ablutum aqua vt ſedeant præcipiente, dimiſſo ſuperiori ſcamno, cum ventus impellat, atque ſubuertat magis illud, quod prægrauate iuſſit,

ΚΕΦΑΛΑΙΟΝ μβʹ.

ΤΟ' γὰρ περιεργάζεσθαι τὰς τοῦ διδασκάλου οἰκονομίας, καὶ δοκιμάζειν ἐθέλειν τὰ παρ' αὐτοῦ προστασσόμενα, ἐμποδίσαι τῇ ἰδίᾳ ἐστὶ προκοπῇ. οὐδὲ γὰρ πάντως, ὅπερ εὔλογον, καὶ πιθανὸν φαίνεται τῷ ἀπείρῳ. τοῦτο καὶ ἀληθῶς εὔλογόν ἐστιν. ἄλλως γὰρ ὁ τεχνίτης, καὶ ἄλλως ὁ ἄτεχνος κρίνει τὰ τῆς τέχνης. κανόνι γὰρ ὁ μὲν τῇ ἐπιστήμῃ κέχρηται. ὁ δὲ τῷ εἰκότι. τὸ δὲ εἰκὸς. ὀλιγάκις μὲν στοχάζεται τῆς ἀληθείας τὰ δὲ πολλὰ ἀποτυγχάνει μᾶλλον τῆς ὀρθότητος πρὸς τὴν ἀπάτην ἔχον τὴν συγγένειαν. τί γὰρ κατὰ τὸ φαινόμενον ἀλογώτερον δοκεῖ τοῦ τὸν κυβερνήτην πλαγίας φερομένης τῆς νηὸς κατὰ τὸν πρὸς ὄρθιον ὑπὸ τῶν ναυτικῶν καλούμενον πλοῦν ἐπὶ τὸν βαπτιζόμενον τοῖχον προστάσσειν καθῆσθαι, ἀφέντας τὸν ὑπερανεστῶτα. καὶ τοῦ ἀνέμου πρὸς ἐκεῖνον μᾶλλον ὠθοῦντος, καὶ ἀνατρέποντος ἐφ' ὃν βαρεῖν ἐκέλευσε; καὶ μὴν τὸ εἰκὸς ἐπὶ

τὸν ἐπανιστάμενον βαρεῖν τοῖχον συμβουλεύειν. οὐχὶ διατρέχειν ἐπὶ τὸν κινδυνεύοντα. ἀλλ' ὅμως τῷ κυβερνήτῃ πείθονται μᾶλλον οἱ ἐμπλέοντες, ἢ ταῖς ἑαυτῶν ἐπινοίαις. πείθει γὰρ αὐτοὺς ἡ ἀνάγκη δουλεύειν τῇ τέχνῃ τοῦ τὴν σωτηρίαν ἐγκεχειρισμένου. κἂν τὸ πιθανὸν ἐκ τῶν ὁρωμένων μὴ ἔχῃ τὸ γινόμενον. οὐκ οὖν οἱ ἐπιτρέψαντες ἑτέροις τὴν οἰκείαν σωτηρίαν. ἀφέντες τὰ εἰκότα, τῇ τέχνῃ τοῦ εἰδότος παραχωρείτωσαν τῶν ἰδίων λογισμῶν, ἀξιοπιστοτέραν τὴν ἐκείνου κρίνοντες ἐπιστήμην. καὶ πρῶτον μὲν ἀποταξάμενοι, μηδὲν ἔξω καταλιμπανέτωσαν, μηδὲ τὸ βραχύτατον, δεδοικότες τὸ τοῦ Ἀνανίου ὑπόδειγμα. ὃς ἀνθρώπους νοσφίζεσθαι νομίσας, θεόθεν τὴν ἐπὶ τῇ κλοπῇ ἐδέξατο καταδίκην.

te iuſſit, & tamen conueniens eſt conſulere vt tranſtrum oneretur ſuperius. nullatenuſq; curſitare ad id quod periclitatur. Sed vnà Gubernatori obediũt potius nauigãtes quam ſuis cogitationibus proprijs. ſuadet enim illis neceſſitas arti ſeruire eius, qui ſalutẽ ſuſcepit procurandã, etſi nõ ſit perſuaſibile ex his quæ intuentur, id quod fit. nonne igitur hi, qui alienæ curæ committunt propriam ſalutem, dimittentes conuenientia, proprias ratiocinationes arti eius, qui callet illam, ſubmittent, digniorem fide iudicantes illius ſcientiam? & primum quidem renuntiantes nihil extra obmittant, neque pauciſſimum, timentes Ananiæ exemplum, *Actor. c. 15.* qui homines defraudare ratus, pro furto diuinitùs ſubijt damnationem.

ΚΕΦΑΛΑΙΟΝ μγ'.

Ἀλλ' ὡς ἑαυτούς, οὕτω καὶ τὰ ἑαυτῶν πάντα ἐπιδιδότωσαν. εὖ εἰδότες, ὅτι τὸ ἀπολειφθέν, συνεχῶς πρὸς ἑαυτὸ τὴν διάνοιαν ἀνέλκον, ἐπὶ πολὺ μὲν περισπάσει τῶν κρειττόνων. ὕστερον δὲ καὶ τέλεον ἀπορρήξει τῆς ἀδελφότητος. διὰ τοῦτο γὰρ οὖν βίους τῶν ἁγίων ἀνέγραψε τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα ἕκαστος τῶν τὴν ἴσην οὖν ἐπιτηδευόντων ἀγωγὴν ἐξ ὁμοίων ὑποδειγμάτων προσαγάγηται τῇ ἀληθείᾳ. πῶς οὖν ὁ Ἐλισσαῖος συνταττόμενος τῷ διδασκάλῳ ἀπετάξατο τῷ κόσμῳ. ἠροτρία φησί, ἐν βουσί, καὶ δώδεκα ζεύγη βοῶν ἐνώπιον αὐτοῦ, καὶ ἔσφαξε τοὺς βοῦς, καὶ ἕψησεν αὐτὰς ἐν τοῖς σκεύεσι τῶν βοῶν. τοῦτο δὲ τὸ θερμὸν τῆς προθυμίας αἰνίσσεται. οὐ γὰρ εἶπε. πωλήσω τὰ ζεύγη τῶν

CAPVT XLIII.

Sed vti ſeipſos, ita ſua tradant omnia, probè ſcientes, quia id quod derelictum, continuò mẽtem ad ſe retrahens, vt plurimum diſtrahet a melioribus rebus, poſtremò verò & abrumpet perfectionẽ fraternitatis. Ideo namque vitas Sanctorum Spiritus Sanctus litteris demandauit, vt vnuſquiſque eorum, qui huiuſcemodi quempiam viuẽdi modum ſtudioſè conſectantur, e ſimilibus exemplis perducatur ad veritatem. Qua ratione igitur Eliſſæus obediens magiſtro renuntia- *Lib. 3. Reg. c. 19.* uit mundo. Arabat (inquit Scriptura) in bobus, & duodecim iuga boum coram ipſo, & iugulauit boues, & in vaſis boum coxit eas, id verò ſignificat ænigmaticè feruidam alacritatem animi, nec enim (ait) vendam iuga boum, &, prout conuenit, diſpenſabo, neque ratiocinatus eſt quod poſſet ex his di-

 uenditis

uenditis plurimam depromere vtilitatem, totus verò prompto animo tractus ipſe ad magiſtri præſentiam contempſit ea, quæ videbat, & magis ſtuduit reijcere velut abſtrahentia a recto propoſito, cum probè noſſet dilationem ſæpè cauſſam fuiſſe mutandi conſilij. Quo pacto Dominus proponens perfe- *Luca c. 18.* ctionem vitæ ſecundum Deum diuiti, vendere ſubſtantiam ſuam, & dare pauperibus præcepit, nihilque ſibi ipſi derelinquere? niſi ſciſſet derelictum ſimiliter ac totum diſtractionis cauſſam fore, Arbitror autem & Moyſem his, qui ſeipſos purificare volebant in magna ora- *Leuit. c. 14. Numer. c. 8* tione, dum imperauit vt rotum corpus raderent, perfectam bonorum ſubſiſtentiũ abiectionẽ præcepiſſe, ſecundò verò cognationis, & domeſticæ familiaritatis ſic obliuiſci, vt nec harum recordationibus omninò vmquam perturbentur.

βοῶν, καὶ καθηκόντως οἰκονομήσω, οὐδ' ὅτι πραθέντα ταῦτα, πλείονα χρείαν ἀνοίσειν ἔμελλεν ἐλογίσατο· ὅλος δὲ τῆς ἐπιθυμίας γενόμενος τῆς ἑλκούσης αὐτὸν πρὸς τὴν τοῦ διδασκάλου ἐπιουσίαν, καταπεφρόνησε τῶν ὁρωμένων. καὶ μᾶλλον ὡς περισπώντων ἀπὸ τῆς ὀρθῆς προθέσεως ἀπαλλαγῆναι ἐσπούδασεν, εἰδὼς τὴν ἀναβολὴν καὶ μεταμελείας αἰτίαν γενομένην πολλάκις. πῶς δὲ ὁ κύριος τῷ πλουσίῳ τὴν τελειότητα τοῦ κατὰ Θεὸν ὑποτιθέμενος βίου, πωλῆσαι τὰ ὑπάρχοντα, καὶ δοῦναι πτωχοῖς προσέταττε, καὶ μηδὲν ἑαυτῷ καταλείπειν; εἰ μὴ τὸ καταλιμπανόμενον ἤδει ὁμοίως τῷ παντὶ περισπασμοῦ αἴτιον γινόμενον. νομίζω δὲ καὶ τὸν Μωσέα τοὺς ἀφαγνίζειν ἑαυτοὺς ἐν τῇ μεγάλῃ βουλομένους εὐχῇ διὰ τοῦ περιτίλλειν ἅπαν ξυρᾶσθαι τὸ σῶμα τὴν παντελῆ τῶν ὑπαρχόντων ἐπιτάττειν ἀπόθεσιν. δεύτερον δὲ συνηθείας, καὶ οἰκειότητος οὕτως ἐπιλανθανέσθωσαν, ὡς μηδόλως ταῖς τούτων μνήμαις ἐνοχλεῖσθαί ποτε.

CAPVT XLIV.

1. Reg. c. 6. SI enim Vaccas, quæ in curru erant Arcæ ſub iugo vinctæ, obliuiſci naturæ Arca effecit & vitulorum ab ipſis ſecluſorum domi; nulloq; compellẽte ſine querela per viam perrexerunt nec ad dexteram declinantes, nec ad ſiniſtram, neque vel ceruicis conuerſione amorem erga progenita animalia demonſtrantes, neque mugitu dolorem de fœtuum diſiunctione declarantes; ſed & Arcæ onere attritæ, & naturæ Tyrannide veluti collo obtorto deductæ quaſi gradientes in regula, nullatenus a recto tramite fuerunt auerſæ in affectu, qui a natura eſt, perdomitæ veneratione inſiſtentis Arcæ, Eamobrem non

ΚΕΦΑΛΑΙΟΝ μδ'.

ΕΙ γὰρ τὰς βοῦς τὰς ἐν τῇ ἁμάξῃ τῆς κιβωτοῦ ὑποζευχθείσας ἐπιλαθέσθαι τῆς φύσεως ἡ κιβωτὸς ἐποίησε· καὶ τῶν μόσχων αὐταῖς ἀποκλεισθέντων οἴκοι, καὶ οὐδενὸς τοῦ βιαζομένου, ἀμέμπτως ἤνυσαν τὴν ὁδὸν, οὐκ ἐκκλίνασαι δεξιὰ, ἢ ἀριστερὰ οὐδὲ τῇ περιστροφῇ τοῦ αὐχένος τὴν πρὸς τὰ τέκνα στοργὴν ἐπιδειξάμεναι οὐδὲ μυκηθμῷ τὴν ἐπὶ τῇ διαζεύξει τῶν ἐκγόνων ὀδύνην ἐμφανίσασαι. ἀλλὰ καὶ τῷ βάρει τῆς κιβωτοῦ θλιβόμεναι, καὶ τῇ τῆς φύσεως τυραννίδι τραχηλιζόμεναι. ὥσπερ ἐπὶ κανόνι βαδίζουσαι, οὐδαμοῦ τῆς εὐθείας παρετράπησαν, τῆς περὶ τὴν φύσιν συμπαθείας ἡττηθεῖσαι τῷ τῆς ἐπικειμένης κιβωτοῦ σεβασμίῳ, διατί μὴ καὶ τοῖς τὴν νοη-

idem

τὴν αἴρειν μέλλουσι κιβωτὸν τοῦ λόγου προσεκτέον. ἔδει μὲν οὖν καὶ πλέον, ἵνα μὴ παρὰ τῆς ἀλόγου φύσεως ἐν τοῖς ἀναγκαίοις ἔργοις ἡ λογικὴ παρασκευὴ μετρουμένη ἐλέγχηται τοῦ μὴ περαίνειν ἐκεῖνα λογισμῷ, ἅπερ ἀνάγκῃ περαίνει τὰ ἄλογα. ἴσως δὲ καὶ Ἰωσὴφ διὰ τοῦτο πλανᾶται κατὰ τὴν ἔρημον, ἐπειδὴ ἐκ τῶν τῆς συγγενείας ὀνομάτων ἐζήτει τὸν τῆς τελειότητος ὅρον. διόπερ καὶ ὁ πρὸς τὴν ἀλήθειαν ἄνθρωπος πυνθανόμενος παρ᾽ αὐτοῦ τὴν αἰτίαν τῆς πλάνης· καὶ μαθὼν ὅτι ἡ τῶν οἰκείων διὰ προσπάθεια, οὐ γὰρ ἂν βόσκειν αὐτοὺς, ἀλλὰ ποιμαίνειν εἶπεν. εἰ μὴ πεπλανημένην εἶχε ἐπεὶ τῆς τέχνης τὴν κρίσιν; φησὶ γὰρ πρὸς αὐτὸν, ἀπήρκασιν ἐντεῦθεν. ἤκουσα γὰρ αὐτῶν λεγόντων, πορευθῶμεν εἰς Δοθαΐμ. Δοθαΐμ δὲ ἑρμηνεύεται ἔκλειψις ἱκανή. διδάσκων τὸν ἐν τοῖς περὶ τὸ σῶμα φίλον ἔτι πλανώμενον. ὅτι οὐκ ἔστιν ἄλλως ἐπιτυχεῖν τῆς τελειότητος, μὴ ἱκανῶς ἐκλείποντα τὴν περὶ τὰ οἰκεῖα τῆς σαρκὸς προσπάθειαν.

idem ſatitādum & his qui Arcam attollere intellectualem moliuntur? oporteret quidē igirur & amplius, vt ne in operibus vtilibus redarguatur a natura irrationale rationalis apparatus moderatus, quod ille nō efficiat ratiocinatione, quæ irrationabilia patrant è neceſſitate. Parirer autem & Ioſeph errat ideò per deſertam ſolitudinem, quando ex nominibus cognationis quærebat perfectionis terminum, Ideo & homo, qui ad veritatem ſciſcitabatur ab eo cauſſam erroris dlſeens quod illa erat affectus erga cognatos, nec enim paſeere ipſos, ſed gubernare greges dixiſſet, niſi iudicium habuiſſet exerrans circà modum artis, ait ad ipſum, etenim, abierunt hinc, audiui namque ipſos dicentes, eamus in Dorhaim, Dothaim verò explicatur, derelictio ſufficiens. docens eum, qui etiamnum errat ea, quæ circà corpus ſunt amans, non aliter inuenturum perfectionem, niſi ſufficienter deſerat affectum circà carnis cognationem. *cap. 37. Geneſ.*

ΚΕΦΑΛΑΙΟΝ με.

Κἂν γὰρ ἀπολείπῃ τις τὴν Χαρὰν, ὅπερ σημαίνει τὰς αἰσθήσεις. τρώγλαι γὰρ ἑρμηνεύονται, καὶ ἐκ τῆς κοιλάδος Χεβρὼν ἐξέλθοι, τῶν ταπεινῶν ἔργων, καὶ ἐκ τῆς ἐρήμου, καθ᾽ ἣν ἡ πλάνη γέγονε τῷ ζητοῦντι τὴν τελείωσιν. εἰς δὲ τὴν ἱκανὴν ἔκλειψιν μὴ μετοικήσῃ, οὐδὲν ὄφελος αὐτῷ τῆς μακρᾶς ταλαιπωρίας, διὰ τὸ περὶ τὴν συγγένειαν φίλτρον ἀποσφαλισμένῳ τῆς τελειότητος. οὐ μὴν ἀλλὰ καὶ ὁ Κύριος ἐπιτιμῶν τῇ Θεοτόκῳ Μαρίᾳ ἐν τοῖς συγγενέσιν ἀναζητούσῃ αὐτὸν καὶ τὸν φιλοῦντα τὸν πατέρα ἢ

CAPVT XLV.

Nam etſi quis relinquat Charan, quod ſignificat ſenſus, exponuntur enim cauernæ, & e conualle Chebron exeat, operibus nempe vilibus, & e deſerto, circà ipſum enim fir error ab eo, qui quærit perfectionem, & in conuenientem abdicationem niſi tranſmigrauerit; nulla erit ipſi longæ afflictionis vtilitas, ſeducto a perfectione propter illecebram ergà cognarionē; ſed & Dominus quaſi reprehendens Deiparā Mariā ipſum inter cognatos requirentē, & eum *Lucae. 2.*
qui amat patrem, & matrem pluſquam ipſum, indignum ſe ipſo iudicans,

appoſitè demonſtrat nexuum cognatorum derelictionem. poſt horũ verò directionem conſulendum ipſis, ſi qui ſint a tumultibus recens liberati, vt quietem amplectantur, neque continuis progreſſibus inflicta menti a ſenſibus vulnera refricent, neque vetuſtis peccatorum figuris alias ingerant ſpecies, ſed nouarum declinent inſultum, omni verò ſtudio contendant ad antiquas imaginationes abolendas. Laborioſa namque his, qui recens renuntiarũt, requies; tunc enim tempore captato memoria omnem impuritatem mouet denuò ingeſtam, cui non vacabat priùs id facere ob multitudinem negotiorum circum affluentium. Habet enim poſt laborem, & hoc vtilitatis, liberans mentem procedente tempore a perturbatione ratiocinationum impurarum. ſi enim propoſitum eſt ipſis animam abluere, ac expurgare ab omnibus eam polluentibus, ſecedere debent ab omnibus negotijs, per quæ ſordes augentur, & tranquillitatem plurimam menti præbere, proculque abeſſe a proritantibus, & propinquiorum conuerſationes fugere, ſolitudinem amplexantes philoſophiæ matrem.

μετὰ τὸ ἑαυτὸν ἀνάξιον ἑαυτοῦ κρίνων, ἀφαρέτως ἔκλειψιν τῶν συγγενικῶν ὑποτίθεται δεσμῶν. μετὰ δὲ τὴν τούτων κατόρθωσιν συμβουλευτέον αὐτοῖς, εἴ τινες εἶεν ἔτι νεωστὶ τῶν θορύβων ἀπηλλαγμένοι ἡσυχίαν ἄγειν, καὶ μήτε συνεχέσι προσόδοις τὰ διὰ τῶν αἰσθήσεων ἐγγινόμενα τραύματα τῇ διανοίᾳ ἀναξαίνειν. μηδὲ τοῖς παλαιοῖς τῶν ἁμαρτημάτων εἰδώλοις ἐπισφέρειν ἑτέρας μορφάς. ἀλλ' ἐκκλίνειν μὲν τὴν νεαρὰν προσβολήν. ἔχειν δὲ πᾶσαν τὴν σπουδὴν πρὸς τὸ ἐξαλεῖψαι τὰς παλαιὰς φαντασίας. ἐπίπονος μὲν γὰρ τοῖς νεωστὶ ἀποταξαμένοις ἡ ἡσυχία. τότε γὰρ καιρὸν λαβοῦσα ἡ μνήμη, πᾶσαν ἀνακινεῖ τὴν ἐγκειμένην ἀκαθαρσίαν. οὐ σχολάζουσα πρότερον τοῦτο ποιεῖν διὰ τὸ πλῆθος τῶν περισσευόντων πραγμάτων. ἔχει γὰρ μετὰ τὸ ἐπίπονον καὶ τὸ ὠφέλιμον ἀπαλλάττουσα τὸν νοῦν τῷ χρόνῳ τῆς τῶν μιαρῶν ὀχλήσεως λογισμῶν. εἰ γὰρ αὐτοὺς ἐκνίψασθαι προαιρεῖται τὴν ψυχὴν καὶ θεραπεῦσαι πάντων τῶν μολυνόντων, ἀναχωρεῖν πάντων τῶν πραγμάτων ὀφείλουσι, δι' ὧν ὁ ῥύπος αὔξεται, καὶ πολλὴν τῷ λογιστικῷ παρέχειν τὴν γαλήνην, καὶ μακρὰν τῶν ἐρεθιζόντων γενέσθαι, καὶ τὰς τῶν οἰκειοτέρων φεύγειν συνδιατριβάς, μόνωσιν ἀσπαζομένους τὴν τῆς φιλοσοφίας μητέρα.

CAPVT XLVI.

EST enim facilè iſtos rurſùs incidere in retia, e quibus ſolutos ſe putauerunt, quando ſine timore conuerſari ſtudebunt inter impedimenta promiſcua; eſt quippe inutile illi, qui tranſiuit ad virtutem, his ipſis gaudere rebus, a quibus receſſit, eas reijciens; ſulcus enim eſt conſuetudo, vt verendum ſit ne quietem multo ſtudio partam turpi-

ΚΕΦΑΛ. μϛʹ.

ἜΣτι δὲ εὐχερῶς τοῖς αὐτοῖς πάλιν περιπεσεῖν δικτύοις, ὧν ἀπηλλάχθαι ἐνόμισαν, ὅταν ἀδεῶς τοῖς πεφυρμένους ὄχλους συνδιατρίβεσθαι σπουδάζωσιν. ἀλυσιτελὲς γὰρ τῷ μετοικησαμένῳ πρὸς ἀρετὴν τὸ τοῖς αὐτοῖς χαίρειν πράγμασιν, ὧν καταγνοὺς ἀπέδρα· ὁλκὸν γὰρ ἡ συνήθεια (ὡς δέος εἶναι), μὴ τὴν ἐκ πολλῆς σπουδῆς ἐγγινομένην ἡσυχίαν τῶν αἰσχρῶν ἐπιτηδευμάτων πάλιν ἀνα-

καμνίσωσι, καὶ μνήμας τῶν ἐπιλελησμένων κακῶν ἐργάσωνται. ἔοικε γὰρ ὁ νοῦς τῶν ἔναγχος τῆς κακίας ἀναχωρησάντων σώματι ἐκ μακρᾶς ἀῤῥωστίας ἀναλαμβάνειν ἀρξαμένῳ, ᾧ καὶ ἡ τυχοῦσα πρόφασις τῆς ἐπὶ τὴν νόσον ἀναλύσεως αἰτία γίνεται μήπω πρὸς ἰσχὺν παγέντι κραταιοτέραν. παλαίουσι γὰρ καὶ τούτων οἱ νοεροὶ τόνοι, καὶ κραδαίνονται· ὡς δέος εἶναι, μὴ παλινδρομήσῃ τὸ πάθος. πεφυκὸς ἐκ τῆς ἐν τοῖς ὄχλοις ἀναχύσεως διερεθίζεσθαι. διὰ τοῦτο μένειν ἐντὸς τῶν κλισιάδων τοὺς μηδὲν παθεῖν ὑπὸ τοῦ ὀλοθρευτοῦ βουλομένους ὁ Μωυσῆς ἐκέλευσε λέγων, οὐκ ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου ὑμῶν, ἵνα μὴ ὁ ὀλοθρευτὴς ἅψηται ὑμῶν. καὶ ὁ Ἱερεμίας δὲ τοῦτο παριστάνειν ἔοικεν, ὅταν λέγῃ· μὴ ἐκπορεύεσθε εἰς ἀγρὸν, καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία τῶν ἐχθρῶν παροικεῖ κύκλοθεν. γενναίων γὰρ ἀγωνιστῶν τὸ ὁμόσε χωρεῖν τοῖς πολεμίοις, καὶ τὴν τούτων ἐπιβουλὴν διαφεύγειν ἀβλαβῶς. εἰ δέ τις εἴη τῶν οὐδέπω μάχεσθαι δυναμένων ἀνεπηρεάστως οἴκοι μενέτω. ἀσφάλειαν ἀκίνδυνον ἐκ τῆς ἡσυχίας ἑαυτῷ πορίζόμενος. τοιοῦτος ἦν Ἰησοῦς ὁ τοῦ Ναυή, περὶ οὗ γέγραπται. ὁ δὲ θεράπων Ἰησοῦς νέος ὢν οὐκ ἐξεπορεύετο ἔξω τῆς σκηνῆς, ᾔδει γὰρ τοὺς ἐπὶ τὸ πεδίον ἐκπορευομένους ὑπὸ τῶν ἀδελφῶν τοῦ σώματος καὶ τῇ σαρκὶ φίλων διὰ τὴν πρόωρον ἅμιλλαν ἀναιρουμένους ἐκ τῆς κατὰ τὸν Ἄβελ πεπαιδευμένος ἱστορίας.

turpibus inſtitutis renouent, & memorias malorum oblitorum operentur. ſimilis eſt enim mens eorum, qui a malitia recens ſeceſſerunt, corpori a longa inualetudine incipienti conualeſcere; cui, qui obuenerat prætextus reſolutionis in morbum, in cauſſa eſt vt necdum ad validius robur ſit compactum. Agitantur enim & iſtorum intellectuales nerui, & ſuccutiuntur; timendum vt ſit fore ne recurrat paſſio. Innatum eſt enim perturbationibus, vt ex refuſione irritentur iterum. Ideo manere intrà fores eos, qui nolunt exeidium pati ab exterminatore, Moyſes iuſſit dicens, non egrediamini vnuſquiſque ianuam domus veſtræ, ne vos apprehendat exterminator, & Hieremias id mãdare videtur quando ait ne proficiſcamini in agrum; nec eatis in vias, quia hoſtium enſis circumquaque inhabitat. Generoſorum etenim pugnatorum eſt eodem in loco obuiam ire hoſtibus, & eorum inſidias refugere abſque noxa; ſi verò quis ſit ex his, qui neutiquam decertare poſſunt, is domi maneat indemnis, ſecuritatem abſque periculo ſibi præſtans e quiete. Huiuſmodi erat Ieſus Naue, de quo ſcriptum eſt. ſeruiens verò Ieſus, adoleſcens exiſtens, extra tentorium non progrediebatur, ſciebat enim egredientes in campum ſub fratribus corporis, & carnis amicis ob præmaturum certamen occiſos, ex Hiſtoria edoctus de Abele.

c.12. Exodi.

Geneſ. c.4.

C A-

CAPVT XLVII.

NEque verò minus ex ea, quæ
Geneſ. c. 34. de Dina eſt, licet illud per-
diſcere diligenter, quod mentis eſt
puellaris verè, atque muliebris, ea,
quæ ſunt ſuper habitum proprium,
aggredi, & apprehenſione circa illa,
vti conuenientia, decipi. niſi enim
ipſa citò aggreſſa eſſet rerum re-
gionis inſpectionem, quaſi potens
ſanè, & omninò nec obnoxia ex
horum demulceri oblectatione,
nunquam præmaturè iudicandi fa-
cultatem animæ inſitam corrupiſ-
ſet, deceptam ab imaginatione re-
rum ſenſibilium, ad colloquium vi-
rile neutiquam legitimè accedens.
Hanc autem paſſionẽ probè ſciens
Deus inter homines vſurpari, ar-
rogantiæ (inquam), & volens ip-
ſam radicitus euellere noſtro ex af-
Ieuitic. cap. 15. v. 25. fectu, ait ad Legiſlatorem Moy-
ſem. Religioſos facite filios Iſrael
vt ſic in promptu certamina, quæ
vires excedunt, non iterum ſubeāt,
alienum a Religione id noſcens,
non igitur ſeipſos immiſcere de-
bent ciuicis tumultibus antè per-
fectum habitum virtutis, ſed quam
longiſſimè auſugiendum procul
a circumſonantibus rumoribus
mentem conſtituendo, nec enim
vtile valdè eſt ſecedentes a ne-
gotijs circumſtrepi famæ rumu-
ſculis, quæ circà ipſos ſunt, & eos
qui deſerunt vrbē in portæ opera-
Geneſ. c. 19. tionibus, quemadmodū Loth con-
ſidere, turbulentia, quæ inibi fit, re-
c. 19. Exod. v. 15. pletos; extrà verò ſecundum Ma-
gnum Moyſem recedendum eſt, vt ne ſolum opera; ſed & voces ho-
Hebra. 1. c. 13. rum ceſſent. vt inquit, quando exibo vrbe, & extendam manus meas,
ceſſabunt voces.

ΚΕΦΑΛ. μζʹ.

Οὐχ ἥκιστα δὲ καὶ ἐκ τῆς κατὰ τὴν Δίναν ἔστιν ἀκριβῶς καταμαθεῖν. ὅτι κορικῆς ὄντως καὶ γυναικώδους ἐστὶ διανοίας, τὸ τῆς ὑπὲρ τὴν οἰκείαν ἕξιν ἐγχειρεῖν. καὶ τῆς περὶ αὐτῶν ὡς ἱκανῶν ὑπολήψεως ἀπατᾶσθαι. εἰ μὴ γὰρ αὕτη προχείρως ἐπαπεδύσατο τὴν τῶν ἐγχωρείων πραγμάτων θεωρίαν, ὡς δυνατὴ δῆθεν, καὶ μηδόλως ἐκ τῆς τούτων θελχθῆναι τέρψεως. οὐκ ἂν ἀώρως τὸ κριτικὸν διεφθάρη τῆς ψυχῆς δελεασθὲν ὑπὸ τῆς τῶν αἰσθητῶν φαντασίας, οὔπω νομίμως ἀνδρείῳ ὁμιλήσασα λόγῳ. τοῦτο τὸ πάθος εἰδὼς ἐμπολιτευόμενον ὁ Θεὸς τοῖς ἀνθρώποις τὸ τῆς οἰήσεως λέγω. καὶ βουλόμενος αὐτὸ πρόρριζον τῆς ἕξεως ἀνασπᾶσαι τῆς ἡμετέρας φησὶ πρὸς τὸν νομοθέτην μωϋσέα, εὐλαβεῖς ποιήσατε τοὺς υἱοὺς Ἰσραήλ, ὡς τό γε προχείρως τοῖς ὑπὲρ τὴν δύναμιν ἄθλοις ἐπαποδύεσθαι, ἀλλότριον εὐλαβείας εἰδώς. οὐκοῦν οὐ καταμικτέον ἑαυτοὺς πρὸ τῆς ἕξεως τελείας πολιτικοῖς θορύβοις ἀλλ᾽ ὡς πορρωτάτω φευκτέον, μακρὰν τῶν περιηχούντων ψόφων ἱστῶντας τὴν διάνοιαν, οὔτε γὰρ μέγα ὄφελος τῶν πραγμάτων ἀναχωρήσαντας ταῖς περὶ αὐτῶν φήμαις περικτυπεῖσθαι, καὶ τὴν πόλιν ἐκλιπόντας τῶν ἐνεργειῶν τῇ πύλῃ καθάπερ Λὼθ παρακαθέζεσθαι τῆς ἐκεῖθεν ἀναπιμπλαμένους ταραχῆς. ἔξω δὲ κατὰ τὸν μέγαν Μωϋσῆν ἀναχωρητέον. ἵνα μὴ μόνον τὰ ἔργα, ἀλλὰ καὶ αἱ φωναὶ τούτων παύσωνται. ὥς φησιν, ὅταν ἐξέλθω τὴν πόλιν, καὶ ἐκπετάσω τὰς χεῖράς μου, αἱ φωναὶ παύσονται.

ΚΕΦΑΛΑΙΟΝ μη΄.

ΤΟ΄τε γὰρ ἡ ἀληθὴς γίνεται γαλήνη, ὅταν μὴ μόνον αἱ ἐνέργειαι, ἀλλὰ καὶ αἱ περὶ αὐτῶν μνῆμαι σχολάζουσαι καιρὸν παρέχωσι τῇ ψυχῇ δυνηθῆναι τοὺς ἐνεσφραγισμένους τύπους ἰδεῖν, καὶ πρὸς ἕκαστον αὐτῶν ἀγωνίσασθαι, καὶ ἐκκόψαι τῆς διανοίας. ἐπεισερχομένων δὲ ἑτέρων, καὶ ἑτέρων μορφῶν. οὔτε τοὺς προεγγεγραμμένους τύπους ἀπαλεῖψαι δυνατόν. τοῦ λογιστικοῦ τοῖς ἐπιγινομένοις προσασχολουμένου καὶ τὸν πόνον αὐτοῖς τὸν πρὸς τὸ ἐγκόψαι τὰ πάθη, ἀνάγκη γενέσθαι χαλεπώτερον. ἰσχὺν κτησαμένων ἐκ τῆς κατ' ὀλίγον αὐξήσεως, καὶ δίκην ποταμῶν ἀδιαστάτῳ φορᾷ ταῖς ἐπεισρεούσαις φαντασίαις τὸ διορατικὸν ἐπικλυζόντων τῆς ψυχῆς. ὡς γὰρ τὸ ποταμοῦ ῥεῖθρον ἐθέλοντες ἰδεῖν ξηρὸν ἴσως τινῶν ἱστορίας ἀξίων ἐναποκειμένων, οὐδὲν ὠφελοῦσιν ἐξαντλοῦντες τὸ κατ' ἐκεῖνον τὸν τόπον ὕδωρ, ἐν ᾧ τὸ ζητούμενον ἀποκεῖσθαι νομίζουσι. τοῦ κενουμένου τὴν χώραν εὐθὺς ἀναπληροῦντος τοῦ ἐπεισρέοντος. ὅταν δὲ τὴν ἄνωθεν φορὰν ἀναστείλωσιν, ἀκαμάτως αὐτοῖς τὸ ἔδαφος ἀναφαίνεται τοῦ καταλειφθέντος ὕδατος αὐτομάτως ὑποχωροῦντος, καὶ ξηρὰν αὐτοῖς παραχωροῦντος τὴν γῆν πρὸς τὴν τῶν ποθουμένων ἱστορίαν, οὕτως καὶ τὸ κενωθῆναι τὰς ποιητικὰς τῶν παθῶν μορφὰς εὔκολον γίνεται. μηκέτι τῶν αἰσθήσεων τὰ ἔξωθεν ἐπιχορηγουσῶν. τούτων δὲ ἐπιπεμπουσῶν δίκην ῥεύματος τὰ αἰσθητά. οὐ μόνον δυσχερὲς, ἀλλὰ καὶ ἀδύνατον καθαρεῦσαι πάντη τὸν νοῦν τῆς τοιαύτης πλημμύρας, κἂν γὰρ μὴ ὀχλῶσι τὰ πάθη διὰ τὰς συνεχεῖς συντυχίας καιρὸν κινήσεως οὐχ εὑρίσκοντα, ἀλλὰ γοῦν λεληθότως ὑποστρεφόμενα πλέον ἁδρύνεται

CAPVT XLVIII.

TVnc enim vera efficitur tranquillitas, quando non operationes, ſed & ipſarum memoria vacans, tempus animæ præbet, quò poſſit impreſſas formas intueri & aduerſus vnamquamque ipſarum decertare, eaſque e mente exſcindere. alijs verò ſuperuenientibus, alijſque ſpeciebus, neque antè innatas formas delere poſſunt. ratione occupata in illis, quæ inſiſtunt, & laborem ipſis ad exſccandas paſſiones neceſſum eſt fieri duriorem, cum illæ vim ſumant ex incremento paulatim, & inſtar fluuiorum illatis inceſſanter, influentibuſq; imaginationibus, animæ vim qua intuetur illa, ſuperinundantium; ſicut enim fluuij alueum volentes videre ſiccũ (forſan quibuſdam rebus ſcitu dignis in ipſo repoſitis) nihil agunt, aquam, quæ ad locum illum eſt, exhaurientes in quo, quod quærunt, putant eſſe reconditum, exinaniti ſpatium ſtatim denuò replente eo, quod ſuperfluit. Cum verò curſum aquæ ſuperiorem ſiſtent, ſine labore, ſolum apparet ipſis, ea, quæ relicta eſt, aqua recedente ſua ſponte, & ſiccam ipſis concedente terram, ad ſcientiam eorum, quæ deſiderabantur. Ita vacuari formas efficaces paſſionum perfacilè eſt, ſenſibus neutiquam miniſtrantibus inſuper, quæ foris ſunt. His namque inſtar fluxus ſenſibilia immittentibus, non tantum difficile, verum & impoſſibile mentem omninò perpurgare ab inundatione huiuſcemodi. Quamuis enim paſſiones non perturbent, tempus commouendi haud inuenientes propter continuos congreſſus;

atta-

attamen latenter, ſubterque conuolutæ magis craſſeſcunt robur ex tempore ipſo accipientes.

τὴν ἐκ τοῦ χρόνου ἰσχὺν προσλαμβάνοντα.

CAPVT XLIX.

E T quemadmodum terra continuè calcata, etſi habeat ſpinas, non quidem ipſas exhibet; pedum enim conculcatio prohibet ipſas ne germinent, profundas tamen in gremio ſuo extendens radices fortes, & valdè lactatas, quando permittente tempore ortum acceperunt, confeſtim illæ frutieantur. ſic aſſiduis congreſſibus prohibitæ paſſiones ne manifeſtè emergerent in lucē, fiunt robuſtiores, & abundantius excreſcētes præ quiete, cum multo robore agitantes bellum graue, ac periculoſum his inferunt, qui pugnam initio aduerſus eas neglexerunt. Ideoque propheta. Semen e Babylone iubet exterminari, vti quæ adhuc ſunt in ſenſuum cellis formæ aboleantur ipſæ, conſulens, ne incidentes in humum mentis frutieentur. & copioſis, ac inutilibus imbribus mutuæ curæ irrigatæ multiplicem malitiæ fructum afferant. alter autem propheta beatos edicit eos, qui neque paſſionum cuſpidem ſuſcipiunt. ſed ipſi mammæ adhærentes eas interimunt. Beatus (dicens) qui obtinebit, & illidet infantes tuos ad petram. forſitan verò & magnus Iob ad ſeipſū philoſophās huiuſcemodi aliquem obſcurè deſignat. In aqua quidem florere papyrum, & Butumum, ſeu calamum inquiens, omnem autem herbām, flumine orbatam, exſiccari, & periijt formicarius Leo, eo, quod non habeat pabulum, Huiuſmodi aliquid

Pſalm. 136. v. 9.

ſignifi-

ΚΕΦΑΛΑΙΟΝ μθʹ.

Καὶ ὥσπερ ἡ συνεχῶς πατουμένη γῆ, κἂν ἔχῃ ἀκάνθας, οὐκ ἀναδίδωσι μὲν αὐτάς. κωλύει γὰρ τὴν φυὴν ἡ τριβὴ τῶν ποδῶν, βαθείας δὲ ἐν τοῖς ταύτης κόλποις τὰς ῥίζας ἐνδιατείνουσαι ἀεργεῖς, καὶ πάνυ τεθηλυίας ὅταν καιρὸν τοῦ συγχωροῦντος τὴν ἀνατολὴν λάβωνται, εὐθὺς βλαστάνουσι, οὕτω τὰ πάθη ταῖς συνεχέσι συντυχίαις παρακύπτειν εἰς φανερὸν κωλυόμενα, ἀλκιμώτερα γίνεται, καὶ ἡσυχίας ἀπορήσαντα, μετὰ πολλῆς τῆς ῥώμης ἐπιτίθεται, βαρὺν, καὶ ἐπικίνδυνον τοῖς ἐν ἀρχῇ τῆς πρὸς αὐτὰ μάχης ἀμελήσασι ποιοῦνται τὸν πόλεμον. διὰ τοῦτο καὶ ὁ προφήτης ἐξολοθρεῦσαι σπέρμα ἐκ Βαβυλῶνος κελεύει, ὡς ἔτι ἐν ταῖς τῶν αἰσθήσεων ἀποθήκαις εἰσὶν αἱ μορφαὶ ἀφανίσαι συμβουλεύων αὐτὰς, ἵνα μὴ τῇ τῆς διανοίας ἐμπεσοῦσαι γῇ βλαστήσωσι, καὶ τοῖς λαύραις, καὶ ἀνωφελέσιν ὑετοῖς τῆς ἐπαλλήλου μελέτης ποτισθεῖσαι πολύχουν τὸν τῆς κακίας ἐνέγκωσι καρπόν. ἕτερος δὲ προφήτης καὶ μακαρίζει τοὺς μηδὲ τὴν ἀκμὴν τῶν παθῶν ἐκδεχομένους, ἀλλ' αὐτῇ προσαποφυκότος τῇ θηλῇ διαφθείροντας. μακάριος λέγων ὃς κρατήσει, καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν. τάχα δὲ καὶ ὁ μέγας Ἰὼβ καθ' ἑαυτὸν φιλοσοφῶν, τοιοῦτόν τινα αἰνίττεται. ἐν ὕδατι μὲν θάλλειν πάπυρον, καὶ βούτομον λέγων, στερηθεῖσαν δὲ τοῦ ποταμοῦ πᾶσαν βοτάνην ξηραίνεσθαι, καὶ τὸ μυρμηκολέων δὲ ὤλετο, παρὰ τὸ μὴ ἔχειν βορὰν, τοιοῦτόν τι σημαίνειν ἔοικε, τὸ γὰρ ἀνδρωτικὸν τοῦ πάθους δόξαι θελήσας

Digitized by Google

ὁ μέγας Ἰὼβ, σύνθετον ἐξέδρεσεν αὐτοῦ τὴν προσηγορίαν. ἐκ τοῦ θρασυτάτου λέοντος, καὶ ἐκ τοῦ πάντων εὐτελεστάτου μύρμηκος συνθεὶς τὸ ὄνομα. αἱ μὲν γὰρ προσβολαὶ τῶν παθῶν ἀπὸ εὐτελῶν ἄρχονται φαντασιῶν, μύρμηκος δίκην λανθανόντως προσέρπουσαι· τὰ δὲ τελευταῖα ἐπὶ μέγαν ἐξαίρεται ὄγκον, ὡς οὐκ ἔλαττον λέοντος ἐπιδρομῆς τῷ περιτυχόντι παρέχειν τὸν κίνδυνον. διὸ χρὴ τὸν ἀγωνιστὴν τότε παλαίειν πρὸς τὰ πάθη, ὅτε, ὡς μύρμηξ, προσέρχονται δέλεαρ τὴν εὐτέλειαν προβαλλόμενα. ἐὰν γὰρ ἐπὶ τὴν τοῦ λέοντος φθάσωσιν ἰσχὺν προελθεῖν, δυσκαταγώνιστα γίνεται, καὶ ἐκθλίβουσιν ἰσχυρῶς, εἰ βορὰν αὐτοῖς μὴ παρέχει. βορὰ δὲ τούτων, ὡς ἤδη πολλάκις εἴρηται, αἱ διὰ τῶν αἰσθητῶν εἰκόνες ἐρχόμεναι τῶν παθῶν, εἰκόνες αὗται γὰρ τρέφουσι τὰ πάθη, ἕκαστον εἴδωλον ἐκ διαδοχῆς ὁπλίζουσαι κατὰ τῆς ψυχῆς.

ſignificare viſus eſt, volens enim oſtendere vim paſſionis, quæ inſidiatur, magnus Iob, appoſitã ipſi aduenit appellationem ex audaciſſimo Leone, ac ex viliſſima omnium formica componens nomen. Inſultus enim paſſionum a vilibus incipiunt imaginationibus, inſtar formicæ clam proſerpentes, ad extremum in magnum extolluntur tumorem, vt non minus quam Leo ei, quem obuium habet in curſu, periculum creent. Ideo decertatorem pugnare tunc oportet aduerſus paſſiones, quando aduentant, vti formica, vt eſcã vilitatẽ prætipientes, ſi enim ad Leonis robur peruenire illas ſinant, inexpugnabiles eæ fiunt, & fortiter elidunt, ſi ipſis non porrigatur pabulum. earum autem pabulum, vt ſæpe dictum eſt, ſunt paſſionum imagines, quæ per ſenſibilia proueniunt, Nam imagines iſtæ enutriunt paſſiones, vnamquamque ſpeciem ex ſerie obarmantes aduerſus animam. *Iob.c.8.*

ΚΕΦΑΛ. ν.

Διὰ τοῦτο καὶ τῷ ναῷ τὰς θυρίδας δικτυωτὰς ὁ νομοθέτης κατεσκεύασε σημαίνων, ὅτι δεῖ τὸν νοῦν ὡς ναὸν, καθαρὰν τὴν ἑαυτοῦ διάνοιαν φυλάττειν βουλομένους, καθάπερ ἐκεῖ δικτυωταῖς θυρίσι, πρὸς τὸ μηδὲν εἰσέρπειν τῶν ἀκαθάρτων κατεσκευάσθη· οὕτως ταῖς αἰσθήσεσι κωλύματα λογισμῶν ἐνδιαπλέκειν. τὰ δυσχερῆ τῆς μελλούσης κρίσεως, τῶν εἰσερπούσαις μορφαῖς ἀκαθάρτοις ἐπιγινομέναις ἀποτειχίζουσι τὴν εἴσοδον. καὶ τάχα διὰ τοῦτο Ὀχοζίας ἠῤῥώστησεν ἐπειδὴ ἀπὸ τοῦ δικτυωτοῦ ἔπεσε. τὸ γὰρ τοὺς τῆς ἀνταποδόσεως λόγους ἐν καιρῷ τῶν πειρασμῶν παραλογίσασθαι κατενεχθέντα ἐπὶ τὰς ἡδονὰς, ἀπὸ τοῦ δικτυωτοῦ πεσεῖν ἐστι. τί δὲ ταύτης τῆς ἀῤῥωστίας

CAPVT L.

EAmobrem Legiſlator templo fores reticulatas apparauit, deſignans eos, qui volunt mentem puram, quaſi templum, cuſtodire, quemadmodum ibi per fores reticulatas nihil impurorum animaliũ vt irreperet præcauebatur. Sic ſenſibus repagula ratiocinationum implectenda, horrenda ſcilicet futuri iudicij, quò irrepentibus impuris ſpeciebus, quæ ſupernaſcuntur, quaſi muro aditus obſtruatur. & fortè ideò ægrotauit Ochozias, poſteaquã e cãcello decidit reticulato, eſt verò id e cancello reticulato cadere, rationes retributionis mutuæ, in tempore tentationum prætermittere, *Exod. cap. 27.* *4. Reg. cap. 1.*

mittere, declinantem in voluptates. Ecquid verò eſt hac ægritudine durius. corporis enim inualetudo eſt habere ſe præter naturam, æqualitate elementorum ex vnius prædominatione, in id, quod eſt præter naturã, peruerſa; animæ autẽ, inclinare rectã rationẽ, cum ſit deuicta morbificis paſſionibus. Huiuſmodi verò retia viſui eius, qui poteſt au-
Prouerb 23. ver. 23. dire, implexuit Salomon aiens. quãdo oculi tui viderint alienã, os tuum loquetur tunc obliqua, dicens, obliqua, ea, quæ poſt peccatum occurrent in tempore mutuæ retributionis. Hæc igitur expenſa ratione cũ congrua conſtitutione, periculoſum omnium oculorum aſpectum prohibebunt. Dixit verò & qualem oportet eſſe rationis conſtitutionem ſecundum illud tempus, Iacebis (inquit etenim) quemadmodum in corde maris, & vti gubernator in multo æſtu vndarum.

ἐστὶ χαλεπώτερον. σώματος μὲν γὰρ ἐστὶν ἀῤῥωστία, τὸ παρὰ φύσιν ἔχειν, τῆς τῶν στοιχείων ἰσονομίας, ἐκ τῆς τοῦ ἑνὸς ἐπικρατείας εἰς τὸ παρὰ φύσιν ἐπιτραπείσης· ψυχῆς δὲ τὸ ἐκκλῖναι τοῦ ὀρθοῦ λογισμοῦ τοῖς νοσοποιοῖς ἡττηθείσης πάθεσι. τοιαῦτα δίκτυα τῇ ὁράσει τοῦ ἀκούειν δυναμένου διέπλεκεν ὁ Σολομὼν λέγων· οἱ ὀφθαλμοί σου, ὅταν ἴδωσιν ἀλλοτρίαν, τὸ στόμα σου τότε λαλήσει σκολιά, σκολιὰ λέγων τὰ μετὰ τὴν ἁμαρτίαν ἀπαντᾶν μέλλοντα ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως. ταῦτα γὰρ λογισθέντα μετὰ τῆς προσηκούσης καταστάσεως ἀπειργεῖ πᾶσαν ἐπικίνδυνον τῶν ὀφθαλμῶν θεωρίαν. εἶπε καὶ τὴν κατάστασιν τοῦ λογισμοῦ ὁποίαν εἶναι δεῖ κατὰ τὸν καιρὸν ἐκεῖνον· κατάκεισαι γάρ φησιν, ὥσπερ ἐν καρδίᾳ θαλάσσης, καὶ ὡς κυβερνήτης ἐν πολλῷ κλύδωνι.

CAPVT LI.

SI namque in tempore pugnæ aduerſus viſum proritantem, quis poterit ſic præliatorem exhibere ſemetipſum intentatis per minas ſupplicijs ſicut qui tẽpeſtate iactatus in mari, ſine labore ſuperat dimicantes aduerſus ſe, neque ſentiens inflictas plagas, vt ita dicat, verberauerunt me, & non dolui, & illuſerunt mihi, ego verò non ſenſi. Illi enim (ait) verbera-
Prouerb cap. 23. uerunt me, & deludere putabam. At ego neque plagas perſentiebam, erant quippe tela infantum, neque
Pſ. 100. ad ipſorum fraudes cõuerſus ſum, perinde ac minimè præſentibus attendens. Ita etenim Dauid huiuſcemodi aduerſarios deſpiciens di-
Pſalm. 63. cebat, declinantem a me malignum non cognoſcebam, neque cum aduenientem

ΚΕΦΑΛΑΙΟΝ να'.

Ἐὰν γὰρ δυνηθῇ τις ἐν τῷ καιρῷ τῆς πρὸς τὴν ἐρεθίζουσαν ὄψιν μάχης, οὕτως ἑαυτὸν ἐναγώνιον ποιῆσαι ταῖς ἐπηπειλημέναις τιμωρίαις, ὡς ὁ ἐν θαλάσσῃ χειμαζόμενος ἀπόνως περιέσται τῶν προσπαλαιόντων, μὴ αἰσθόμενος τῶν προσφερομένων πληγῶν, ὡς εἰπεῖν, ἔτυπτόν με, καὶ οὐκ ἐπόνεσα, καὶ ἐνέπαιζόν με, ἐγὼ δὲ οὐκ ᾔδειν. ἐκεῖνοι μὲν γὰρ ἔτυπτον (φησὶ) ἐμπαίζειν ἐνόμιζον· ἐγὼ δὲ οὐδὲ τῶν πληγῶν ᾐσθόμην· βέλη γὰρ νηπίων ἦσαν. οὔτε πρὸς τὰς ἀπάτας αὐτῶν ἐπεστράφην, τὸ μηδ᾽ ὅτι πάρεισι προσποιούμενος. οὕτως γὰρ καὶ ὁ Δαβὶδ καταφρονῶν τῶν τοιούτων ἀντιπάλων ἔλεγεν· ἐκκλίνοντος ἀπ᾽ ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον, οὐδ᾽ ὅτε προσῆλ-

θον, φησίν, οὐδ' ὅτε ἀνεχώρουν, αἴσθησιν ἐλάμβανον. ὁ δὲ μὴ δὲ αὐτὸ τοῦτο εἰδὼς ὅτι ταῖς αἰσθήσεσι πρὸς τὰ αἰσθητὰ κοινωνία μέν ἐστι πολλή, ἀπάτη δὲ ἐκ τῆς κοινωνίας εὐχερὴς γίνεται. ὁ δὲ μὴ τὴν ἐκ τούτων βλάβην ὑφορώμενος, ἀλλ' ἀφυλάκτως αὐτοῖς ἐμφερόμενος, πῶς τῷ καιρῷ τῆς ἀπάτης γνώσεται τὴν ἐπιβουλήν, μὴ προπαιδευθεὶς τὴν τούτων διάκρισιν; ὅτι γὰρ ταῖς αἰσθήσεσι μάχη ἐστὶ πρὸς τὰ αἰσθητά, καὶ φόρους ἐπιτάττουσι ταῖς ἡττωμέναις αἰσθήσεσι τὰ αἰσθητά, δῆλον ἐκ τοῦ πρὸς Σοδομίτας τῶν Ἀσσυρίων πολέμου. ἱστορικῶς γὰρ ἡ γραφὴ τὴν ὑπόθεσιν τῶν τεσσάρων βασιλέων τοῦ Ἀσσυρίων ἔθνους εἰσάγει πρὸς τοὺς πέντε βασιλεῖς τοὺς περὶ Σόδομα, πρῶτον μὲν συμφωνίαν, καὶ σπονδὰς καὶ θυσίας εἰρηνικὰς ἐπὶ τὴν ἁλυκὴν θάλασσαν; εἶτα δουλείαν τῶν πέντε ἐπὶ δώδεκα ἔτη; εἶτα τῷ τρὶς καὶ δεκάτῳ ἀποστασίαν, ἐν δὲ τῷ τέσσαρσι καὶ δεκάτῳ πόλεμον ἐπιθέμενον. τῶν τεσσάρων τοῖς πέντε καὶ αἰχμαλώτους λαβόντων αὐτούς.

uenirent, neque cum recederent (inquit) ſenſu apprehendi. Qui autem neq; illud ipſum quidē ſciens, quod ſenſibus multa eſt etiā communio ad ſenſibilia, deceptio verò ex communione facilè fit; hic verò nullā ex hiſce, noxam ſuſpicatus, ſed incuſtodite illis inuectus, quomodo in tempore deceptionis noſcet inſidias, haud edoctus eorum diſtinctionem antea? Quod enim ſenſibus pugna eſt contra ſenſibilia, & quod ea quæ ſenſibilia ſunt victis ſenſibus imponunt tributa, clarum eſt e bello Aſſyriorum aduersùs Sodomitas; Hiſtoricè nēpe ſcriptura inducit ſpecimen quatuor Regum Aſſyriorum, aduerſus quinque Reges, qui circum Sodoma erant, primum equidem concordiam, & fœdera, & ſacrificia pacifica propè mare ſalſum; poſteà ſeruitutem quinque ſuper duodecim annos; deinde in decimo tertio defectionem, In decimoquarto verò bellum inſurgentium quatuor aduerſus quinque, ipſoſque captiuos accipientium. *Cap. 14 Geneſ.*

ΚΕΦΑΛΑΙΟΝ νβ'.

Καὶ ἡ μὲν ἱστορία ὧδε τὸ τέλος ἔχει, ἡμεῖς δὲ ἐκ τῆς ἱστορίας ταύτης παιδευόμεθα τὰ καθ' ἑαυτοὺς, καὶ τὸν τῶν αἰσθήσεων πρὸς τὰ αἰσθητὰ διδασκόμεθα πόλεμον. ἕκαστος γὰρ ἡμῶν ἀπὸ γενέσεως ἄχρι τῶν δώδεκα ἐτῶν, οὔπω τὴν διάκρισιν κεκαθαρμένος ὑποτίθεται εἰς δουλείαν ἀνεξετάστως, τὰς αἰσθήσεις τοῖς αἰσθητοῖς καθάπερ δεσπόταις ὑπουργούσας περὶ τὰ κελευόμενα. ὅρασιν μὲν ὁρατοῖς. ἀκοὴν δὲ φωναῖς. γεῦσιν δὲ χυμοῖς. ἀτμοῖς δὲ ὄσφρησιν, ἁφὴν

CAPVT LII.

Et hæc quidem Hiſtoria huiuſmodi exitum habuit, nos vero ex iſta Hiſtoria edocemur, quæ ad nos ipſos pertinent, & ſenſuum aduerſus ſenſibilia ediſcimus bellum, noſtrum enim vnuſquiſque a natiuitate vſq; ad annos duodecim necdum diſcretione purgatus ſupponitur ad ſeruitutem inculpatè, ſenſus ſenſibilibus quaſi dominis ſubijciens ad iuſſa, viſum quidem viſibilibus, vocibus verò auditum, guſtum autem ſuccis, odoratum vaporibus, tactum denique his, quæ ſolent mouere hunc ſenſum ad-

natis ſenſibilibus; neque valens vel vnā apprehēſionem diſcernere, vel ſoluere propter infantiam. Quando verò ratiocinatio ad perfectam maturitatem peruenerit, & inceperit ſentire noxā, confeſtim intelligit defectionem, & fugam huiuſcemodi ſeruitutis; & ſiquidem effecta fortior firmauerit ratiocinatione iudicium, libera omnino permanet, effugiens amarulentos dominos. ſin verò habeat iudicium debilius quam ſit molimen, rurſus captiuos ſenſus deſtituit victos potentia ſenſibilium, & ſeruitutem deinceps tyrannicam ſuſtinentes abſque bona ſpe. Ideò etenim qui in Hiſtoria quinque Reges de- *Geneſ. cap. 14. ſup.* victi fuerunt a quatuor Regibus, ſimul compelluntur ad puteos bituminis, vti nos ediſcamus, quod hi, quis victi ſunt a ſenſibilibus, velut in foſſis profundis, aut puteis vnicuique ſenſui ſenſibile, quod ad ipſum refertur, circumobuerſant, nihil amplius, quam ea, quę vident, cogitantes poſteà. Quandoquidem concupiſcentia terrenis illigatur rebus, & fruitio rerum, quæ inde proueniunt, magis adamata eſt quam intelligibilium.

δὲ τοῖς αὐτὴν κινεῖν τὴν αἴσθησιν πεφυκόσιν αἰσθητοῖς. οὐδὲ μίαν τῶν ἀντιλήψεων διακρῖναι, ἢ λῦσαι δυναμένους διὰ τὴν νηπιότητα. ὅταν δὲ ὁ λογισμὸς ὑφαδρύνεσθαι μέλλῃ, καὶ τῆς βλάβης ἄρξηται αἰσθάνεσθαι, ἀποστασίαν εὐθὺς ἐννοεῖ καὶ φυγὴν τῆς τοιαύτης δουλείας, κἂν μὲν ἰσχυρὸς γινόμενος τῷ λογισμῷ ταύτην βεβαιώσῃ τὴν κρίσιν, ἐλεύθερος εἰς ἅπαν διαμένει, πικροὺς ἀποδράσας δεσπότας. εἰ δὲ ἀσθενεστέραν τοῦ ἐγχειρήματος ἔχει τὴν κρίσιν, πάλιν αἰχμαλώτους τὰς αἰσθήσεις παραδίδωσιν ἡττημένας τῇ τῶν αἰσθητῶν δυναστείᾳ. καὶ τὴν δουλείαν λοιπὸν τυραννικὴν ὑπομενούσας χωρὶς τινὸς χρηστῆς ἐλπίδος. διὰ τοῦτο γὰρ καὶ οἱ ἐν τῇ ἱστορίᾳ πέντε βασιλεῖς ἡττηθέντες παρὰ τῶν τεσσάρων συνελαύνονται εἰς φρέατα ἀσφάλτου. ἵνα ἡμεῖς μάθωμεν, ὅτι οἱ τοῖς αἰσθητοῖς ἡττημένοι, ὥσπερ βαράθροις ἢ φρέασιν ἑκάστῃ αἰσθήσει, τὸ καθ' αὐτὴν ἐγκαταστρέφουσιν αἰσθητὸν, μηδὲν πλέον τῶν ὁρωμένων ἐννοοῦντες λοιπόν. διὰ τὸ τοῖς γηΐνοις ἐνδῆσαι τὴν ἐπιθυμίαν. καὶ τὴν ἀπόλαυσιν τῶν ἐν τούτοις πραγμάτων ἠγαπηκέναι μᾶλλον τῶν νοητῶν.

CAPVT LIII.

SIc ſeruus, qui Dominum dilexit ſuum, & vxorem, & filios, veram libertatē recuſans, ob cognationem cum rebus corporeis, ſer- *Exod. cap. 11.* nus fit æternus, aurem perforatus ſubula, vt ne auditus ex foramine naturali audiens ſuſcipiat vllatenus libertatis rationem; ſed ſeruus perſeueret continuò præſentium amore captus. Idcircò & manum mulieris apprehendentis verenda, dum certant duo viri, lex amputari iuſ-

ΚΕΦΑΛΑΙΟΝ νγ'.

ΟὟτως καὶ ὁ ἠγαπηκὼς τὸν κύριον ἑαυτοῦ δοῦλος καὶ τὴν γυναῖκα, καὶ τὰ παιδία, τὴν ἀληθῆ παραιτούμενος ἐλευθερίαν, διὰ τὴν πρὸς τὰ σωματικὰ συγγένειαν, δοῦλος αἰώνιος γίνεται, μετατρηθεὶς ὀπητίῳ τὸ οὖς, ἵνα μὴ τῇ φυσικῇ τῆς ἀκοῆς ἀκούων ὀπῇ, δέξηταί ποτε λόγον ἐλευθερίας· ἀλλὰ δοῦλος μένῃ διηνεκῶς τὰ παρόντα ἠγαπηκώς. διὰ τοῦτο καὶ τὴν χεῖρα τῆς ἐπιλαβομένης τῶν διδύμων γυναικὸς, ἐν τῷ μάχεσθαι σὺν δύο ἄνδρας, ἀποκόπτειν ὁ νό-

μένος ἐκλέλυσεν. ὅτι μάχης οὔσης τῶν λογισμῶν περὶ τῆς αἱρέσεως τῶν κοσμικῶν καὶ τῶν οὐρανίων ἀγαθῶν, τούτων ἀφεῖσα τὴν αἵρεσιν· τῶν τῆς γενέσεως ἐδράξατο, καὶ φθορᾶς, διὰ γὰρ τῶν γεννητικῶν τὰ γενέσεως ἐδήλωσε πράγματα. οὐδὲν οὖν ὄφελος τὸ ἀποτάξασθαι τοῖς πράγμασι μὴ ἐπιμένοντας τῇ κρίσει, ἀλλ᾽ ὑποσύρεσθαι πάλιν, καὶ ὑπενδοῦναι τῷ λογισμῷ, καὶ διὰ τοῦτο συνεχῶς ἐπὶ τὰ καταλειφθέντα στρέφεσθαι, καὶ τὴν πρὸς ἐκεῖνα κηρύσσειν προσπάθειαν, ὡς ἡ γυνὴ τοῦ Λώτ· ὑποστραφεῖσα γὰρ ἕστηκεν, ἕως νῦν, ὑπόδειγμα τοῖς ἀπειθοῦσι μεταβληθεῖσα εἰς στήλην ἁλός. τοιοῦτον γὰρ ἡ συνήθεια, ἧς σύμβολον αὕτη, τοὺς ἀναχωρεῖν ἀμεταστρεπτὶ βουλομένους, πρὸς ἑαυτὴν ἐπιστρέφουσα. τί δέ φησι καὶ ὁ κελεύων νόμος τὸν εἰσερχόμενον εἰς τὸν ναὸν μετὰ τὸ τελέσαι τὰς τῆς εὐχῆς, μὴ ἔτι ἐκείνην ἀνακάμπτειν τὴν πύλην, δι᾽ ἧς εἰσελήλυθεν. ἀλλὰ διὰ τῆς ἄντικρυς ἐκπορεύεσθαι ἀνεπίστροφον τὴν κατευθυπορείαν ποιούμενον, ἢ τὸ μὴ χρῆναι τὴν σύντονον τῆς ἐπὶ τὴν ἀρετὴν ὀξύτητος ἐκλύειν ἐνδοιασμοῖς. αἱ γὰρ συνεχεῖς πρὸς τὰ ἀφ᾽ ὧν ἐξεληλύθαμεν, νεύσεις παντελῶς ἀπὸ τῆς συνηθείας ἐπὶ τὰ ὀπίσω ἕλκουσι, καὶ τὴν ἐπὶ τὰ πρόσω χαυνοῦσαι ὁρμὴν, ὅλην ἀντισπῶσι πρὸς ἑαυτὴν, καὶ ὑπονοστῆσαι ἐπὶ τὰ ἀρχαῖα παρασκευάζουσι κακά.

ri iuſſit. quia dum pugna committitur ratiocinationum circa delectū rerum mundanarum, & cæleſtium bonorum; quæ horum electionem dimiſit, excerpſit illa, quæ ad generationem pertinent, atque corruptionem; per vaſa namque generatiua, generationis res demonſtrauit ſcriptura, nihil igitur prodeſt abrenuntiare negotijs eos, qui non perſeuerant in iudicio, ſed ſubtrahuntur denuo, & ſubducuntur ratiocinationi; ideoquè continuò circa derelicta conuertuntur, ſuamque ad illa priorē adnuntiant affectione; quemadmodum vxor Loth cōuerſa nunc vſque ſtetit, exemplum inobedientibus, tranſmutata in ſtatuam ſalis. Sic enim conuerſatio, cuius illa fuit figura, eos, qui volunt ſecedere immutabiliter, ad ſeipsā rurſus conuertit. Quid verò ait etiam lex iubens eum, qui templum ingreditur, poſteaquam ea, quæ ad orationem ſuam ſpectabant, peregit, nequaquā reflectere iter per eādem portam, per quam fuerat ingreſſus, ſed per eā, quæ erat e regione, digredi iter faciendo minimè obuerſum; quām non oportere tenorem viæ celeris ad virtutem diſſoluere ambagibus reciprocis; nam continuæ inclinationes ad ea, e quibus exceſſimus, ex conſuetudine planè trahunt ad ipſa, quæ ſunt iam retrò, & impetum ad illa, quæ antè verſantur vniuerſum, relaxantes obuellunt ad eam, vtque reuertantur ad antiqua vitia præſtant.

Deuter. cap. 25.

Geneſ. cap. 18.

ΚΕΦΑΛΑΙΟΝ νδʹ.

Δεινὸν γὰρ ἡ συνήθεια κατασχεῖν πρὸς ἑαυτὴν, καὶ μὴ συγχωρῆσαι πάλιν ἐπὶ τὴν προτέραν ἕξιν διαναστῆσαι τῆς ἀρετῆς. ἕξις μὲν γὰρ ἀπὸ συνηθείας. ἀπὸ δὲ ἕξεως φύσις ἐγγίνεται· φύσιν δὲ μετακινῆσαι, καὶ μετα-

CAPVT LIV.

EST enim valida conſuetudo, vt ad ſeipſam retrahat, neque permittit in priſtinum virtutis habitum reuerti, habitus quippe a conſuetudine contrahitur, ab habitu verò natura, naturam autem tranſmu-

tranſmutare, atque tranſuertere aſperum eſt; nam quamuis parum inclinetur vi, ocyus tamen ad ſeipſam recurrit, agitata equidem proprijs, e terminis, neque tamen prætergrediens ad perfectionem, niſi rurſus ingens labor ipſi præſtet, vt per eamdem viam recurrat, quò reuertatur in habitum derelictum ex conſuetudine; Vide namque cõſueta ſectantem animam, quomodo ſimulacris inſideat, perinde ac ſi ſeipſam clauis affixerit, ſcilicet informibus materijs; & volenti rationi manuducere ad excelſiora ſimul aſcendendo non adhæreat, dicens. non poſſum reſurgere in conſpectu tuo, quia ſecundum morem mulierum accidit mihi. In rebus enim vitæ ſæcularis a multis annis conquieſcens anima Idolis inſidet, quæ ſunt ex ſeipſis informia quidem, humano verò artificio formã excipiunt, nunquid enim res informes ſunt diuitiæ, & gloria, & reliquę res vitæ ſæcularis nihil habentes perpolitum, neque diſtinctum in artus; ſimilitudine verò affabrè inducta, veritatem mentientes ad ſuſcipiendum mutationes alias ex alijs ſigillatim; nos autem circumponimus ipſis formam, quando his, quæ ad nihil vtile conducunt, circumfingimus vtilem imaginationem per ratiocinationes humanas.

Geneſ. cap. 31.

βουλεῖν χαλεπόν· κἂν γὰρ κλιθῇ μικρὸν βίᾳ, τάχεως πρὸς ἑαυτὴν ἀνατρέχει. σαλευομένη μὲν τῶν οἰκείων ὅρων, οὐ μὴν εἰς τὸ παντελὲς μεταβαίνουσα, εἰ μὴ πάλιν πολὺς πόνος αὐτὴν διὰ τῆς αὐτῆς ὁδοῦ παλινδρομῆσαι παρασκευάσει· ὡς ἐπὶ τὴν καταλειφθεῖσαν ἕξιν ἀπὸ τῆς συνηθείας ἐπανελθεῖν. ὅρα γὰρ τὴν ἐθισμοῖς ἀκολουθοῦσαν ψυχὴν, πῶς εἰδώλοις ἐπικαθέζεται προσηλώσασα ταῖς ἀμόρφοις ὕλαις ἑαυτὴν, καὶ πρὸς τὸν ἐπὶ τὰ ὑψηλότερα χειραγωγεῖν ἐθέλοντα λόγον. οὐ προσιζομένη τὴν συνανάβασιν, λέγουσα. οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι κατὰ θεσμὸν τῶν γυναικῶν μοί ἐστιν. ἡ γὰρ τοῖς τοῦ βίου πράγμασιν ἀπὸ πολλῶν χρόνων ἐπαναπαυομένη ψυχὴ εἰδώλοις ἐπικαθέζεται. τοῖς δὲ ἑαυτῶν μὲν ἀμόρφοις, τέχνῃ δὲ ἀνθρωπίνῃ τὴν μορφὴν δεχομένοις· ἢ γὰρ οὐκ ἄμορφον πρᾶγμα πλοῦτος, καὶ δόξα, καὶ τὰ λοιπὰ τοῦ βίου πράγματα, οὐδὲν ἔχοντα τρανὸν, οὐδὲ διηρθρωμένον. ὁμοιότητι δὲ εὐπαραγώγῳ ψευδόμενα τὴν ἀλήθειαν τῷ καθ' ἑκάστην ἄλλας ἐξ ἄλλων δέχεσθαι τὰς μεταβολάς. μορφὴν δὲ περιτιθέμεθα αὐτοῖς ἡμεῖς, ὅταν τοῖς πρὸς μηδὲν τῶν λυσιτελῶν χρησιμεύουσι χρήσιμον φαντασίαν περιπλάττωμεν διὰ τῶν ἀνθρωπίνων λογισμῶν.

CAPVT LV.

QVando etenim neceſſariam corporis indigentiam protendimus ad magnificentiam inæſtimabilem, noſtris excogitationibus, alimentum mille dulciarijs inſtruentes, veſtimenta in mollitiem, atque luxum ambitioſè, varieque diſtinguentes. Poſt-

ΚΕΦΑΛΑΙΟΝ νε'.

ΟΤαν γὰρ τὴν ἀναγκαίαν τοῦ σώματος χρείαν εἰς ἀμήχανον πλατύνωμεν πολυτέλειαν, τὴν μὲν τροφὴν μυρίοις ἡδύσμασι παραρτύοντες. τὰ δὲ ἐνδύματα πρὸς χλιδὴν καὶ θρύψιν φιλοτίμως ποικίλλοντες. εἶτα ἐγκαλούμενοι περὶ τῆς ματαιότητος ταύτης, ὡς εἰκῇ, καὶ μάτην τὴν δι' ὀλίγων

mo-

πληροῦσθαι δυναμένην χρείαν ἁβροῖς ἀναλώμασι κομποσολεοῦντες ἀπολογίας, ὡς περὶ καθηκόντων τεκταινόμενοι. τί ἕτερον ποιοῦμεν, ἢ ταῖς ἀμόρφοις ὕλαις μορφὴν περιτιθέναι φιλονεικοῦμεν. καλῶς δὲ καὶ ἐπικαθεζομένην τούτοις εἴπομεν τὴν τοιαύτην ψυχήν. ἡ γὰρ περὶ τῶν εἰρημένων τὰς τοιαύτας παρ' ἑαυτῇ κρίσεις βεβαιώσασα ψυχή, προσηλοῦται τοῖς τῇ δὲ πράγμασιν εἰδώλοις λοιπόν, καὶ οὐκ ἀληθείᾳ δουλεύουσα. καὶ ταύτῃ οὐ διαναστῆναι δυναμένη· καὶ τοῖς ἐθισμοῖς ὥσπερ ἐμμηνίῳ ἀκαθαρσίᾳ τὴν τούτων φύσιν μολύνουσα. τὸ δὲ καθέζεσθαι ἀργίαν τῶν καλῶν καὶ φιληδονίαν ἡ γραφὴ ἐνταῦθα λέγει. ἀργίαν μὲν, ὅταν λέγῃ, καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ· καὶ τὸ σκότος γὰρ, καὶ ἡ πέδη κώλυμα ἐργασίας εἰσί. φιληδονίαν δὲ ὅταν εἴπῃ περὶ τῶν στραφέντων τῇ καρδίᾳ εἰς Αἴγυπτον καὶ πρὸς ἀλλήλους λεγόντων. ἐμνήσθημεν, ὅταν ἐκαθήμεθα ἐπὶ τῶν λεβήτων τῶν κρεῶν, καὶ ἠσθίομεν κρέα εἰς πλησμονήν. ὄντως γὰρ ἐπὶ λεβήτων καθέζονται τῷ ὑγρῷ καὶ ἀπαύστῳ θέρμῃ τὰς ὀρέξεις ἀναχαιόμενοι. φιληδονίας δὲ ἡ γαστριμαργία μήτηρ. αὕτη γὰρ τίκτει φιληδονίαν, τάχα δὲ καὶ πολλὰ τῶν ἄλλων παθῶν. ἀπὸ γὰρ ταύτης, ὡς ῥίζης, ἀνατρέχουσι βλαστήματα τὰ λοιπὰ πάθη, καὶ κατὰ μικρὸν τῇ τεκούσῃ προσαναδενδρούμενα οὐρανομήκεις στελεχοῦσι κακίας. φιλοχρηματία γὰρ, καὶ θυμὸς, καὶ λύπη γαστριμαργίας εἰσὶν ἔκγονα, καὶ βλαστοί. χρεία γὰρ πρῶτον χρημάτων τῷ γαστριμάργῳ πρὸς τὸ τὴν ἐπιθυμίαν ἀεὶ φλεγμαίνουσαν πληροῦν. εἰ καὶ αὐτὴ μηδέποτε πληροῦται. πρὸς δὲ τοὺς ἐμποδίζοντας τῇ τούτων κτήσει; ἀνάγκη κινεῖσθαι τὸ θυμικὸν, λύπη δὲ ἐξ ἀνάγκης ἕπεται

modum accuſati de vanitate iſta, vti fruſtrà, & vanè indigentiam, quæ paucis expleri poteſt, delicatis impendijs iactatoriè amicientes, defenſiones vti de rebus, quæ ſic deceant, fabricamur. Ecquid aliud agimus, quam informibus materijs formam circumponere contédimus; præclarè vero, & illis inſidentem diximus huiuſmodi animam. Illa quippe ſecundum ea, quæ diximus, anima, hæc apud ſeipſam iudicia cum firmauerit, affigitur vti clauis deinceps his rebus quaſi, ſimulacris, neq; veritati deſeruiens, & per illã neutiquã redire valens, & cõſuetudinibus quemadmodũ impuritate menſtruorum naturam ipſarum coinquinans; ſedere autem pigritiam ab honeſtis rebus, & amorem voluptatis inibi dicit ſcriptura, pigritiam quidem, cum dicit. ſedentes in tenebris, & in vmbra mortis, vinctos in mendicitate & ferro. *Pſalm. 106.* Tenebræ namque, & compedes ſunt impedimentum operum. Voluptatis verò amorem, quando inquit. de his, qui corde in Aegyptum vertebantur, & dicebant inuicem. meminimus quando ſedebamus ſuper ollas carnium, & ad ſaturitatem comedebamus carnem; *Exod. cap. 16.* verè quippe ſuper ollas ſedent voluptatis amantes humido, & irrequieto calore ſuccẽdẽtes cupiditates. mater enim amoris voluptatis eſt ſaturitas, ipſa enim gignit libidinem, celeriter verò & plurimas alias paſſiones; ab hac enim, tamquam a radice germina, repullulant cæteræ paſſiones, & paruo tempore ſuper parentem velut arbores proceræ vſque ad cælum aſcendentes emittunt ſtolonum inſtar iniquitates. Auaritia etenim & iracundiã, & dolor ſunt gulæ progenies & germina; indigentia quippe pecuniarum inprimis gulo-

guloſo ineſt ad explendam cupiditatem ſemper exardeſcentem, etſi nunquam illa impleatur; Aduerſus verò illos, qui huiuſcemodi acquiſitionem impediunt, neceſſum eſt commoueri vim iraſcibilem, conſequitur porrò neceſſario dolor irā, quæ ob infirmitatem non peruenit ad effectum; etenim ea progreditur in pectus & in ventrem; cum habet quidem materias voluptatum efficaces, in ventrem prodit; quando verò hiſce orbatur, ſerpit in pectus, vbi eſt iracundia; amantes etenim voluptatum voluptatibus priuati iraſcuntur, & exacerbantur.

τῷ μὴ εἰς ἔργον δι' ἀσθένειαν προελθόντι θυμῷ. καὶ γὰρ ὁ ἐπὶ τῷ στήθει, καὶ τῇ κοιλίᾳ προβαινόμενος, ὅταν μὲν ἔχῃ τὰς ποιητικὰς τῶν ἡδονῶν ὕλας ἐπὶ γαστέρα προβαίνεται. ὅταν δὲ τούτων ἀπορῇ, ἕρπει ἐπὶ τὸ στῆθος, ὅπου ὁ θυμός ἐστι· γὰρ φιλήδονοι στερούμενοι τῶν ἡδονῶν ὀργίζονται καὶ πικραίνονται.

CAPVT LVI.

Exod. cap. 8. VNde magnus Moyſes Rationale imponit pectori ſacerdotis per figuras patefaciens, quod oporteat cum iudicio, iraſcibilis paſſionis impetus tamquam fræno cohibere ratiocinatione; nā Rationale, iudicij eſt rationale, & iſte quidem, qui dominatur ratione paſſioni, imperfectus eſt, Moyſes autem perfectus vniuerſum iraſcibile tollit, nec enim Rationale fert, ſed ipſum pectuſculum aufert. Accipiens enim (ait) pectuſculum extulit, id coram Domino imponens. Alij verò ſunt, qui nec exſcindunt vniuerſū iraſcibile, neque dominantur paſſioni ratione, verum labore ſuperiores euadunt; hi autem ſunt, qui pectuſculum cum brachio auferunt. brachium nempe laboris & operis ſignum eſt. Similiter autem & in ventrem tendere voluptatem veriſſimum eſt; ipſe namque voluptatum ferè cauſſa eſt. impleto nimirum ventre & aliarum voluptatum vehementes fiunt appetitus; indigente verò quietæ, & ſtabiliores permanent. Atque hinc diſcrimen exſtat progredientis, & perfecti. Moyſes enim perfectè voluptatem eduliorum

c. 8. Leuit.

ΚΕΦΑΛ. νϛʹ.

Ὅθεν ὁ μέγας Μωϋσῆς λόγιον ἐπιτίθησι τῷ στήθει τοῦ ἱερέως διὰ συμβόλων παραδηλῶν, ὅτι δεῖ κεκριμένως τὰς ὁρμὰς τοῦ θυμικοῦ πάθους ἡνιοχεῖν τῷ λογισμῷ. τὸ γὰρ λόγιον κρίσεως λογικόν ἐστι. καὶ οὗτος μὲν λόγῳ κρατεῖ τοῦ πάθους ἀτελής ἐστιν. ὁ δὲ τέλειος Μωϋσῆς ὅλον ἀφαιρεῖ τὸ θυμικόν. οὐ γὰρ τὸ λόγιον φέρει, ἀλλ' αὐτὸ τὸ στηθύνιον ἀφαιρεῖ. λαβὼν γάρ φησι τὸ στηθύνιον ἀφεῖλεν αὐτὸ ἐπίθεμα ἐναντίον Κυρίου. ἕτεροι δέ εἰσιν οὐ μήτε ὅλον ἐκτεμόντες τὸν θυμόν, μήτε λόγῳ κρατοῦντες τοῦ πάθους. ἀλλὰ πόνῳ περιγινόμενοι· οὗτοι δέ εἰσιν οἱ τὸ στηθύνιον σὺν τῷ βραχίονι ἀφαιροῦντες. βραχίων γὰρ πόνου καὶ ἐργασίας σημεῖόν ἐστιν. ὁμοίως δὲ καὶ τὸ ἐπὶ κοιλίας προβαίνεσθαι τὴν ἡδονὴν ἀληθέστατον ἔχει. σχεδὸν γὰρ τῶν ἡδονῶν αἰτία ἐστὶν αὕτη. πληρωθείσης γὰρ γαστρὸς, ὀρέξεις καὶ τῶν ἄλλων ἡδονῶν γίνονται σύντονοι· ἐνδεῶς δὲ ἐχούσης ἠρεμοῦσι, καὶ σταθερώτεραι μένουσι. κἀνταῦθα δέ ἐστι διαφορὰ προκόπτοντος, καὶ τελείου. Μωϋσῆς μὲν γὰρ τελείως τὴν τῶν βρωμάτων ἡδονὴν ἀπορριπτόμενος, τὴν κοιλίαν

καὶ τοὺς πόδας ἔπλυνεν ὕδατι. κοιλίαν μὲν τὴν ἡδονὴν, πόδας δὲ τὰς ἐπιβάσεις, καὶ προκοπὰς αἰνιττόμενος. ὁ δὲ προκόπτων τὰ ἐν τῇ κοιλίᾳ πλύνει, οὐ τὴν ὅλην κοιλίαν. καὶ τὸ, ἔπλυνε μὲν, καὶ τὸ, πλυνοῦσι, πολλὴν ἔχουσι τὴν διαφοράν. τὸ μὲν γὰρ ἦν ἑκούσιον, τὸ δὲ ἐκ προστάξεως περαινόμενον.

liorũ abijciens, vẽtrẽ, ſiue inteſtina, & pedes abluit aqua, per ventrem quidem voluptatem per pedes verò progreſſus, & profectus obſcurè deſignans. Qui verò proficit, lauat quæ in ventre, nõ vniuerſum ventrem. Et quod lauit ille, & quod lauabunt iſti, magnum habet diſcrimen; illud enim voluntarium fuit; iſtud verò ex præcepto perficitur. *Leu. 8. & 9.*

ΚΕΦΑΛΑΙΟΝ. νζ.

Δεῖ γὰρ τὸν μὲν τέλειον αὐτοκελεύστῳ προθυμίᾳ πρὸς τὰς καθ' ἀρετὴν κινεῖσθαι πράξεις, τὸν δὲ προκόπτοντα παραινέσει τοῦ ὑφηγουμένου πειθόμενον. Σφόδρα δὲ διατετηρημένως τὸ μὲν στηθύνιον ὅλον ἀφαιρεῖν, τὴν δὲ κοιλίαν οὐκ ἀφαιρεῖν, πλύνειν δέ. ὁ γὰρ σοφὸς ὅλον μὲν τὸν θυμὸν ἰσχύει παραιτήσασθαι καὶ ἀποκόψαι, τὴν δὲ κοιλίαν ἐκτεμεῖν ἀδυνατεῖ. τοῖς γὰρ ἀναγκαίοις σιτίοις ἡ φύσις βιάζεται χρῆσθαι καὶ τὸν ἐγκρατέστατον. τῆς δὲ μὴ στοιχησάσης τῷ ὀρθῷ καὶ μονίμῳ λόγῳ ψυχῆς, ἀλλὰ ψυχικαῖς φθαρείσης ἡδοναῖς, διὰ τοῦτο πίμπραται ἡ κοιλία, ἐπειδήπερ κἂν αἱ τοῦ σώματος ὑποπλησθῶσι δεξαμεναὶ, μένει διψαλέος ἡ ἐπιθυμία, ἀκολουθεῖ δὲ τὸ πρησθῆναι τὴν κοιλίαν διὰ τὸ πεσεῖν τὸν μηρόν. ἀτονεῖ γὰρ ἡ διάνοια πρὸς τὴν καλῶν γένεσιν. φλεγμαινούσης γὰρ τῆς γαστρὸς ἐκ τῆς τῶν βρωμάτων πολυτελείας, καὶ τοὺς πνευματικοὺς παραλύεται τόνους. τούτους γὰρ διὰ τοῦ μηροῦ ὁ νομικὸς ἠνίξατο λόγος. Οὐκοῦν ὁ μὲν φιλήδονος ἐπὶ κοιλίαν πορεύεται ὅλος ἐπὶ τὰς ἀπολαυστικὰς καταῤῥεούσας ἡδονάς. ὁ δὲ ἀρχόμενος τοῦ κατ' ἀρετὴν βίου, τὸ στέαρ τῆς κοιλίας περιαιρεῖ, τὰς παγνούσας τὸ σῶμα παραι-

CAPVT LVII.

Oportet namque, perfectum ſpontaneo animi motu ad actiones ſecundum virtutem excitari; proficientem verò exhortatione, obedientem adhortationi gubernantis. Valdè verò, diligenterque pectuſculum totum auferre decet, vẽtrem autem non tollere, lauare opus eſt: nam ſapiens omnem quidem iracundiam repudiare, atque delere valet; ventrem verò exſcindere haud poteſt: neceſſarijs quippe alimẽtis natura vti cogit & temperãtiſſimum. Anima verò non collineante ad rectam, & vnicam rationem, ſed corrupta voluptatibus animalibus, propterea comburitur venter; quoniam etſi corporis artus ſuſcipientes ſeù receptacula ſuperimplẽtur, manet ſitibundus appetitus, ſubſequitur verò poſt ventrem exuſtũ, ideò concidere femur; torpet enim mens ad honeſtarũ rerũ generationẽ ventre propter apparatũ ciborũ delicatũ inflammato, & diſſoluuntur intenſiones ſpiritales; has enim per femur ſermo legis ſignificauit ænigmatice. Nonne igitur voluptatis amans procedit in ventrem, defluenſque totus præceps in delicias luxurioſas? Qui verò aggreditur vitam degere ſecundum virtutem, circumtollit adipem ventris, *Exodi cap. 29.*

recuſans alimenta corpus impinguantia. Et proficiens quidem, quæ in vêtre ſunt, lauat, perfectus autem vniuerſum proluit ventrê, quæ ſunt ſuperuacanea vſui neceſſario penitùs abijciens.

τούμενος τροφάς. καὶ ὁ μὲν προκόπτων, τὰ ἐν τῇ κοιλίᾳ πλύνει, ὁ δὲ τέλειος ὅλην ἐκπλύνει τὴν κοιλίαν, τὰ περιττὰ τῆς ἀναγκαίας χρείας παντελῶς ἀποῤῥιπτόμενος.

CAPVT LVIII.

Valdè verò appoſitè additur ſuper pectus, atque ventrem, Gradieris. Voluptas quippe non conſtantium, & quieſcentium, ſed commotorum, turbulentiaquè refertorum eſt. Magis autem in his gula connaſcitur venerearum rerum motio. Vnde natura paſſionũ iſtarum oſtendere volens ſocietatem, quæ ſub ventre ſita ſunt vocauit inſtrumenta ſubſtantialia, ſiue ſubſtantiæ inhærentia, e proximitate connexionem ſignificans. Si enim paſſio debilitetur iſta, ex egeſtate ſuprà poſiti debilitatur; ſin autem laſciuiat, & promoueatur, inde vim habet ſuperinuectam. Neque verò horum ſolummodò gula gubernatrix eſt, atque lactatrix, ſed & rerum omnium honeſtarum expultrix. Illa quippe imperante, & principatum inuadente, cadere, depellique res honeſtæ conſueuere, continentia, temperantia, fortitudo, patientia, & reliquæ virtutes omnes. Nam id obſcurè Hieremias declarauit dicens, quod deſtruxit per gyrum muros Hieruſalem princeps coquorum Babyloniorum; appellans gulæ paſſionem principem coquorum. Sicut enim princeps coquorum omne ſtudium adhibet, vt ventri famuletur, & artes excogitat mille, fabricans voluptates: ita & gula omnem admouet machinam ſubſeruiens voluptati aduersùs famem; tollit verò, affli-

Geneſ. Cap. 3.

Hierem. cap. 52.

ΚΕΦΑΛ. νη.

Πάνυ δὲ προσφυῶς τῷ, ἐπὶ τῷ στήθει, καὶ τῇ κοιλίᾳ, προσκεῖται τὸ· πορεύσῃ· ἡ γὰρ ἡδονὴ οὐ τῶν ἱσταμένων καὶ ἠρεμούντων, ἀλλὰ τῶν κινουμένων, καὶ ταραχῆς γεμόντων ἐστί. Μᾶλλον δὲ περὶ τούτων γαστριμαργία συζυγεστέρα ἡ τῶν ἀφροδισίων κίνησις· παρ᾽ ὧν καὶ ἡ φύσις τὴν οἰκειότητα τούτων δεῖξαι βουλομένη τῶν παθῶν, ὑπογάστρια τὰ συνουσιαστικὰ κέκληκεν ὄργανα, ἐκ τῆς ἐγγύτητος τὴν ἀγχιστείαν σημαίνουσα. Ἄν τε γὰρ ἀσθενῇ τοῦτο τὸ πάθος, ἐκ τῆς τοῦ ὑπερκειμένου ἐνδείας ἀσθενεῖ, ἄν τε σφριγᾷ καὶ διακεκίνηται, ἐκεῖθεν ἐπιχορηγουμένην ἔχει τὴν δύναμιν. Οὐ μόνον δὲ τούτων ἡ γαστριμαργία ἐστὶ ἔφορος καὶ τιθηνός, ἀλλὰ καὶ πάντων καθαιρετικὴ τῶν καλῶν. κρατούσης γὰρ ταύτης, καὶ τὴν ἀρχὴν ἀνῃρημένης, πίπτειν καὶ καθαιρεῖσθαι τὰ καλὰ πέφυκεν, ἐγκράτεια, σωφροσύνη, ἀνδρία, καρτερία, καὶ αἱ λοιπαὶ πᾶσαι ἀρεταί. Τοῦτο γὰρ αἰνιγματωδῶς Ἱερεμίας ἐδήλωσεν εἰπών, ὅτι καθεῖλε κύκλῳ τὸ τεῖχος Ἱερουσαλὴμ ὁ ἀρχιμάγειρος τῶν Βαβυλωνίων, τὸ τῆς γαστριμαργίας πάθος ἀρχιμάγειρον προσειπών. ὡς γὰρ ὁ ἀρχιμάγειρος πᾶσαν ἔχων σπουδὴν γαστέρα θεραπεύσαι, καὶ τέχνας ἐπινοεῖ μυρίας, ἡδονὰς δημιουργῶν· οὕτως ἡ γαστριμαργία πᾶσαν κινεῖ μηχανὴν ὑπηρετοῦσα τῇ κατὰ τὸν λαιμὸν ἡδονῇ, καθαιρεῖ τε, καὶ ἐδαφίζει τὴν

ὀχυρότητα τῶν ἀρετῶν ἡ τῶν βρωμάτων ποικιλία.

affligitque ſolo virtutum firmitatem varietas eduliorum.

ΚΕΦΑΛΑΙΟΝ νθ'.

ΤΑ γὰρ ἡδύσματα, καὶ παραρτύματα τῆς ἤδη καλῶς ἐστηριγμένης ἀρετῆς ἑλεπόλεις εἰσὶ καὶ μηχανήματα, τὸ πάγιον αὐτῆς, καὶ βέβαιον διασείοντα, καὶ καταβάλλοντα. Ὡς δὲ ἡ πολυτέλεια καθαιρετικὴ τῶν ἀρετῶν ἐστι, οὕτως πάλιν ἡ εὐτέλεια τὰ τῆς κακίας καταλύειν ὀχυρώματα πέφυκεν. Ὥσπερ γὰρ τὸ τεῖχος Ἱερουσαλὴμ τῆς εἰρηνικῆς ψυχῆς ὁ τῶν Βαβυλωνίων καθεῖλεν ἀρχιμάγειρος πρὸς τὰς ἡδονὰς τῆς σαρκὸς τῇ ὀψαρτυτικῇ προσαναρρήξας τέχνῃ· οὕτω καὶ μαγὶς ἄρτου κριθίνου τῶν Ἰσραηλιτῶν κυλιομένη τὰς σκηνὰς κατέβαλε τῶν Μαδιανιτῶν. ἡ γὰρ εὐτελὴς δίαιτα κυλιομένη, καὶ προκόπτουσα ἐπὶ πολὺ καταλύει τὰ τῆς πορνείας παθήματα. Μαδιανῖται γὰρ τῶν τῆς πορνείας παθῶν φέρουσι σύμβολον. οὗτοι γάρ εἰσι οἱ τὰς πορνείας ἐπαγαγόντες τῷ Ἰσραὴλ, καὶ πολὺ πλῆθος ἀπατήσαντες τῶν νέων. Πάνυ δὲ προσφυῶς σκηνὰς εἶπε μὲν ἡ γραφὴ τοὺς Μαδιανίτας ἔχειν, τεῖχος δὲ τὴν Ἱερουσαλὴμ· πάντα γὰρ τὰ περιέχοντα τὴν ἀρετὴν ἐρηρεισμένα ἐστὶ, καὶ βέβαια· τὰ δὲ τὴν κακίαν συνέχοντα, σχῆμά ἐστι καὶ σκηνὴ, φαντασίας οὐδὲν διαφέροντα.

CAPVT LIX.

VIrtutis enim pulchrè iam conſtabilitæ, expugnatrices machinæ, & tormenta ſunt condimenta, & compoſitiones ciborum, quæ ipſius ſtabilitatem, & firmitatem concutiunt, atque diſijciunt. Vti verò ſuperabundātia, virtutum exterminatrix eſt; ita rurſùs parſimonia diſſoluere ſolet malitiæ munitiones. Quemadmodum enim murum Hieruſalem animæ pacificæ deſtruxit princeps coquorum arte obſoniorum apparatrice carnis ad voluptates diſtringens: ſic & lanx panis hordeaci Iſraelitarum conuoluta, Madianitarum diſiecit tabernacula. *Iudic. cap. 7.* Volutus enim victus parabilis, & proficiens, vt plurimum, affectus impudicitiæ diſſoluit. Madianitæ quippe figuram paſſionum impudicitiæ præferunt. Ipſi etenim ſunt, qui proſtibula inducentes in Iſrael, multitudinem plurimam deceperunt iuuenum. Dixit verò Scriptura valdè eleganter, tabernacula habere Madianitas, murum autem Hieruſalem: quæcumque nempe virtutem circumplectuntur, firma ſunt, atque ſtabilia; quæ autem vitium continent, ſpecies ſunt, & tentorium, nihilque differunt ab his, quæ tantum apparent.

ΚΕΦΑΛΑΙΟΝ ξ'.

ΔΙὰ τοῦτο τὰς πόλεις ἔφυγον οἱ ἅγιοι, καὶ τὰς συντυχίας ἐξετρέποντο τῶν πολλῶν, μᾶλλον δὲ λοιμικῆς νόσου φθοροποιὸν εἰδότες τὴν τῶν διεφθαρμένων ἀνθρώπων συνδιαί-

CAPVT LX.

IDeo Sancti fugerunt vrbes, & congreſſus multorum auerſati ſunt, peſtilentiæ morbo magis exitialem corruptorum hominum cōuictum ſcientes. Idcircò nihil aſſumen-

ſumentes, dimiſerunt poſſeſſiones incultas, renuentes eam, quæ prouenit ex illis, animi diſtractionem. Eã ob rem Helias derelinquẽs Iudæam,incolebat Carmelium montem deſertum, & feris refertum,& præter arbores ad nutrimenti ſolamen nihil habens; contentus enim erat ſummitatibus arborum, hiſce neceſſitatẽ explens indigentiæ. Eliſſæus autem ſimiliter huiuſmodi viuendi modum ſectatus eſt, alijs cum rebus præclaris, & locum deſertum prædiligendo, in ſeceſſu ſucceſſit magiſtro ſuo.

Matth. cap. 3. Et Ioannes quidem habitans in ſolitudine Iordanis locuſtas comedebat, & mel ſilueſtre, oſtentans multis non difficilẽ paratu ad vitã corporis ſuſtentationẽ, & ipſis exprobrans oneroſã delectationẽ. Fortè verò & vniuerſim huiuſmodi legem ponit Moyſes circà Manna Iſraelitis prænuntians illud de die

Exod. cap. 16. in diem legere, ſolummodò quotidianum occultè iubens eſſe victum humanum, non ante præparatum:decere arbitratus hoc vnum, naturam rationalem contentam eſſe obuijs, cæterorum promum condum fore Chriſtum. At prouidens anteà iſta, videtur diffidere Dei gratiæ, quaſi non vndique perpluenti in homines perennia dona.

τησιν. διὰ τοῦτο μηδὲν λαβόντες, μηλοβότους τὰς κτήσεις ἠφίεσαν, ὡς ἐκ τούτων περισπασμὸν παραιτούμενοι. Διὰ τοῦτο ὁ Ἡλίας καταλιπὼν τὴν Ἰουδαίαν ᾤκει τὸ Καρμήλιον ὄρος ἔρημον, καὶ θηρίων πεπληρωμένον, καὶ πλὴν δένδρων εἰς παραμύθιον τροφῆς ἔχων οὐδέν. ἤρκει τοῦτο γὰρ τοῖς ἀκροδρύοις, τούτοις τὴν ἀναγκαίαν τῆς χρείας πληροφορῶν. Ὁ δὲ Ἐλισσαῖος ὁμοίως τὴν αὐτὴν εἶχε διαγωγήν, μετὰ τῶν ἄλλων καλῶν καὶ τὸ ταῖς ἐρήμοις ἐμφιλοχωρεῖν παρὰ τοῦ διδασκάλου διαδεξάμενος. Καὶ ὁ Ἰωάννης μὲν τὴν ἔρημον οἰκῶν τοῦ Ἰορδάνου, ἀκρίδας ἤσθιε, καὶ μέλι ἄγριον, δεικνὺς τοῖς πολλοῖς τὸ ἀταλαίπωρον τῆς περὶ ζωὴν χρείας τοῦ σώματος, καὶ ὀνειδίζων αὐτοῖς τὴν πεφορτισμένην ἀπόλαυσιν. Τάχα δὲ καὶ καθολικῶς τοιοῦτον ὁ Μωϋσῆς τίθησι νόμον περὶ τοῦ μάννα τοῖς Ἰσραηλίταις παραγγέλλων τὸ τῆς ἡμέρας εἰς ἡμέραν ἄγειν, μόνον ἐφήμερον κεκρυμμένως κελεύων εἶναι τὸν ἀνθρώπινον βίον, οὐκ ἐμπαρασκευον· πρέπειν ἡγούμενος τοῦτο λογικῇ φύσει, τὸ ἀρκεσθέντα τοῖς παρατυχοῦσι, τῶν λοιπῶν ταμίαν εἶναι τὸν Χριστόν, ἢ πρόνοιαν ποιούμενος τῶν ἔμπροσθεν, τῷ δὲ δοκεῖν ἀπιστεῖν τῇ τοῦ Θεοῦ χάριτι, ὡς μὴ πάντοτε ἐμβρυούσῃ τοῖς ἀνθρώποις τὰς ἀενάους δωρεάς.

CAPVT LXI.

ΚΕΦΑΛΑΙΟΝ ξα'.

VTque ſummatim dicam; ideò Sancti omnes, quibus dignus non erat mundus, dereliquerunt terram habitatam, in ſolitudinibus errantes, & montibus, & ſpeluncis, & foraminibus terræ, & pertranſierunt in melotis, & pelli-

Ad Hebr. c. 11 bus caprinis deſtituti, attriti, male habiti,vitia hominum inolita refugien-

ΚΑὶ συλλήβδην εἰπεῖν. διὰ τοῦτο πάντες οἱ ἅγιοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, κατέλιπον τὴν οἰκουμένην ἐπ' ἐρημίας πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, καὶ περιῆλθον, ἐν μηλωταῖς ἐν αἰγείοις δέρμασιν ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, τὰς μὲν χερσαίας τῶν ἀνθρώπων ἀποδιδράσκοντες κακίας, καὶ

τῶν κατὰ τὰς πόλεις πλημμυρούντων ἀλλοκότων πραγμάτων, ὡς ἂν μὴ τῇ ῥύμῃ τῆς φορᾶς, καθάπερ ὑπὸ χειμάῤῥου βίας εἰς τὴν τῶν πολλῶν παρενεχθῶσιν ἀδιάφορον ἀνάχυσιν. χαίροντες δὲ τῇ μετὰ τῶν θηρίων διαγωγῇ, καὶ τὴν ἐκ τούτων βλάβην ἐλάττονα τῆς ἐκ τῶν ἀνθρώπων κρίνοντες, μᾶλλον δὲ ἀνθρώπους μὲν ὡς ἐπιβούλους φεύγοντες, θαῤῥοῦντες δὲ τοῖς θηρίοις ὡς φίλοις, οὔτε γὰρ διδάσκει κακίαν ἐκεῖνα, καὶ τὴν ἀρετὴν τέθηπε, καὶ τιμᾷ. Οὕτω γοῦν τὸν Δανιὴλ ἀπώλεσαν μὲν ὡς ἐδόκουν οἱ ἄνθρωποι, περιέσωσαν δὲ λέοντες, τὸν ἐκ βασκανίας ἀδίκως κατακριθέντα αὐτοὶ φυλάξαντες, καὶ δικαιοσύνην τοῖς ἀνθρώποις παραβραβευθεῖσαν, τὴν ὀρθὴν περὶ τοῦ ἀδίκως κατακριθέντος κρίσιν ἀνακηρύξαντες· καὶ γέγονεν ἡ ἀρετὴ τοῦ ἀνδρὸς τοῖς μὲν ἀνθρώποις φθόνου, καὶ ἔριδος ὑπόθεσις, τοῖς δὲ θηρίοις αἰδοῦς, καὶ τιμῆς ἀφορμή. ὅσοις οὖν ὁ τῆς βελτιώσεως ἔρως ἐνέσπαρται.

gientes, & exundantia negotia aliena, quæ circà vrbes ſunt, vt ne impetu curſus delati, quemadmodum a torrentis violentia, in multorum indiſcretam confuſionem præterueherentur: gaudentes autem ferarum conuerſatione, & eam, quam poſſent ab ipſis accipere noxam, minorem ea, quam homines inferrent, iudicanres; magis quidem fugiendo homines velut inſidiatores, belluis verò vt amicis audenter fidendo; nec enim illæ malitiam docent, & virtutem admiratæ ſunt, & colunt. Sic ergo Danielem perdiderunt quidem (vt videbanrur) homines, ſeruauerunt verò Leones, iniuſtè condemnatum ex inuidia cuſtodientes ipſi; *Daniel. cap. 14.* & cum iuſtitiam homines defraudaſſent, ipſi rectum de iniuſtè condemnato iudicium denuo pronuntiarunt: & fuit virtus viri hominibus quidem inuidiæ, contentioniſque mareries, belluis verò reuerentiæ, arque honoris incitamentum; Quantis igitur inſitus fuit amor melioris profectus.

ΚΕΦΑΛΑΙΟΝ ξβʹ.

Ζηλώσωμεν τὰς τῶν ἁγίων ἀρετὰς, καὶ τῆς δουλείας τῶν τοῦ σώματος ἐπιταγμάτων ἀποστάντες, ἐλευθερίαν μεταδιώξωμεν, ὡς τὸν ὑπὸ τοῦ δημιουργοῦ ἀφεθέντα ἐν ἐρήμῳ ἄγριον ὄνον, καὶ μέμψιν φορολόγου οὐκ ἀκούοντα, καὶ καταγελῶντα πολυοχλίας πόλεως. Κἂν μέχρι τοῦ νῦν ἀχθοφορεῖν παρεσκευάσμεθα, πάθεσιν αὐτὸν κακίας ὑποζεύξαντες, ἀλλὰ γοῦν λυσώμεθα τῶν δεσμῶν, κἂν ἀντιλέγωσιν οἱ μὴ φύσει κύριοι, ἀλλ' ἐκ συνηθείας τὴν δεσποτείαν ἐπικτησά-

CAPVT LXII.

AEmulemur Sanctorum virtutes, & deſciſcentes a ſeruitute corporeorum imperiorum, libertatem conſequamur, & ab orbis conditore dimiſſum in ſolitudine aſinum ſilueſtrem, nec audiétem eius, qui tributum exigit, querelã, vrbiſque tumultus deridentem. *Iob. cap. 39.* Et ſi huc uſque ad onera ferenda parati fuimus, ipſum paſſionibus vitiorum ſubiugantes; at nunc vincula tandem ergo ſoluamus: contradicant licèt qui non domini ex natura, ſed ex conſuetudine dominium vſurparunt, omninò audientes, ſi audiant, nos non lingua ſolum,

& nu-

& nuda voce, verum ex mandato dicentes, quod Dominus his opus habet. Statim dimittent illum, vt Apoſtolicis exornatus indumentis vehiculum fiat Verbi, aut in antiquam poſſeſsionem Verbi reſolutus, retrò quærat viriditatem omnem, hoc eſt ſequutus eos, qui ſugunt Diuinam ſcripturam, deducatur dictis eius in vitam incomprehenſibilem, & plurimum cibũ, ſimulq; delectatioñe decerpẽs. Conquirendum verò & quomodo quærit omnẽ viriditatẽ in ſolitudine a Deo dimiſſus ſilueſter aſinus, pro habitaculo habens ſolitudinem ipſã, & pro tẽtorio ſalſuginẽ: cũ ſalſugo, atque ſolitudo ad herbæ generationem, vt plurimum, non valdè ſint aptæ. Niſi quis dicat, quod qui paſſiones deſeruit, idoneus exiſtit ad quærendam Diuinis in ſermonibus contemplationem, poſteaquam depulit humorem paſſionum.

Matth. cap. 21.

μενοι, πάντως ἀκούοντες, εἰ ἀκούσειεν, μὴ γλώττῃ μόνον καὶ ψιλῇ φωνῇ, ἀλλὰ διαθέσει λεγόντων ἡμῶν, ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει. Εὐθέως ἀποστελλοῦσιν αὐτόν, ἵνα κατακοσμηθεὶς τοῖς Ἀποστολικοῖς ἱματίοις, ὄχημα τοῦ Λόγου γένηται, ἢ εἰς τὴν ἀρχαίαν τοῦ Λόγου ἀπολυθεὶς νομήν, ὀπίσω παντὸς χλωροῦ ζητῇ, ὅπερ ἐστὶ τοῖς τεθηλόσι τῆς θείας γραφῆς ἑπόμενος, ἐν τοῖς ὁδηγεῖσθαι εἰς ἀνεπίληπτον βίον, καὶ τροφὴν ὁμοῦ καὶ τέρψιν καρπούμενος πολλήν. Ἅμα δὲ καὶ ζητητέον, πῶς ὀπίσω παντὸς χλωροῦ ζητεῖ ὁ ἐν ἐρήμῳ ἀφεθεὶς παρὰ τοῦ Θεοῦ ἄγριος ὄνος, τὴν δίαιταν ἔχων ἔρημον καὶ τὸ σκήνωμα ἁλμυρίδας· τῆς ἁλμυρίδος καὶ τῆς ἐρήμου, ὡς ἐπὶ τὸ πλεῖστον, οὐ πάνυ πρὸς πόας γένεσιν οὔσης ἐπιτηδείου. εἰ μὴ ἄρα τις εἴποι, τὸν ἔρημον παθῶν ἱκανὸν εἶναι ζητεῖν τὴν ἐν τοῖς θείοις λόγοις θεωρίαν, μετὰ τὸ ἐξαλωθῆναι τὴν τῶν παθῶν ὑγρασίαν.

CAPVT LXIII.

Derelinquamus ergo negotia ſæcularia, & ad animæ bona reclinemur. Quamdiù puerilibus adhæremus ludicris, nullatenus reſumentes virilem prudentiã? Quamdiu debilius omninò infantibus operamur, neque ab his ad progreſſum maiorum manuducti? Illi namque mutantes ætatem, quas habent ad ludicra diſpoſitiones commutant, & facilè, quam habebant ad materias propenſionem, dimittunt. Nuces etenim ipſis forſitan, & oſsiculi, & globi ſunt pueritiæ materia, illiſque afficiuntur, donec prudentiam perfectam ſunt aſſequuti; honori ducentes illa præparare. Sin verò quis progreſſus eua-

ΚΕΦΑΛ. ξγ΄.

Καταλίπωμεν τὰ βιωτικὰ πράγματα, καὶ πρὸς τὰ τῆς ψυχῆς ἀνανεύσωμεν ἀγαθά. Ἕως πότε τοῖς παιδικοῖς ἀθύρμασι παραμυθούμενοι, ἀνδρεῖον οὐδέποτε ἀναλαμβάνοντες φρόνημα; Ἕως πότε τῶν κομιδῇ νηπίων ἀσθενέστερον πράττομεν, οὐδὲ παρ' ἐκείνων εἰς προκοπὴν τῶν μειζόνων χειραγωγούμενοι; ἐκεῖνοι γὰρ ἡλικίας ἀμείβοντες, καὶ τὰς πρὸς τὰ παίγνια καταστάσεις ἀμείβουσι, καὶ τὴν πρὸς τὰς ὕλας εὐχερῶς ἀφίασι προσπάθειαν. κάρυα γὰρ αὐτοῖς τυχόν, καὶ ἀστράγαλοι, καὶ σφαῖραι τῆς παιδιᾶς ἐστιν ὕλη, καὶ τούτοις προσπεπόνθασι, μέχρις ἂν τὸ ἀτελὲς τῆς φρονήσεως

ἔχωσι, τίμια νομίζουσι ταῦτα παρασκευάζειν. ἐὰν δὲ παρακμάσας τις γένηται ἀνήρ, ἔρριψεν ἐκεῖνα, καὶ τῶν πραγμάτων μετὰ πολλῆς ἀντέχεται σπουδῆς. Ἡμεῖς δὲ ἐναπεμείναμεν τῇ νηπιότητι, τὰ παιδικὰ, καὶ χλεύης ἄξια τεθαυμακότες, καὶ τὸ τῆς τῶν κρειττόνων ἅψασθαι φροντίδος οὐ θέλοντες, ἢ ἀναλαβεῖν λογισμὸν ἀνδράσι πρέποντα. ἀλλὰ τοῦτον καταλείποντες, ἐν ταῖς γηΐναις καρυτιζόμεθα παραίξεσι, γέλωτα παρέχοντες τοῖς ἀκολουθίᾳ φύσεως τὰ πράγματα κρίνουσιν. Ὡς γὰρ αἰσχρὸν ἄνδρα τέλειον ἰδεῖν ἐν τέφρᾳ καθεζόμενον, καὶ ἐν τῇ κονίᾳ παιδικὰς τέρψεις διαγράφοντα· οὕτως αἰσχρὸν, καὶ πολλῷ αἰσχρότερον, τοὺς τὴν ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν πραγματευομένους ἐν τῇ τῶν γηΐνων τέφρᾳ κυλινδουμένους ὁρᾶν, καὶ τῇ τῶν ἐπιτηδευομένων ἀνοικειότητι αἰσχύνειν τοῦ ἐπαγγέλματος τὴν τελειότητα. Τούτου δὲ ἡμῖν αἴτιον, ὡς ἔοικε, τὸ μηδὲν τῶν ὁρωμένων ἐννοῆσαι μεῖζον, μηδὲ ἐκ παραθέσεως τῆς τῶν παρόντων εὐτελείας, τὴν ὑπεροχὴν γνωρίσαι τῶν ἐκεῖ ἀγαθῶν, καὶ περιαυγασθέντας ὑπὸ τῆς τῶν ἐνθάδε δοκούντων ἀγαθῶν ἡμῖν λαμπρότητος καταχεθῆναι, καὶ τούτοις προσδῆσαι τὴν ἐπιθυμίαν. ἀεὶ γὰρ τῇ ἀπουσίᾳ τῶν κρειττόνων τιμᾶται τὰ χείρονα, τὴν ἐκείνων κληρονομοῦντα τάξιν. Ὡς εἴγε ἤμεθα ἔχοντες περὶ τῶν μελλόντων ὑψηλοτέραν ἔννοιαν, οὐκ ἂν τούτοις προσκεχηνότες διετελοῦμεν.

cuadat in virum, abijcit illa, & negotijs multo incumbit cum ſtudio. Nos vero permanſimus aſsidui in infantia, quæ puerilia, & dedecore digna ſunt demirati, nolumuſque meliorum rerum curam vel attingere, & recipere ratiocinationem, quæ viros deceat; verum illam deſerentes in terrenis ludimus delicijs quaſi nucibus; riſum præbentes illis, qui naturam inſequendo res diiudicant. Vti enim turpe eſt videre virum ætatis perfectæ in cinere confidentem, & in puluere puerilia depingentem oblectamenta; ſic turpe, atque turpius longè, illos, qui ad fruitionē æternorum bonorum adlaborant, in terrenarum rerum cinere volutatos aſpicere, qui dedecorant profeſsionis perfectionem ineptia earum, quibus ſtudent, rerum. Ac huius quidem cauſa rei nobis, vt videtur, ea eſt, quod nullas maiores res concipimus mēte eſſe, quā eas, quas oculis vſurpamus; nec e comparatione vilitatis præſentiū, dignoſcimus eminentiam bonorū, quæ ibi ſunt, & perſtricti circumquaque fulgore, ſub eorum, quæ hic videntur bona, quæque in pretio habentur, claritudine detinemur, & hiſce cupiditatem noſtram illigamus. Semper enim meliorum in abſentia, pluris æſtimantur deteriora, illorum ordinem velut hæreditario iure ſortita. Quod ſi de futuris excelſiorem cogitationem iniremus, neutiquam inhiantes iſtis perſiſteremus.

ΚΕΦΑΛ. ξδʹ.

Ἀρξώμεθα τοιγαροῦν ἀναχωρεῖν τῶν παρόντων· καταφρονήσωμεν κτημάτων, καὶ χρημάτων, καὶ πάντων τῶν βαπτιζόντων τὸν λογισμὸν, καὶ ὑποβρύχιον καταφερόντων αὐτόν,

CAPVT LXIV.

INcipiamus igitur a præſentibus ſecedere; deſpiciamus poſſeſſiones, & pecunias, & omnia, quæ ratiocinationem immergunt, eamque deorſum ferunt frementem;

abij-

abijciamus onus, vt nauigium parum per reflectatur ſurſum; & vexati tempeſtate multa vaſa proijciamus, vt gubernatrix mens cum nauigantibus ratiocinationibus conſeruari poſſit. Si namque nauigantes in mari procella iactati deſpiciunt proprias ſuas merces, & onera ſuis manibus in mare proijciunt, iudicantes eſſe opes vita poſteriores habendas, vt ne nauis impar ferendo periclitetur ob grauitatem oneris vergens in profundum, exinaniunt eam, pretioſiorem ſupellectilem æquè in abyſſum iaculantes: cur non etiam nos propter meliorem vitam contemnemus ea, quæ animam trahunt in abyſſum? Cur non poteſt metus Dei, quantum poteſt maris timor? Illi vitæ cupidi temporaneæ non magni faciunt detrimentum eorum, quæ vehunt; nos verò dicentes nos contendere, vt aſſequamur æternam vitam, neque vel ſpernimus, ſed eligimus potiùs cum onere ſimul perire, quàm ſaluos euadere illis rebus priuati. Exuamus igitur (hortor vos) omnia; nudus eſt enim aduerſarius: neque certantes veſtiti pugnant: nudos ipſos in ſtadium & arenam lex athletica inducit. Etſi ſit æſtus, quamuis ſit frigus, ſic ingrediuntur, veſtimenta foras derelinquentes. Si autem aliquis ipſorum recuſet denudari, detrectet & certamen. Nos verò iuſſi certare, & contrà aduerſarios multò velociùs quam hi, qui ſenſibiliter certant, decurrentes, non ſolum nos non exuimus, ſed onera mille ſuper humeros geſtantes conabimur pugnare, plurimas aduerſatijs in nos ipſos præbendo prehenſiones?

ἀποῤῥίψωμεν τὸ φορτίον, ἵνα μικρὸν ἀναδύσῃ τὸ πλοῖον· ἐκβάλωμεν χειμαζόμενοι καὶ τῶν σκευῶν τὰ πολλά, ἵνα ὁ κυβερνήτης νοῦς μετὰ τῶν ἐμπλεόντων διασωθῆναι δυνηθῇ λογισμῶν. Εἰ γὰρ οἱ ἐν θαλάσσῃ πλέοντες χειμαζόμενοι καταφρονοῦσι τῆς ἑαυτῶν ἐμπορείας καὶ τὸν φόρτον αὐτόχειρες ἐς τὴν θάλασσαν ῥίπτουσι, διαπέραν τῆς ζωῆς τὴν ὕπαρξιν προκρίνοντες, ἵνα μὴ ὑπέραντλον ὂν τὸ πλοῖον κινδυνεύσῃ τῷ βάρει τοῦ φόρτου καταδυόμενον, κουφίζουσι τοῦτο τὰ τίμια τῶν κειμηλίων, ἴσως κατὰ τοῦ βυθοῦ ἀκοντίζοντες. διατί μὴ καὶ ἡμεῖς διὰ τὴν κρείττονα ζωὴν καταφρονοῦμεν τῶν καθελκόντων εἰς βυθὸν τὴν ψυχήν; διατί μὴ δύναται φόβος Θεοῦ, ὅσον θαλάσσης δύναται φόβος; Ἐκεῖνοι τῆς προσκαίρου ζωῆς ἐπιθυμοῦντες, τὴν τῶν ἀγωγίμων ζημίαν οὐ μέγα κρίνουσιν, ἡμεῖς δὲ τῆς ἀϊδίου ζωῆς ἀντιποιεῖσθαι λέγοντες, οὐδὲ τοῦ τυχόντος καταφρονοῦμεν, ἀλλ᾽ αἱρούμεθα μᾶλλον τῷ φόρτῳ συναπολέσθαι, ἢ σωθῆναι ἐκείνων ἀποστερούμενοι. Ἀποδυσώμεθα οὖν (παρακαλῶ) πάντα. γυμνὸς γὰρ ἕστηκεν ὁ ἀντίπαλος. μὴ γὰρ οἱ ἀθλοῦντες ἐνδεδυμένοι ἀθλοῦσι. γυμνοὺς αὐτοὺς εἰς τὸ στάδιον ὁ ἀθλητικὸς εἰσάγει νόμος. Κἂν θάλπος ᾖ, κἂν κρυμός, οὕτως εἰσέρχονται, τὰς ἐσθῆτας ἔξω καταλιπόντες: Εἰ δέ τις αὐτῶν παραιτήσεται τὴν γύμνωσιν, καὶ τὸν ἀγῶνα παρῃτήσατο. Ἡμεῖς δὲ ἀθλεῖν ἐπαγγελλόμενοι, καὶ πρὸς ἀντιπάλους πολὺ τῶν αἰσθητῶν ἀγωνιζομένων ἐντρεχεστέρους ἔχοντες μάχην, οὐ μόνον οὐκ ἀποδυόμεθα, ἀλλὰ καὶ μυρία κατὰ τῶν ὤμων φορτία φέροντες ἐπιχειροῦμεν ἀθλεῖν, πολλὰς τοῖς ἀντιπάλοις καθ᾽ ἑαυτῶν παρέχοντες λαβάς;

ΚΕΦΑΛ. ξε'.

Πῶς γὰρ πυκτεύσει πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ὁ κτημάτων ἀντιποιούμενος, πάντοθεν ταῖς χερσὶ κονδυλιζόμενος; Πῶς δὲ τῷ τῆς φιλαργυρίας παλαίσει πνεύματι ὁ περιεχόμενος τοῖς χρήμασι; Πῶς δὲ δραμεῖται πρὸς τοὺς πάσης μερίμνης γυμνοὺς δαίμονας ὁ μυρίοις φροντίσιν ἐνδεδυμένος; τῆς θείας γραφῆς λεγούσης, ὁ γυμνὸς διώξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· ὁ γυμνὸς, οὐχ ὁ κεντώνας πολυρράφους τῆς τῶν βιωτικῶν πραγμάτων φροντίδος ἐνδεδυμένος· ὁ γυμνὸς οὐχ ὁ χρημάτων, καὶ κτημάτων πολυύλοις πρὸς τὸν δρόμον ἐμποδιζόμενος λογισμοῖς, δυσάλωτος γὰρ, ἢ καὶ ἀνάλωτος τοῖς ἐπιβουλεύουσίν ἐστιν ὁ γυμνός. Ὡς εἴγε ἦν ὁ μέγας Ἰωσὴφ γυμνὸς, οὐκ ἂν εὗρεν ὧν ἐπιλάβηται ἡ Αἰγυπτία. Φησὶ γὰρ ὁ θεῖος λόγος, ὅτι ἐπελάβετο τῶν ἱματίων αὐτοῦ λέγουσα, κοιμήθητι μετ' ἐμοῦ. Ἱμάτια δέ ἐστι τὰ πράγματα τὰ σωματικὰ, ἀφ' ὧν ἕλκει κρατοῦσα ἡ ἡδονὴ, καὶ τὸν ἀντιποιούμενον τούτων ἀνάγκη περισύρεσθαι μαχόμενον τοῖς ἀφαιρουμένοις. Οὕτω γοῦν ὁ τῆς σωφροσύνης ἀθλητὴς ὡς εἶδε, καὶ ἐκ τῆς ἀναγκαίας χρείας ἑλκόμενον τοῦ σώματος ἑαυτὸν βίᾳ πρὸς τὴν τῆς κοινωνίας ἡδονὴν, καὶ ἕνωσιν, μαθὼν, ὅτι γυμνὸν ἔδει συνδιαιτᾶσθαι τῇ κατέχειν βιάζεσθαι δυναμένῃ δεσποίνῃ, καταλιπὼν τὰ ἱμάτια ἔφυγε, καὶ ἐξῆλθεν ἔξω, καθάπερ ἐν τῷ παραδείσῳ τῇ ἀρετῇ γυμνὸς ἐμπεριπατῶν κατὰ μίμησιν τοῦ πρωτοπλάστου, ὃς ἐξαίρετον γέρας παρὰ τοῦ Θεοῦ τὴν γύμνωσιν λαβὼν, εἶχεν, ἕως διὰ τῆς παρακοῆς εἰς χρείαν ἐνδυμάτων κατέστη. μέχρι μὲν γὰρ ἠγωνίζετο πρὸς τὴν λύσιν τὴν ἐντολὴν τοῦ Θεοῦ

CAPVT LXV.

Qvomodo etenim pugnabit contra ſpiritualia nequitiæ, qui affectat poſſeſſiones, facilè pugnis vndequaque contuſus? *Epheſ. 6. 12.* Quomodo verò ſpiritui auaritiæ obluctabitur, qui circumobruitur pecunijs? Qua ratione curret aduerſus nudos ab omni ſollicitudine Dæmonas, qui mille curis circumueſtitur? Dicente Scriptura Diuina: Nudus in illa die inſequetur. *Amoſ. 2. 16.* Nudus non qui conſutos multipliciter centones ſæcularium negotiorum curæ indutus; nudus non qui pecuniarum, & poſſeſſionum multiplicis materiæ cogitationibus ad currendum impeditus; captu enim eſt difficilis, aut etiam inexpugnabilis inſidiãtibus nudus. Ita ſiquidem fuiſſet magnus Ioſeph nudus; nequaquam Aegyptia inueniſſet, per quæ apprehẽderet. Diuinum quippe fatur eloquiũ, quod apprehenderit eius veſtimenta, dicens: Dormi mecum. *Geneſ. 39. 7.* Veſtimenta nempe ſunt corporeæ res, per quas tenens attrahit voluptas; & illas affectantem neceſſe eſt circumtrahi pugnantem cum auferentibus illa. Sic igitur pudicitiæ Athleta, ſimul atque vidit, etiam ex vſu neceſſario corporis tractum ſe per vim ad voluptatem copulæ, & coniunctionem, & ediſcens, quod nudum conuerſari oportebat cum Domina, quæ eum tenendo cogere vi poterat, derelictis veſtimentis aufugit, & exiuit foras; quemadmodum in Paradiſo virtute nudus circumambulans ad imitationem protoplaſti, qui munus præcipuum à Deo accipiens nuditatem, habuit, donec per

inobedientiam ad indigentiam veſtimentorum deuenit: quamdiu namque decertauit contra aduerſarios, vt Dei iuſſa ſolueret, conſulentes, nudus quaſi pugil in pedato, ſeu gradu ſtetit; victus verò, & extra certamen eductus, congruè fuit amictus, nuditatem deponens cum habitu Athletico.

συμβουλεύοντας ἀντιπάλους, γυμνὸς ὡς ἀθλητὴς ἐπὶ τοῦ σκάμματος εἱστήκει, ἡττηθεὶς δὲ, καὶ ἐξαγώνιος γενόμενος εἰκότως ἐνεδύσατο, τὴν γύμνωσιν μετὰ τῆς ἀθλητικῆς ἕξεως ἀποθέμενος.

CAPVT LXVI.

Prouerb c.20.16 & c.27.13. PRopterea Prouerbiorum auctor alloquens vnctorem dicit; Aufer ipſius veſtimentū, prodijt enim. Siquidem quouſque erat extrà ſtadium, benè veſtimentis vtebatur, vt & alij non decertantes, fortitudinemque ad certandum indumentorum veſtituris occultans: poſteaquam autem proceſſit ad certamen; aufer veſtimentū ipſius. Nudum quippe oportet decertare; imò potius neque ſolummodò nudum, ſed & vnctum. Nam qui nudatur certator, aduerſario efficitur minimè prehenſibilis; is verò, qui vngitur oleo, ſi quando prehenſus fuerit, elabitur facilè; oleum quippe a prehenſione expedit. Ideò aduerſarij contendunt terram inſpergere aduerſarijs, vt olei læuitatem puluere exaſperantes, ipſos captu faciles ad prehenſiones præſtent. Quod autem eſt ibi puluis, hoc noſtro in certamine terrena ſunt negotia; & quod ibi eſt oleū, iſtic eſt vacatio à ſolicitudinibus; & ſicut ibi vnctus facilè ſoluit eos, qui ab ipſis vocitantur, nexus; ſi verò puluerem ſuſceperit, ægrè effugit manum colluctantis: ita iſtic, qui nullis premitur curis, a Diabolo difficulter apprehenditur; at qui curis æger eſt, & ſolicitudinibus, quaſi puluere quodam exaſperans læuorem mentis, magna

ΚΕΦΑΛ. ξϛʹ.

ΔΙὰ τοῦτο ὁ Παροιμιαστὴς πρὸς τὸν ἀλείπτην λέγων φησίν. ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ, παρῆλθε γάρ. Ἕως μὲν γὰρ ἦν ἔξω τοῦ σταδίου, καλῶς τοῖς τῶν μὴ ἀθλούντων ἐνδύμασιν ἐκέχρητο, τὴν ἀγωνιστικὴν ἀνδρείαν τοῖς τῶν ἐνδυμάτων ἐσθήμασιν ἐγκρύπτων. Ἐπειδὴ δὲ εἰς τὸν ἀγῶνα παρῆλθεν, ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ. γυμνὸν γὰρ ἀγωνίζεσθαι δεῖ, μᾶλλον δὲ οὐδὲ γυμνὸν μόνον, ἀλλὰ καὶ ἠλειμμένον. τὸ μὲν γὰρ γυμνοῦσθαι, ἀνάπαφον ποιεῖ τῷ ἀντιπάλῳ τὸν ἀνταγωνιστήν, τὸ δ' ἐλαίῳ ἠλεῖφθαι, εἰ καὶ ληφθείη ποτὲ, διολισθαίνειν, τὸ δ' ἔλαιον ἐκ τῆς λαβῆς παρασκευάζει. Διὰ τοῦτο οἱ ἀντίπαλοι γῆν προσπάττειν φιλονεικοῦσι τοῖς ἀντιπάλοις, ἵνα τῇ κόνει τὴν τοῦ ἐλαίου ἐπιτραχύνοντες λειότητα, ἀλήπτους αὐτοὺς πρὸς τὰς λαβὰς ἀπεργάσωνται. Ὅπερ δέ ἐστιν ἡ κόνις ἐκεῖ, τοῦτο ἐν τῷ ἡμετέρῳ ἀγῶνι τὰ γήϊνα πράγματα, καὶ ὅπερ ἐστὶν ἐκεῖ τὸ ἔλαιον, τοῦτο ἐνταῦθα τὸ ἀμέριμνον. καὶ ὥσπερ ἐκεῖ ὁ ἠλειμμένος εὐχερῶς λύει τὰ λεγόμενα παρ' αὐτοῖς ἅμματα· εἰ δὲ δέξοιτο κόνιν, δυσκόλως ἐκφεύγει τὴν χεῖρα τοῦ προσπαλαίοντος· οὕτως ἐνταῦθα ὁ μηδὲν μεριμνῶν, δυσάλωτός ἐστι τῷ διαβόλῳ, φροντίζων δὲ καὶ ταῖς μερίμναις καθάπερ κόνει τινὶ τραχύνων

τὸ λεῖον τῆς ἀμεριμνίας τοῦ νοῦ, δυσχερῶς ἐξιλεῖ ἐκ τῆς ἐκείνου χειρός.

cum difficultate illius è manu exit.

ΚΕΦΑΛ. ξζ΄.

Τελείας ψυχῆς ἐστι τὸ ἀμέριμνον, ἀσεβοῦς δὲ τὸ ταῖς φροντίσι κατατρίβεσθαι. Περὶ μὲν γὰρ τῆς τελείας ψυχῆς εἴρηται, ὅτι κρίνον ἐστὶν ἐν μέσῳ ἀκανθῶν. Τοῦτο δὲ τὴν μετὰ τῶν πολυφροντίδων ἀμερίμνως διάγουσαν δηλοῖ. Τὸ γὰρ κρίνον καὶ ἐν τῷ Εὐαγγελίῳ τὴν ἀμέριμνον σημαίνει ψυχήν, οὐ κοπιᾷ γάρ, φησιν, οὐδὲ νήθει, καὶ μείζω τοῦ Σολομῶντος περιβέβληται δόξαν. Περὶ δὲ τῶν φροντίδα πολλὴν ἐχόντων εἰς τὰ σωματικά, φησι, πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι. καὶ γὰρ ὄντως ἐστὶ ἀσεβὲς παντὶ τῷ βίῳ συμπαρεκτείνειν τὴν τῶν σωματικῶν φροντίδα, καὶ μηδεμίαν περὶ τῶν μελλόντων ἐπιδείκνυσθαι σπουδήν· καὶ τῷ μὲν σώματι, καίτοι μὴ πολλῆς δεομένῳ σπουδῆς, πάντα προσαναλίσκειν τὸν χρόνον· τῇ δὲ ψυχῇ τοσοῦτον ἐχούσῃ προκοπῆς μῆκος, ὡς μὴ φθάνειν πάντα τὸν βίον πρὸς τὴν ταύτης τελείωσιν, ἢ μηδὲ τὸν τυχόντα καιρὸν ἀπονέμειν, εἰ δὲ καὶ εἴ τινα δόξομεν ἀπονέμειν, ἐκλελυμένως, καὶ ῥαθύμως αὐτῇ τοῦτο παρέχομεν, ὑπὸ τῆς τῶν ὁρωμένων περιφανείας δελεαζόμενοι, καὶ ταὐτὸν πάσχοντες τοῖς ὑπὸ τῶν εἰδεχθεστάτων ἑταιρίδων ἀγκιστρευομένοις, αἳ γνησίου κάλλους ἀπορίᾳ, νόθον ἐπ᾽ ἐνέδρᾳ τῶν θεωμένων ἐπινοοῦσι, ταῖς ἐπινοίαις τῶν ἐπιτριμμάτων τὴν δυσμορφίαν ἐπιδιορθούμεναι. Ἅπαξ γὰρ τῇ ματαιότητι τῶν παρόντων ἡττηθέντες, τὸ αἶσχος τῆς ὕλης ἰδεῖν ἀδυνατοῦμεν ὑπὸ τῆς προσπαθείας φενακιζόμενοι.

CAPVT LXVII.

Perfectæ animæ eſt eſſe ſine cura, impiæ verò ſolicitudinibus conteri; de perfecta quippe anima dicitur, quod eſt lilium in medio ſpinarum. Hoc autem eam multas inter curas ſine ſolicitudine degentem demonſtrat. Lilium enim & in Euangelio ſignificat animam ſolicitudine carentem. Nec enim (ait) laborat, neque net, & maiore gloria, quam Salomon, circumdatur. De his verò, qui multa cura circa corporeas res premuntur, inquit; omnis vita impij eſt in ſolicitudine. Etenim verè impium eſt, toti vitæ coëxtendere curam corporearum rerum, nullumque ſtudium exhibere circà futura. Et corpori quidem, etſi non multo indigeat ſtudio, tempus omne impendere; animæ autẽ, quæ ſpatium habet ad proficiendum tam prolixum, vt neque ſufficiat vita tota ad ipſius perfectionem, neque vel breue tempus tribuere; ſi verò & aliquantulum videamur adſignare, diſſolutè, atque negligenter id ei præbemus, decepti eorum, quæ videmus, circumapparentia: illud ipſum patientes ac illi, qui à deformiſſimis meretriculis velut hamo capti, quæ penuria germanæ pulchritudinis, adulterinam ad intuentium inſidias excogitant, adinuentionibus fucorum deformitatem corrigentes. Semel enim deuicti præſentium vanitate, turpitudinem materiæ videre nequimus deluſi ab affectione.

Cantic. 2. 2.

Matth. 6. 28.

CAPVT LXVIII.

ET huiuſce rei gratia non ſiſtimus in vſu neceſſario: ſaturitati verò, quæ noxia eſt vitæ, inſiſtentes, omnimodis poſſeſſionibus accingimur, neutiquā animaduertentes, quod menſura poſſeſſionis eſt vſus corporis, quod verò eā ſupergreditur, eſt dedecus, & nō vſus: vt enim tunica corpori commenſurata, & ad vſum, & ad decorem pertinet; quæ verò vndequaque circumfluit, & implicita pedibus, & per humum circumtracta cum indecentia fit impedimento ad omnem operationem. Ita poſſeſſio vſum corporis excedens, & impedimentum eſt ad virtutem, & plurimum redarguitur ab his, qui poſſunt naturam rerum inueſtigare. Non igitur adhærendum eſt his, qui ſunt à ſenſibilibus decepti, neque ſine iudicio ſequi decet eos, qui quod intelligibilia minimè obſeruant, terrena conſectantur. Hoc eſt quippe cæcis vti iudicibus ad colores, aut ſurdis ad muſicum ſonum, qui ſunt orbati inſtrumentis diſcernendi ea, quæ diſcutiuntur; atque illis fidem adhibere ſicuti ſecundum rationem eligentibus voluptatem præſentium. Cæci nempe ſunt, qui maximè neceſſarijs inſtrumentis diiudicandi mutilatam habent rationem, cui eſt innatum diſcernere laudabilia, & indifferentia.

ΚΕΦΑΛΑΙΟΝ ξη'.

ΚΑὶ τούτου χάριν ἐπὶ μὲν τῆς ἀναγκαίας οὐχ ἱστάμεθα χρείας. Κόρον δὲ ὑβριστὴν τοῦ βίου ἐνστησάμενοι, παντοίαις κτήσεσιν ἐπαποδυόμεθα, οὐχ ὁρῶντες, ὅτι μέτρον κτήσεως ἐστὶν ἡ χρεία τοῦ σώματος, τὸ δὲ ταύτην ὑπερβαῖνον, ἀκοσμία λοιπὸν, καὶ οὐκέτι χρεία ἐστίν. Ὡς γὰρ ὁ συμμεμετρημένος τῷ σώματι χιτὼν, καὶ χρεία, καὶ κόσμος ἐστὶν, ὁ δὲ πάντοθεν περιῤῥέων, καὶ τοῖς ποσὶν ἐμπλεκόμενος, καὶ περισυρόμενος τῇ γῇ μετὰ τοῦ ἀπρεποῦς, καὶ ἐμπόδιος πρὸς πᾶσαν ἐργασίαν γίνεται. οὕτως ἡ ὑπερβαίνουσα τὴν τοῦ σώματος χρείαν κτῆσις, καὶ πρὸς ἀρετὴν ἐστὶν ἐμπόδιον καὶ πολλὴν ἔχει κατάγνωσιν παρὰ τοῖς τὴν φύσιν τῶν πραγμάτων ἐρευνᾷν δυναμένοις. Οὔτε οὖν τοῖς ἠπατημένοις ὑπὸ τῶν αἰσθητῶν προσεκτέον, οὐδὲ τοῖς, διὰ τὸ μὴ προσεσχηκέναι τοῖς νοητοῖς, προσπεπονθόσι τοῖς γηΐνοις, ἀκολουθητέον ἀκρίτως. ταὐτὸν γάρ ἐστι χρωμάτων κριταῖς χρῆσθαι τυφλοῖς, ἢ κωφοῖς τῶν κατὰ μουσικὴν φθόγγων, ἐστερημένοις τῶν πρὸς τὰ δικαζόμενα κριτηρίων, καὶ τούτοις πιστεύειν, ὡς κατὰ λόγον ἑλομένοις τὴν τῶν παρόντων ἀπόλαυσιν. Τυφλοὶ γάρ εἰσι τῶν ἀναγκαιοτάτων τῶν κριτηρίων τὸν λογισμὸν πεπηρωμένοι, ᾧ κρίνεσθαι τὰ σπουδαῖα, καὶ τὰ ἀδιάφορα πέφυκεν.

CAPVT LXIX.

Ioſue 7. VNus horū erat Achar Charmi filius, faſſus Ieſu, in tentorio vitæ ſe occuluiſſe ſub terra, quæ furto ſubtraxerat, & ſub-

ΚΕΦΑΛΑΙΟΝ ξθ'.

Εἷς τούτων ἦν Ἄχαρ ὁ τοῦ Χαρμὶ ὁμολογῶν τῷ Ἰησοῦ ἐν τῇ σκηνῇ τοῦ βίου κεκρυφέναι ὑπὸ γῆν τὰ κεκλεμμένα, καὶ ὑποκάτω τούτων τὸ

tus il-

ἀργύριον καταρωρυχέναι. Ὁ γὰρ τὰ ποικίλα, καὶ λαμπρὰ τῆς ὕλης ἀνώτερα κρίνας, τὸν δὲ λόγον ὑπὸ κάτω τούτων κατορύξας, εἰκότως ἀπατᾶται ἀλόγου δίκην εἴκων, καὶ ἐνδιδοὺς ἑαυτὸν τῇ φαντασίᾳ τοῦ ἀρέσαντος, διὰ τὸ καταβεβιβάσθαι τῶν ἀρχοντικῶν θρόνων τὸν λογισμὸν, καὶ ἐν τῇ τῶν ὑπηκόων, μᾶλλον δὲ καταδίκων τετάχθαι τάξει. Εἰ γὰρ ἦν ἐπὶ τῆς ἰδίας ἱδρυμένος ἀξίας, καὶ τὴν κρίσιν πεπιστευμένος τῶν φαινομένων, δικαίαν, καὶ ὀρθὴν ἂν ἐξήνεγκε τὴν ψῆφον, κολάσας τὴν τοῖς ἀπατηλοῖς ἐπιδραμοῦσαν ὁρμήν. Καλὸν οὖν τοῖς ὅροις τῆς χρείας ἐμμένειν καὶ φιλονεικεῖν πάσῃ δυνάμει τούτους μὴ ὑπερβαίνειν. Ἐὰν γὰρ ὀλίγον παρενεχθῇ τις ὑπὸ τῆς ἐπιθυμίας ἐπὶ τὰ ἡδέα τοῦ βίου, οὐδεὶς λοιπὸν λόγος ἵστησι τὴν ἐπὶ τὰ πρόσω φοράν. Τοῦ γὰρ ὑπὲρ τὴν χρείαν ὅρος οὐδεὶς, ἀλλ᾽ ἀνήνυτος ἡ σπουδὴ καὶ ἀτέλεστος ἡ ματαιότης, ἣ περὶ τὰ τοιαῦτα πόνον αὔξει διὰ παντὸς, καθάπερ φλόγα τῇ τῆς ὕλης προσθήκῃ τρέφουσα τὴν ἐπιθυμίαν.

tus illa defodiſſe argentum. Nam qui varias, & ſplendidas res, quæ erant è materia, iudicauit eſſe ſuperiores, rationem autem ſub hiſce defodit, decipitur conuenienter, inſtar irrationabilis beſtiæ, cedens, ſeque ipſum tradens imaginationi rei placentis: quia velut ex principatus ſolijs deturbauit rationem, & in ſubditorum, quin potius in reorũ ordinem collocauit. Si namque hæc in propria dignitate firmata fuiſſet, illique iudicium de apparentibus commiſſum fuiſſet, ea iuſtam quidem, ac rectam tuliſſet ſententiam, damnans impetũ, qui ad fallacia decurrebat. Præclarũ ergo intrà terminos vſus, & indigentiæ permanere, atque contendere totis viribus, ne illi tranſcendantur. Si enim quis paululum præteruectus fuerit à cupiditate verſus ea, quæ in vita dulcia habentur, nulla ratio deinceps ſiſtit motum ad ea, quæ antè ſunt. Nullus quippe terminus eſt eius, quod eſt ſuper indigentiam: verùm ſtudium immenſum, & infinita vanitas laborem circa hæc ſemper augebit, veluti flammam, adiectione materiæ nutriens cupiditatem.

ΚΕΦΑΛΑΙΟΝ ο´.

Ὅταν γὰρ ἅπαξ τοὺς ὅρους παρελθόντες τῆς φυσικῆς ἀνάγκης, ἐπὶ τὴν ἔνυλον ἄρχονται προκόπτειν ζωὴν, τῷ μὲν ἄρτῳ προσθεῖναι τὸ ἡδὺ προσόψημα θέλουσι, τῷ δὲ ὕδατι τέως χρειώδη οἶνον, καὶ ἀπὸ τούτου τὸν πολυτελέστερον· ἐνδύμασι δὲ τοῖς χρειώδεσι στοιχεῖν οὐκ ἀνέχονται, ἀλλὰ τὸ πρῶτον μὲν τῶν ἐρίων, καὶ τὰ λαμπρότερα συνωνοῦνται, αὐτὸ τῆς ἐρέας συλλεγόμενοι τὸ ἄνθος, εἶτα μεταβαίνουσιν

CAPVT LXX.

QVando enim hi, qui ſemel terminos naturalis tranſierunt neceſſitatis, incipiunt in vitam materialem progredi, volunt pani ſuaue opſonium apponere, aquæ autem vinum hactenus vſuale, & dein exquiſitius; in veſtibus verò vſui aptis incedere non ſuſtinent, ſed primum quidem lanas, & ſplendidiores coëmunt, ipſum lanæ florem colligẽtes, poſt ea tranſeunt ab his ad promiſcua è lino, & lana habentia ornatum, deinde ſerica circum apponunt, & hæc

hæc quidem inprimis ſimplicia, deinde variegata bellis, & feris, & omnimodis hiſtorijs; vaſa quoque argentea, & auro illita inſtruunt non ſolum conuiuijs inſeruientia, ſed & animalibus, & lectulis ſuperuacaneè apposita. At quid iuuat eorum intempeſtiuam ambitionē referre pluribus? quando & vſque ad inhoneſtiſſimos ipſam protendunt vſus, neque dignantes conflare vaſa ex altera materia ad eas, quæ egeruntur è corpore, ſordes excipiendas, niſi & huic miniſterio famuletur argentum. Adeo enim voluptas vſque ad extrema ſeipſam porrigit, & inhonorata opera materiæ condecorat ſumptuum magnificentia. Hoc verò eſt præter naturam habere ſuperfluum.

ἀπὸ τύπων ἐπὶ τὰ μικτὰ ἐκ λίνου, καὶ ἐρέας ἔχοντα τὴν κατασκευήν, εἶτα σηρικὰ περιεργάζονται, καὶ ταῦτα λιτὰ πρότερον, αὖθις δὲ πεποικιλμένα πολέμοις, καὶ θηρσὶ, καὶ ἱστορίαις παντοδαπαῖς· σκεύη τε ἀργυρᾶ, καὶ χρυσόπαστα κατασκευάζουσιν, οὐ μόνον ταῖς ἑστιάσεσι λειτουργοῦντα, ἀλλὰ ἐν ζώοις, ἐν κλινιδίοις περιττῶς περικείμενα. Καὶ τί δεῖ τὴν ἄκαιρον αὐτῶν ἐπὶ πλεῖον προστιθέναι φιλοτιμίαν; ὁπότε καὶ μέχρι τῶν ἀτιμοτάτων χρειῶν ταύτην ἐπεκτείνουσιν, οὐδὲ τὰ τῶν ἀποπατημάτων σκεύη καταξιοῦντες ἐξ ἑτέρας ὕλης δημιουργεῖν, εἰ μὴ καὶ ταύτῃ τῇ ὑπηρεσίᾳ διακονήσοι ὁ ἄργυρος. Τοσοῦτον γὰρ ἡ ἡδονὴ ἕως τῶν ἐσχάτων ἑαυτὴν παρεκτείνουσα, καὶ τὰ ἄτιμα τῶν ἔργων τῇ τῆς ὕλης τιμῶσα πολυτελείᾳ. Τοῦτο δὲ παρὰ φύσιν ἐστὶν ἔχειν λοιπόν.

CAPVT LXXI.

NAm quæ ſecundum naturam eſt viuendi ratio, vna eademque nobis, & animalibus, præſcripta fuit à conditore: Ecce enim dedi vobis (inquit Deus homini) omnem herbam virentem agri; ea vobis & feris erit in eſcam. Communem igitur accipiētes cum irrationabilibus victum, & eum adinuentionibus peruertentes in luxurioſiorem; quomodo non iudicabimur rectè illis irrationabiliores? Siquidem feræ manent intra terminos naturæ, nihil horum, quæ diſpoſita fuerunt à Deo, prætereuntes; homines autem à Deo cohoneſtati ratione, omninò ab antiqua legiſlatione digreſſi deſciuimus. Qui enim ſunt apud bruta animalia opſoniorum apparatus? Quæ ve piſtorum, & coquorum artificia, quæ mille ventri ærumnoſo condunt

Geneſ. 1. 29.

ΚΕΦΑΛΑΙΟΝ οα΄.

Ἡ γὰρ κατὰ φύσιν διαγωγὴ ἡμῖν τε, καὶ τοῖς ζώοις ἡ αὐτὴ ὥρισται παρὰ τοῦ δημιουργοῦ. Ἰδοὺ γὰρ δέδωκα ὑμῖν, φησὶν ὁ Θεὸς τῷ ἀνθρώπῳ, πάντα τὸν χόρτον τοῦ ἀγροῦ ὑμῖν, καὶ τοῖς θηρίοις ἔσται εἰς βρῶσιν. Κοινὴν οὖν λαβόντες μετὰ τῶν ἀλόγων τὴν δίαιταν, ἐν ταύτῃ ταῖς ἐπινοίαις ἐπὶ τὸ ἀσωτότερον διαστρέψαντες, πῶς οὐκ ἀλογώτεροι κριθείημεν εὐλόγως ἐκείνων; εἴγε τὰ μὲν θηρία μένει ἐπὶ τῶν ὅρων τῆς φύσεως οὐδὲν παρακινήσαντα τῶν παρὰ τοῦ Θεοῦ τεταγμένων, οἱ δὲ λογισμῷ τιμηθέντες ἄνθρωποι πάντῃ τῆς ἀρχαίας ἐκδεδιώγμεθα νομοθεσίας. Ποῖαι γὰρ παρὰ τοῖς ἀλόγοις ὀψοφαγίαι; ποῖαι δὲ σιτοποιῶν, καὶ μαγείρων τέχναι μυρίας τῇ ἀθλίᾳ γαστρὶ δημιουργοῦσιν ἡδονάς; οὐχὶ

δὲ τὴν ἀρχαίαν ἀπέλειαν ἀγαπῶσι, ποηφαγοῦντα, καὶ τοῖς ἐπιτυχοῦσιν ἀρκούμενα, καὶ ναματικῷ κεχρημένα ποτῷ, καὶ τούτῳ τυχὸν σπανίως; διὸ καὶ ὑπογαστρίους ἡδονὰς μεμείωνται, οὐδεμιᾷ πιμελώδει τροφῇ τὰς ὀρέξεις προσαναφλέγοντα, οὐδὲ πάντοτε τὴν ἄρρενος καὶ θηλείας εἰδότα διαφοράν. Εἷς γὰρ αὐτοῖς καιρὸς τοῦ ἔτους ταύτην παρέχει τὴν αἴσθησιν, ἡνίκα ὁ τῆς φύσεως νόμος πρὸς τὴν τοῦ ὁμοίου σπορὰν τὴν συνόδον αὐτοῖς ἐπὶ διαμονῇ τοῦ γένους ἐξεῦρε· τὸν δὲ ἄλλον χρόνον οὕτως ἀλλοτριοῦνται, ὡς λήθην λαβεῖν πάντη τῆς τοιαύτης ὀρέξεως. Ἀνθρώποις δὲ ἐκ τῆς περὶ τὰ βρώματα πολυτελείας ἡ τῶν ἀφροδισίων ἀκόρεστος ἐπιθυμία παραβλαστήσασα μανιώδεις ἐγκατέσπειρεν ὀρέξεις, οὐδένα καιρὸν ἠρεμεῖν συγχωροῦσα τὸ πάθος.

dunt voluptates? Nonne antiquam adamant ſimplicitatem, herbam comedentia, & contenta illis, quæ occurrunt, atque potu vtentia è laticibus, eoquè raro fortaſſis? Ideò & minus indulgēt voluptatibus, quæ ſub vētre ſunt, nec vllo pingui alimento appetentias ciborum denuò inflammant; neq; prorſus maris, & fœminæ norunt diſcrimen: vnica nempe illis anni tempeſtas huiuſmodi ſenſum præbet, quando naturæ lex ad ſationem ſimilis ipſis, coitum pro generis permanentia adinuenit; alio verò tempore adeo ſunt ab eo alieni, vt obliuionem huiuſmodi appetitus capiant penitus. At hominibus è varietate circà cibos inſatiabilis cupiditas rerum venerearum germinans in dies inſanas appetentias ſuperinſeuit, nullo tempore paſſionem permittens quieſcere.

ΚΕΦΑΛΑΙΟΝ οβʹ.

ΕΠεὶ οὖν πολλὴ τοῖς κτήμασιν ἡ βλάβη παρακολουθεῖ, καὶ πᾶσι τοῖς πάθεσιν ὡς νοσοποιὸς αἰτία παρέχει τὰς ἀφορμάς, αὐτὴν ἀνέλωμεν τὴν αἰτίαν, εἴπερ τῆς κατὰ ψυχὴν προνοούμεθα εὐεξίας. Ἀκτημοσύνῃ δὲ τῆς φιλοχρηματίας ἰασώμεθα πάθος. φύγωμεν τοὺς τῶν ἀνωφελῶν ἀνθρώπων θιάσους μόνωσιν ἀσπαζόμενοι, ἐπιβλαβὴς γὰρ καὶ τῆς εἰρηνικῆς καταστάσεως φθοροποιὸς ἡ μετὰ τῶν εἰκαιοτέρων συνδιαίτησις. Ὡς γὰρ οἱ ἐν ἀέρι λοιμικῷ γινόμενοι πάντως νοσοῦσιν, οὕτως οἱ ἐν ἀνθρώποις ἀδιαφόροις διάγοντες, μεταλαμβάνουσι τῆς ἐκείνων κακίας. Τί γὰρ ἔτι κοινὸν ἔχουσι πρὸς τὸν κόσμον οἱ ἀποταξάμενοι τῷ κόσμῳ; οὐδεὶς γὰρ στρατευό-

CAPVT LXXII.

QVando igitur plurima pernicies ſubſequitur poſſeſſiones, & omnibus affectibus quaſi morbifica cauſſa præbet impulſus, ipſam auferamus cauſſam, ſiquidem bono ſtatui animæ proſpicimus. Curemus affectum cupiditatis diuitiarum inopia poſſeſſionum. Fugiamus cœtus hominum inutilium ſolitudinem amplexantes: exitium namque affert ſtatui pacifico valdè noxius conuictus cum vanioribus: vt enim qui ſunt in aere peſtilenti omninò ægrotant, ſic qui degunt cum hominibus indiſcriminatim, participes fiunt illorum malitiæ. Quid enim adhuc commune habent cum mundo, qui à mundo deſciuerunt? Nemo militans negotijs 2.Tim. 2.4.

vitæ

vitæ implicatur, vt placeat ei, qui ſe militem delegit. Occupatio namque circà negotiationem prohibet bellicas exercitationes. Inexercitati verò pugnantes aduerſus belli peritos quomodo ſubſiſtemus? Quin potius (ſi verum oporteat dicere) adeo ſegniter, & diſſolutè pugnabimus, vt nec hoſti iacenti valeamus reſiſtere, & ſtantes ab eo, qui cecidit, inſidijs appetamur. Quod enim patiuntur in bellis ob pecuniæ cupiditatem, qui mortuos ſpoliant poſt victoriam, ſæpè interfecti ab his, qui ſtrati iacent, & turpis lucri gratia poſt trophæa miſerabiliter pereuntes: hoc & nos nunc patimur inimico iacenti, & exſpiranti appropinquantes. Quemadmodum enim illi præ deſiderio pecuniarum perſerutātes demortuos, plerumque ad ſemimortuum aliquem accedentes, & exuentes, occultè vulnere tempeſtiuo excepto conciderunt, gloriam victoria partam, ſine ratione deturpantes: ita nos quando per temperantiam, & continentiam depellimus Barbarum, aut videmur depuliſſe, tunc amore capti veſtium, quæ circum eum ſunt, quæ ſunt equidem illa, quæ ab hominibus pretioſa æſtimantur, diuitiæ, dominatio, bona corporis habitudo, & gloria; appropinquamus ipſi, aliquid appetentes capere ex his, quæ penes ipſum ſunt, & ſic immorimur, nos ipſos ad cædem deducentes.

μενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. ἡ γὰρ περὶ τὴν πραγματείαν ἀσχολία, τὰς πολεμικὰς κωλύει γυμνασίας· ἀγύμναστοι δὲ πρὸς ἐμπειροπολέμους μαχόμενοι, πῶς ὑποστησόμεθα; Μᾶλλον δὲ, εἰ δεῖ τ' ἀληθὲς εἰπεῖν, οὕτω νωθρῶς, καὶ ἐκλύτως μαχόμεθα, ὡς μηδὲ κειμένῳ τῷ πολεμίῳ ἀντέχειν δυνάμεθα, καὶ τὸν ἑστῶτας ὑπὸ τοῦ πεπτωκότος ἐπιβουλεύεσθαι. Ὅπερ γὰρ πάσχουσιν ἐν τοῖς πολέμοις διὰ φιλοχρηματίαν οἱ τοὺς νεκροὺς σκυλεύοντες, μετὰ τὴν νίκην πολλάκις ἀναιρούμενοι ὑπὸ τῶν κειμένων, καὶ κέρδους αἰσχροῦ χάριν μετὰ τὰ τρόπαια ἐλεεινῶς ἀπολλύμενοι, τοῦτο καὶ ἡμεῖς νῦν πάσχομεν, κειμένῳ τῷ ἐχθρῷ καὶ ἀποπνέοντι πλησιάζοντες· ὥσπερ γὰρ ἐκεῖνοι πόθῳ τῶν χρημάτων ἐρευνῶντες τοὺς νεκροὺς, πολλάκις ἡμιθανεῖ τινι προσελθόντες, καὶ περιδύοντες, λάθρα δεξάμενοι καιρίαν πληγὴν, κατέπεσον, τὴν ἐπὶ τῇ νίκῃ εὔκλειαν ἀλογίστως αἰσχύναντες· οὕτως ἡμεῖς, ὅταν διὰ σωφροσύνης καὶ ἐγκρατείας καταβάλωμεν τὸν Βάρβαρον, ἢ δόξωμεν καταβεβληκέναι, τότε τῶν περὶ αὐτὸν ἐρασθέντες ἐνδυμάτων, ἅπερ ἐστὶ τὰ παρὰ τοῖς ἀνθρώποις δοκοῦντα τίμια, πλοῦτος, δυναστεία, εὐεξία, δόξα, προσεγγίζομεν αὐτῷ, λαβεῖν τι τῶν αὐτοῦ γλιχόμενοι, καὶ οὕτως ἀποθνήσκομεν ἑαυτοὺς τῇ σφαγῇ προσάγοντες.

CAPVT LXXIII.

SIc perierunt quinque Virgines, per puritatem quidem, & continentiam perimentes hoſtem, per immiſericordiam verò, quam auaritia generat, ſeipſas vltro im-

ΚΕΦΑΛΑΙΟΝ ογʹ.

ΟΥτως ἀπώλοντο αἱ πέντε παρθένοι, διὰ μὲν τῆς ἁγνείας, καὶ ἐγκρατείας ἀνελοῦσαι τὸν πολέμιον. διὰ δὲ ἀσπλαγχνίας, ἣν φιλοχρηματία γεννᾷ, ἑαυτὰς ἐπὶ τὸ ξίφος ὠθ-

pellen-

σπασῃ τοῦ διὰ τὸ κεῖσθαι ἀνελεῖν τοὺς ἐφεστῶτας ἀδυνατοῦντος. Μηδὲν οὖν τῶν ἐκείνου θελήσωμεν, ἵνα μὴ ἅμα τοῖς ἐκείνου καὶ τὴν ψυχὴν προσαπολέσωμεν· καλεῖ γὰρ καὶ νῦν ἐπ' αὐτά, καὶ προτρέπεται πάντας, ἐὰν εὕρῃ μάλιστα πειθομένους· εἰ γὰρ αὐτὸν ἐκάλει τὸν Κύριον λέγων, ταῦτά σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς με, καὶ ἀπατᾶν ἐπεχείρει διὰ τῶν ἐν τῷ βίῳ δοκούντων λαμπρῶν τὸν τούτων οὐκ ἐπιδεόμενον, πῶς τοὺς εὐαλώτους ἀνθρώπους οὐκ οἴεται ἀπατήσειν ἐπιρρεπῶς ἔχοντας πρὸς τὴν τῶν αἰσθητῶν πραγμάτων ἀπόλαυσιν; Γυμνάσωμεν τὸν νοῦν πρὸς εὐσέβειαν, εἴγε ἡ σωματικὴ γυμνασία κατορθοῦται. ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, παιδικοῖς ἐοικυῖα μαθήμασιν· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστι, τὴν ἐν τῇ ψυχῇ κατασκευάζουσα εὐεξίαν τοῖς ἐφιεμένοις τῆς κατὰ τῶν ἀντιπάλων παθῶν νίκης.

pellentes in gladium eius, qui nequibat inſultantes interimere, quia iacebat. Nihil igitur eorum, quæ ad illum ſpectant, velimus, vt ne ſimul eum his, quæ ad ipſum pertinent, & animam deperdamus, Vocat enim & nunc ad ipſa, omneſque concitat, ſi maximè repererit obaudientes. Si namque ipſum vocabat Dominum dicens: *Matth.* Hæc omnia tibi dabo, ſi cadens 4.9. adoraueris me; & decipere tentabat per ea, quæ in hac vita videntur ſplendida, eum, qui minimè indigebat iſtis: quomodo non putabit, ſe decepturum homines captu faciles, qui pronos exhibent ſe ad fruitionem rerum ſenſibilium? Exerceamus mentem ad pietatem; Corporea ſiquidem exercitatio ad *1.Tim.* modicum eſt vtilis, puerilibus aſ- 4.8. ſimilata diſciplinis. Pietas autem ad omnia vtilis euadit: comparans bonam animæ habitudinem his, qui victoriam appetunt contra paſſiones aduerſantes.

ΚΕΦΑΛ. οδ'.

ὩΣ γὰρ τοῖς ἐπὶ τὰ παιδικὰ γυμναζομένοις ἀθληταῖς, σῶμα ἀσκεῖν εὐπρεπὲς, καὶ τὰ μέλη κινεῖν συνεχῶς, ἀνδράσι δὲ ἀθλητικοῖς, ἰσχύος ἐπιμελεῖσθαι ἀγωνιστικῆς, καὶ ἐπὶ τοὺς ἱεροὺς ἀλείφεσθαι ἀγῶνας, οὕτω τοῖς ἀρχομένοις τῆς θεοσεβείας ἐπιμελὲς τὰς ἐνεργείας κωλύειν· ἀγαπητὸν γὰρ, εἰ κρατήσειαν τῶν παθῶν ἐξοιστρούμενοι ὑπὸ τῶν συντρόφων ἡδονῶν, καὶ ἐπὶ τὰ τῆς συνηθείας ἀπροαιρέτως σχεδὸν ἐλαυνόμενοι κακά. Τοῖς δὲ ἐν ἕξει γεγενημένοις τῆς πρακτικῆς ἀρετῆς, καὶ τῶν κατὰ διάνοιαν λοιπὸν φροντίζουσι, πάσῃ σπουδῇ φυλάσσειν

CAPVT LXXIV.

VT enim certatoribus, qui ſe ludicris exercent, decorum eſt exercere corpus, & artus continuò mouere; hominibus verò in certamine iam expertis, robur procurare certamini aptum, & ad ſacra certamina inungi. Sic inchoantibus diuinum cultum, ſtudium eſt prohibere operationes nimias; earum eſt quippe, ſi dominentur affectibus ij, qui velut œſtro perciti ſunt à voluptatibus, quibus fuerunt innutriti, & impulſi ferè ex conſuetudine inuoluntariè ad vitia. At qui ſunt in habitudine virtutis actiuæ, & deinceps ea, quæ ſecundum rationem ſunt, curant, omni ſtudio cuſtodire cogitationem debent, vt ne

commota inordinatè in aliquam imperfectionem, inſciteque deuoluantur. Et ijs planè ſtudium eſt motus corporeos moderari, his autem efformare impulſus ratiocinationis, & ad ſolam philoſophicam conuerſationē concinnè promouere, vt nulla prorſus mundana imaginatio cogitationem diuellat ab intellectionibus Diuinioribus. Oportet quippe Dei cultoris deſiderium dirigi vniuerſum ad id, quod appetitur, ita vt proprij affectus nullum omninò tempus nanciſcantur operandi ſecundum cogitationes hominibus infeſtas. Si namque vnuſquiſq; affectus, quando commouetur in eo, cuius potitur, cogitationē occupat deuinctā; cur nō & zelus virtutis vacantem à reliquis paſſionibus cogitationem obtinebit? Quem enim ſenſum exteriorum accipit iraſcens, aduerſus ſpeciē eius, qui dolorem ipſi attulit, ſecundum cogitationem repugnans? Quem verò qui pecunijs inhiat, quando correptus ab imaginatione ad materiales opes attendit quaſi defixis oculis, & à ſenſibus abſtractus? At intemperans ſæpiùs & cum quibuſdam conſidens ſenſuum inſtrumenta occluſit, & deſideratam faciem apprehendens alloquitur oblitus præſentium, & mutus vt columna ſedet, ſciens equidem nihil eorum, quæ ob oculos obuerſantur, & quæ dicuntur, conuerſus verò ad interna totus eſt in imaginatione. Huiuſcemodi animam ſermo Diuinus forſitan no-

τὸν λογισμὸν ὀφείλουσιν, ὡς μὴ κινηθέντα ἀτάκτως ἐπί τι καταπεχθῆναι τῶν ἁπλῶν καὶ ἁπλῶς. Τοῖς μὲν ἐστι σπουδὴ τὰς σωματικὰς παιδαγωγῆσαι κινήσεις, τοῖς δὲ τὰς ὁρμὰς παιδεῦσαι τοῦ λογισμοῦ πρὸς μόνην τὴν ἐμφιλόσοφον εὐρύθμως κινεῖσθαι διαγωγὴν, μηδεμιᾶς κοσμικῆς φαντασίας περισπώσης ἀπὸ τῶν θειοτέρων νοημάτων τὸν λογισμόν. Δεῖ γὰρ πεπαῦσθαι τὴν τοῦ θεοσεβοῦντος ἐπιθυμίαν ὅλην πρὸς τὸ ποθούμενον, ὡς μηδόλως εὑρίσκειν καιρὸν πρὸς μισανθρώπους λογισμοὺς ἐνεργεῖν τὰ οἰκεῖα πάθη. εἰ γὰρ ἕκαστον πάθος, ὅταν ἐν τῷ κεκρατημένῳ κινηθῇ, κατέχει τὸν λογισμὸν πεπεδημένον, διατί μὴ καὶ ὁ τῆς ἀρετῆς ζῆλος σχολάζουσαν ὑπὸ τῶν λοιπῶν παθῶν καθέξει τὴν ἔννοιαν; Ποίαν γὰρ αἴσθησιν τῶν ἔξωθεν ὁ θυμούμενος λαμβάνει, πρὸς τὸ τοῦ λελυπηκότος εἴδωλον κατὰ διάνοιαν μαχόμενος; ποίαν δὲ ὁ τῶν χρημάτων ἐφιέμενος, ὅταν συναρπασθεὶς ὑπὸ τῆς φαντασίας ταῖς ποριστικαῖς ὕλαις ἐνατενίζῃ; Ὁ δὲ ἀκόλαστος πολλάκις, καὶ συνεδρεύων τισὶ κατέμυσε τὰ αἰσθητήρια, καὶ τὴν ποθουμένην ὄψιν λαβὼν, ἐκείνῃ προσομιλεῖ τῶν παρόντων ἐπιλανθανόμενος, καὶ στήλη καθέζεται ἄφωνος, εἰδὼς μὲν τῶν ἐν ὀφθαλμοῖς γινομένων, ἢ λαλουμένων οὐδὲν, νενευκὼς δὲ ἐπὶ τὰ ἔνδον, ὅλος ἐστὶ τῆς φαντασίας. τὴν τοιαύτην ψυχὴν τάχα ἀποκαθημένην ὀνομάζει ὁ λόγος, ὅταν μικρὸν τῶν αἰσθήσεων ἀποκαθημένη συστέλλῃ τὴν ἰδίαν ἐνέργειαν, μηδενὸς ὅλως τῶν ἔξωθεν ἀντιλαμβανομένη διὰ τὴν κατέχουσαν αὐτὴν αἰσχρὰν φαντασίαν.

Leu. 15. minat ob menſtrua reſidentem, quando parumper à ſenſibus ſeorſum reſidens propriam comprimat operationem, nihil omnino eorum, quæ ſunt exteriùs, ex aduerſo excipiens, propter fœdam imaginationem, quæ ipſam occupat.

C A-

ΚΕΦΑΛ. οε'.

Εἰ δὲ ταῦτα οὕτω κρατεῖ τοῦ λογισμοῦ διὰ τὴν προσπάθειαν, καὶ ἀργεῖν τὰς αἰσθήσεις παρασκευάζει, πόσῳ μᾶλλον ὁ τῆς φιλοσοφίας ἔρως ἀποτάξασθαι καὶ τοῖς αἰσθητοῖς, καὶ ταῖς αἰσθήσεσι ποιήσει τὸν νοῦν μετάρσιον ἁρπάζων αὐτὸν, καὶ τῇ τῶν νοητῶν προσασχολῶν θεωρίᾳ; Ὡς γὰρ τὸν τεμνόμενον, ἢ καιόμενον οὐκ ἂν εἰσέλθοι λογισμὸς ἔξω τοῦ κατέχοντος πάθους, διὰ τὴν κρατοῦσαν ὀδύνην, οὕτως οὐδὲ τὸν ὁπουοῦν ἐμπαθῶς λογιζόμενον παρενθυμεῖσθαι δυνατὸν τοῦ κατέχοντος τὴν διάνοιαν πάθους, ὅλον τῇ οἰκείᾳ ποιότητι τὸν λογισμὸν ποιώσαντος. ἡδονὴ γὰρ οὐ παραδέχεται πόνον, οὐδὲ λύπην χαρὰ, οὐδὲ κατήφειαν εὐφροσύνη. οὐδ᾽ αὖ πάλιν πόνος δυναστεύων προσίεται ἡδονήν. οὐ δὲ κρατοῦσα λύπη ἔχει χαρὰν παρεζευγμένην, οὐδὲ κατήφεια ἐγκέκραται εὐφροσύνῃ. ἀνεπιπλόκως γὰρ ἔχει πρὸς ἄλληλα τὰ ἐναντία πάθη, καὶ οὐκ αὖ εἰς ταυτὸ συνέλθῃ ποτὲ, οὐδ᾽ ὁμήρευσε πρὸς φιλικὴν κοινωνίαν, διὰ τὴν ἐκ φύσεως ἄσπονδον ἔχθραν, καὶ ἀλλοτρίωσιν. Μὴ τοίνυν τὸ τῆς ἀρετῆς καθαρὸν ταῖς τῶν κοσμικῶν πραγμάτων ἐννοίαις ἐπιθολούσθω. μηδὲ τὸ τῆς θεωρίας εἰλικρινὲς σωματικαῖς ἐπιταραττέσθω φροντίσι, ἵνα καὶ ἡ τῆς ἀληθοῦς φιλοσοφίας εἰκὼν τὸ οἰκεῖον ἀπολάμπουσα κάλλος μηκέτι ψέγηται παρὰ τῶν θρασυνομένων, μηδὲ χλεύης ὑπόθεσις διὰ τὴν τῶν γραφόντων ἀπειρίαν γένηται, ἀλλ᾽ ἐπαινῆται, κἂν μὴ παρὰ τῶν ἀνθρώπων, ἀλλὰ γοῦν παρὰ τῶν ἄνω δυνάμεων, ἢ παρ᾽ αὐτοῦ τοῦ δεσπότου Χριστοῦ, παρ᾽ οὗ καὶ τὸ ἅγιοι ἐζήτουν τὸν ἔπαινον,

CAPVT LXXV.

Si verò iſta cogitationi ita imperant ob affectuum propenſionem, atque otiari ſenſus faciũt; quantò magis philoſophiæ amor ſecernere à ſenſibilibus, & à ſenſibus mentem efficiet, ipſam in ſublime rapiens, & adſtringens ad ſpiritualium rerũ contemplationem? Sicut enim cogitatio nullomodo exſilit extra occupantem affectum in eo, qui ſecatur, aut vritur, ob dolorem prædominantem; ita neque poteſt qui affectu detinente quippiam conſiderat, paſſionem, quæ mentem occupat, prætervolare cogitatione, propria qualitate afficiens vniuerſam intellectionem. Nec enim voluptas admittit laborem, neque lætitia dolorem, neque delectatio mœrorem: neque rurſus labor imperans ſuſcipit voluptatem, neque dominans dolor habet adiunctam lætitiam, neque mœror delectatione temperatur. Contrarij quippe affectus ſibi ipſis mutuò non poſſunt implicari; numquam in idem conuenire poſſunt, nec ad amicã communionem vmquam concinnati ſunt ob inimicitiam è natura impacabilem, & auerſionem. Ne igitur virtutis puritas mundialium negotiorum cogitationibus fœdetur, neque ſolicitudinibus corporeis perturbetur ſinceritas contemplationis: vt & imago veræ philoſophiæ propriam recuperans pulchritudinem non amplius vituperetur ab audacter obloquentibus, oriſque præfracti homunculis, neque riſus materies ob imperitiam depingentium fiat, ſed dilaudetur, ſi non ab hominibus, à ſuperioribus ſaltem Poteſtatibus, aut ab ipſo Chriſto Domino, à quo

& Sancti laudem quærebant, vti magnus Dauid, qui humanam conculcauerat gloriam, & à Deo petens laudationem; A te (inquit) laus mea; & rurſus: In Domino laudabitur anima mea. Homines etenim plerumque, & honeſta præ inuidia calumniantur; Theatrum autem ſuperius res iudicat incorruptè, & ſecundũ veritatem factorum calculum approbationis diſtribuit. Hoc igitur (quod & neceſſe eſt oblectare operum bonorum delicijs) oblectetur Theatrum. De his autem hominibus, qui nec his, qui bene vixerint, vices reddendi, neque ſuper alijs pœnas indicendi facultatem habent, haud multis agendum eſt verbis, ſi aut inuidia, vel affectione nimia virtutis opera nominibus malitiæ inumbrantes, Deo, atque hominibus cognitam vitam confictis calumniantur opprobrijs: Sequetur enim omnes retributionis tempore hos, qui benè vixerint, non ab hominum opinatione, ſed ab ipſa eorum, qui vitam benè tranſegerunt, veritate, retributio æternorum bonorum, quibus nos omnes contingat perfrui gratia, & miſericordia Domini Noſtri Ieſu Chriſti, cum quo Patri gloria ſimul cum Spiritu Sancto nunc: & ſemper, & in infinita, & interminata ſæcula ſæculorum Amen.

Pſ. 21. 26.
Pſ. 23. 3.

ὡς ὁ μέγας Δαβὶδ ὁ πατήσας τὴν ἀνθρωπίνην δόξαν, καὶ παρὰ Θεοῦ τὴν εὐφημίαν αἰτῶν φησὶ, παρὰ σοῦ ὁ ἔπαινός μου. καὶ πάλιν, ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου. Ἄνθρωποι μὲν γὰρ πολλάκις καὶ βασκανίᾳ διαβάλλουσι τὰ καλὰ, τὸ δὲ ἄνωθεν θέατρον ἀδεκάστως κρίνει τὰ πράγματα, καὶ τῇ ἀληθείᾳ τῶν γινομένων τὴν ψῆφον βραβεύει. Τοῦτο οὖν, ὃ καὶ ἀνάγκη τέρψαι τῇ τῶν ἔργων τερπνότητι, τερπέσθω τὸ θέατρον. Περὶ δὲ τῶν οὐδὲ ἀμοιβὰς ἀποδοῦναι τῶν εὖ βεβιωμένων, οὔτε ὑπὲρ τῶν ἄλλων ἐχόντων τιμωρίας ἐπιθεῖναι δυναμένων ἀνθρώπων, οὐ πολὺς ὁ λόγος, ἐὰν ἢ φθόνῳ, ἢ προσπαθείᾳ τῆς ἀρετῆς ἔργα κακίας ὀνόμασι συσκιάζοντες τὸν τῷ Θεῷ καὶ τοῖς ἀνθρώποις ἐγνωσμένον βίον πεπλασμέναις διαβάλλουσι βλασφημίαις. ἕψεται γὰρ πάντων κατὰ τὸν καιρὸν τῆς ἀνταποδόσεως τοῖς εὖ βεβιωκόσιν οὐκ ἀπὸ τῆς τῶν ἀνθρώπων ὑπολήψεως, ἀλλ' ἀπ' αὐτῆς τῶν βεβιωμένων τῆς ἀληθείας, ἡ ἀμοιβὴ τῶν αἰωνίων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι, καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα ἅμα τῷ ἁγίῳ Πνεύματι νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀπεράντους, καὶ ἀπελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΟΣΙΟΥ

ΠΑΤΡΟΣ ΗΜΩΝ

ΝΕΙΛΟΥ

ΠΡΟΣ

ΑΓΑΘΙΟΝ

Μονάζοντα.

ΤΜΗΜΑ α'.

ΠΡΟΟΙΜΙΟΝ.

ΚΕΦΑΛΑΙΟΝ α'.

Ἔθος ἔχοντί μοι τὰ πολλὰ, τὰς ἀκαίρους τῶν ὀχληρῶν ἐκκλίνειν συνουσίας, ὡς οἶσθα, σπουδαιότατε Ἀγάθιε, καὶ τοῖς μᾶλλον ἠρεμοῦσιν ἐνδιατρίβειν τόποις, ὁπὰν ὡς ἀνάγκη τοῦ δωματίου προελθεῖν ἔξω βιάσηται, χθὲς περὶ τοῦ ἄστεως ἀναπατοῦντι, καὶ κρεμάστραν αἰώραν ποιουμένῳ τήν τε τοῦ ἄλσους ὄψιν, καὶ τὸ μέλος τῶν ἐν αὐτῷ μουσικῶς ἠχούντων ὀρνίθων, καὶ τὴν ἐκ τοῦ αἰθρίου καθαρὰν αὔραν τοῦ πνεύματος, προσελθὼν, ὀκνηρότερον μὲν τοῦτο γὰρ ἐδήλους τῷ σχήματι βαδίζων ἀργότερον, καὶ τῷ ἀπαναδυομένῳ ἐκ τῆς συνεχοῦς ὀκλάζειν ἐοικώς. Ἐστοχάζου γὰρ ἐκ τῆς ἐννοίας, ὅπερ ἦν ἀληθὲς, οὐκ εἰκῆ εἶναι τὴν μόνωσιν, ἀλλ' ἔχειν τι πάντως ἐλογίζου τὴν ἡσυχίαν σπουδαῖον, καὶ τὴν ἡσυχίαν οὐκ εἶναι ἀργὴν, αἲ μή τι τῶν θεωρίας ἀξίων ἦν νοῦν κατεῖχε συνεσπασμένον. Ὅμως ἐπειδὴ μικρὸν ἀνανεύσαντα, καὶ προσεσχηκότα οὐκ ἀηδῶς ἐθεάσω προσελθὼν ἀσπασάμενός τε, καὶ συναναπαυσάμενος τὴν αἰτίαν ἐπυνθάνου τῆς

SANCTI PATRIS

NOSTRI

NILI

AD AGATHIVM

Monaſticam viram agentem

PERISTERIA

SEV TRACTATVS.

De Virtutibus excolendis, & vitijs fugiendis

Exemplo Periſteria clariſſima eo ſeculo fœmina.

Sectio Prima.

PRAEFATIO.

CAPVT I.

Cvm mihi moris ſit intempeſtiuos declinare ſæpè importunorum hominum congreſſus, vti noſti (Honeſtiſſime Agathi) & in locis ab hominum frequentia potius remotis conuerſari, quoties neceſſitas aliqua me coëgiſſet è domuncula prodire; deambulãtem heſterna die antè ciuitatem, & quaſi per oſcillationem, pendulis delicijs gaudentem grato nemoris aſpectu, & modulatione auium in eo muſicè circumſonantium, aërìſque ſereni, & auræ puræ ſpiritu, me adibas gradu quidem lentiori, id enim præferebas poplite vacillante incedens quaſi ſegnius, & perſimilis homini emergenti recens è frequentibus lapſibus. Conijciebas enim ex animi fixa intentione, quod erat res ipſa, haud de nihilo eſſe ſolitudinem, ſed habere otium omninò arguebas aliquid laudabile, & non inertem eſſe quietem, immò mentem ad ſeriam quamdã contemplationẽ occupari conuerſam. Vbi tamen me parum annuentem, tibique attendentem non ſine oblectatione vidiſti, accedens, & ſalu-

& ſalutans, atque mecum deambulans cauſſam ſciſcitabaris iſtius meæ meditationis, & addiſcens, quod eſſet perſcrutatio, & ſolicitudo quæſtionis ſcriptitandę, manum accipiens, orique applicitam deoſculatus, & ſubridens valdè hilariter, aiebas, te quoque ipſum aduenisse, afferentem & aliam nobis curam, & argumentum ſcriptione dignum, quod permultis vtile eſſe, & ab ea, quæ nunc vſurpatur, luxurioſa viuendi conſuetudine, ad temperantiam conuertere poſſet.

ἀδολεσχίας, καὶ μαθὼν, ὡς εἴη ἔρευνα, καὶ φροντὶς ζητήματος γραφικοῦ, λαβόμενος τῆς χειρὸς, καὶ προσαγαγὼν, ταύτην κατεφίλεις τῷ στόματι, καὶ μειδιῶν μάλα φαιδρῶς εἶπεν ἔλεγες φέρων καὶ αὐτὸς ἡμῖν ἄλλην φροντίδα, καὶ ὑπόθεσιν ἀξίαν γραφῆς, δυναμένην ὠφελῆσαι πολλοὺς, καὶ ἀπὸ τῆς νῦν πολιτευομένης χλιδῆς ἐπιστρέψαι ἐπὶ τὸ σωφρονέστερον.

CAPVT II.

Ibi ego, quamuis ſatis ſuperque occupatus eſſem, pro virium mearum modulo, in pſalmorum expoſitione; auidus tamen, promptuſque ad nouas ſcribendi occaſiones, ſolicitè à te percunctabar. quænam illa eſſet? & quam vtilitatem lectoribus, vel qui nunc ſunt, vel in poſterum futuris poſſet afferre? Cum vanitas expanſa vbique retium ſuorum omnium indagine, & cunctos comprehendat, & implicitos detineat, quippe quæ tenſis circum circà laqueorum inſtar diuitijs, dignitatibus, poteſtatibus, delicijs, & inhoneſtis oblectamentis, in eo quemque capit, in ſeruitutem redigēs, ad quod inuenit magis pronum; neque iam ſolum ventris, cæterarumque corporis neceſſitatum mancipia nos facit cogens, ſed pecuniarum partarum iniuſtè theſauros, alijs præ fame tabeſcentibus, coaceruare compellit, & conſeruare diligenter, quæ perperam accumulata ſunt, aliquibus, qui nec his fortaſſis vſuri ſūt honeſtè, ita vt duplici pœna damnetur ille, qui collegit opes; hinc quidem, quia cum deberet miſereri infirmiorum, iniuſtitiam erga eos patrauit,

ΚΕΦΑΛΑΙΟΝ β'.

Κἀγὼ καίτοι ἀρκοῦσαν ἔχων τῇ ἐμῇ δυνάμει εἰς τοὺς ψαλμοὺς ἀσχολίαν, λίχνος δὲ πως ὢν περὶ τὰς πρὸς τὸ γράφειν ἀψάς, ἠρόμην σε οὐκ ἀμερίμνως, τίς εἴη αὕτη; καὶ τί πρὸς ὠφέλειαν ἔχειν δυναμένη τῶν νῦν, ἢ καὶ αὖθις ἐντευξομένων; τῆς ματαιότητος τὰ πάναγρα δίκτυα ἁπλωσάσης ἁπανταχοῦ, καὶ συλλαβούσης ἅπαντας, καὶ ἐντὸς ἐχούσης ἀρκύων· πλούτους γὰρ καὶ ἀξιώματα, καὶ δυναστείας, τρυφάς τε, καὶ τέρψεις ἀσέμνους οἷα βρόχους καταπήξασα κύκλῳ, ἕκαστον πρὸς ὃ μᾶλλον εὗρεν ἐπικλινῶς ἔχοντα, ἤδη κατέχει δουλωσαμένη, οὐκέτι γαστρὶ, καὶ τῇ ἄλλῃ τοῦ σώματος λειτουργεῖν ἐναναγκάζουσα χρείᾳ, ἀλλὰ καὶ θησαυροὺς σωρεύειν βιαζομένη τῶν ἐξ ἀδικίας πεπορισμένων χρημάτων, ἄλλων τηκομένων λιμῷ, καὶ φυλάττειν ἐπιμελῶς ἀναγκάζουσα τὰ κακῶς ἠθροισμένα, ποιν' ἴσως οὐδὲ τοῖς χρησομένοις καλῶς· ἵνα διπλῇ τὸν συναγαγόντα κολάσει καταδικάσῃ, τῇ μὲν ὑπὲρ ὧν ἀσθενεστέρους ὠφείλων ἠδίκησε, τῇ δὲ, ἀνθ᾽ ὧν ἅπερ ἐκείνων ἀφείλετο, ἄλλοις ὕλην συνήγαγεν

ἀσώτου ζωῆς, σωφρονεῖν ἐν αὐταρκείᾳ δυναμένοις πολλάκις, ἐπειδή πως ἡ ἀφθονία τὸ περὶ τὰ μὴ καθήκοντα διδάσκει φιλότιμος τὴν ἐν ἑκάστῳ τῶν κατεγνωσμένων ἁβρότητα τῇ τῆς δαπάνης αὔξουσα χορηγίᾳ, καὶ πρὸς ἔσχατον κατὰ μικρὸν ἀκρασίας ἄγουσα ὅρον.

trauit; inde verò quod ea, quæ illis debita abſtulit, alijs profligatè viuendi materiam, congeſſit, qui ſæpenumero cum ſufficientia vitam ſobriam ducere potuiſſent, quandoquidem opum affluentia doceat ambire illicita, rerum vetitarum luxum in vnoquoque, ſumptuum fouens ſubminiſtratione, & ad vltimum ſenſim perducens intemperantiæ terminum.

ΚΕΦΑΛ. γ'.

Σὺ δὲ τὴν ΠΕΡΙΣΤΕΡΙΑΝ ἡμῖν τὴν ὡς ἡ φήμη διδάσκει, λαμπρὰν ἐν ἀξίᾳ, καὶ ὡς αὐτὸς φῆς, λαμπροτέραν τῇ κατὰ ψυχὴν ἀρεταῖς σπουδαίως προσεπήγελλες, πολλὰ τῆς ἀνθρώπου κατορθώματα, καὶ μεγάλα διεξιών, ἐγκράτειαν, φιλοπτωχίαν, μελέτην τῶν θείων λογίων διηνεκῆ, προσευχὴν ἐκτενῆ, καὶ κατανενυγμένην, χρημάτων εἰς τοὺς δεομένους δαπάνην φιλότιμον, σωφροσύνην ἕως ὀφθαλμῶν, καὶ αὐτῆς ἐνθυμήσεως, τὴν εἰς τοὺς ξένους, καὶ ἀπόρους τῶν τελευτώντων κηδείαν ἐπίτιμον, τὴν εἰς τοὺς καθ' ἥντινα οὖν αἰτίαν ἀτυχοῦντας συμπάθειαν, τὴν πρὸς τοὺς θεοσεβοῦντας εὐλάβειαν, τὴν πρὸς τοὺς τὸν μονήρη βίον ἐπανῃρημένους φροντίδα, καὶ κοινωνίαν χρείας τοῦ σώματος, ἵνα οἷς συνησυχάζειν, καὶ συμπονεῖν διὰ τὸν ζυγὸν τοῦ γάμου κωλύηται, τούτοις συμπολιτεύηται τῇ διακονίᾳ τῶν πρὸς τὸ ζῆν ἐπιτηδείων, τὸ ἐν τούτοις ἀμέριμνον αὐτοῖς παρέχουσα, καὶ τὸ ἐκ τοῦ ἀπερισπάστως θεραπεύειν τὸν θεὸν πρὸς αὐτοὺς κέρδος μεριζομένη. Ταῦτα, καὶ τούτων ἔλεγες πλείονα, συνείρων ἀπήγγελλες, καὶ πειρασμοῖς ἐκ μεθοδείας τοῦ διαβόλου, καὶ θλίψεσι συνεχῶς αὐτὴν

CAPVT III.

TV verò PERISTERIAM, vt fama prædicat, claram dignitate, atque, vt ipſe affirmas, clariorem animi virtutibus, nobis ſtudioſè admodum proponebas, multas & magnas matronæ res bene geſtas enarrans, continentiam, amorem ergà pauperes, continuam Diuinorum oraculorum meditationem, iugem orationem intenſam cum cordis compunctione, effuſam pecuniarum in egenos erogationem, temperantiam oculorum, & ipſius cogitationis, de peregrinis, inopibuſque defunctis curam honorabilem, commiſerationem erga eos, qui miſeri erant quamcumque ob cauſſam, venerationem erga Dei cultores, & erga Monaſticam vitam ſectantes curam, ac ſolicitudinem, & eorum, quæ neceſſaria ſunt corpori, communicationem, vt quibuſcum ſimul quietem agere, & collaborare propter iugum matrimonij prohibetur, cum his, ſubminiſtrando res ad victum conducentes, conuerſaretur, præbens ipſis vacuum curis huiuſmodi tempus, & in partem illius lucri, quod è Dei famulatu nullis occupationibus diſtracto prouenit, veniens. Hæc & plura his commemorabas, adiungens inſuper aſſiduas in tentationes,

tationes, & afflictiones ipſam incidere, idque aſtu Diaboli, non obſcurè ſignificans eum certare aduerſus illam, vndequaque ipſam oppugnando.

περιπίπτειν ἀπήγγελλες, τὸ ἔχειν ὅλως ἀντίπαλον τὸν ἀγῶνα αὐτῆς σαφῶς αἰνιττόμενος.

CAPVT IV.

ATqui ego in primis quidem miratus ſum, ſi planta, quam affirmas eiuſmodi, reuerà germinaret hoc noſtro æuo, in quo arbores infructuoſæ, & agreſtis materiæ planè longè ſuperabundant manſuetis, & frugiferis, atque læta ſurculorum propagine luxuriant, radicibus quidem altiſſimis adeò fundatæ, vt conuelli non poſſint, ramis autem in latitudinem immenſam protenſis diffuſæ, foliorum verò comis ſimul implexæ, & densè adumbratæ, ita vt nullatenus bonæ cogitationis radius fundum cordis imum conſuerorum prauitate operum obſcuratum calefaciat vmquam. Rursùs vero ſuperfluum cenſens, & vanum, diligenter, atque curiosè perſcrutari, num quis ſit huiuſmodi, necne? Prompto animo ad ſcribendum acceſſi, quòd argumentum magnopere profuturum viderem, etiamſi nemo facta, & opera fidei faciendæ cauſſa, afferat. Citò enim perſuadet oratio, vbi rerum ipſarum natura teſtimonium perhibet, & ipſa veritas, atque conuenientia etiam ſine vllo exemplo digna videtur auditori, cui fidem habeat, eum adducens ad euidentiam, neque contradicendi tempus valdè contendere aſſueto præbens.

ΚΕΦΑΛΑΙΟΝ δʹ.

Ἐγὼ δὲ πρῶτον μὲν ἐθαύμασα, εἰ τῇ νῦν γενεᾷ τοιοῦτον ἐξεγένετο, οἷον φῂς ὄντως βλαστῆσαι φυτόν, ἐν ᾗ τῶν ἡμέρων, καὶ καρποτόκων δένδρων, τὰ τῆς ἀκάρπου, καὶ ἀγρίας ὕλης πλημμυρεῖ ὄντως μᾶλλον, καὶ τέθηλεν διερνοῦντα κλήματα, ῥίζαις μὲν ἐκ βάθους ὠχυρωμένα πρὸς τὸ ἀκράδαντον, ὀρπήκων δὲ ἐκτάσει κεχυμένα πρὸς εὖρος ἀνείκαστον, πετάλων δὲ κόμαις συνηρεφῆ, καὶ σύσκια, ὡς μηδαμόθεν ἀκτῖνι χρηστῆς ἐννοίας τὸ τῆς καρδίας ποτὲ θάλπεσθαι βάθος ἐπισκοτούμενον τῇ ἐν τοῖς ἔργοις πολιτευομένῃ κακίᾳ. αὖθις δὲ τὸ πολυπραγμονεῖν ἀκριβῶς, εἰ ἔστι τίς, εἰ μὴ ἔστι τοιοῦτος, περιττὸν κρίνας, καὶ ἄδοξον. ἑτοίμως ἐπὶ τὸ γράφειν ἐχώρησα, τὴν ὑπόθεσιν ἱκανὴν πρὸς ὠφέλειαν καταμαθών, κἂν μηδεὶς ὑποκέηται, ταύτην τοῖς ἔργοις πιστούμενος. ὅταν γὰρ τὴν φύσιν τῶν πραγμάτων ἔχῃ μαρτυροῦσαν ὁ λόγος, πείθει ταχέως, καὶ ἄνευ τινὸς παραδείγματος τὸν ἀκούοντα τὸ ἀληθές, καὶ εὔλογον πρὸς ἀξιοπιστίαν τῆς ὑποδείξεως ἐπαγόμενος, καὶ τῷ λίαν φιλονεικεῖν εἰθισμένῳ ἀντιῤῥήσεως οὐ παρέχων καιρόν.

CA-

ΚΕΦΑΛ. ε´.

Ὥσπερ γὰρ ἐν νεφώσει μὲν ἥλιος ἐστί, καὶ τὸν οἰκεῖον ἀνύειν δρόμον, ἐν δὲ βλαστοῖς ὥρᾳ χειμερίῳ ἐνυπάρχειν οὐδεὶς ἀμφιβάλλει καρπόν, τὴν παρελθοῦσαν πεῖραν ἔχων διδασκαλίαν αἰδέσιμον· οὕτως τὸ καλὸν ἀναντιῤῥήτως ὡμολόγηται πᾶσι καλόν, κἂν δοκῇ συνήθεια πονηρὰ πρὸς τὰ φαῦλα κατέχειν τὴν γνώμην πεπεδημένην, τῆς συνειδήσεως πρὸς τὴν συγκατάθεσιν τῆς ἀληθείας ἀναιδῶς ἀντικλίνειν αἰσχυνομένης, καὶ πρὸς τὸ πρόδηλον φιλονείκως ἵστασθαι αἰσχρὸν ἡγουμένης, καὶ λίαν ἐπίψογον. Ἄλλως δὲ καὶ τὸ πάλαι γενόμενον δυνατὸν ἤδη τισὶ λογισάμενος εἰμὶ τοῖς ἐθελομένοις, καὶ νῦν δυνατόν, τῆς αὐτῆς φύσεως ἐν πᾶσιν ὁμοίως ῥεούσης τότε, καὶ νῦν, καὶ οὐ διδούσης ἀδυναμίαν εὔλογον προφασίσασθαι τοῖς διὰ τὸ μακρὸν ἔθος τῆς εἰς τὸ χρήσιμον ἀργίας ἀδύνατα τεθειμένοις τὰ τῶν ἀρχαίων ἀνδρῶν τε καὶ γυναικῶν κατορθώματα. Ἀπιστεῖν εἰς ἅπαν οὐκ ᾠήθην εὔλογον, ὥς ἐστί τις τὴν προαίρεσιν κινῆσαι πρὸς ζῆλον τῆς τῶν μακαρίων ἐκείνων ἐνθέσμου διαγωγῆς, καὶ τοὺς καρποὺς τῆς ἀρετῆς γεωργῶν, ὡσαύτως ἐκείνοις τῆς φύσεως δύναμιν ἐχούσης ἰσχὺν ἐκ τοῦ γεγηρακότος πρέμνου νέους ἀναφῦσαι, καὶ τεθηλότας βλαστούς.

CAPVT V.

Nam quemadmodum cælo nubilo Solem eſſe, curſumque ſuum perficere, atque hyberna tempeſtate in plantis fructum contineri nemo ambigit, præcedentem experientiam cum habeat magiſtram inuiolatam: ita bonum omnes confitentur bonum abſque vlla cõtradictione, licèt videatur mala conſuetudo detinere mentem ad mala obſtrictam, atque præpeditam; conſcientiam enim pudet veritati approbatæ perfricta fronte ſe opponere, & exiſtimat illa turpe, atque in primis reprehendendum, rei manifeſtæ mera contendendi libidine reſiſtere. Cogitabam prætereà id, quod olim quibuſdam factu poſſibile fuerat, ne nunc quidem volentibus eſſe impoſſibile; cum ipſa natura ſimilem in omnibus & tunc, & nunc ſeruet curſum, nec legitimum præbeat impotentiæ prætextum ijs, qui ob conſuetam, diuturnamque pigritiē ad ea, quæ vtilia ſunt, præclaras iſtas veterum, quà virorum, quà mulierum actiones fieri nequaquam potuiſſe ſtatuunt. Adeoque nullatenus èxiſtimabam, incredibile fore omninò, eſſe etiam nunc aliquem, qui animi voluntatem ad beatorum illorum hominum religioſam vitam æmulandam excitet, virtutiſque fructus excolat: cum natura iiſdem adhuc viribus ad nouos ramos, & læta germina è veteri trunco producendá, polleat.

ΚΕΦΑΛΑΙΟΝ ϛ´.

Εἰ γὰρ Νῶε τῆς κατ᾽ αὐτὸν γενεᾶς τὴν πανωλεθρίαν τῷ κατακλυσμῷ καταδικασθείσης, καὶ τῇ πλημμύ-

CAPVT VI.

Si enim Noë generatione, quæ tunc erat, condemnata ad excidium per diluuium, toto-

que genere humano aquarum inundatione deleto, ſolus inuentus eſt, qui Deo placeret: & inter Barbaros longa iniquitatis conſuetudine efferatos, iuſtiſſimus, & verus homo Iob, tanquam pulcherrimum lilium inter ſpinas denſiſſimas, germinauit: ſi regio circum Sodoma igne fulmineo conflagrata carum Deo, & hoſpitum amantem Loth habuit: ſi deinde diuerſa tempora Rhaab, & Deboram, Eſtherque, ac Iudith, Phœben, & Priſcillam, & Dorcada, & Lydam, alioſque multos protulerunt: & in omnibus ſubinde generationibus, vnus aliquis vita præfulſit, qui natiuæ nobilitatis imaginem temporum vitio quaſi euaneſcentem, ſplendidis rurſus coloribus depingeret; ne penitus reſtincto vitali fomite priſcæ, & bonæ vitæ ijs, quæ de ſanctis, qui benè vixerunt, litteris ſunt conſignata, deneganda fides cenſeretur, dum nemo proprijs operibus probat fieri potuiſſe ea, quæ hiſtorijs prodita ſunt. Qua ratione non abſurdum eſſet, o amiciſſimum caput Agathi, alijs alio tempore emergentibus, non & noſtro (vtcumque videatur propter errorem dominantem admirabile) dicere reperiri animam, quæ bonis operibus teſtetur ſuam cum illis beatis cognationem, & hiſce ornatam, quas commemoras, dotibus?

ρα τοῦ ὕδατος ἀφανισθείσης ἁπάντων, μόνος εὐαρεστήσας εὑρέθη τῷ Θεῷ· καὶ ἐν βαρβάροις ἀνομοῦσιν ἐξ ἔθους μακροῦ, ἐβλάστησε καθάπερ ἐν ὑλομανούσαις ἀκάνθαις κρίνον φαιδρότατον ὁ δικαιότατος καὶ ἀληθινὸς ἄνθρωπος Ἰώβ· καὶ ἡ τῷ κεραυνίῳ κατεμπρησθεῖσα πυρὶ τὴν περὶ Σόδομα χώρα ἔσχεν αἰδέσιμον τῷ Θεῷ τὸν φιλόξενον Λώτ, καὶ τὴν Ῥαάβ, καὶ τὴν Δεβόρραν, Ἐσθήρ τε, καὶ Ἰουδὶθ, Φοίβην, καὶ Πρίσκιλλαν, καὶ Δορκάδα, καὶ Λυδίαν, καὶ πολλοὺς ἄλλους ἐνήνεγκαν διάφοροι καιροί, καὶ ἐν πάσῃ γενεᾷ ἔλαμψέ τις τῇ πολιτείᾳ τῆς φυσικῆς εὐγενείας ἐξίτηλον γενομένην τῷ χρόνῳ ἀναζωγραφήσας λαμπροῖς χρώμασι τὴν εἰκόνα, ἵνα μὴ παντελῶς τέλεον ἀποσβεσθὲν τὸ ζώπυρον τῆς ἀρχαίας ἀξίας ὄντως ἄπιστα κρίνεσθαι τὰ περὶ τῶν εὖ βεβιωκότων γεγραμμένα παρασκευάσῃ, οὐδενὸς ὑπὸ τῶν οἰκείων ἔργων δεικνύοντος τὰ ἱστορούμενα δυνατά. Πῶς οὖν οὐκ ἄτοπον ἐκείνων ἄλλοτε γενομένων τοιούτων, μὴ καὶ νῦν, κἂν δοκῇ διὰ τὴν κρατοῦσαν ἀπάτην παράδοξος, εὑρῆσθαι εἰπεῖν ψυχὴν τοῖς ἀγαθοῖς ἔργοις τὴν πρὸς αὐτοὺς μαρτυρουμένην συγγένειαν, καὶ τούτοις κοσμουμένην, ὦ φίλη κεφαλή, οἷς ἔφης πλεονεκτήμασι;

SECTIO

Τ Μ Η Μ Α β'.

Περὶ τῆς ἐγκρατείας.

ΚΕΦΑΛΑΙΟΝ α'.

Καλὴ μὲν οὖν ἐγκράτεια, ἀρχὴ, καὶ θεμέλιος ἐστὶ τῶν ἄλλων πασῶν ἀρετῶν. δαμάζει γὰρ καθάπερ πῶλον σφριγῶντα τὸ σῶμα, καὶ κατὰ μικρὸν ἀεὶ προσαϊνόμενος πρὸς τὸ εὔτακτον, τῇ ἐνδείᾳ τὸ διακεχυμένον συστέλλουσα, καὶ εὐθύνει, καὶ ἐπιεικῆ ποιοῦσα τὰ πάθη, ἅπερ ἡ τρυφὴ σκληραυχεῖν καὶ ἀφηνιάζειν παρασκευάζει, σκιρτῶντα, καὶ φρυαττόμενα, καὶ τῷ ἡνιοχοῦντι λογισμῷ παρέχοντα πράγματα χαλεπὰ, ἀντισπᾶν, καὶ ἀντιπεριάγειν τὸ ἐξοιστρηκὸς τῆς ὁρμῆς αὐτῶν ἐφ᾽ ὅπερ βούλεται μόλις ἰσχύοντι. Τοῦτο γὰρ παιδεύειν ἅπαντας ἀνθρώπους ἔοικεν ὁ Ἐκκλησιαστὴς, τῷ πρότερον διαγωγῇ, καὶ ἀνεσθεὶς διὰ τὴν σύμμετρον δίαιταν ἑαυτοῦ διαλεγόμενος σώματι τῷ λέγειν. Δεῦρο δὴ πειράσω σε ἐν εὐφροσύνῃ· καὶ τὴν πεῖραν μαθὼν οὐ καθήκουσαν, δυσχερῶς κρατῶν, ὧν πρὶν εὐκόλως ἐκράτει, τῆς σαρκὸς κινημάτων, φησὶ τῇ πιαινούσῃ τὸ ζῶον εὐφροσύνῃ· τί τοῦτο ποιεῖς; ἐξέλκεις παρὰ τὸ σύνηθες, ἐφ᾽ ἃ μὴ βούλομαι, τὴν προαίρεσιν, καὶ κατὰ κρημνῶν συναρπάζουσα φέρεις ἀχθομένην, καὶ ὑποτερπομένην πως ἠρέμα τὴν γνώμην βόθροις ἐγκαταστρέφεις, καὶ χάσμασι τὰ μὲν ἀνανεύοντα, τὰ δὲ συντιθέμενον οὐκ ἀνάγκῃ τὸν λογισμὸν βιάζῃ πρὸς τὰ αἴσχιστα, οὐκ ἄκοντα τυραννεῖς οὐκ ἀηδῶς τυραννούμενον.

S E C T I O II.

De Temperantia, ſeu Abſtinentia.

C A P V T I.

PRæclara igitur res eſt temperantia, vt pote reliquarum omnium virtutum principium, & fundamentum. Domat quippe corpus, veluti pullum equinum laſciuientem, ſenſimque cicuratum ad modeſtiam, luxum eius comprimendo indigentia, redigit, animique affectus benè refrænat; & ad bonam frugem reuocat, quos luxuria nimium ceruicoſos ad habenas excutiendas impellit, exſultantes proteruè, ac ferociter inſoleſcentes, & rationi, quæ aurigæ vice lora tenet, moleſtiam faceſſentes, quæque vix tandem valet, quò velit, ipſorum impetum velut æſtro agitatum reuellere, & abducere. Hoc namque omnes homines edocere videtur Sapiens Eccleſiaſtes Salomon, vbi corpus ſuum primum quidem ob commenſuratam victus rationem deduci, atque parere facile alloquitur hiſce verbis: Age experiar te in gaudio; cognoſcens vero experimentum illud minimè conueniẽs, eò quod ægrè dominaretur motibus carnis, quos anteà nullo negotio compeſcebar, dicit gaudio ſaginanri carnem: Cur iſtud facis? Volunrarem præter morem attrahis ad ea, quæ nolo, mentem grauatam, atque occulta quadam delectatione geſtientem tecum rapiens per præcipitia fers; circumagis inrer foueas, & hiatus, partim renuentem, & partim conſentientem rationem non neceſſitare cogis ad rurpiſſima, non inuitam tyrannicè torques non inſuauiter tyrannide preſſam.

Eccleſ. 2. 2.

CAPVT II.

HViuſmodi enim ſunt, qui aduerſus voluptatem pugnantes, & aduerſus oblectamenta luctantes, ne capiantur, in eo, in quo reſiſtunt, flectuntur; in eo, in quo videntur contradicere, conſentiunt; hinc obnituntur, illinc pertrahuntur, curruntque ad ea, ad quæ nolunt, & ad ea, quæ odiſſe ſe putant impulſi adducuntur. Quandoque fugiunt iam comprehenſi, quandoque pertæſi transfugiunt; nunc truduntur, nunc accurrunt; aſſentiuntur tamquam inuiti, animoquè vincuntur, & victos ſe quaſi neſciant elati, atque gaudentes.
Rom. 7. 22. Et hoc fortaſſis eſt, quod Paulus ait: Condelector legi Dei ſecundum interiorem hominem. Video autem aliam legem in membris meis repugnantem legi mentis meæ, & captiuantem me lege peccati, quæ eſt in membris
Ibid. 15 16. meis; Et iterum: Quod non volo hoc ago, & quod odi hoc facio: haudquaquam introducens legem peccati inſitam, neque ſenſus carnis poteſtatem abſoluto imperio dominantem animo docens; nam hoc pacto ſeruos eſſe peccati oporteret omnes homines, eo quod iugum illius excutere nullomodo poſſent. Nos verò iam ſcimus eos, qui volunt, non animo ſolum libertatem conſequutos, ſed & in ſeruitutem redigentes corpus, & affectibus imperantes, ſpontaneum voluntatis arbitrium ad libertatem, & ſeruitutem ipſa re, atque opere oſtendere.

ΚΕΦΑΛ. β′.

Τοιοῦτοι γὰρ εἰσὶ πρὸς τὰ ἡδέα μαχόμενοι, καὶ πρὸς τὰ τέρποντα, ὡς μὴ ἁλῶναι πυκτεύοντες· ἐν ᾧ ἀνθίστανται, κάμπτονται, καὶ ἐν ᾧ ἀντιλέγειν δοκοῦσι, συντίθενται. ἔνθεν ἀντιτείνουσιν, ἐκεῖθεν ἀνθέλκονται, καὶ πρὸς ἃ μὴ θέλουσι, τρέχουσι, καὶ πρὸς ἅπερ ἀπεχθῶς ἔχουσιν, ἐπείγονται ἐλαυνόμενοι. Πῆ μὲν διώκοντες συνέχονται, πῆ δὲ αὐτομολοῦσι δυσχεραίνοντες. ὅτε μὲν ἐθελουσίως, ὅτε δὲ προσκατέχουσι, ὡς οὐ προαιρούμενοι, συναινοῦσι, καὶ ἡττῶνται τῇ γνώμῃ, καὶ τὴν ἧτταν αἱρούμενοι, ὡς οὐκ ἴσασιν ἀσμενίζοντες. Καὶ τοῦτο ἐστὶν ὅπερ ὁ Παῦλος τάχα φησί· Συνήδομαι τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον, βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. Καὶ πάλιν· ὃ οὐ θέλω τοῦτο ποιῶ, καὶ ὃ μισῶ τοῦτο πράττω. οὐ νόμον εἰσηγούμενος ἔμφυτον ἁμαρτίας, οὐδὲ δυναστείαν αὐτοκρατορικὴν δογματίζων τοῦ φρονήματος τῆς σαρκός· οὕτω γὰρ πάντας ἀνθρώπους ἔδει δούλους εἶναι τῆς ἁμαρτίας, οὐδαμῶς ἐκδῦναι τὸν ταύτης ζυγὸν δυναμένους. Νῦν δὲ τοὺς βουλομένους ἴσμεν οὐ μόνον ἐλευθεριάζοντας τῷ φρονήματι, ἀλλὰ καὶ δουλαγωγοῦντας τὸ σῶμα, καὶ κυριεύοντας τῶν παθῶν, καὶ δεικνῦντας τῷ ἔργῳ τὸ πρὸς ἐλευθερίαν, καὶ δουλείαν τοῦ θελήματος αὐτεξούσιον.

CA-

ΚΕΦΑΛ. γʹ.

Ἕως μὲν γὰρ ἡ τροφὴ πιαίνει τὸ σῶμα, τυραννεῖ κατεξανιστάμενον τὸ φρόνημα τῆς σαρκὸς νομοθετοῦν τοῖς ὑπηκόοις ἃ βούλεται· ἐπὰν δὲ ταπεινωθῇ ὑπωπιασμοῖς, καὶ σκληραγωγίᾳ τοῦ σώματος ὑποκύπτει δουλικῶς, καὶ τοῖς κρείττοσιν ὑπείκειν πείθεται νόμοις. οὐκέτι τὸν λογισμὸν ἄγον πρὸς ὄλεθρον ἀπάγει, πρὸς αὐτοῦ δὲ μᾶλλον ἀγόμενον πρὸς εὐπείθειαν σωτήριον. καὶ μάρτυς τούτων ἕκαστος αὐτὸς ἑαυτοῦ, εἰδώς, τίνα μὲν ἐννοεῖν ἀναγκάζει κόρος γαστρὸς, τίνα δὲ συμβουλεύει λογίζεσθαι ἡ ἔνδεια. Ὁ μὲν πρὸς ἀτόπους ἐκβακχεύειν ἐπιθυμίας, ἡ δὲ καὶ μετρίως κινουμένας αὐτὰς καταστέλλουσα, καὶ βρυχωμένας εἴποτε θηριωδῶς, τιθασσεύουσα πρὸς τὸ ἥμερον, καὶ τὸ παρὰ τοῦ Θεοῦ πρὸς τὸν Ἰὼβ εἰρημένον λέγων λαμπρῷ, καὶ διαπρυσίῳ τῇ φωνῇ· ἰδοὺ θηρία παρὰ σοί χόρτον ἴσα βουσὶν ἐσθίει. ἐκ θηριώδους ὠμότητος πρὸς κτηνώδη καὶ ὑποπεπηγμένην κατάστασιν μεταβεβλῆσθαι τὰ πάθη σημαίνουσα, καὶ τέως ἡμερῶσθαι, κἂν ἐμπνέειν ἔτι δοκῇ· παρὰ τισὶ γὰρ καὶ τέθνηκε παντελῶς τῇ ἐγκρατείᾳ νενεκρωμένα.

CAPVT III.

Etenim quamdiu cibus carnem ſaginat, ſenſus carnis inſurgens tyrannidem exercet ſubditis legem imponendo eorum, quæ velit: ſed vbi afflictionibus, quæ liuidum efficiant, & dura corporis tractatione humiliatur, ſubmittit ſe inſtar mancipij, & melioribus legibus ſubeſſe perſuadetur; neque iam amplius rationem trahens abducit in exitium, ſed potius ab ipſa deducitur ad ſalutarem obedientiam. Et horum vnuſquiſque ſibimet ipſi teſtis eſt, non ignorans, quæ nos cogitare cogat ventris ſaturitas, & quid indigētia abſtinentiaque verſare animo conſulat: cū ille in abſurdas deſpumet libidines, iſta verò & moderatè cōmotas eas reprimat, & interdū ferino more frendentes manſuefaciat, & cicures reddat, & clara voce, atque penetrabili dicat, quod à Deo dictum fuit ad Iob: Ecce beſtiæ, *Iob. 40. 10.* apud te fœnū æquè, ac boues comedunt. Significans ſcilicet perturbationes animi à belluina feritate ad ſtatum iumentorum ſubiectionem translatas fuiſſe, iamque omninò cicuratas redditas, vtcumque adhuc eam ſpirare videntur; nam in quibuſdam præ temperantia mortuæ ſunt penitus effœtæ.

ΚΕΦΑΛΑΙΟΝ δʹ.

Οὕτως ἡ Ἰαὴλ τὸν Σισάραν διὰ τῆς σιαγόνος ἀνεῖλε, νεκρώσασα τὸ πολέμιον φρόνημα, οὐκέτι τῆς σιαγόνος φιλοτίμως τῷ πάθει χορηγούσης τὰς ὕλας. ἐγκρατῶς δὲ, καὶ αὐτοῦ μόνον χρειωδῶν παρεχούσης πρὸς τὴν ἀναγκαίαν τοῦ ζῆν, ὡς καὶ παρεῖναι δοκεῖν τῇ δυνάμει, καὶ μὴ παρεῖναι τῇ

CAPVT IV.

Sic Iaël adacto per maxillam clauo Siſaram ſuſtulit, hoſti- *Iud. 4.* lem ſenſum perimens, non amplius maxilla materias dapſiles ambitioſè ſuppeditante paſſioni, ſed frugaliter tantum ipſi præbente quæ opus erant ad vitam neceſſario conſeruandam, adeò vt videretur adeſ-

Iud. 15. tur adeſſe potentia, & non actu. Sic Sampſon in Aſini maxilla percuſſit alienigenas fortaſſis, quod aliter id facere non potuiſſet, niſi maxillam gulæ, ventrique inſeruientem actiua manus virtute comprehendens, & veluti pugno conſtringens ipſam, & circumſcribens iudicio, tenuiſſet, ne in delicias, & inſatiabiles cupiditates difflueret. Natura quippe maxillam ventris miniſtram, & adiutricem effecit, dentibus quidem inciſorijs veluti ligonibus comeſtibilia diſpertientem, molaribus autem quemadmodum molis veris comminuentem, & alimentum paratum per gulam veluti per canalem cauum, & præcipitem vêtris mari inexplebili tranſmittentem, illudquè à Salomone dictum proclamantem: *Eccleſ. 1. 7.* Omnes torrentes eunt ad mare, & mare non erit repletum. Idem enim reuera eſt venter, & mare; cum ambo inſatiabili hiatu infuſa flumina abſorbeant, & alter concoctione, alterum ſalſedine ingeſta abſumens, aliud rurſus nutrimentum appetant, & hiatum neutiquam claudant, nec vllum ſolatium ſitis ex continuo, & perenni fluento percipiant.

ἐνεργείᾳ. Οὕτως ὁ Σαμψὼν ἐν σιαγόνι ὄνου τοὺς ἀλλοφύλους ἐπάταξεν· οὐκ ἄλλως τοῦτο πρᾶξαι τάχα δεδυνημένος, εἰ μὴ τῆς ὑπηρετούσης λαιμῷ καὶ κοιλίᾳ ἐκράτησε σιαγόνος, τῷ πρακτικῷ τῆς χειρὸς περιδραξάμενος αὐτῆς, καὶ ὥσπερ παλάμῃ συστείλας αὐτὴν περιγεγραμμένην τῇ κρίσει, πρὸς τὸ μὴ διαχεῖσθαι ἐπὶ τὸ ἁβρὸν τῶν ἐπιθυμιῶν, καὶ ἀκόρεστον. Διάκονον γὰρ, καὶ ὑπουργὸν σιαγόνα γαστρὸς ἡ φύσις ἐποίησε, δηκτῆρσι μὲν οἷα μακέλλαις ὀδοῦσι περιδιαιροῦσαν τὰ ἐδώδιμα, μύλαις δὲ καθάπερ ὄντως μύλαις λεαίνουσαν, καὶ παραπέμπουσαν ὥσπερ δι᾽ ὀχετηγοῦ χαραδριώδους τοῦ λαιμοῦ ἀπληρώτῳ θαλάσσῃ τῇ κοιλίᾳ ἑτοίμην τροφὴν, τὸ παρὰ τοῦ Σολομῶντος λεχθὲν κηρύττουσαν ἐν ᾧ φησι, πάντες οἱ χείμαρροι πορεύονται εἰς τὴν θάλασσαν, καὶ ἡ θάλασσα οὐκ ἔσται ἐμπιπλαμένη. ταυτὸν γάρ ἐστι κοιλία, καὶ θάλασσα· κεχήνασι γὰρ πρὸς τὰ ῥεύματα τῶν ἐπιχεομένων ἀκορέστως ἀμφότεραι, ἡ μὲν τῇ πέψει, ἡ δὲ τῇ ἅλμῃ δαπανῶσαι τὰ ἐπεισερχόμενα, καὶ αὖθις ὀρεγόμεναι ἄλλης τροφῆς, καὶ τὸ κεχηνὸς οὐδέποτε μύουσαι, ὑπὸ τὸ διψαλέον τῷ συνεχεῖ, καὶ ἀδιαστάτῳ τοῦ ῥείθρου παραμυθούμεναι.

CAPVT V.

ATque ob hanc cauſſam præclara res eſt temperantia, quia inflammationem affectuum, & nimium tumorem ſuperbis è faſtibus deprimit, & humiliat ad id, quod æquius eſt, meliuſque, ac æſtum ipſorum præſternit, procellamque ab impetuoſis multiplicis ciborum paraturæ ventis excitatã tranquillari efficit, atq; ſerenitate indigentiæ ad ſudũ velut habenis reducens

ΚΕΦΑΛ. ε΄.

ΔΙὰ τοῦτο καλὸν ἡ ἐγκράτεια, ὅτι τὸ φλεγμαῖνον τῶν παθῶν καὶ ὀξοιδηκὸς ὑπερβάλλουσιν ὄγκοις καταστέλλει, καὶ ταπεινοῖ πρὸς τὸ ἐπιεικέστερον, καὶ τὸ παφλάζον αὐτοῖς σοβέννυσι, καὶ γαληνιάζειν ποιεῖ τὴν ἐκ τῶν ῥαγδαίων τῆς πολυτελοῦς διαίτης πνευμάτων ζάλην, τῇ νηνε-

Google

μίᾳ τῆς ἐνδείας χαλινοῦσα πρὸς τὸ ἄδιον, καὶ τὸ κυμαινόμενον πραΰνουσα. Καὶ ἐν ἀπορίᾳ μὲν τῶν πρὸς ἀπόλαυσιν ἐπιτηδείων ἠρέμα πως ἀνεκτὸν τὸ κρατεῖσθαι γαστρός. οὐκ ἐρεθίζει γὰρ τὸ μὴ παρὸν οὕτως ὡς τὸ παρόν, καὶ τῇ ὄψει κινοῦν τὴν ὄρεξιν πρὸς τὴν ἔφεσιν· ἐν ἀφθονίᾳ δὲ πανταχόθεν περιρρεομένων ἁπάντων, καὶ περικεχυμένων τῶν πρὸς τρυφὴν δαψιλῶς, ἐγκράτεια φιλοσοφίας ἔχει μεγίστους ἐγκώμιον, εἰ μὴ τοῖς παρασίτοις ἐν ἀφθονίᾳ φειδωλίας ὑπονοίᾳ τὸ ἐπαινετὸν τοῦ ἔργου μολύνεσθαι παρασκευάζοι καταγινώσκει μικρολόγου διαθέσεως. Ὅμοιος γάρ ἐστι ἐμπελαγίζουσαν θάλασσαν, καὶ κυκωμένην βυθοστροφίαν διὰ ξηρᾶς παρελθεῖν ἀβρόχῳ ποδί, καὶ ἰθυνούμενος βίον διεξανύσαι κεκριμένος ἐνδεεστέρᾳ διαίτῃ, οὐδαμόθεν τῆς ἐπιθυμίας ἐπικλυζόμενος ἔνθεν, καὶ ἔνθεν περιρρεούσαις τῶν ἡδέων παρασκευαῖς. Τοιγαροῦν ὁ σοφὸς Σολομὼν τῆς ἐγκρατοῦς ἐπαινῶν τὸ δόγμα ψυχῆς φησιν· ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος· σιαγὼν γὰρ τροφῆς ὄργανον οὖσα, ὡραΐζεται τῇ ἐγκρατείᾳ, αἰσχρὰν τὴν ἀδηφαγίαν, καὶ ὀψοποιῶν, χαιρούσαν καρυκείαις ἐλέγχουσα.

cens,& exundantẽ mitigans fluctũ. Et vero in eorum, quæ ad voluptatem conducunt, inopia, placidè quodammodo venter ſe in ordinem redigi patitur; non irritat quippe quod abeſt, perinde ac id quod coram ſuppetit, ipſoquè aſpectu commouet appetitum ad deſiderium. Sed cum omnium rerum ad luxum pertinentium opiparè, & onerantium aliquem vndique copia affluit, temperantia ſummæ philoſophiæ laudem obtinet; niſi ſicubi in abundantia laudabilia opera ſuſpicione parſimoniæ nimiæ corrumpere tentent paraſiti condemnantes eum præ animi anguſtia. Pariter enim eſt altum, & effuſum mare, commotoſque imo è fundo vortices non madefacto per ſiccum tranſire pede; ac rectum vitæ curſum frugali victu diſcretum diſtinere; ita vt nec cupiditas circufuſum hinc inde profluentibus dulcedinum apparatibus eum inundet. Vt ſapiens Salomon rectè dixerit temperantis animi propoſitum dilaudans: Decoratæ ſunt genæ tuæ, ſicut turturis. *Cantic. c.1.v.9* Nam gena, nutritionis inſtrumentum cum ſit, decoratur temperantia, dum turpem voracitatem, & exquiſitis condimentis ciborum gaudentem reprobat.

ΤΜΗΜΑ γ'.

Περὶ κενοδοξίας.

ΚΕΦΑΛ. α'.

ΤΟ'τε δὲ καὶ ὡς τρυγὼν ὡραιοῦται, ὁπηνίκα τὴν ἀρετὴν περιστέλλει καὶ κρύπτει σπουδαίως, ἣν παρὰ τῶν ὁρώντων ἐκκλίνειν φιλοτιμούμενος, ὡς οἷον

SECTIO III.

De Vanagloria.

CAPVT I.

SEd tum gena inſtar turturis exornatur, quando virtutem coarctat, & laudem ab intuentibus declinare pro viribus affectans ſtudiosè occultat, veluti turtur ſolitudine vtens, quaſi ſipario facinus obuelans ſuum, animiquè propo-

ſito

ſito latitans; etiamſi omnes magna voce opus eius acclament. Tunc autem factum in vanam gloriam degenerat, quando animus ad oſtentationem ſpectat: quamdiu verò non reſpicit ad venandum gloriam humanam, etſi quouis lumine Lucidior virtus emicet (oportet enim, cum ipſa lux ſit, proprijs ſplendoribus ipſam effulgere) voluntas ab omni oſtentatione, faſtuque remota eſt, ſola ſoli placere ſtudens Deo, nihil curans ſpectatores, neque ſi inſpiciant illi, neque ſi dilaudantes applaudant; vanum exiſtimans, & futile quidquid ad æternam remunerationem nihil confert: quamuis laudantium plauſus ſupergreſſi nubes, aërem, ipſumque feriant inſonando æthera; recidunt enim deorſum, vt pote qui ſunt quaſi cantus procaces cicadarum, & vnà cum ſtrepitu arteriæ deſinunt, nullum verò iuuamen, lucrumquè animæ afferunt; quin potius maxima eam iniuria lædunt; inflant enim ad dementiam, & laudum voluptate operis mercedem euacuant. Hoc ipſum Propheta docens aiebat:

Iſa. 3. 12. Qui vos beatos dicunt, ipſi vos decipiunt, & ſemitam pedum veſtrorum diſſipant; vanam ſcilicet ingerentes perſuaſionem profectus ad res bonas impedientem. Dominus autem in ſuis verbis adhortatorijs inquit nonnunquam: Ne-

Matth. c.6.v.3. ſciat ſiniſtra tua, quid facit dextera tua: interdum. Luceat lux veſtra co-

Matth. cap. 5. v. 16. ram hominibus: & bonum agere præcipiens, & ab oſtentatione auertens. Si enim occultari non poteſt vrbs ſuper montem poſita, & viæ iuſtorum lucis inſtar elucent; cur ergò aliquis adſiſtat publicè facem præferens laboribus boni

τι, ἔπαινος, καθάπερ ζυγὸν τῇ ἐρημίᾳ τῷ παραπετάσματι κεχρημένην τῷ γινομένῳ, καὶ τῇ προθέσει λανθάνουσα, κἂν πάντες μεγάλῃ τῇ φωνῇ βοῶσι τὸ ἔργον. Τότε γὰρ ἐστι κενοδοξία τὸ πραττόμενον, ὅτε πρὸς ἐπίδειξιν ἡ γνώμη ὁρᾷ· ἕως δὲ μὴ πρὸς θήραν βλέπῃ αὐτὸ δόξης ἀνθρωπίνης, κἂν φωτὸς ἡ ἀρετὴ λάμψῃ φανώτερον (δεῖ γὰρ φῶς οὖσαν αὐτὴν, ταῖς οἰκείαις ἀστράπτειν αὐγαῖς) ἡ προαίρεσις τὸ ἀνεπίφαντον ἔχει, καὶ ἄκομψον, μόνῃ μόνῳ τὸ ἀρέσκειν ποιοῦσα Θεῷ, καὶ τῶν ὁρώντων, οὔτε εἰ ὁρῷεν, οὔτε εἰ δυσφημοῖεν, λόγον ποιουμένη τινά, μάταιον, καὶ εἰκαῖον λογιζομένη πᾶν τὸ μὴ πρὸς ἀμοιβὴν αἰώνιον συντελοῦν, κἂν οἱ κρότοι τῶν εὐφημούντων ὑπερηχῶσι τὸν ἀέρα νεφῶν αὐτοῦ καὶ αἰθέρος ἁπτόμενοι. πάλιν γὰρ ὑποπίπτουσι κάτω τερετίσματα φωνῶν ὄντες, καὶ τῷ ψόφῳ συντελευτῶντες τῆς ἀρτηρίας, οὐδεμίαν δὲ ὄνησιν ἔμμισθον ποιοῦντες ψυχῇ, ἀλλὰ καὶ ἀδικοῦντες τὰ μέγιστα. φυσιοῦσι γὰρ πρὸς ἀπόνοιαν, καὶ τῇ τῶν ἐπαίνων ἡδονῇ κενοῦσι τοῦ ἔργου τὸν ἔμμισθον. Τοῦτο διδάσκων ὁ προφήτης ἔλεγεν· οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσι. οἴησιν δηλονότι ἐμποιοῦντες τὴν ἐμποδίζουσαν τὰς εἰς τὰ καλὰ προκοπάς. Ὁ δὲ Κύριος ἐν τοῖς παραινετικοῖς αὐτοῦ λόγοις ποτὲ μέν φησι, μὴ γνώτω ἡ ἀριστερά σου, τί ποιεῖ ἡ δεξιά σου. ποτὲ δὲ, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· καὶ τὸ καλὸν ἐπιτάττων ποιεῖν, καὶ τὸ ἀποδεικτικὸν ἀποτρέπων. Εἰ γὰρ οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, καὶ αἱ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι. τί οὖν τις ἔστηκε δᾳδουχῶν δημοσίᾳ τοῦ καλοῦ πόνους, ὃ μετ' ὀλίγον καθ' ἑαυτὸ λάμψαι δυνά-

μένος, προπυρσεύων πρὸς ἐπίδειξιν, καὶ φιλόδοξος ἀκαίρως πληροφορῶν ἡδονήν;

boni operis; quod mox per ſe ipſum elucere poterit, præaccedens ad oſtentationem, & intempeſtiuè perſuadẽs voluptatẽ gloriæ cupidã?

ΚΕΦΑΛΑΙΟΝ β'.

Δέος, εἴπερ ἱμείρεται δόξης, ὅπερ οὐκ εὔλογον, αὐτὴν ἐκδέξασθαι τὴν ἑπομένην τῷ ἔργῳ, καὶ μὴ προφθάσαι τῷ δοκεῖν αὐτὴν, ἐπισαλπίζοντα τῷ γινομένῳ, καὶ τὴν δῆθεν ὀφειλομένην ἀπαιτοῦντα τιμήν. ὁ γὰρ εἰπὼν, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, τὸ ἔργον βοᾶν, οὐ τοὺς ἐργαζομένους κηρύττειν ἐκέλευσεν. ἵνα καὶ ἡ ἀρετὴ τὸ ἐπίδοξον, καὶ ἡ πρόθεσις ἔχῃ τὸ ἄμεμπτον, οὐ δόξης ἕνεκεν ἀνθρώπων, ἀμοιβῆς δὲ τῆς παρὰ τοῦ Θεοῦ ἑλομένη τὸ ἀγαθόν· εἴγε μὴ πρὸς τελειότητος ὅρον ἐν τούτῳ ἐνδεές. ἐπεὶ μὴ ἄλλου χάριν, ἀλλ' αὐτοῦ τοῦ καλοῦ, αἱρεῖσθαι τὸ καλὸν ὅσιον· υἱῶν γὰρ αὕτη, μισθωτῶν δὲ ἐκείνη κατάστασις, ἀνωτέρα μὲν τῆς δούλων, πάντα γὰρ οὗτοι πράττουσι φόβῳ κολάσεως, κατωτέρα δὲ τῆς υἱῶν, τῷ μὴ πόθῳ τὸ καλὸν, ἀμοιβῆς δὲ ἐργάζεσθαι προσδοκίᾳ. Ὁ γὰρ ἐπιθυμίᾳ πρὸς τοῦτο κεχειρωμένος, ἀπόλαυσιν ἡγεῖται τοῦ ποθουμένου τὸ ἔργον, ἐν αὐτῷ τῷ πόνῳ τὴν ἡδονὴν καρπούμενος, καὶ αὐτὸν κρίνων μισθὸν, καὶ γέρας ἐξαίρετον τὸν ὑπὲρ τοῦ ἐρωμένου κάματον. Ἐπειδὴ πᾶν τῷ πόθῳ γινόμενον κοῦφον καὶ ὁμαλὲς, κἂν ᾖ λίαν ἐπίμοχθον, τῆς πρὸς αὐτὸ διαθέσεως τοῦ ἐργαζομένου κλεπτούσης τὸν πόνον, καὶ ἐξομαλιζούσης τὸ τραχὺ πρὸς ἐνέργειαν εὔκολον. νικᾷ γὰρ ἀεὶ τοῦ καμάτου τὸ ἐπαχθὲς ἡ προθυμία, κρείττων τῆς ἐν τῷ ἔργῳ δυσχερείας γινομένη, καὶ τὴν

CAPVT II.

Etenim ſi gloriæ deſiderio tenetur, quod tamen à ratione abhorret, eam excipiar, quæ opus ſubſequitur, & non præoccupet ipſam apparentia, tuba canens antequam faciens, & debitum honorem repetens præmaturè. Qui enim dixit: Luceat lux veſtra coram hominibus; opus ipſum clamare, ſed non iuſſit operantes prædicare: vt & virtus ſuam habeat gloriam, & animi propoſitum reprehenſione careat, bonum non ob humanam gloriam, ſed ob Dei remunerationem eligens. Niſi tamen ad perfectionis metam & hoc deficiat; cũ non alterius rei, ſed ipſius boni cauſſa bonum eligi ſit ſanctum. Filiorum enim hæc eſt conditio, mercenariorum autem illa, ſuperior quidem ea, quæ ſeruorũ eſt, namq; pœnæ formidine hi omnia faciũt; inferior tamẽ conditione filiorum, eo quod haudquaquam amore bonum, verum mercedis operetur expectatione. Cupidè namque qui opus aggreſſus eſt, fructum arbitratur deſideratæ rei operationem, inque laborando voluptatem percipit, & ipſum laborem pro mercede ſibi deputat, atque pro eximio præmio ſuper amara re impenſam fatigarionem. Quandoquidem omne, quod fit cum amore, leue, ac facile euadit, etiamſi valdè ſit laborioſum, propenſione operantis erga illud occultante laborem, & explanante aſperitatem ad facilem operationem. Vincit etenim ſemper laboris

Matth. 5. 16.

moleſtias alacritas, ſuperiorquè difficultate, quæ in operando eſt, efficitur, ſenſumque laboris oblitterans præ comitante voluptate, adeo vt labor oblectamentum ſit potius, quam labor; & ea, quæ putabatur moleſtia, ſit iucunditas.

αἴσθησιν ἀμαυροῦσα τοῦ πόνου τῇ παρομαρτούσῃ ἡδονῇ. ὡς τέρψιν εἶναι μᾶλλον, ἢ πόνον, τὸν πόνον, καὶ θυμηδίαν τὴν νομιζομένην δυσχέρειαν.

CAPVT III.

ΚΕΦΑΛ. γ'.

CAeterùm affectus iſtos inſidioſos in multis planè emortuos, & effœtos eſſe, magnus Paulus oſtendit, primum ſeipſum talem introducens, & ſic virtutes à ſe patratas alijs iniungit, ab experientia id fieri poſſe probans, quod ipſe iam fecerat. Ait enim:
Gal. 2. 20. Chriſto confixus ſum Cruci. Viuo autem iam non ego: mortem ſuam vocans, quod nullis amplius paſſionibus moueretur. Idemque & omnibus poſt ſeipſum præcipit:
Coloſſ. 3. 5. Mortificate membra, quæ ſunt ſuper terram, fornicationem, impuritatem, intemperantiam, libidinem, concupiſcentiam malam: nam corporis ad huiuſmodi vitia protenſiones temperantia exſoluuntur, recta vero ratione intempeſtiui eius impetus reprimuntur. Danda eſt opera nempè, secúdum quemdam externum Sapientem, non ſolum quò numella fiat valida, ſed & canis gracilis macie, vt illa moderatè attracta retrahat, non autem hic viribus valens trahat quò velit.

Ὅτι δὲ τέθνηκε παντελῶς ἐν πολλοῖς, καὶ νενέκρωται τὰ ἐπίβουλα πάθη, δηλοῖ Παῦλος ὁ μέγας πρῶτον ἑαυτὸν εἰσάγων τοιοῦτον, καὶ οὕτω τὸ παρ' αὐτοῦ κατορθούμενον ἐπιτάττων τοῖς ἄλλοις, δυνατὸν εἶναι τῇ πείρᾳ δεικνύς, ὡς ἤδη γινόμενον· φησὶ γάρ· Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκέτι ἐγώ· θάνατον αὐτοῦ λέγων τὸ πρὸς τὰ πάθη ἀκίνητον. Τοῦτο δὲ καὶ πᾶσι μεθ' ἑαυτὸν ἐγκελεύεται, νεκρώσατε τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, ἀσέλγειαν, πάθος, ἐπιθυμίαν κακήν. τῇ μὲν ἐγκρατείᾳ τοὺς πρὸς τὰ τοιαῦτα τόνους ἐκλύουσι τοῦ σώματος, λογισμῷ δὲ τὰς ἀκαίρους ἐπιστομίζουσι τούτου ὁρμάς. Δεῖ γὰρ καὶ κατά τινα τῶν ἔξω σοφῶν, μὴ μόνον τὸν κλοιὸν ποιεῖν στιβαρόν, ἀλλὰ καὶ τὸν κύνα λεπτόν, ἵνα μετρίως ἑλκόμενος ἕλκῃ, ἀλλὰ μὴ ἕλκῃ αὐτὸς ἰσχύων ἔνθα καὶ βούλεται.

ΤΜΗΜΑ δ'.

Περὶ ἀναγνώσεως, καὶ προσευχῆς.

ΚΕΦΑΛ. α'.

Ἀνάγνωσις δὲ, καὶ προσευχὴ καλὰ τῶν εἰρημένων οὐχ ἥκιστα, ἀλλὰ καὶ μᾶλλον καλά· μεγάλα γὰρ καὶ σφόδρα πολλὰ πρὸς τὸν σώφρονα συμβάλλονται βίον. Ἐπειδὴ γὰρ δι' αἰσθήσεων ἔμαθεν ὁ νοῦς τῶν αἰσθητῶν πραγμάτων τοὺς τύπους, σχήματα, καὶ χρώματα, καὶ μεγέθη τῶν ὁρωμένων δι' αὐτῶν δεξάμενος, καὶ τούτων ἐν ταῖς ἠρεμίαις εἴωθεν ἀνακινεῖν τὰς φαντασίας, ὄχλον τῇ μνήμῃ πραγμάτων ἔσθ' ὅτε μὲν ἀνωφελῶν, ἔσθ' ὅτε δὲ καὶ λίαν ἐπιβλαβῶν, ἀνειδωλοποιῶν, καὶ θόρυβον ἄκαιρον ἐγείρων ἐν ἑαυτῷ λογισμῶν, οὐκέτι χώραν ἐχούσης τῆς διανοίας πρὸς ἔννοιαν τινὰ κινηθῆναι χρηστὴν, στενοχωρουμένης τῷ πλήθει τῶν ἤδη προκατειληφότων αὐτὴν ἐνθυμιῶν, καὶ ἀποκλεισάντων τοῖς σπουδαίοις, καὶ ὠφελίμοις τὴν εἴσοδον. Διὰ τοῦτο καλὸν προσευχὴ, καὶ ἀνάγνωσις· ὅτι τὴν ματαίαν ἐκείνην παύουσι πλάνην, δεσμοῦσαι τὸν ἐφ' ἃ μὴ δεῖ ῥεμβόμενον λογισμὸν, καὶ κατέχουσαι πρὸς ἑαυτὰς χρησίμως οὐδαμοῦ τῆς καλῆς περισπώμενον ἀσχολίας. Τί γὰρ ὄντως ἴσον, ἢ ἐφάμιλλον τῷ λόγοις βόσκειν τὴν διάνοιαν, καὶ θεωρίαις διοχεῖν αὐτὴν, τέρψιν ἐχούσαις ἀκήρατον, καὶ ὠφέλειαν εἰς ἀεὶ παραμένουσαν, παλαιῶν μὲν ἱστορίαις ὁδηγουμένην πρὸς ζῆλον τῆς αὐτῶν ἀρετῆς, κἀκεῖθεν ἀναματτομένην τῆς εὐσεβοῦς πολιτείας σωτήριον μόρφωσιν, θεωρίαις δὲ πτερουμένην πρὸς ἔνθεον εὐφροσύνην, καὶ ἐξισταμένην τῶν κάτω προσεδρίᾳ τῶν

SECTIO IV.

De Lectione, & Oratione.

CAPVT I.

IIs autem, quæ dixi, haudquaquam cedūt Lectio, & Oratio, quin potius præclariores ſunt: magnæ quippe exiſtunt, & ad honeſtam vitam quamplurimum conferunt. Nam poſteaquam mens didicit per ſenſus ſenſibilium rerum figuras, ſpecies, & colores, & magnitudines eorum, quæ videt, ſenſuum ope ſuſcipiens, ipſorum in quiete ipſa ſolet etiam refricare imagines, rerum quandoque inutilium, interdum quoque valde pernicioſarum memoria turbā ſibi rursùs effingēs, & in ſeipſo tumultum intempeſtiuum commouens cogitationum, adeo vt nullum amplius intellectus locum habeat ad bonam aliquam excitandam cogitationem, præ multitudine eorum, qui iam ipſum præoccuparunt, conceptuum animi, quique præcluſerunt aditum rebus vtilibus, atque bonis. Idcircò bona eſt oratio, atque lectio, quia vanam illam euagationem ceſſare faciunt, compeſcentes cogitationem ad ea, quæ non oportet, temerè oberrantem, & eam apud ſe ita vtiliter retinentes, ne vmquam à tam bona occupatione diſtrahatur. Quid enim comparari, contendiue cum eo poteſt, vt mentem paſcas ſermonibus, & contemplationibus quaſi conuiuijs excipias, quarum & ſincera ſit delectatio, & vtilitas perpetuò duret, dum exemplis veterum ad eorum virtutis æmulationem deducitur, ſalutaremque piè viuendi informationem inde impri-

nit; per contemplationes vero euolat, ad Diuinam lætitiam, & educta ex his, quæ deorſum ſunt, illis quæ ſunt ſuperius, inhærendo, ſpeculantur cæleſtia, & vſque ad ipſam naturam beatam pertingit, eiuſque fructus decerpit quoad poteſt ſuſtinere, quos percipiunt Seraphim circumeuntia thronum vniuerſim.

αὐτῷ σκοποῦσαν τὰ ἐπουράνια, καὶ μέχρις αὐτῆς φθάνουσαν τῆς μακαρίας φύσεως, καὶ ταύτην καρπουμένην τὴν ἀπόλαυσιν εἰς ὅσον παραδέχεσθαι ἰσχύει, ἣν καρποῦνται τὰ Σεραφὶμ διόλου κυκλοῦντα τὸν θρόνον.

CAPVT II.

ORatio fortaſſis etiam maioris vtilitatis ratione continet, nempe vt colloquamur cum Deo nos ſiſtit, & longa conſuetudine Dei amicitiam nobis conciliat, vt pote ad diſponendos affectus, conſeruandoſquè apta, & maximè erga Deum, qui etiam viles homines ad dilectionem admittit, & conſortium cum illis non pudet eum habere, quamdiu conſtans deſiderium ipſis fiduciam ſuggerit. Si enim ſeruis ad dominationem ſeſe efferentibus, & faſtu turgido herilis auctoritatis fidem conſeruare ſtudentibus accepta beneuolentiæ pignora confidentiam tribuunt: quanto magis piè viuentibus ergà Deum fiduciam augebit vita ſecundum eius mentem, & voluntatem inſtituta, quæ non ex metu tremorem adeò pauidum, ſolicitumque requirit, quantum hilari libertate gaudet ex dilectione.

ΚΕΦΑΛ. β'.

Η Δὲ προσευχὴ εἰς ὠφελείας λόγον ἔχει τὴν τάχα καὶ μεῖζον, Θεῷ προσομιλεῖν παρασκευάζουσα, καὶ φιλίαν τὴν πρὸς αὐτὸν μνηστευομένη τῇ μακρᾷ συνηθείᾳ, ἐπειδήπως καὶ ποιεῖν τὰς διαθέσεις αὐτῇ, καὶ τηρεῖν πρὸς Θεὸν, τὸν εἰς ἀγάπην καὶ τοὺς ἀτελεῖς προσιέμενον, καὶ τὴν πρὸς αὐτοὺς οὐκ ἐπαισχυνόμενον ἰσοτιμίαν, ἕως αὐτοῖς παῤῥησίαν δίδωσι παραμένων ὁ πόθος. Εἰ γὰρ δούλους πρὸς τὴν δεσποτείαν αὐχοῦντας, καὶ τὸ τῆς αὐθεντείας ἀξίωμα σοβαρῷ τύφῳ φυλάττειν ἐπιτηδεύοντας θάῤῥος δίδωσι προλαβόντα εὐνοίας ἐνέχυρα, πόσῳ μᾶλλον τοῖς εὖ βιοῦσιν αὐξήσει τὴν πρὸς Θεὸν παῤῥησίαν ὁ κατὰ γνώμην αὐτοῦ, καὶ βούλησιν πολιτεύεσθαι, οὐ τοσοῦτον ἀπαιτοῦντα τὸν ἐκ τοῦ φόβου ἐναγώνιον τρόμον, ὅσον χαίροντα τῇ ἐκ τῆς ἀγάπης ἱλαρᾷ παῤῥησίᾳ.

CAPVT III.

Act.8.7 LEctio effecit, vt Eunuchus Aethiops viri nomine appellaretur, vtque dignus eſſet Apoſtolico occurſu, & colloquio; atque ad Chriſti cognitionem viam ei commonſtrauit, & eum ad Baptiſmi

ΚΕΦΑΛΑΙΟΝ γ'.

ἈΝάγνωσις τὸν Αἰθίοπα Εὐνοῦχον ἄνδρα προσαγορευθῆναι ἐποίησε, καὶ Ἀποστολικῆς συντυχίας ἠξίωσε, καὶ ἐπὶ τὴν τοῦ Χριστοῦ γνῶσιν ὡδήγησε, καὶ πρὸς τὴν τοῦ βαπτίσματος ἤγαγε χάριν. Ἀνάγνωσις νόμου, καὶ ἀρχαίων

παράγγελμα, μελετήσεις γάρ φησιν ὁ Μωϋσῆς, καθήμενος ἐν τῷ οἴκῳ σου, καὶ πορευόμενος ἐν ὁδῷ, κοιταζόμενος, καὶ ἀνιστάμενος. τὸ πολὺ τοῦ χρόνου ἀποκληρώσας τῇ προσεδρείᾳ τοῦ λόγου πρὸς ἄσκησιν ψυχικῆς εὐεξίας, βραχὺ δέ τι καταλιπὼν κομιδῇ τῇ ἀναγκαίᾳ χρείᾳ τοῦ σώματος. ἄλλως θεραπεύεσθαι τὴν δέσποιναν, καὶ ἄλλως ἐπιτάξας τὴν δούλην. τῆς μὲν πλατύνας εἰς καιροῦ μῆκος ἐπιμέλειαν, τῇ δὲ συμμετρήσας πρὸς τὸ καθῆκον αὐτάρκη τὴν ἀσχολίαν, ὡς κἀντεῦθεν ἔχειν ὁμολογουμένως τὰ πρεσβεῖα ψυχὴν, καὶ μηδαμόθεν αὐχεῖν σῶμα πρὸς ταύτην ἰσοτιμίαν, μηδ' ἔχειν ἰσηγορίας πρόφασιν εὔλογον. Ἀνάγνωσις, πρῶτος ἐν ψαλμοῖς μακαρισμός, καὶ διανοίας ἀρδεία πρὸς ἀρετῶν καρποφορίαν φιλότιμος. ὁ γὰρ μελετῶν ἐν τῷ νόμῳ Κυρίου ἡμέρας, καὶ νυκτός, ἔστι καὶ μακάριος, ξύλῳ παρὰ τὰς διεξόδους τῶν ὑδάτων πεφυτευμένῳ παραπλήσιος, καὶ φύλλοις κομῶν πρὸς εὐπρέπειαν τῇ σεμνῇ τοῦ ἤθους καταστολῇ, καὶ καρπῷ τῆς εὐσεβείας κατὰ τὸ λανθάνον βριθόμενος, τῆς συνεχούσης μελέτης, οἷόν τινος διηνεκοῦς ποτισμοῦ παρεχούσης αὐτῷ ἀεὶ τὸ θάλος, καὶ τῷ φαινομένῳ συναυξούσης φυσικῶς τὸ κρυπτόμενον.

ptiſmi gratiam perduxit. Lectio lege, & ea quidem vetuſtiſſima præcipitur; dicente Moyſe: Me ditaberis ſedens in domo tua, & *Deut. 6. 7.* ambulans in itinere, dormiens, atque conſurgens. Qui maximam temporis partem aſſiduæ verbi Diuini contemplationi ad exercitium ſanitatis animæ attribuit, vix exiguam eius particulam relinquens neceſſario corporis vſui; aliter obſequens Dominæ, & aliter ancillam tractans; & illius quidem curam ad prolixum tempus extendens, iſtius verò, quantum conuenit ad ſufficientiam, vacationem cum mẽſura circumſcribens. Ita vt in hoc quoque anima omniũ confeſſione primas ferat, neque corpus vllo modo ei ſe comparatum æquo iure glorietur, aut habeat vanum æqualitatis prætextum. Lectioni prima in Pſalmis *Pſal. 1.* beatitudo tribuitur, quippequæ animum ad virtutum fructum producendum largè rigat. Nam qui in lege Domini meditatur die, ac nocte, ille & beatus eſt, ſimiliſquè ligno plantato ſecus decurſus aquarum, cum & folijs, hoc eſt morum graui compoſitione condecoratus ſit, & fructu pietatis in occulto pectoris receſſu ſit onuſtus; continua meditatione perennis adaquationis inſtar præbente illi perpetuum virorem, & pati naturæ incremento interna non minus augente, quam externa.

ΚΕΦΑΛ. δ'.

ὩΣ γὰρ φύλλα σκέπη, καὶ κόσμος ἐστὶ τοῦ φυτοῦ, καὶ καρποῦ φυλακή, οὕτω κατάστασις εὐλαβὴς, καὶ τὸ σῶμα δείκνυσι σεμνόν, καὶ ἔνδον τῆς ψυχῆς μετριοφροσύνῃ συσκιάζει καλά, Θεῷ τῷ γεωργῷ καὶ ἀσινῆ τηροῦσα τὸν καρπόν, καὶ ἐπὶ

CAPVT IV.

QVemadmodum enim folia tegumento, & ornamento ſunt plantæ, & fructibus cuſtodia; ſic & vita compoſita ad pietatem, & corpore modeſtiam præfert, & quæ interna ſunt animi bona, moderatione obũbrat, Deo

cultori

cultori agri fructum ſeruans illæſum, neque feris corrumpentibus
Pſ. 79. 14. peruium exponens. Nam vana gloria aper eſt ex ſilua, & ferus ſingularis, & pedibus, atque dentibus ſata exſcindens, niſi humilitatis ſepimentum circummuniat, & aditus ipſius præcludat. Atque hæc quidem meditationis Diuinorum eloquiorum ſunt emolumenta, delentis ex animo turpem, & noxiam omnem imaginationem, & imprimentis tabulæ illius formas ſacroſanctas, inſtruentiſque veluti ſtatuis recordatione rerum Deo dignarum memoriam. At Oratio mentem ab omni ſenſibili cogitatione abſtrahit, ipſique omnium ſupremo Deo colloquentem, & quæcumque velit, cum fiducia flagitantem ſiſtit, tempore etiam inter orationem interiecto ita hominem purè viuere docet vti eum decet, qui cum Deo conuerſatus ſit, & non multo poſt ei rurſus colloquuturus.

ἐκδίδουσα πρόχειρον τοῖς λυμαινομένοις θηρίοις· ὗς γάρ ἐστιν ἐκ δρυμοῦ, ὁ μονιὸς ἄγριος κενοδοξία, καὶ ποσί, καὶ ὀδοῦσι καταφθείρουσα τὸ γεώργιον, μὴ τοῦ τῆς ταπεινοφροσύνης περικειμένου φραγμοῦ, καὶ τὰ ταύτης ἀπαλεξουμένου ἐφόδους. Καὶ ταῦτα μὲν τῆς μελέτης τῶν θείων λογίων τὰ πλεονεκτήματα, ἀφανιζούσης πᾶσαν αἰσχρὰν, καὶ ἐπιζήμιον φαντασίαν, καὶ χαραττούσης τύπους ἱεροπρέποντας πίνακι, καὶ ἀγαλματοφορεῖν παρασκευαζούσης μνήμας ἀξίας Θεοῦ. Ἡ δὲ προσευχὴ παντὸς ἀφίστησι τὸν νοῦν νοήματος αἰσθητοῦ, καὶ αὐτὸν παρίστησι τῷ ἐπὶ πάντων Θεῷ διαλεγόμενον, καὶ αἰτοῦντα μετὰ παῤῥησίας ἃ βούλεται. καὶ οὕτως ἐν τῷ μεταξὺ διάγειν παρασκευάζει ἁγνῶς ὡς Θεῷ συντυχόντα, καὶ μετ' οὐ πολὺ πάλιν αὐτῷ συνδιαλεξόμενον.

CAPVT V.

Ea propter Paulus perſeuerandum in Oratione docet,
Rom. 12. vt conſuetudinem longa familiaritate
Coloſſ. 3 tate confirmet. Ac rurſus: In omni loco iubet orare, ne quiſquam ad orandum negligentior vano prætextu ſe quaſi longius à templo, in quo oratur, diſſitū cauſſetur. Quin & ideò locus omnis orationi eſt idoneus: quia nihil iuuit Iudæos accedentes ad orandum inquinatis manibus, & ædem puram abominandis facinoribus profanantes, innoxia ſacri templi conditio. Sicut enim Deus orantes hoc modo, quamuis ad ipſa tēpli penetralia, circumplexi ſedulò propitiatoriū, manibuſque implexis Cherubim

ΚΕΦΑΛ. ε'.

Διὰ τοῦτο προσκαρτερεῖν ὁ Παῦλος διδάσκει τῇ προσευχῇ· τῇ μακρᾷ συνουσίᾳ βεβαιοῦν τὴν συνήθειαν· καὶ πάλιν· ἐν παντὶ τόπῳ κελεύει προσεύχεσθαι, ἵνα μηδεὶς προφασίσηται ῥαθυμῶν προσευχῆς, ὡς μακρὰν προσευκτηρίου διῳκισμένος ναοῦ. ἢ καὶ διὰ τοῦτο πᾶς τόπος εἰς προσευχὴν ἐπιτήδειος, ὅτι μηδὲν ὤνησεν Ἰουδαίους τὸ ἁγνὸν τοῦ ἱεροῦ κατάστημα βεβήλοις χερσὶν ἐρχομένους ἐπὶ τὴν προσευχὴν, καὶ τὸ καθαρὸν τέμενος κοινοῦντας πράξεσι μιαραῖς. Ὡς γὰρ τοὺς οὕτω προσευχομένους, κἂν εἰς αὐτὰ τοῦ ναοῦ προσεύχωνται τὰ ἄδυτα, περιπτυσσόμενοι σπουδαίως τὸ ἱλαστήριον, καὶ ταῖς πτέρυξι τῶν Χερουβὶμ τὰς χεῖρας ἐμπλέκοντες, ἀποστρέφεται βδελυττό-

alis,

μβμος, ὡς ἐναγεῖς ὁ Θεὸς λέγων. ἐὰν ἐκτείνητε τὰς χεῖρας ὑμῶν πρὸς με, ἀποςρέψω τοὺς ὀφθαλμοὺς μου ἀφ᾽ ὑμῶν, καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. οὕτω τοίνυν καρδίᾳ καθαρᾷ, καὶ πράξεσιν ὁσίαις ἐπικαλουμένους αὐτὸν προσίεται, καὶ ἐκ παντὸς τόπου τὴν αὐτῶν ἐνωτίζεται δέησιν, διαθέσει προσέχων, κἂν τὸ χωρίον ᾖ κατὰ τὸ δοκοῦν ἀδιάφορον.

alis, adorent, auerſatur execrans ſicut impios, dicens: Si extenderitis manus veſtras ad me, auertam oculos meos à vobis, & ſi multiplicaueritis orationem, non exaudiam vos: manus enim veſtræ ſanguine plenæ. Ita puro corde, ſanctiſque operibus inuocantes ipſum admittit, & eorum preces omnimodo exaudit, attendens animi affectum; etſi locus ſit indifferens, vti videtur. *Iſa. 1. 15.*

ΚΕΦΑΛΑΙΟΝ ϛ´.

Οὕτω τῷ Κορνηλίῳ ἐν οἰκίᾳ προσευχομένῳ ἐθνικῇ, ἔτι τοῦ ναοῦ τὸ οἰκεῖον ἔχοντος σέβας, ἐπιφοιτήσας ἄγγελος ἔλεγεν· αἱ προσευχαί σου, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἔμπροσθεν τοῦ Θεοῦ, οὐ τῇ τοῦ ναοῦ πρὸς τὴν ἄνοδον ἀξιοπιστίᾳ συνεχρησάμεναι, τῷ δὲ πτερῷ τῆς ἀγαθῆς προθέσεως ἀνυδρομήσασαι πρὸς τὸν δεχόμενον αὐτὰς καὶ αἰσίως δεχόμενον. Οὕτω τοῦ Ἰωνᾶ πρὸς οὐρανὸν ἐκ βυθοῦ πλησιςίως ἔφθασεν ἐνορμισθεῖσα ταῖς θείαις ἀκοαῖς ἡ προσευχὴ, καὶ οὐκ ἐχειμάσθη τῷ πολλῷ κλυδωνίῳ τοῦ ὕδατος, καθάπερ ἡ τοῦ Φαρισαίου ἐν τῷ ἱερῷ ναυαγήσασα, καὶ μετὰ τοῦ φόρτου ποντωθεῖσα παντὸς ὑποβρύχιος. ἐπεὶ μὴ οἵα τε ἦν ἐπικυματίζειν, ἢ ποντοπορεῖν διαςαλαῖς ὑπέραντλος οὖσα, ἢ ἀναδύειν διὰ τὸ βάρος τοῦ ὑπεραύχου φρονήματος οὐκ ἰσχύουσα, πρῴραν βαπτιζομένην, καὶ πρύμναν ἐπικλυζομένην, τύφου, καὶ ἀλαζονείας ἐπανισταμένοις μετεώρως τοῖς κύμασι. Προσευχὴ τοῖς τρισὶν ἐν τῇ καμίνῳ συνοῦσα παισὶ, δραπετεῦσαι τὴν φλόγα παρεσκεύασε, καὶ ἔξω περιέρχεσθαι ζητοῦσαν τοὺς ἐπιβούλους τῶν [illegible]

CAPVT VI.

Sic ad Cornelium adorantem in domo Gentili, cum adhuc templo ſua conſtaret veneratio, accedens Angelus dicebat: Orationes tuæ, & eleemoſynæ aſcenderunt in memoriam in conſpectu Dei, non ad aſcenſum fiducia templi vſæ, quaſi ſubuectæ, verum alis boni propoſiti, ſeu incitationis rectæ, perinde ac per curſum delatæ ad eum, qui eas benignè, fauſtèque ſuſcepit. Sic Oratio Ionæ è profundo maris vento proſpero velum implente ad cælum euaſit, & ad Diuinas aures appellens portui fuit inuecta, neque plurimis aquarum fluctibus iactata, quemadmodum illa Phariſæi, quæ ſacro in templo naufragium paſſa, & vnà cum onere toto mercium ſubmerſa periit ſtridendo; quandoquidem nec illa poterat eluctari è fluctibus, neque per mare curſum directum tenere, cum exundaret ſentina, propterque grauitatem ſuperbæ de ſe opinionis haud valeret emergere, cùm prora madida, & puppis circumfuſa, vndis tumoris, & iactantiæ deſuper ingruentibus obruerentur. Oratio tribus pueris in camino comes, coëgit flammam profugere, & extra

Act. 10. 4.

Ion. 2.

Luc. 18. 11.

Dan. 3.

extra fornacem circumuagari quærentem inſidiatores adoleſcentium: cum enim locum ſuum interiùs orationi conceſſiſſet, & carbones reliquiſſet vrendi vi deſtitutos, Chaldæos circa caminum inuentos validè depaſta combuſſit; Intùs propriam operationem coërcens præ reuerentia corporum, quæ circumdederat oratio & efficaciam ſuam exterius oſtendens circum corpora veluti circa materiam leuem, & arentem. Oratio Leones in lacu famelicos exhibuit temperantes, cumque venter gemeret ob ſeptem dierum inediam, obiecto pabulo appoſito perſuaſit generoſitatem Philoſophico animo profiteri potius eligentes violentiam famis tolerare, quam aggredientes virum ſanctum Danielem lædere, quem iure neglecto Barbari condemnarunt ad illud mortis genus, homines crudeliores belluis declarati, & implacabiliores comparatione ſanguinem deuorantium ferarum, & in ſuæ iniuſtitiæ redargutionem, confeſtim illarum iuſtitiam excipientes naturali calculo, conſeruantium ipſum, quem ij miſero, & luctuoſo mortis ſupplicio addixerant.

νέων, παραχωρήσασα γὰρ τὰ ἔνδον τῇ προσευχῇ, καὶ τὴν ἀνθρακίαν καταλιποῦσα καυστικῆς δυνάμεως ἔρημον, τοὺς περὶ τὴν κάμινον εὑρεθέντας Χαλδαίους ἐπὶ πολὺ νεμομένη κατέφλεξεν, ἔσω τὴν οἰκείαν ἐνέργειαν αἰδοῖ τῶν προσευχὴν ἠμφιεσμένων σωμάτων συστείλασα, καὶ ἔξω τὸ δραστήριον αὐτῆς ἐπιδειξαμένη ὡς ἐν αὔλῳ, καὶ καρφαλέῳ ὕλῃ τοῖς σώμασι. Προσευχὴ τοὺς λέοντας ἐν τῷ λάκκῳ λιμώττοντας ἔδειξεν ἐγκρατεῖς, καὶ τῆς γαστρὸς ὀδυρομένης ἑπταήμερον ἔνδειαν, παρακειμένης ἑτοίμης βορᾶς φιλοσοφῆσαι καρτερίαν ἔπεισε μᾶλλον ἑλομένους ἐνεγκεῖν βίαν λιμοῦ, καταδεξαμένους ἀδικῆσαι τὸν ὅσιον Δανιήλ, ὃν παρανομοῦντες οἱ βάρβαροι κατεδίκασαν εἰς ἐκεῖνον τὸν θάνατον, ἄνθρωποι ὠμότεροι δειχθέντες θηρίων, καὶ ἀπηνέστεροι συγκρίσει τῶν αἱμοβόρων, καὶ τῆς ἀδικίας ἔλεγχον παραχρῆμα τὴν δικαιοσύνην ἐκείνων δεξάμενοι φυσικῇ ψήφῳ σωσάντων τοῦτον, ὃν αὐτοὶ ἐλεεινῷ καὶ οἰκτίστῳ θανάτῳ κατέκριναν.

CAPVT VII.

4. Reg. 2 ORatio Diuinæ dignitatis honorem conſtituit Heliæ, non ſolùm quia aſſumptus fuit in cælum, currum ignis quadriiugum habenis regens, quod terram non amplius dignum conuerſatione ſua locum haberet, & mereretur inpoſterum ætheream regionem, ipſumque incolere cælum; ſed quia elementis Verbo a Mundi Conditore productis ad ſubſiſtendum verbo quoque imperauit; in-
4. Reg. 1 terdum æthereum ignem ad exurendas

ΚΕΦΑΛΑΙΟΝ ζ.

ΠΡοσευχὴ τὸν Ἠλίαν θεϊκῇ ἀξίᾳ ἐτίμησεν, οὐ μόνον ὅτι πρὸς οὐρανὸν ἀνελήφθη τέτρωρον ἡνιοχῶν ἅρμα πυρὸς, ὡς οὐκέτι τὴν γῆν ἔχων ἄξιον ἐνδιαίτημα, καὶ διῆκον τὸν λοιπὸν αἰθέρα, καὶ αὐτὸν οἰκεῖν οὐρανὸν, ἀλλ᾽ ὅτι καὶ λόγῳ στοιχείοις ἐπέταξε τῷ λόγῳ παρὰ τοῦ δημιουργοῦ παραχθεῖσιν εἰς ὕπαρξιν. ποτὲ μὲν αἰθέριον ἐπὶ πῦρ τὰς ὁλοκαυτωθῆναι ὀφειλούσας θυσίας καταγαγών, ποτὲ δὲ κεραύνιον ἐπὶ τοῦ Ὀχοζίου στρατηγοὺς κατενεγκών. ἄλλοτε κλείσας ἐπ᾽ ἐξουσίας ῥήματι τὸν οὐρανὸν,

καὶ στερώσας πρὸς γένεσιν καρπῶν τὴν γῆν ἐπὶ μῆνας ἕξ, καὶ ἔτη τρία, καὶ βλάστην κωλύσας ἔθιμον πάσας ἁπάσης, ἣν καιρῶν περιόδοις τὸ θεῖον ἐξήγαγε πρόσταγμα φυσικῶς τρέχον ἐκ τοῦ πρώτου προστάγματος· καὶ οὐδὲν πρὸς τὴν ὑπακοὴν ἐβράδυνε τεκμηρίῳ ἀγανακτήσεως ὑπαγινωσκόμενος Θεοῦ, ὡς ἀπονοίᾳ τοῦ προφήτου τολμήσαντος τὰ ὑπὲρ τὴν οἰκείαν ἀξίαν μανικῶς· διηκόνησε δὲ σπουδαίως ὡς φίλῳ τοῦ κτίσαντος, καὶ ἐπιτάξαντι ὡς οἰκείοις τοῖς τοῦ φίλου, εὐλόγως ὁμοίως ὑποκεῖσθαι πρὸς πᾶσαν λειτουργίαν πεπεισμένος Θεῷ, καὶ φίλῳ Θεοῦ. ἐπειδὴ κατά τινα παροιμίαν, κοινὰ τὰ τῶν φίλων, κοινὴν ἐν τοῖς ἀλλήλων ἐπιδεικνυμένων τὴν ἐξουσίαν, διὰ τὴν ἐξισοῦσαν τὰς ὑπεροχὰς, καὶ τὸ ἰσότιμον ἐν ταῖς διαφερούσαις ἀξίαις νομοθετοῦσαν ἀγάπην.

rendas omninò victimas debitas deducens, modo in Ochoziæ Duces fulminalẽ detorquens, alias ex auctoritate cælum verbo claudens, & 3. Reg. 18. terram orbam efficiens ad fructus progignendos per triẽnium, ſexque menſes præ ſiccitate, atque omnis herbæ conſuetam quotannis germinationem prohibens, quam Diuina iuſſio ſtatis remporum circulis induxerat naturæ lege deinceps à prima ordinatione decurrens: nec vlla illã ad obediendum retardauit diſpectio ſuſpicabunda indignationis Dei, quaſi Propheta ſtultè, furioſèque audente ea, quæ propriam eius auctoritatem excedebant: miniſtrauit verò ſtudioſè, vti Creatoris amico, & imperanti tamquam proprijs rebus amici, iure perſuaſum habens ſe ſubeſſe ad omne miniſterium Deo ſimiliter, & Dei amico; quandoquidem ſecundum quoddam prouerbium, amicorum quæ ſunt, communia exiſtunt, qui communem in ſuas inuicem res poteſtatem oſtendunt, propter caritatem exæquantem eminentias, & æqualitatis lege inæquales dignitates quaſi lege lata conciliantem.

ΚΕΦΑΛ. ή.

Προσευχὴ Μωϋσέως θάλασσαν ἔτεμε, καὶ οὐρανὸν γεωργῆσαι παρεσκεύασε μάννα, καὶ ἐκ πέτρας ξηρᾶς χειμάῤῥους ἐξήγαγεν ὕδατος, καὶ χειρῶν ἔκτασις ἔθνος πολεμίων ἐτρέψατο αὐτανδρον. Προσευχὴ στρατὸν ὅλον Ἐλισσαῖος ἀορασίᾳ περιέβαλε, καὶ τοὺς ἐπὶ φθορᾷ παραγινομένους αὐτοῦ αἰχμαλώτους ἀπήγαγεν, οὐ μόνον ἐπιβουλεύειν οὐκ ἰσχύοντας, ὡς προέθεντο, ἀλλ' οὐδ' ἀρήγειν ἑαυτοῖς δυναμένους, τῆς ἀπηγούσης ἐν τῷ σώματι ὄψεως ἀργεῖν ποιησάσης ὁμοῦ καὶ ὅπλα, καὶ χεῖρας· οὐδὲν γὰρ πηρώ-

CAPVT VIII.

ORatio Moyſis mare diuiſit, & cælum fecit; perinde ac Exod. 16. 14. ſi excultum foret, producere manna, & ex arida petra aquæ torrentes eduxit, & manuum extenſione Exod. 17. gentem integram hominum belligerantem conuertit in fugam. Oratione vniuerſum exercitum Eliſſæus videndi facultate priuauit, & qui ad ipſum perdendum vene- 4. Reg. 6 rant, eos captiuos adduxit; ita vt non ſolum inſidias ei, vti propoſuerant, ſtruere nullas valerent, ſed neque ſibi ipſis opitulari poſſent, cum viſus corporeus, qui potiſſimum adiuuat, deficiens ceſſare feciſſet ſimul & arma, & manus. Nihil

enim imbecillius eſt cæcitate, quæ haud poteſt vllam iniuriam inferre ei, quem non videt, ſed ipſa iniuriæ facilè eſt obnoxia, quia eũ, qui in ipſam inſilit, viciſſim non videt, vt propellat. Vnde etiam oculis orbatos præclarè vulgaris conſuetudo loquendi nominauit impotentes, cum vti nullo corporis membro poſſint ad ea, quæ volunt, etiam ſi viribus, atque robore ipſos etiam in certaminibus Gymnicis diligenter exercitatos antecellant. Oratio Petri vincula diſſoluit, car-
Act.12. ceris ianuas aperuit, ferream portam noctu dimouit; Paulo quoque, ac Sila circà mediam noctem oran-
Act.16. 24. tibus concuſſus eſt terræmotu carcer interior, in quo adſtricti erant, & vincula ſoluta ſunt vniuerſa: lumen repentè in habitaculo effulſit, cuſtodem carceris ſupplicem cuſtodito ſtatuit, effecitque, vt procidens ad pedes ſalutem expeteret, omittenſque inſanum lucrandi ſtudium, vtilitatem animæ procurare perſuaſus eſt; crudelitatem, quam ex frequente conſuetudine cruciandi contraxerat, ſtatim conuertit in amplam clementiam; non ille deinceps quotidianos ſibi reditus flagris exigebat; non ille deinceps expoſcebat a miſeris vinctis tributũ nempe decimã e contributione prouenientem, ſolatium præbẽs triſte colloquiorũ, & alias miſerabilibus ſubnectens calamitates immedicabiles. Non amplius boias collis, compedes pedibus, & manibus circumdabat mutua manicarum vincula, & obſcuris includebat tenebris, duritie pœnæ grauiùs ſibi adaugens deteſtabilem prouentum, quem etiam vnuſquiſque indigentium ſubminiſtrare compellebatur, potiùs eligens fame contabeſcere, quàm ea, quæ diximus, perferre malorum genera.

σεως ἀσθενέστερον, οὐδὲν ἀδικεῖν τὸν οὐχ ὁρώμενον δυναμένης, καὶ ἀδικουμένης ῥᾳδίως διὰ τὸ μὴ πάλιν ὁρᾶν τὸν ἐπιόντα πρὸς ἄμυναν. ὅθεν καὶ καλῶς ἀδυνάτους ἡ συνήθεια τοὺς ἐστερημένους ὀμμάτων ὠνόμασεν, οὐδενὶ πρὸς ἃ βούλονται δυναμένους χρήσασθαι τῶν μελῶν τοῦ σώματος, κἂν ἀλκῇ διαφέρωσι, καὶ ῥώμῃ καὶ αὐτοὺς τοὺς ἠσκημένους τὰ τῶν γυμνικῶν ἀγώνων ἐπιμελῶς. Προσευχὴ τοῦ Πέτρου ἔλυσε τὰ δεσμά, τὰς θύρας ἀνοίξε τῆς φυλακῆς, τὴν σιδηρᾶν πύλην νυκτὸς ἀνεπέτασε, καὶ τοῦ Παύλου μετὰ τοῦ Σίλα κατὰ τὸ μεσονύκτιον προσευχομένων, τὸ δεσμωτήριον ἔσεισε, τὰ δεσμὰ πάντων ἀνῆκεν ὑφ' ἕν, φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι ἀθρόον, τὸν εἱρκτοφύλακα ἱκέτην τοῦ φρουρουμένου κατέστησε, καὶ προσπεσόντα τοῖς ποσὶ περὶ σωτηρίας δέεσθαι παρεσκεύασεν, ἀφέντα τὴν περὶ τὸ κέρδος μανίαν φροντίζειν ὠφελείας ἔπεισε ψυχικῆς, ἐκ πολλῆς συνηθείας ἐντήκειν ἀθρόως μετέβαλεν εἰς πολλὴν ἐπιείκειαν. οὐκέτι μάστιξι τοὺς καθημερινοὺς εἰσεπράττετο πόρους, οὐκέτι τοὺς ἀθλίους δεσμώτας ἐφορολόγει, τὴν ἐξ ἐράνου πεπορισμένην δεκάτην λόγων λυπηρῶν παραμυθίαν, καὶ ἄλλας τοῖς ἐλεεινοῖς ἐπιπλέκων ἀνηκέστους συμφοράς· οὐκέτι κλοιοὺς τραχήλοις, ἢ ποσὶ πέδας, ἢ χερσὶ περιετίθει τοὺς κατ' ἀλλήλους δεσμούς, ἢ ἀφεγγεῖ κατέκλειε σκότει τῷ χαλεπῷ τῆς τιμωρίας βαρύνων ἑαυτοῦ τὴν ἐπάρατον πρόσοδον, ἣν καὶ τῶν ἀπορουμένων ἕκαστος ὀρέγειν ἠναγκάζετο, μᾶλλον αἱρούμενος τήκεσθαι λιμῷ, ἢ τὴν ἐν τοῖς εἰρημένοις φέρειν κακοπάθειαν.

ΚΕΦΑΛ. θʹ.

Ταῦτα πάντα συντόμως ὁ δεσμοφύλαξ ἀπέμαθε, καὶ σχέδιον ἐπιδείξατο τοῖς δεσμώταις συμπάθειαν, τῷ φόβῳ τοῦ κατὰ τὸν σεισμὸν θαύματος ἄλλος ἐξ ἄλλου γενόμενος. ὡς γὰρ προσευχομένων τῶν Ἀποστόλων ἐσαλεύθη τὰ θεμέλια τοῦ δεσμωτηρίου, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη, καὶ πᾶσαι αἱ θύραι ἠνεῴχθησαν, ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, μόνος γὰρ ἀμερίμνως ἐκάθευδε, τῶν δεσμίων ἀγρυπνούντων δι' ἃς εἶχεν ἕκαστος φροντίδας ἐναγωνίους, αἰτήσας φῶτα εἰσεπήδησε, καὶ ἔντρομος ὑπάρχων, προσέπεσε τοῖς ποσὶ αὐτῶν λέγων, κύριοι τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; Καὶ Κυρίους ἐκάλει, καὶ δεσπότας προσηγόρευεν, οὓς πρὸ τοῦ θαύματος πάντως, καὶ ὄψει αὐστηρᾷ, καὶ τραχεῖ κατέπλησσε φθέγματι, ἀλιτηρίους, κολασίμους καταδίκους καλῶν· καὶ ποσὶ προσέπιπτεν, οὓς ἐπὶ τοῦ ξύλου διέτεινε, καὶ πολλαῖς ἐξευμενίζετο τιμαῖς, οὓς εἰς τὴν ἐσωτέραν βαλὼν φυλακὴν, τῷ σκότει κατέκλεισε, τῆς προσευχῆς πάντοθεν γυμνωσάσης παραδόξως τὸ ἀξίωμα τῶν διὰ τὴν φρουρὰν ὑβρισμένων ἀπολήψει κακούργων. Καὶ τοσοῦτόν ἐστιν ἁπλῶς προσευχή· ἵνα σιωπηθῇ τὰ πολλὰ διὰ τοὺς ναυτιῶντας, καὶ οὐκ ὀρεκτικῶς περὶ τὰς μακρὰς διηγήσεις διακειμένους, κἂν ὦσιν ὠφέλιμοι· αὐτὸς ὁ Κυριακὸς ἄνθρωπος τοῦ παντὸς Κύριος ἐδεήθη εὐχῆς τὴν Ἰουδαϊκὴν ἔφοδον, καὶ τὸν σταυρὸν ἐκδεχόμενος, ἢ ἀγωνιάσας, ὡς ἦν ἄνθρωπος ἀληθῶς. ἐπειδὴ καὶ ἄλλα πλεῖστα ὑπέμεινεν ἀνθρώπινα πάθη, τὴν οἰ-

CAPVT IX.

Cvncta hæc vno compendio carceris cuſtos dedidicit, ſubitamque vinctis exhibuit compaſſionem, quod metu miraculoſi terræmotus alius ex alio euaſerat. Cum enim orantibus Apoſtolis ſimul fundamenta carceris commouerentur, & lumen habitaculum perfunderet, atque vincula vniuerſorum diſſoluerentur, omniaquè aperirentur oſtia; expergefactus verò cuſtos carceris, qui ſolus abſque cura dormiebat, vinctis inſomnem noctem ducentibus, ob eas quibus vnuſquiſque premebatur curarum anxietates, petito lumine irrupit, & tremefactus procidit ad pedes ipſorum dicens: Domini; quid me oportet facere, vt ſaluus fiam? Et Dominos vocauit, & heros compellauit, quos vtique ante miraculum & vultu auſtero, & aſpera voce percellebat, ſceleratos, noxios, & ſeruos pœnæ vocans; procidit ad pedes, quos ante in ligno extenderat; & multis honoribus ſibi conciliare ſtudebat, quos in carcerem interiorem coniectos tenebris incluſerat: poſtquam Oratio vndequaque mirabili modo dignitatem ipſorum detexit, qui tamquam ſcelerati contumelia carceris fuerant vexati. Et tanti eſt tandem Oratio (vt ſilentio prætercam alia plurima faſtidientium cauſſa, & inappetentia ad prolixas enarrationes laborantium, licet illæ ſint vtiliſſimæ) ipſe Dominicus homo, *Luc. 22. 42.* Dominus omnium opus habuit oratione, cum Iudæorum impetum, & Crucem ſuſciperet, & in mortis certamine, vt erat verè homo, verſaretur, poſtquam & alias plurimas humanas ſuſtinuit paſſiones ad

confirmandam diſpenſationem Incarnationis, vel vt homines edoceret, quouis tempore inſiſtendum eſſe orationi. Nec enim tantum nunc, quando aduerſitatum vrgebat tempus, neceſſitate compulſus orat, ſed omni metu remoto etiam ſæpiùs idem facit, ſolus in monte
Matth. 14. 23. orans, vt nos diſcamus, & ante afflictiones, & in afflictionibus ipſis vacare orationibus, quæ ſunt aptæ ſoluere etiã apparentium periculorum difficultates, quin priuſquam tentationes ingruant, cum libera ſponte colere, ac venerari, qui in neceſſitatis articulis auerſatur eos, qui ita remiſſi ſunt, & diſtracti animo, perinde, ac ſi nunquam Dei auxilio indigere deberent.

κονομίαν πιςούμενος, ἢ τοὺς ἀνθρώπους διδάσκων, ἐν παντὶ καιρῷ ἐπιμελεῖσθαι προσευχῆς. οὐ γὰρ νῦν μόνον, ὅτε περιστάσεως ἤπειγε καιρὸς, ἀνάγκῃ προσεύχεται, καὶ ἐν ἀδείᾳ δὲ πλειστάκις τοῦτο ποιεῖ κατ' ἰδίαν ἐπὶ τοῦ ὄρους προσευχόμενος, ὅπως ἂν μάθωμεν ἡμεῖς καὶ πρὸ τῶν θλίψεων, καὶ ἐν αὐταῖς ταῖς θλίψεσι σχολάζειν ταῖς προσευχαῖς, λύειν καὶ τῶν δοκούντων κινδύνων τὰς ἀμηχανίας οὔσαις ἱκαναῖς, καὶ πρὸ τῶν πειρασμῶν ἐπ' ἐξουσίας θεραπεύειν τὸν ἐν ταῖς ἀνάγκαις ἀποστρεφόμενον τοὺς ἐπὶ ἀνέσεως διακεχυμένους, ὡς οὐ μέλλοντας ποτε χρήζειν βοηθείας.

CAPVT X.

IDeo namque dicebat & Apoſtolis: Orate, ne incidatis in
Luc. 22. 40. tentationem, quod voluntariam Orationem ante tentationem in ipſa neceſſitate ſciret flectere adiutorem Deum ad præbendum celeriter ſupplicanti id, quod poſtulat; cum ille iam pridem oret, atque ob temporis prolixitatem iure mereatur, quod petit. Si enim iniquũ Iudicem, neque Dei metu perculſum, nec hominum quemquam
Luc. 18. 3. veritum continua viduæ importunitas adegit, vt eam, quæ iure ipſi competebat, vltionem ei adiudicaret; & amicum dormientem oc-
Luc. 11. 11. cluſis iam foribus negantem ſe panes daturum, quia pro conſuetudine contingit dormientibus eſſe pigros, permouit ipſa inſtantia, & inuerecundia, vt exſurgens neceſſaria præberet; quomodo conſtans oratio non commouebit Deum clementiſſimum, vt cuicumque petitioni

ΚΕΦΑΛΑΙΟΝ ί.

ΔΙὰ γὰρ τοῦτο καὶ τοῖς Ἀποστόλοις ἔλεγε, προσεύχεσθε, ἵνα μὴ ἐμπέσητε εἰς πειρασμόν, τὴν πρὸ τοῦ πειρασμοῦ ἑκούσιον προσευχὴν εἰδὼς ἐν τῇ ἀνάγκῃ δυσωπεῖν τὸν βοηθὸν πρὸς τὸ παρασχεῖν ταχεῖαν τῷ ἱκέτῃ τὴν αἴτησιν ἐκ πολλοῦ δεομένῳ, καὶ διὰ τὸ μῆκος τοῦ χρόνου δικαίῳ ὄντι ἐπιτυχεῖν τῆς αἰτήσεως. εἰ γὰρ τὸν ἄδικον κριτὴν, οὔτε Θεὸν φοβούμενον, οὔτε ἄνθρωπον αἰσχυνόμενον, ἡ συνεχὴς ὄχλησις τῆς χήρας ἐβιάσατο παρασχεῖν τὴν ἐκ τοῦ δικαίου ἁρμόζουσαν ἐκδίκησιν, καὶ τὸν καθεύδοντα φίλον ἀποκεκλεισμένης ἤδη τῆς θύρας ἀρνούμενον τῶν ἄρτων τὴν δόσιν, διὰ τὸ συμβαίνειν εἰωθότα τοῖς καθεύδουσιν ὄκνον, καὶ ἡ παραμονὴ, καὶ ἡ ἀναίδεια παρασχεῖν τὴν χρείαν· πῶς οὐ δυσωπήσει τὸν φιλάνθρωπον Θεὸν ἐπιμένουσα πρὸς πᾶς

Digitized by Google

αἴτησιν ἀλύπως ἐπίμονος προσδέχῃ; οὔτε γὰρ τοῦτο σεσιώπηται, ὅτι τῶν ἀνθρώπων πρὸς τὰς εὐεργεσίας ἐστὶν ὁ Θεὸς ἑτοιμότερος. φησὶ γάρ ποτε μὲν ὁ Κύριος. τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ἢ καὶ ἰχθὺν ἐὰν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Καὶ τὴν κατὰ σύγκρισιν δεικνὺς ὑπεροχὴν τῆς τοῦ Θεοῦ ἀγαθότητος ἐπιφέρει, λέγων· εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς υἱοῖς ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν.

titioni benignè annuat? Nec enim hoc reticetur, quòd Deus multò promptior eſt hominibus ad benefaciendum. Ait enim alicubi Dominus: Quis ex vobis eſt homo, *Matth. 7. 9.* à quo ſi petierit filius ſuus panem, nunquid lapidem dabit ipſi? aut ſi petierit piſcem, nunquid ſerpentem ei porriget? Et per comparationem, Diuinæ bonitatis excellentiam oſtendens ſubiungit, dicens: Si ergo vos, mali cum ſitis, noſtis bona dona dare filijs veſtris; quanto magis pater veſter cæleſtis dabit bona petentibus ab eo?

ΚΕΦΑΛΑΙΟΝ ια'.

Ποτὲ δὲ αὐτὸς ὁ Σωτὴρ αὐτὸ τοῦτο παραστῆσαι βουλόμενος, καὶ πεῖσαι θέλων τοὺς ἀμφιβάλλοντας, εἰ φυσικὰ σπλάγχνα κατὰ φιλοστοργίαν Θεοῦ, ἢ νικᾷ τὴν ἀνθρωπίνην προσπάθειαν, ἢ ἐπιλήσεταί φησι γυνὴ τοῦ παιδίου αὐτῆς, τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Καὶ εἰπὼν τῆς φύσεως τὸ ἰδίωμα, ὡς ἐπιμέλειαν διδάσκει, καὶ κηδεμονίαν αὐθαίρετον. ἵνα δὲ μὴ τὸ σπανίως συμβαῖνόν τισιν ἐκ τοῦ παραδείγματος ὑποπτευθῆναι παρασκευάσῃ τὸ δηλούμενον εἰς προμήθειαν, καὶ τὸ ἀσθενὲς τῆς εἰκόνος βλάψῃ τὴν ἀλήθειαν εἰς αὐτὸ τὸ ἀξίωμα, φησὶν ἀκολούθως· εἰ δὲ καὶ αὕτη ἐπιλήσεται, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος, οὐκέτι τὸ ἐλάττωμα τῆς φύσεως διαβαίνειν εἰς αὐτὸν καταδεξάμενος, ἐπεὶ μηδὲ πάθος τῆς θείας ἅπτεται φύσεως, καθάπερ ἐπὶ τῶν ἐπικήρων ἀνθρώπων ἐστὶν, ὅτε μῖσος ἄλογον, ἢ καὶ τυχὸν εὔλογον τὴν φυσικὴν ἔσβεσε δυναστεύουσαν διάθεσιν, λήθην τοῖς φύσεσι, καὶ ἀλλοτρίωσιν ποιήσας πρὸς τὰ ἔκγονα, ὡς

CAPVT XI.

Aliquando vero Saluator ipſe volens hoc ipſum oſtendere, & cupiens perſuadere illis, qui ambigunt, an naturalis affectus ratio vincat Dei amorem, aut cum humana ſuperet commiſeratio? *Iſa. 49. 15.* Nunquid (inquit) obliuiſcetur mulier infantem ſuum, vt non miſereatur filio vteri ſui? Et dicens inſitam naturæ proprietatem, docet curam, & ſollicitudinem ſpontaneam. Ne autem quod quibuſdam accidere ſolet rariſſimè, ex ipſa ſimilitudine ſuſpicandi occaſionem præberet, idem de prouida Dei beneuolentia ſignificari; neue exempli allati imbecillitas ipſam veritatis lęderet dignitatem, conſequenter ſubiungit: Et ſi oblita ipſa fuerit, ego tamen non obliuiſcar tui, ait Dominus; hunc naturæ defectum haudquaquam trãſire in ſe ſuſtinens, cum Diuina natura paſſioni nulli ſit obnoxia, quemadmodum caducis hominibus euenire ſolet, vt interdum odium irrationale, aut forſitan & rationabile extinguat naturalem affectum prædo-

prædominantem, obliuionem inducens genitoribus, atque abalienationem ergà ſuos fœtus, quaſi nullum habeant cognationis ad illos veſtigium. Verum magna, & mirabilia iſta beneficia ſi cum ijs, quæ ſequuntur, conferantur, parua, & admodum tenuia arguentur, in vnam perſonam operantem ipſa, adſtantéque, non autem in omnes, aut ſaltem plures tranſeuntia. Nam hominem ciuile, & ſociabile, non autem ſolitarium, & a communione abhorrens animal eſſe oportet, qui afferat vtilitatem in quibuſcumque poteſt, & curam, quoad maxime licet, vti argumentum communis affectus exhibeat, membrorũ ad ea, quæ propinqua ſibi ipſis ſunt, mutuam operam imitando.

οὐδὲν ἔχουσι πρὸς αὐτὰ συγγενείας τεκμήριον. Ἀλλὰ τὰ μεγάλα ταῦτα καὶ θαυμαστὰ κατορθώματα τοῖς ἑξῆς συγκρινόμενα μικρὰ, καὶ λίαν ἐλέγχεται ὄντα, εἰς ἓν τὸ ἐργαζόμενον αὐτὰ παριστάμενον πρόσωπον, καὶ οὐκ εἰς πάντας, ἢ καὶ πλείονας διαβαίνοντα. πολιτικὸν γὰρ, καὶ συννόμον, οὐ μονωτικὸν, καὶ ἀκοινώνητον ζῶον εἶναι προσήκει τὸν ἄνθρωπον ὠφελοῦντα ἐν οἷς δύναται, καὶ τὴν ἐνδεχομένην κηδεμονίαν ἐλέγχοντα τῆς συμπαθείας ἐπιδεικνύμενον, τὴν τῶν μελῶν πρὸς τὰ πλησίον κοινοπραγίαν μιμούμενον.

CAPVT XII.

Sicut enim vnumquodque horum in corpore non ſeparatam gerit, ac peculiarem ſolicitudinem, verum communem operationem ad mutuam, & reciprocam ſui curam obtinet, ac alterum alteri, & vniuerſis ſingula naturæ lege inſeruiunt; & manus eurat corpus, & pedes inceſſu ſuo aliò illud transferunt ſimul, & oculus lucem præfert, luminis miniſterio inoffenſam ad operandum viam præſtans. Aliud ad ſedendum, & aliud ad declinandum eſt vtile, proprioque labore aliorum defatigationem ſolatur. Alia veluti quædam molitrices, atque piſtrices frumenti diligens, & accuratum præſtant miniſterium. Maxilla cibum comminuit, gula eumdem tranſmittit, vti canalis, ventriculus excipit, ſtomachus in chilum, iecur in ſanguinem conuertit, & per venam irrigat totam animantis maſſam: & licet vnumquodque alijs videatur allaborare, ſuam tamen re vera vtilitatem

ΚΕΦΑΛΑΙΟΝ ιβ'.

Ὡς γὰρ τούτων ἕκαστον ἐν τῷ σώματι οὐ κεχωρισμένην ἔχει τὴν οἰκείαν ἐπιμέλειαν· κοινὴν δὲ πρὸς τὴν ὑπὲρ ἀλλήλων φροντίδα κέκτηται τὴν ἐνέργειαν, ἄλλῳ ἄλλο, καὶ ἕκαστον ἅπασιν ὑπουργοῦν φύσεως νόμῳ, καὶ χεὶρ θεραπεύει τὸ σῶμα, καὶ πόδες τῇ μεταβάσει συμμεταφέρουσι τοῦτο, καὶ ὀφθαλμὸς δᾳδουχεῖ ἄπταιστον τῇ τοῦ φωτὸς ὁδηγίᾳ τὴν ὁδίαν παρέχων τῆς ἐργασίας, ἄλλα πρὸς καθέδραν, καὶ ἄλλα πρὸς ἀνάκλισιν χρησιμεύει, οἰκείῳ κόπῳ τὸν τῶν ἄλλων παραμυθούμενα καμάτους. ἕτερα καθάπερ ἀλετρίδες τινὲς, καὶ σιτοποιοὶ σπουδαίαν ἐπιδείκνυνται, καὶ περιφροντισμένην λειτουργίαν. σιαγὼν λεπτύνει τροφὴν, φάρυγξ ταύτην ὀχετηγεῖ, γαστὴρ ὑποδέχεται, χυλοποιεῖ στόμαχος, ἐξαιματοῖ ἧπαρ, καὶ διὰ φλεβῶν ὅλον ἀρδεύει τοῦ ζώου τὸ σύγκριμα.

καὶ ὃ μὲν δοκεῖν ἕκαστον ἄλλοις μοχθεῖ, οἰκείαν δὲ τῇ ἀληθείᾳ ἐργάζεται ὄνησιν, ἐκ τοῦ κοινοῦ πόνου τὴν πρόσφορον ἀρυόμενος ἑαυτῷ, καὶ τὸ ἀναληφθὲν μεταβάλλει εἰς τὴν ἰδίαν ποιότητα, καὶ ποιεῖ τὴν παρὰ τοῖς λογιωτέροις τῶν ἰατρῶν καλουμένην ἐξόμορξιν, ἥτις ἐστὶν ἐκ τῶν διαφόρων σιτίων εἰς αἷμα, κἀκεῖθεν εἰς σῶμα, καὶ αὖθις εἰς ἰδιώματα μελῶν μεταστοιχείωσις, καταχερματισθείσης εἰς ἕκαστον τῆς προσγινομένης ἐν τῇ θρεπτικῇ, καὶ ἀλλοιωτικῇ, καὶ αὐξητικῇ δυνάμει ποιότητος, καὶ ἄλλο γινομένης ἐν ἄλλῳ, καὶ ἕτερον ἐν ἑτέρῳ· τὸ μὲν γὰρ ὀφθαλμῷ προσγινόμενον ὁμοιοῦται τούτῳ, καὶ τὸ προστεθὲν ὄνυξι, καὶ θριξί, τὴν αὐτὴν ὄψιν μιμεῖται τοῦ χρώματος· τὸ οἰκειωθὲν σαρξὶν εἰς τὸ τούτων μετακιρνᾶται εἶδος, καὶ τὸ μετελθὸν εἰς ὀστᾶ, εἰς τὴν τούτων μεταπήγνυται κραταιότητα· τὰ προσχωροῦντα σπλάγχνοις, ἐμμίγνυται τούτοις, καὶ τὸ πᾶν ἁπλῶς εἰς πάντα μεταβληθὲν, μεταχρώννυται πρὸς τὰ οἰκειωσάμενα ἐκ μιᾶς τῶν σιτίων ὕλης πρὸς ποικίλον παρὰ τῆς ἐν τῇ φύσει τέχνης μεταρυθμιζόμενοι διαφοραί, καὶ τὸ σχῆμα τοῦ ἀνθρωπείου ἀγάλματος ἀεὶ σώζοντα τὸ αὐτὸ, καὶ τοῦ φυράματος καθ' ἑκάστην ἀλλοιοῦντα τὸ σύγκριμα ῥεύματος δίκην, καὶ αὐτὸ, καὶ οὐκ αὐτὸ ποιοῦντα τοῦ φαινομένου τὸ ῥεῖθρον.

vtilitatem, commodumque procurat, e communi labore ſufficientem cibum ſibi trahit, reſumptumque in propriam transmutat qualitatem, facitque digeſtionem, ſeu expreſſionem ita vocatam a doctioribus Medicis, quæ eſt diuerſorum eduliorum in ſanguinem, & exinde in corpus, & rurſus in artuum peculiares functiones tranſelementatio, & tranſitus, diſſecta in ſingulos qualitate illa, quã confert nutritiua, alteratiua, & auctrix potentia, inque aliud effecta in alio, & alterum in altero. Quod enim oculo accedit, illi aſſimilatur; quodque vnguibus adiungitur, & capillis, eamdem imitatur ſpeciem coloris; quodque carnibus inſinuatũ in earumdẽ figuram tranſmiſcetur; quodque ad oſſa tranſit, in eorumdem ſolidum robur confingitur; quodque commigrat ad viſcera, iiſdem permiſcetur. Et totum denique planè transmutatum in cuncta, transfiguratur ad ea, quæ ſunt accommodata, ex vna eademque cibornm materia in multiplicem varietatem transformata, ſecundum illud, quod iri eſt naturæ, artificium, & humani ſimulacri formam ſemper eamdẽ conſeruantia, & quotidie maſſæ, ſeu molis ſubſtantiam concretam alterantia inſtar fluminis, & eumdem, & diuerſum efficientia fluxum eius, quod videtur.

ΚΕΦΑΛΑΙΟΝ ιγ'.

Οὕτως ὁ καθεὶς ἡμῶν πρὸς οὐδὲν αὐτάρκης ὢν ἑαυτοῦ, ἐπιδεὴς ἐν ἅπασι τῶν ἄλλων καθέστηκε· τοῦτο πραγματευσαμένου σοφῶς τοῦ τὴν ἡμετέραν καλῶς οἰκονομοῦντος ζωήν, ἵνα τὸ ἀφιλιάζον τῶν ἀπονοίᾳ κεκρατημένων

CAPVT XIII.

ITa vnuſquiſque noſtrum ſibi ipſi nullam ad rem ſufficiens, aptuſque, ac aliorum in omnibus opis indigus eſt conſtitutus, quod ſapienti conſilio optimus ille vitæ noſtræ diſpenſator inſti-

inſtituit, vt refractarios homines, quibus vecordia dominatur, neceſsitate victus ad concordiam deduceret, quia mutuus humanitatis habitus ipſos haudquaquam ad fœdus reuocaret. Ecquando enim ſuperbus, & tumore opinionis propter diuitias inflammatus cum artifice manu opus faciente, propterque paupertatem abiecto lubens ad colloquium veniret, dum grauitatem, & dignitatis auctoritatem ſibi ſemper auſteritate tueri cupit, niſi neceſsitas cum eo communes conferre ſermones, & linguam ipſi æquali alloquio mutuari compelleret; licet hoc non ſine magno ſupercilio, forſitan exiſtimantem, maximam inferri iniuriam dignitatis ſuæ faſtui pari ſermonis conſortio cum eo, quem cenſet obſcurum, & vilem? Iam verò neceſsitas exæquat inæqualitatem, & humile reducit ad ſublime, & excelſum demittit ad id, quod repit humi, morum miſturam, & ſenſuum parem efficiens conditionem præ longa conſuetudine. Propterea & domuum ſtructor, & agricola, & nauta, & mercator, & ſinguli quique artes manuarias exercentes in conſpectum eorum, qui primas dignitates obtinent, accerſiti ventitant, iiſque non propter eiuſdem generis neceſſitudinem, ſed propter ſuam artem vſui ſunt, & quos naturæ lex non coniunxit, eos vitæ vſus congregauit. Quomodo igitur, ſi ars, & peritia opificem diuiti notum, & familiarem reddit; commiſeratio veritatis iudicantis mendicum non reddet ei cognitum, & familiarem, inopemque conciliabit vt eum conuocet, ſuaque ipſi commoda impartiatur aliquando, aut ſaltem quippiam ad neceſſarium vſum leuamenti ab eo ille accipiat? Cum multi

ἀνάγκη τῆς χρείας συνάγει πρὸς τὸ σύμφωνον, ἐπεὶ μὴ πάντως αὐτοὺς ἡ σχέσις τοῦ φιλοικείου ἐκάλεσε πρὸς τὸ ἔνσπονδον. Πότε γὰρ ὁ σοβαρὸς, καὶ τῷ ὄγκῳ τῆς ἐπὶ τῷ πλούτῳ φλεγόμενος οἰήσεως πρὸς τὸν χειροτέχνην, καὶ διὰ πενίαν ταπεινὸν κατῆλθεν εἰς ὁμιλίαν ἑκὼν, τὸ σεμνὸν δῆθεν, καὶ ἀξιόπιστον ἑαυτοῦ τῇ αὐστηρίᾳ φυλάττειν ἀεὶ βουλόμενος, μὴ τῆς χρείας βιαζομένης κοινολογεῖσθαι πρὸς αὐτὸν, καὶ χρῆσαι ἰσηγορίᾳ γλῶσσαν αὐτοῦ, κἂν μετ' ὀφρύος πολλῆς, ἀδικεῖσθαι τὰ μέγιστα εἰς τὸν τοῦ ἀξιώματος τῦφον τάχα νομίζοντα, τῇ πρὸς τὸν δοκοῦντα ἀφανῆ, καὶ ἄσημον ἰσηγορίᾳ; νῦν δὲ ἡ ἀνάγκη ἐξισοῖ τὸ ἀνώμαλον, καὶ τὸ ταπεινὸν ἀνάγει πρὸς τὸ μετέωρον, καὶ τὸ ὑψηλὸν κατάγει πρὸς τὸ χαμαίζηλον, κρᾶσιν ἠθῶν, καὶ φρονημάτων ἰσοτιμίαν ἐργαζομένη τῇ μακρᾷ συνηθείᾳ. Διὰ τοῦτο καὶ ὁ δομοτέκτων, καὶ ὁ γεωργὸς, καὶ ὁ ναυτίλος, καὶ ὁ ἔμπορος, καὶ ἕκαστος τῶν τὰς βαναύσους μετιόντων τέχνας, εἰς ὄψιν τῶν τὰς πρώτας αὐχούντων ἀξίας, μετακαλούμενος φοιτᾷ, χρήσιμος αὐτοῖς, οὐ διὰ τὸ ὁμογενὲς, ἀλλὰ διὰ τὴν τέχνην γινόμενος, καὶ οὓς νόμος συνῆψε τῆς φύσεως, τούτοις ἡ χρεία συνήγαγε. Πῶς οὖν εἰ τέχνη, καὶ μέθοδος τῷ πλουτοῦντι γνώριμον τὸν ἐργάτην ποιεῖ, ἡ συμπάθεια δικαζούσης ἀληθείας οὐ ποιήσει γνώριμον τὸν πτωχὸν, οὐδὲ τὸν ἄπορον συντυχίαν ἀξιοῖ τούτῳ μετάκλητον, συμμεθέξονταί ποτε τῆς εὐωχίας αὐτοῦ, ἢ κἂν γοῦν τι τῶν πρὸς τὴν ἀναγκαίαν χρείαν ληψόμενον παραμύθιον; ἐπειδὴ πολλοῖς τὸ συνδιαιτηθῆναι τούτοις νενόμισται αἰσχρὸν, καὶ ἐφύβριστον, συμπότας διὰ τὴν ἐκ τῶν χρημάτων προσγινομένην ἀλαζονείαν

turpem,

ἀλαζονείαν, αἰσχυνόμενοι λαβεῖν, οὓς ὁ Κύριος Ἰησοῦς αὐτὸς ἑαυτοῦ εἶναι φησὶν ἐν τῇ κρίσει κηρύξει εἰπών. ὃ τούτοις ἐποιήσατε ἐμοὶ ἐποιήσατε. ἀλλὰ καὶ τὸν πεινῶντα παραψόμεθα τηκόμενον λιμῷ, καὶ τὸν γυμνὸν παρελευσόμεθα πηγνύμενον τῷ κρυμῷ, καὶ τὸν νεκρὸν ὡς ἕν τι τῶν ἀκαθάρτων ζώων καταλείψομεν ἐῤῥιμμένον, τῆς φύσεως οὐ καθοσιώσαντες τὸ σῶμα, καὶ μὴ κρύψαντες γῇ συνήθως, τὴν κοινὴν ἀτιμίαν, ἣν ποιεῖ πέφυκε μυδῶντα, καὶ ἰχῶρας ἀποστάζοντα σεσηπότα σώματα. ἑαυτοὺς δὲ θάλψομεν ἀμέτρως, καὶ τὴν οἰκείαν πέρα τοῦ δέοντος συνδιώσομεν θεραπείαν, τὸν γήϊνον κοσμοῦντες ἀνδριάντα, καὶ τὸν σύνθετον χοῦν περιέποντες, ὡς λάμπειν μὲν ἐπὶ τῆς ἀγορᾶς, στίλβοντα δὲ τῷ ἀνθεῖ τῶν ἐσθημάτων, ἕως δὲ ταῖς τῶν ὀψοποιῶν παχύνεσθαι καρυκείαις, πᾶσαν πάντοθεν καρπούμενοι ἡδονήν.

turpem, & probroſam exiſtiment iſtorum familiarem conuerſationem, & propter faſtum e diuitijs prognatum conuiuas eos pudeat accipere, quos Dominus Ieſus ſuo loco in extremo iudicio exſtitiſſe prædicabit, dicens: quod hiſcè feciſtis, mihi feciſtis. Verum famelicum deſpiciemus fame tabeſcentem, & nudum frigore rigentem præteribimus, & mortuum vt aliquod immundum animal proiectum derelinquemus, vt nec debitum naturæ officium, nō ſepeliendo corpus, præſtemus, neque terra occultando de more, communem fœditatem, quam parere conſueuerunt putridæ, & tabo, ſanieque diffluentes corporis carnes; noſmet ipſos vero immodicis interim fomentis curabimus, & vltra fas ſtudebimus proprio cultui, terrenam ſtatuam exornantes, & compoſitum pulucrem circumpolientes, vt effulgeat in foro veſtimentorum florido apparatu. vtque condimentis ſaginetur coquorum, omnem vndequaque voluptatem excerpentes. *Matth. c. 25. v. 40.*

ΚΕΦΑΛΑΙΟΝ ιδ'.

ἘΝεδύσατο πορφύραν, καὶ βύσσον ποτὲ καὶ ὁ ἐν Εὐαγγελίοις ἀνώνυμος πλούσιος, καὶ Συβαριτικῆς ἐνεπλήθη τραπέζης ἐπὶ πολύ, τὸν Λάζαρον περὶ τοῦ πυλῶνος ἐῤῥιμμένον, καὶ ψιχίων ἐπιθυμοῦντα παρερχόμενος ἀσυμπαθῶς, πάντως, καὶ τὴν βολὴν τοῦ ὄμματος ὑπ' ἐκεῖνον εἴ ποτε κλίνειεν ἄγχων ἐφ' ἕτερον μέρος προνοίᾳ πολλῇ, ἵνα μὴ τῶν τραυμάτων αὐτῶν ἡ ὑπόμνησις ἐσθιόμενον ἀηδίσῃ, ναυτιῶντα, καὶ πρὸς ἔμετον κινούμενον τῇ φαντασίᾳ τῆς ὄψεως. οὔτε ἤλαυνε τῆς θύρας οἰκονομίᾳ Θεοῦ, διηνεκῶς περὶ τὴν εἴσοδον ἐλεεινὸν κεῖ-

CAPVT XIV.

INduebatur purpura, & byſſo & olim ille diues quem nomine ſuppreſſo Euangelium commemorat, & ſybaritica menſa diù, multumque implebatur, Lazarum abiectum ante atrium, & micas appetentem præteriens ſine vlla prorſus commiſeratione, iactumque oculi, ſi quando in illum deflexiſſet, in alteram partem valde cautè reſtringens, vt ne vlcerum ipſorum recordatio comeſſanti tædium pareret, nauſeamque prouocaret, ſeque ad vomitum commoueret, dum illum conſpiceret præſentem. Sed neque abegit eum a foribus, ita diſponente Deo, vt continuò miſerabili ad ianuas iacente

& hoc ſpectaculum exhibente, aut quodammodo temporis ſpatio ad miſericordiam emolliretur, aut non haberet ad defenſionem inhumanitatis congruum prætextum, perinde ac ſi non vidiſſet. Neque iacentis miſertus eſt, durum, & aſperum indicans animum, vt argueretur ipſis canibus immitior eſſe, manſuetudinem naturæ abdicans peruerſis moribus, & illum deſpiciens, quem animantes beneuolæ hominibus rationis expertes curabant, fortè credẽtes illum fore cognatum ſuum, appetentem nempe micas, quibus, & ipſæ quandoque dignæ habentur, interdum etiam indigentia laborant. Sed quando ille quidem in oſtentatione ſplendidarum rerum, iſte verò in miſerarum, ſomnium huius vitæ tranſierunt, & præſentis ſcenæ depoſuerunt laruas; contrariam, & longè diuerſam commutarunt rerum verarum conditionem; Illum etenim e delicijs breuiſſimi temporis ſuſcepit caminus ignis ad dolores accenſus; hunc verò poſt exiguam moleſtiam conſequuta eſt æterna lætitia; eratque rurſum inter illos, ſed non cuiuſmodi anteà, inæqualitas, contraria verò illi, quæ olim ipſis inerat; iamque Lazarum, vel potius Abrahamum, qui eum in ſinubus ferebat, ex animo, & cum intento clamore rogabat Diues, fortaſſis enim illum propter priſtinam deſpicientiam alloqui verecundabatur: Ideo relicto eodem, Patriarcham orabat hiſce verbis. Pater Abraham miſerere mei, & mitte Lazarum, vt intingat extremum digiti ſui in aquam, & refrigeret linguam meã, quia crucior in hac flamma. Et O miram vim paſſionis! quomodo humilem e ſuperbo, & impudentẽ e ſupercilioſo ſupplicij neceſſitas effecit? Quomodo nõ puduit ipſum petere vt mitteretur ad

θαι παραπελάσαντος θέαμα. εἴπως ἢ μαλαχθείη τῷ χρόνῳ πρὸς οἶκτον, ἢ τῆς ἀπανθρωπείας μὴ ἔχῃ, ὡς οὐχ ἑωρακὼς, εἰς ἀπολογίαν εὔλογον πρόφασιν. οὔτε κείμενον ἠλέει, τὸ ἀνάλγητον, καὶ ἀπηνὲς τῆς γνώμης ἐπιδεικνύμενος, ὅπως ἐλεγχθῇ, κυνῶν ὢν ἀσυμπαθέστερος, τὸ ἥμερον τῆς φύσεως ἀρνησάμενος ἔθει κακῷ, καὶ τοῦτον παρορῶν, ὃν ἐθεράπευσε τὰ φιλανθρώπου λογισμοῦ ἄμοιρα ζῶα, συγγενῆ τάχα κρίνοντα τῶν ψιχίων ἐπιθυμοῦντα, ὧν καὶ αὐτὰ ποτὲ μὲν ἀξιοῦται, ποτὲ δὲ ἐν ἐνδείᾳ καθίσταται. ἀλλ᾽ ὅτε παρῆλθεν, ὁ μὲν ἐν φαιδρῶν φαντασίᾳ, ὁ δὲ ἐν σκυθρωπῶν, τὸ ὄνειρον τοῦδε τοῦ βίου, καὶ τῆς ἐνθάδε σκηνῆς ἀπέθεντο τὰ προσωπεῖα, ἐναντίαν, καὶ παρὰ πολὺ διάφορον ἠλλάξαντο τὴν τῶν ἀληθινῶν πραγμάτων κατάστασιν. τὸν μὲν γὰρ ἐξ ὀλιγοχρονίου τρυφῆς διεδέξατο κάμινος πυρὸς ὀδυνᾶσθαι ὡς πέφυκε, τὸν δὲ μετ᾽ ὀλίγην ἀνίαν, εὐφροσύνη αἰώνιος. καὶ πάλιν ἦν αὖθις, ἀλλ᾽ οὐχ ὡς πρὶν ἡ ἀνωμαλία, ἐναντία δὲ τῆς πάλαι ἐχούσης αὐτοὺς, καὶ γὰρ τοῦ Λαζάρου, μᾶλλον δὲ τοῦ φέροντος αὐτὸν ἐν κόλποις Ἀβραὰμ ἐδέετο κεκραγὼς ἐκθύμως ὁ πλούσιος. τάχα γὰρ ἐκεῖνον διὰ τὴν προλαβοῦσαν ὑπεροψίαν ᾐσχύνετο, ὅθεν ἐάσας αὐτὸν, τοῦ Πατριάρχου ἐδέετο, λέγων, πάτερ Ἀβραὰμ ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατι, καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. καὶ, ὢ τοῦ πάθους, πῶς ταπεινὸν τὸν σοβαρὸν, καὶ ἀναιδῆ τὸν ὠφρυωμένον ἐποίησεν ἡ τῆς κολάσεως ἀνάγκη; πῶς οὐκ ᾐδέσθη κο-

λείψεως ἐπίκουρον ἀποσταλῆναι ἀξιοῖ, ὃν λιμῷ μαραινόμενον, καὶ ὀδυνώμενον τοῖς ἕλκεσιν, αὐτὸς οὐκ ἠλέησε; πῶς ἀτενεῖ τῷ ὄμματι ἐθάῤῥησεν ἰδεῖν, ὃν οὔτε πλαγίῳ ποτὲ ζῶντα κατηξίωσε θεάσασθαι ὀφθαλμῷ; πῶς χρῄζειν ἐτόλμησεν εἰπεῖν δακτύλου, ὃν τῷ ἰχῶρι ῥέοντα τὸ πρὶν ἐβδελύττετο; πῶς αἰτῆσαι ῥανίδα οὐκ ἠρυθρίασεν ὕδατος, ψιχὸς ἐπιδεόμενον οὐκ ἀξιώσας τῶν πενήτων; ἀλλ' ἐκ τῆς φλογὸς οὕτως ἐκέκραγεν ἀναισχυντῷ φωνῇ, πέμψον Λάζαρον· ὡς ὑπόχρεων ἀμοιβῆς ὄντα ὑπὲρ ἧς εὐεργεσίας πολλάκις ἀπέλαυσεν. τοιαύτη δὲ ἡ ἀνάγκη πάντα τολμᾶν ἀναιδῶς βιάζεται, λύσιν τῶν δεινῶν εὑρέσθαι, ὅθεν ἂν τύχῃ, μηχανωμένη.

ad pœnam ſubleuandam is, quem areſcentem fame, & afflictum vlceribus ipſe minimè fuerat miſeratus? quomodo auſus eſt obtutu fixo intueri, quem viuentem ne obliquo quidem oculo dignatus erat ſpectare? quo pacto conſiſus eſt dicere, illius indigere ſe digito, quem ſanie ſtillantem abhorruerat anteà? qua ratione haud erubuit guttam aquæ flagitare, qui pauperem mica indigentem dedignatus fuerat? Verum e flamma voce impudenti ſic proclamauit: Mitte Lazarum: perinde ac ſi foret obſtrictus ad remunerationem beneficentiæ ſæpius perceptæ. Talis verò neceſſitas cogit omnia inuerecunde audere, excogitans, vndecumque ſors obtulerit, adinuenire grauibus e malis liberationem.

ΚΕΦΑΛ. ιε'.

ΚΑὶ πῶς οὐκ εἶπεν ὁ μέγας Πατριάρχης φιλαλήθως πρὸς αὐτὸν· νῦν ἔμαθες ἄθλιε, τοῦ ἐλέους τὸ χρήσιμον, ὅτε σε πάντοθεν ἀναπτομένη περιέσχεν ἡ φλόξ; νῦν τὸ συμπαθὲς κρίνεις καλὸν, ὅτε αὐτὸς ἐν χρείᾳ καθέστηκας αὐτοῦ; καὶ πῶς ἐπὶ τῶν κακοπαθούντων ἀπηνὲς εἶχες τὸ φρόνημα; Νῦν ἐπιγινώσκεις Λάζαρον, ὃν ἐπὶ τοῦ ἐδάφους ἐῤῥιμμένον, εἰσιὼν, καὶ ἐξιὼν οὐκ ἐγνώριζες; ὑπεχώρησεν ἡ λήμη τοῦ τύφου, καὶ ὀξυδερκεῖς πρὸς τὴν ἀλήθειαν. παρῆλθεν ἡ ζοφερὰ νὺξ, ἡ γνοφώδης τοῦ βίου, καὶ ἐν τῷ τῆς ἡμέρας φωτὶ ὁρᾷς, ὡς ἔχει τὰ πράγματα φύσεως, κατέλιπες ὑπὸ τὴν γῆν τῶν ὀνείρων φαντασίαν, καὶ βλέπεις ὕπαρ τὰ περιέχοντα. τότε τὸν ἔλεον ὤφειλες ὑπ' ἐννοίᾳ λαβεῖν,

CAPVT XV.

ET cur non reſponſum dedit hoc magnus Patriarcha veritati conſentaneum ad ipſum? Nunc O miſer! miſericordiæ vſum didiciſti, quando te vndique incenſa flamma circumdedit? nunc cõpaſſionem bonam eſſe iudicas, dum ipſe in eius indigentia conſtitutus es? Et cur ergà mala patientes tam immiti fuiſti ſenſu? Nunc agnoſcis Lazarum, quem in pauimento abiectum ingrediens, egrediensque non agnoſcebas; iam tumoris abſceſſere gramiæ, & veritatem ſanè aſpicis, tranſijt nox caliginoſa, & obſcura vitæ, inque diei luce vides quomodo res naturæ ſe ſe habeant: dereliquiſti ſuper terrã ſomniorum imaginationẽ, & conſpicis, quæ te circumſtant vera viſione. Tunc debueras cogitare de miſericordia, quando materiem

habebas, diuitias nempe ad benefaciendum accommodatas; quando licebat porrigere bucellam petenti; quando nudum putrefactis tabulis obtegere potuiſti frigore torpentem; quando in tuo erat arbitrio ægrotantem eurare; quãdo affluentia congeſtarum opũ præbebat occaſionem opportunam benemerendi. Illius enim ſementis meſſis eſt, quæ hic percipitur, miſericordia. nunc vero metere quæris, quod non ſeminaſti, & colligere, quæ non diſperſiſti, & accipere, quæ non poſuiſti, miſericordiam poſtulans, quam nõ exhibuiſti indigenti, & commiſerationem, quam proximo non præſtitiſti, & viſcera compaſſionis, quæ occluſiſti vicino; medicum habebas inimitis duritiæ tuæ præ foribus, neque ſanatus es, cum morbus adhuc recens remedijs cedere poterat, nunc manus adhibere deſperatis rebus tempus non permittit. occalluit enim malum; non amplius fomentis mitioribus, ſed peracerba deinceps ſectione, atq. inuſtionibus oblædentibus indigens. mitte (inquit) Lazarum; mittam ipſum, Dic mihi, tanto locorum interuallo diſtantem, dum ſemper ipſi propinquus exiſtens ad ipſum numquam inclinatus es. Dicam vt intingat digitum in aqua, & ardentem (vt ais) linguam tuam refrigeret. dum tu ipſum eſurientem mitis nõ refocillaſti? ſed cum, inquis, te cruciari, num eo te perſuaſurum, vt miſericordiam impetres, putas? Erat & ille in doloribus, neque tu eius miſerebaris; Tu nunc cruciaris in camino ignis, ille affligebatur in camino paupertatis, nec enim minùs paupertas rodit quàm ignis, dum illa egeſtate torquet, quemadmodum corporis ſuperficiem

ὅτε τὰς ὕλας εἶχες τοῦ πλούτου πρὸς εὐποιΐαν ἐπιτηδείας· ὅτε τῷ δεομένῳ ἐξῆν ὀρέξαι ψωμὸν, ὅτε τὸν γυμνὸν ἐκ τῶν σεσηπομένων δέλτων ναρκοῦντα τῷ ψύχει σκεπάσαι ἠδύνασο, ὅτε τὸν ἀσθενοῦντα νοσηλεῦσαι ἦν γνώμης τῆς σῆς, ὅτε τῇ εὐποιΐᾳ ἡ ἀφθονία τῆς περισσείας τοῦ πλούτου ἐδίδου καιρὸν, ἐκείνης γὰρ τοῖς σπορᾶς ἐπικαρπία ὁ καιρὸς ἐστὶν ἔλεος. νῦν δὲ θερίσαι ζητεῖς ὃ οὐκ ἔσπειρας, καὶ συνάγειν ἃ οὐκ ἐσκόρπισας, καὶ λαβεῖν ἃ οὐκ ἔθηκας, ἔλεον αἰτῶν, ὃν οὐκ ἐπεδείξω εἰς τὸν χρῄζοντα, καὶ οἰκτιρμὸν, οὗ τῷ πέλας οὐ μετέδωκας, καὶ σπλάγχνα συμπαθείας, ἃ τῷ πλησίῳ ἀπέκλεισας. ἰατρὸν εἶχες τῆς ἀσπλαγχνίας πρὸ τῆς θύρας, καὶ οὐκ ἐθεραπεύθης. ὅτε τοῖς βοηθήμασιν ἔτι νεαρὰ οὖσα ἡ νόσος εἶκεν ἠδύνατο· νῦν ὁ καιρὸς τοῖς ἀπεγνωσμένοις ἐγχειρεῖν οὐκ ἐπιτρέπει. σκιῤῥώδες γὰρ τὸ πάθος γεγένηται· οὐκέτι καταπλασμάτων ἀλύπων, τομῆς δὲ λοιπὸν ὀδυνηρᾶς, καὶ καυτήρων πεπυρωμένων δεόμενον. πέμψον, φησὶ, Λάζαρον. πέμψω αὐτὸν εἰπέ μοι πρὸς σὲ τοσοῦτον διάστημα· σὺ γὰρ ἐξέκλινας ποτε πρὸς αὐτὸν τὸν πλησίον ἀεὶ τυγχάνων αὐτοῦ; ἐμβάψαι τὸν δάκτυλον ὕδατι, καὶ καταψῦξαί σου τὴν γλῶσσαν φλεγομένην, ὡς ἔφης, οὐ γὰρ παρεμυθήσω αὐτὸν πεινῶντα ψιχίον; ἀλλ᾽ ἐπεὶ ὀδυνᾶσθαι λέγεις, πιθανὸς πρὸς τὸ τυχεῖν ἐλέους εἶναι δοκεῖς; κἀκεῖνος ἦν ἐν ὀδύναις, καὶ σὺ οὐκ ἠλέησας. σὺ νῦν ὀδυνᾶσαι ἐν καμίνῳ πυρὸς, ἐκεῖνος ὠδυνήθη ἐν καμίνῳ πτωχείας, οὐκ ἔλαττον δὲ πυρὸς δάκνει πενία τὰ σπλάγχνα τῇ ἐνδείᾳ βασανίζουσα, καθάπερ τὴν ἐπιφάνειαν τοῦ στόματος ἐπιφλέγει τὸ πῦρ. εἰ τότε

πιεζόμενος ἐλέησας τῷ λιμῷ, νῦν ἂν ἠλεήθης φλεγόμενος ἐν πυρί. εἰ τότε συμπαθὴς πολιορκουμένῳ πείνῃ, καὶ τραύμασι, νῦν ἂν φειδοῦς ἔτυχες ἐν φλογὶ κολαζόμενος, μᾶλλον δὲ οὐδὲ τὸν τόπον ἂν εἶδες τῆς συνεχούσης σε βασάνου, ἀλλὰ μετὰ Λαζάρου διῆγες ἐντὸς τοῦ ἡμετέρου κόλπου θεραπευόμενος ὡς αὐτός. τοσοῦτον γὰρ ἡ εἰς τὸν δεόμενον ἀντιδίδωσιν εὐποιΐα, ὡς οὐ μόνον ἐξάγειν τῆς συμφορῶν, ἀλλὰ καὶ ἐν τοῖς φαιδροῖς ἱστᾶν εὐφραινόμενον. νῦν δὲ σιωπῶν φέρε τὴν κόλασιν. οὐδὲν γὰρ ὀνίνησι κατὰ δίκης παράκλησις μετὰ θείαν ἀπόφασιν. ἐλέους καὶ συγγνώμης ἐκεῖνος ἦν ὁ καιρὸς, οὗτος ἀδεκάστου, καὶ δικαίας κρίσεως, ἐκεῖνος συγχωρήσεως, οὗτος ἀμοιβῆς τῶν καλῶς ἢ κακῶς πεπραγμένων, ἐκεῖνος στάδιον, καὶ ἀγῶνες, καὶ σκάμματα, οὗτος τῶν πεπονημένων ἀντίδοσις. ὁ νικήσας ἐκεῖθεν τοὺς στεφάνους ἐνθαῦτα κομίζεται. ὁ ἡττημένος οὐκ ἀναπαλαίει ἐν τῷ παρόντι τὰ πτώματα. λέλυται γὰρ ὁ ἀγὼν, καὶ τῶν ἐσφαλμένων ἡ διόρθωσις πέπαυται. ἐκεῖ μετάνοια διωρθοῦτο τὰ πεπλημμελημένα. καὶ τὸν κριτὴν ἐπέκαμπτον δεήσεις, καὶ δάκρυον πρὸς εὐμένειαν. νῦν ἔλεος χώραν οὐκ ἔχει, ἀλλ' ἀπαραίτητος δίκη, καὶ ἀσυμπαθὴς, τοὺς ἀνελεεῖς, ἀνηλεῶς ὠθεῖ πρὸς τὴν κόλασιν· ἡ γὰρ κρίσις, κατὰ τὸν θεῖον λόγον, ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος.

ciem torret vrendo ignis; ſi tunc fame tabeſcentem fuiſſes miſeratus, nunc in igne flagrans eiuſdem miſerationem experireris. Si tunc eſurie, vulneribuſque oppugnato compaſſus fuiſſes, nunc in flamma dum puniris, veniã obtineres, imo nec vidiſſes vnquam tormenti huius, quo contineris, locum, verum cum Lazaro degeres in meo ſinu refectus vt ipſe. Tantum etenim preſtat beneficentia ergà egẽtẽ, vt nõ ſolum educat ex mœroribus, verum & in lætis conſtituat gauiſurum, nunc autem tacens perfer ſupplicium. nihil enim poſt ſententiam Diuinã prolatam deprecatio ſontis iuuat; illud miſericordiæ, & veniæ tempus erat, iſtud rigidi, iuſtique iudicij. illud indulgentiæ, iſtud retributionis earum rerum, quæ rectè, vel perperam geſtæ ſunt; illud ſtadium, & certamina, & foſſæ, ſeu gradus, iſtud remuneratio laborum: qui vicit iſthic, coronas hic refert, qui ſuccubuit, lapſus ſuos iterata lucta non emendat in præſenti. Solutum eſt etenim certamen, & ceſſauit erratorum correctio, illic pœnitentia corrigebat peccata, & Iudicem inflectebant preces, & lacrymæ ad benignitatem; Nunc miſericordia nullum habet locum; ſed ſeuera; & ſine compaſſione iuſtitia immites retrudit ad pœnam abſq; miſericordia, Iudicium enim, ſecundum oraculum Diuinum, ſine miſericordia illi, qui non fecit miſericordiam. *Iacob 2. v. 13.*

ΚΕΦΑΛ. ιϛ'.

Οὐδὲν τούτων πρὸς τὸν ἱκέτην εἶπεν ὁ δίκαιος, περιττὴν εἰδὼς, ὅταν τὰ πράγματα πείθῃ, τὴν διὰ ῥημάτων ὑπόμνησιν. ἓν δὲ πρὸς αὐτὸν ἀπεφθέγξατο, καὶ πάντα ἐνέφηνε· μηδὲ

CAPVT XVI.

Nihil tale iuſtus ille ſupplicanti reſpondit; probè ſciens, ſuperfluum eſſe, vbi res ipſæ fidem faciunt, verbis eas commemorare. Vnum autem illi eloquitur, & cun-

ꝯi

cta declarat, memento (inquiens) quod bona tua in tua vita recepiſti, & ſimiliter Lazarus mala. videbantur, ait, purpura tibi, & byſſus præclara ad decorē, iudicabas bona quotidianum conuiuium ſplendidum, delectabaris voluptate rerum, quæ in vita dulces ſunt, delicijs ad libitum refertus incedebas; Quid nunc tempeſtiuum exiſtimas appetere, quæ numquam vel per ſomnium cogitaſti? Recepit & mala Lazarus, non quidem, quæ cenſebat ille mala: amabat enim ea cum ſilentio tamquam bona, ſed tu ea exiſtimabas mala. neceſſe quippe illum, qui iudicat illa bona, opinari mala iſta, dum eligendo partem delectabilium, eam, quæ contrariorum eſt, inutilem, & reijciendam demonſtrat; ſi communicaſſes homini mala patienti tunc abs te deſpecto, nunc tempus eſſet vt in partem felicitatis cum ipſo admittereris, ſi tunc ſolamen eius egeſtati præſtitiſſes, haudquaquam verbis iſtis opus tibi foret; nam etiam tacenti tibi vicem ille compaſſionis retuliſſet. Et vt verum hoc eſſe ſcias: Ecce patrem vocas me appellatione ſola honorans, & fili, audis ſtatim, condignam cōpellatione iſta copioſam remunerationem veluti fructum reportans. Si Lazarum opere illic honoraſſes, vtique opere opportuni beneficij præmium congruum recipiens, mercedem retuliſſes. Verum te multa fortaſſis inflauit felicitas & vanæ gloriæ tumor animum perſtrinxit, vt numquam e tanto ſplendore, quo conſpicuus eras, pœnæ te obnoxium credideris. non norunt præſentia eam, quæ iſthic erat, dignitatem, neque ſplendidè ſuſpiciunt eos, qui illinc accedunt, omnes pari honore ad iudicium excipientia, & dignitates

εἰπὼν, ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά. ἐφαίνοντο, φησὶν, ἡ πορφύρα καὶ ἡ βύσσος καλὰ πρὸς εὐπρέπειαν, ἔκρινες ἀγαθὰ τὴν καθημερινὴν λαμπρὰν εὐωχίαν, ἐτέρφθης τῇ ἀπολαύσει τῶν ἡδέων τοῦ βίου, ἐσοίχησον τῇ πλησμονῇ τῶν καταθυμίων. τί νῦν εὔχερον νομίζεις ὀρέγεσθαι, ὧν οὐδ' ὄναρ ἐπεθύμησας τότε; ἀπέλαβε καὶ Λάζαρος τὰ κακά. οὐχ ἅπερ αὐτὰ ἡγήσατο ἐκεῖνος κακὰ, ἔστεργε γὰρ αὐτὰ σιωπῶν ὡς καλά. ἀλλὰ σὺ ἐλογίζου ὡς κακά. ἀνάγκη γὰρ τὸν κρίνοντα ἐκεῖνα ἀγαθὰ, ἡγεῖσθαι ταῦτα κακὰ, τῇ αἱρέσει τῶν τερπνῶν τὴν μερίδα τῶν ἐναντίων δεικνῦντα ἄχρηστον, καὶ ἀδόκιμον. εἰ ἐκοινώνεις τότε κακοπαθοῦντι τῷ παροφθέντι, νῦν εἶχες καιρὸν αὐτοῦ κοινοπραγῆσαι τῆς ἀνέσεως. εἰ τότε παρεμυθήσω τὴν ἔνδειαν, οὐκ ἄν σοι τούτων ἐδέησε νῦν τῶν ῥημάτων· ἠμείψατο γὰρ ἄν σε τῆς συμπαθείας καὶ σιωπῶν ἐκεῖνος. καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἰδοὺ πατέρα καλεῖς με προσηγορίᾳ μόνῃ τιμήσας, καὶ τέκνον ἀκούεις εὐθὺς, προσφερῆ τῇ προσηγορίᾳ τὴν ἀμοιβὴν ἀφθόνως καρπούμενος. εἴ που δὲ καὶ ἐτίμησας ἔργῳ τὸν Λάζαρον, ἐν ἔργῳ πάντως ἂν ἐδέξω τὴν ἀντίδοσιν, ἐγκαίρου χάριτος ἀπολαμβάνων ἐπιτήδειον ὄφλημα. ἀλλά σε τάχα ἡ πολλὴ εὐπραγία ἐφύσησε, καὶ ὁ τῆς κενῆς δόξης ὄγκος ἐφάντασεν, ὡς ἐκ τοιαύτης περιφανείας οὔποτε ἐσόμενος τῇ δίκῃ ὑπεύθυνος. οὐκ οἶδε δὲ τὴν ἐκεῖ τὰ παρόντα ἀξίαν, οὐδὲ τοὺς ἐκεῖθεν παραγενομένους δυσωπεῖται λαμπρῶς, πάντας ὁμοτίμως πρὸς τὴν δίκην δεχόμενα, καὶ τὰς ἀξίας, οὐκ ἀπὸ τῶν νομιζομένων, ἀλλ'

ἀπὸ τῶν ἀληθῶς ἐκ τῆς ἀρετῆς περιγινομένων ἐπιγινώσκοντα. διὰ τοῦτον καὶ θηρίων ἐκρίθης ὠμότερος. κύνες γὰρ χειροήθη, καὶ τιθασσὰ θηρία, σὺ δὲ οὐδέ ποτε πάντως οὐδενὸς ἐν χρείᾳ καταστήσεσθαι ᾠήθης. τῶν γὰρ κυνῶν, ἣν παρὰ τῆς φύσεως ἔλαχον ἰατρικὴν, τῇ γλώσσῃ τὰ οἰκεῖα μαθόντων τραύματα θεραπεύειν, ταύτην ἐπιδεικνυμένων εἰς τὸν ἀβοήθητον, καὶ τὸν ἐπιφυόμενον ἐκλειχόντων ῥύπον, ὡς ἂν ἡ οὐλὴ πάντως γένηται καθαρὰ τοῦ ἐπιτρεφομένου ἰχῶρος ἀπηλλαγμένη· ἐχρῆν σε εἰς τὸν ὁμόφυλον τὴν δυνατὴν ἐπιδείξασθαι παραμυθίαν, καὶ τὴν ἀπορίαν ἐπανορθῶσαι μεταδόσει τῶν ἀναγκαίων, ἵνα κἂν τῶν κυνιδίων ἐλογίσθης ἰσότιμος ἀξίως τὴν εἰς αὐτὸν κηδεμονίαν πρὸς ἐκεῖνα νεμάμενος. σὲ γὰρ, ὡς ἔοικεν, οἱ κύνες πρὸς εὐσέβειαν προτρεπόμενοι, συνεχῶς ἐφοίτων παρὰ τὸν πένητα. ἐπειδὴ δὲ τὸ πρακτέον φωνῇ διδάσκειν οὐκ εἶχον, ἔργῳ βοῶντες, ὅτι περ πρὸς ἣν πεφύκαμεν θεραπείαν, ταύτῃ κεχρημένοι προθύμως, δῆλοι καὶ τῆς πρὸς τὸ λειπόμενον ἐσμὲν ἑτοιμότατοι, εἴπερ ἦν δύναμις ἡμῖν ποριστικὴ τῶν ἀναγκαίων, ἐπεὶ οὖν τροφὴν παρασχεῖν ἐσμὲν ἀδύνατοι, καὶ αὐτοὶ τὰ πολλὰ μένοντες ἄσιτοι, οἱ καὶ τὴν οὐ νενομισμένην ἀνθρώποις ὑπ' ἀνάγκης ἐσθ' ὅτε προσφερόμεθα, ἣν ἐσμὲν ἱκανοὶ προσάγομεν παραμυθίαν, τὸ συμπαθὲς ἐπιδεικνύμενοι, καὶ τῷ μετρίῳ τῆς λειτουργίας τὴν εἰς ἅπαντα προθυμίαν, εἰ παρῆν δύναμις, ἐκκαλύπτοντες.

gnitates; non ex opinione, Sed e veris virtutis fructibus agnoſcentia. Quamobrem iudicatus fuiſti crudelior beſtijs; canes namque manſueta, & cicurata ſunt animalia; Tu verò nullo fore opus tibi vnquam exiſtimaſti; Cum enim canes, qui medendi facultatem ab ipſa ſunt ſortiti natura, lingua propria vulnera curare didicerint, eamdem erga omni auxilio deſtitutum exercuerint, & adnaſcentes ſordes lingendo emundauerint, quò cicatrix penitus pura eſſet ab innutrita ſanie liberata; oportuerat & te erga contribulem exhibere quantumcumque poſſes ſolamen, & inopia eius rebus neceſſarijs ſuppeditatis ſubleuare, vt ſaltem catellis haud impar vti parem erga ipſum gerens in neceſſitate curam, æſtimareris. Te namque, ſicuti videbatur, canes ad pietatem adhortantes, continuo ventitabant ad pauperem, cumque non poterant voce te docere quid facere debueras, ipſo clamabant opere; dum conceſſam in nobis a natura medelam, ea vtentes libenter, exhibemus, clarum eſt, quod ad cætera quoque ſumus promptiſſimi, ſi, ea, quæ ſunt neceſſaria, conferendi facultas adeſſet. Quo circà cum victum præbere non poſſimus, qui & ipſi plurimum temporis permanemus ſine cibo, & præ neceſſitate illo, qui hominibus vetitus eſt, interdum veſcimur conſolationem ea, ad quam idonei ſumus, ope delata offerimus exhibentes compaſſionem, & obſequio modico noſtram ad omnia promptitudinem, ſi vires adeſſent, propalamus.

CAPVT XVII.

Qvod enim virium noſtrarum concedit hactenus modulus, cum ſollicitè opere ipſo præſtemus, id noſtram quoque ad cætera voluntatem promptiſſimam arguit, monſtratque, non animum, ſed inopiam in cauſa eſſe tarditatis in his, quæ non procuramus ſtudioſè. Verùm iſte immitis, & inhumanus euadens gratiam guttæ petit, qui non præbuerat gratiam vel micæ, non quod gutta ſufficeret ad flammam illam mitigandam. nec enim fluuius influens extinguit ignem accenſum ad tormentum, ſed vt manifeſtè oſtenderet, eum, qui hac in vita deſtituitur affectu miſericordiæ, in futura quidem exorantem nec vel tantillum illud obtenturum. vt rigore, ac ſeueritate iudicij extremi cognita, beneficijs ergà pauperes præſentes promiſſorum bonorum remunerationem nobis præparemus, & huius vitæ bona corruptibilia iſthic in theſaurum recondamus vtiliter, inſtar debiti repoſcentes à Iudice, quæ pauperibus fœnori collocauimus non
Prouer. cap. 19. v. 17. contenti pœnæ effugium prc lucro accipere. Si enim, iuxtà Salomonis prouerbium, fœneratur Domino, qui miſeretur pauperis, fœnerans, qui habet perſolutorem tam commodum, & æquum, cuncta det fœnori, quæ poſſidet, vt multiplicata omnia iſthic inueniat, nec quidquam vanitati relinquens, cuius tamquam malè derelicti pœniteat ipſum. nam quidquid non impenditur ad beneficentiam inane verè, atque inutile eſt, cum neque ſubſequatur, nec ibi nos præueniat. Et ſi quis proximos, agnatos, filios, & fratres, cæteraque ordine cogna-

ΚΕΦΑΛΑΙΟΝ ιζ.

Τὸ γὰρ τῇ δυνάμει πως ἐφικτὸν σπουδαίως εἰς ἔργον ἀγόμενον, ἔλεγχός τῆς πρὸς τὰ λοιπὰ προθυμίας ἐστὶ, τὴν ἀπορίαν ἐν τοῖς οὐκ ἐπιμελουμένοις δεικνύον, οὐ τὴν γνώμην τῆς ἀργίας αἰτίαν. ἀλλὰ τοιοῦτος γενόμενος ὁ ἀπηνὴς, καὶ ἀπάνθρωπος χάριν αἰτεῖ σταγόνος, οὐ παρασχὼν χάριν ψιχίου· οὐχ ὅτι σταγὼν ἦν ἱκανὴ παραμυθήσασθαι τὴν φλόγα ἐκείνην· οὐ γὰρ ποταμὸς ἐπιῤῥέων σβέννυσι πῦρ πρὸς τιμωρίαν ἡτοιμασμένον. ἀλλ' ἵνα δειχθῇ σαφῶς, ὅτι ὁ τὸ νῦν ἀσυμπαθὴς, οὐδὲ τοῦ εὐτελοῦς ἐκείνου ποτνιώμενός ἐστι τυχεῖν ἐν τῷ μέλλοντι. ὅπως δὲ αὐστηρὸν, καὶ ἐμβριθὲς μαθόντες τῆς κρίσεως, ταῖς εἰς τοὺς νῦν ἐνδεεῖς εὐεργεσίαις τὴν τῶν ἐπηγγελμένων ἀγαθῶν ἑαυτοῖς προπραγματευσώμεθα ἀμοιβὴν, καὶ θησαυρίσωμεν ἐκεῖ χρησίμως τὰ ἐνταῦθα φθειρόμενα, ὀφειλὴν ἀπαιτοῦντες τὸν δικαστὴν τὰ δεδανεισμένα τοῖς πένησι, καὶ οὐκ ἔρανον τὴν ἀπαλλαγὴν τῆς κολάσεως ἀξιοῦντες λαβεῖν. εἰ γὰρ ὁ ἐλεῶν πτωχὸν, ὡς ἡ παροιμία Σολομῶντος φησὶ, δανείζει Θεῷ ἐκτιστὴν ἔχων ὁ δανείζων εὐγνώμονα πάντα δανειζέτω ἃ κέκτηται, ἵνα πολλαπλασίονα πάντα εὕρῃ ἐκεῖ, οὐδὲν τῇ ματαιότητι καταλιπὼν, ὃ ποιήσει μεταμέλον, ὡς καταλελειμμένον κακῶς. Πᾶν γὰρ τὸ μὴ πρὸς εὐποιίαν δοθὲν, εἰκαῖόν ἐστιν ἀληθῶς, καὶ ἀνόνητον, οὐκ ἀκολουθοῦν, οὐδὲ προλαμβάνον ἐκεῖ. κἂν αὐτοὺς τις εἴπῃ τοὺς προσεχῶς συγγενεῖς υἱοὺς, καὶ ἀδελφοὺς, καὶ τοὺς ἑπομένους ἀκολούθως τῆς ἀγχιστείας δεσμοὺς. πάντως

εἰ μὴ ἄρα τις ἐνδεὴς εἴη, διῃρῆσθαι πρὸς διαδοχὴν τῶν ὑπαρχόντων ἐπιτηδείους. Ὅθεν ἕκαστον προσήκει χαίρειν εἰπόντα συγγενείαις, καὶ φιλίαις πολυαρίθμοις, αὐτὸν ἑαυτοῦ γενέσθαι ἀγχιστέα, καὶ φίλον, πάντα μετακομίσαντα, ἢ προπέμψαντα, ἔνθα μεθίσταται, ἵνα ἀθύμως ἀπίῃ ὁ καλούμενος εἰς τὴν μετάστασιν, πολὺν ἀφθάρτων ὁρῶν σωρὸν χρημάτων ἑαυτῷ τεθησαυρισμένον ἐκεῖ, καὶ μὴ ὀκνῇ τὴν μετάβασιν ἐλεεινῶς ἀπολιμπάνων τὰς ὕλας τοῦ πλούτου, αἷς ματαίως προσεπεπόνθει παρών.

cognationis arctiſſimæ vincula commemoret; vtique, niſi homo pauperculus, & inops fuerit, inueniet idoneos hæredes, qui in bona ſuccedant. Idcircò vnumquemque decet vale dicentem cognationibus, & amicitijs numeroſis, ſibimet ipſi propinquum, & amicum fieri, cuncta ſecum transferendo, aut præmittendo, quo commigrat, vt libenter diſcedat ad commigrationem euocatus, plurimam congeriem opum incorruptarum ſibi in futurum repoſitam illic cernens, neque tranſitum timeat miſerabiliter derelinquens diuitias materiales, quarum affectu vanè in hac vita tenebatur.

ΤΜΗΜΑ ε'.

Ὅτι αἱ ψυχαὶ τῶν φιλοπλούτων, φιλόζωοι οὖσαι, δυσαποσπάστως ἔχουσιν ἐν τῷ καιρῷ τοῦ θανάτου.

ΚΕΦΑΛ. α'.

Διὰ τοῦτο γὰρ αἱ ψυχαὶ τῶν φιλοπλούτων ἐπὶ πολὺ τοῦ σώματος μεριζόμεναι βασανίζονται ἐξιοῦσαι, καὶ ὑποστρέφουσαι, ἐξελκόμεναι, καὶ ἀναποδίζουσαι, καὶ τῆς μάχης τοῦ μὴ ἀποσπασθῆναι τοῦ σκήνους μαρτύριον τοὺς ἱδρῶτας παρέχουσαι, καὶ τοῦτο δηλοῦσαι σαφῶς, ὅτι πρὸς τὰ παρόντα πολλὴν ἔχουσι τὴν προσπάθειαν, συνεχῶς ἐπιστρεφόμεναι πρὸς τὰ ἀφιέμενα, καὶ μόλις ἀναχωροῦσαι, τῷ προσδεδέσθαι τοῖς τῇδε. Εἰ δέ τις ἦν προτρέπων καλοῦσα κτήματος ὀρεγόμενον ἐκεῖ, πάντως ἂν ἠπείχθησαν δραμεῖν πρὸς αὐτό, πολὺ τῶν καταλιμπανομένων βλέπουσαι τὰ τοῦ μέλλοντος ἀνθηρότερα, καὶ καταφρονοῦσαι τῶν ἀφιεμέ-

SECTIO V.

Quod Animæ amantium diuitias vitæ cupidæ ægrè hinc diuellantur in hora mortis.

CAPVT I.

HAnc ob cauſſam hominum diuitias amantium, & auarorum animæ, dum ſeparantur à corpore, plerumque torquentur, & exeuntes & redeuntes; attractæ, atque retrocedentes, & ſudorẽ excitantes in teſtimonium pugnæ, quam conferunt, ne diuellantur à corporis tabernaculo; eoque apertè manifeſtantes, quod præſentium rerum magno detinentur affectu, dum conuertuntur continuò ad ea, quæ dimiſerunt, & ægrè ſecedunt, eò quod rebus hærent, præſentibus alligatæ. Verùm ſi boni, quod viderent ibi, aliquis impulſus euocaret, omninò ad illud currere properarent, inſpicientes futura multò floridiora quàm hæc, quæ derelinquunt, & contemnentes hæc, quæ deſerunt, ob illorum nobilitatem. Talis erat & alter ille diues,

qui morbũ inexplebilitatis adauge-
Lucæ c. 12. v. 16. bat vberrimis agri fructibus, qui
exſtruebat horrea inceſſanter, & ampliora ædificabat; eò quòd cum prima horrea eſſent anguſta ob antiqua frumenta recondita, non haberet, vbi fruges ex agricultura perceptas reponeret, & egentiũ vſui deſtinatas intus occludebat cuſtodijs munitiſſimè conſtructis, ne diriperetur, & ſolam ſe nutriendi ſtudioſam animam ſuam alloquebatur, multòſque in annos augurans ipſi ſecuram fruitionem, cum, ſicuti ſententia Diuina oſtendit, neque diem craſtinam erat viſurus. Iuſtum enim erat ſecundùm veritatem, vt qui neminem ſocium fruendi admittere ſtatuerat, nec ipſe earum, quas ſomniarat, particeps foret deliciarum, ſed vt ſubitò raptus caperetur, & ad pœnam inhumanitatis traheretur. Nunquid enim tunc deerant pauperes confecti fame, vt enaſcentia terræ germina ineptè aſſeruarentur in futurum? An non erant rerum neceſſariarum indigi tineis digniores, & magis fidi, qui anteuerterent in eorum perceptione vermes ingratos epulones; dum ipſi meliori ratione conſumpſiſſent, quæ paulo poſt illi abſque vlla gratitudine abſumpturi erant? quemadmodum crudeles quidam, & immites matricidæ deuorantes, ob alterius inopiam alimenti, genitrices ſuas, & poſt iniquum pabulum ex horreis reptantes, & prodeuntes in publicam lucem, eius dementiæ, qui frumentum cuſtodiebat, apparent vltronei teſtes; ita ſancto Iudice iudicante, vt & malè coaceruata perirent, nec tamen ille querelæ aduerſus prouidentiam haberet rationabilem occaſionem. Cum enim ſolus ſibi propriam vindicaſſet communem omnium abundantiam

νων διὰ τὴν λαμπρότητα ἐκείνων. Τοιοῦτος καὶ ὁ ἄλλος πλούσιος ἐν τῇ εὐφορίᾳ τῆς χώρας αὐξήσας τῆς ἀπληστίας τὴν νόσον, καθαίρων ἀποθήκας ἀεί, καὶ μείζονας οἰκοδομῶν, ἐπεὶ μὴ εἶχε, ποῦ τὰ γεωργηθέντα ἀποθήσει, στενοχωρουμένων τῶν προτέρων ταμείων τοῖς παλαιοῖς γεννήμασι, καὶ τὴν τῶν δεομένων χρείαν ἐναποκλείων φυλακαῖς ὀχυραῖς δεδομημέναις πρὸς τὸ ἄσυλον, καὶ τῇ μονοφάγῳ ἑαυτοῦ ψυχῇ προσλαλῶν, καὶ πολλῶν ἐτῶν αὐτῇ μαντευόμενος ἀπόλαυσιν ἄσυλον, οὐδὲ τῆς ἑξῆς, ὡς ἡ θεία ἀπόφασις ἔδειξε, μέλλων ὁρᾶν. δίκαιος γὰρ ἦν ἀληθῶς ὁ μηδένα τῆς ἀπολαύσεως λογισάμενος λαβεῖν κοινωνόν, μηδὲ αὐτὸν μετασχεῖν τῆς ὀνειροπολουμένης τρυφῆς, ἀνάρπαστον δὲ ληφθῆναι πρὸς τὴν δίκην τῆς ἀπανθρωπίας ἑλκόμενος. Τί γάρ; οὐκ ἦσαν πένητες τότε τρυχόμενοι λιμῷ, ἵνα θησαυρισθῇ ἀπειροκάλως τὸ γέννημα; οὐκ ἦσαν τῶν ἀναγκαίων ἐνδεεῖς οἱ τῶν σίτων ἀξιοπιστότεροι, ἵνα προλάβωσι τὴν μετάληψιν τοὺς ἀχαρίστους δαιτυμόνας σκώληκας, δαπανήσαντες εὐλογώτερον αὐτοί, ἃ μετ' ὀλίγον ἔμελλον ἀχαρίστως ἀναλίσκειν ἐκεῖνοι; καθάπερ ὠμοί τινες καὶ ἀπηνεῖς μητραλοῖαι κατεσθίοντες τὰς τεκούσας ἀπορίᾳ ἑτέρας τροφῆς, καὶ μετὰ τὴν ἄδικον θοίνην ἐξέρποντες τῶν ταμιείων, καὶ δημόσια προερχόμενοι τῆς ἀλογίας τοῦ πυροφύλακος αὐτόκλητοι μάρτυρες οὕτω δικάσαντος τοῦ ὁσίου κριτοῦ, ὡς καὶ ἀπολέσθαι τὰ κακῶς σεσωρευμένα, καὶ κἀκεῖνον μὴ σχεῖν κατὰ τῆς προνοίας μέμψεως εὔλογον ἀφορμήν· ἐπειδὴ γὰρ τὴν ἁπάντων κοινὴν εὐθηνίαν ᾠκειώσατο μόνος, κλήθροις ἐπιμελῶς ἀσφαλισάμενος;

καὶ μοχλοῖς τὴν ἄνωθεν δωρεὰν, μακρὰν δὲ ἐκείνων ἑαυτοῦ, ἢ πολυετῆ τὴν ἀπόλαυσιν ὑποθέμενος, δικαίως ὁ Θεὸς ἐκ τῶν ἀποθηκῶν, ἃ ἐδωρήσατο, ἀπείληφεν, οὐδὲν τῶν οἰκείων πόνων ζημιώσας ἐκεῖνον. κατέλιπε γὰρ σώας τὰς ἀποθήκας αὐτοῦ, ἃς αὐτὸς ᾠκοδόμησε. πόσῃ δὲ σπουδῇ χρησάμενος ἔξω τὸν σῖτον προελθεῖν παρεσκεύασε κατὰ τὰς πλατείας ἐμφανῶς ῥεμβόμενον πρὸς γέλωτα, καὶ χλεύην τοῦ μυρία μηχανησαμένου, ὅπως αὐτοῦ πρὸς πολὺν χρόνον φυλαχθῇ ἀδιάφθορα τὰ τῆς τρυφῆς ἐπιτήδεια, πλαξὶ μὲν ξεσταῖς καταστρώσαντι τὸ ἔδαφος, κονιάσαντι δὲ τοίχους, καὶ θυρίσι τὰς ἔξωθεν ἐπεισάγοντι αὔρας, ὡς ἂν ῥιπίζοιτο τὰ ἀποκείμενα, καὶ τὴν ἐκ σήψεως διαφθείροι βλάβην τῷ συνεχεῖ διαφορούμενα πνεύματι;

tiam, clathris, vectibuſque ſolicitè cæleſte donum occludens, ac muniens, longamque inde, ac plurimos in annos ſibi fruendi voluptatem proponens; iuſte Deus, quæ donauerat, ex conditorijs recepit, nullo illum damno propriorum laborum afficiens; nam conditoria, quæ conſtruxerat ipſe, dereliquit ei ſalua. Quanto vero ſtudio vſus procurauit, vt frumentum prodiret in publicum per plateas circumactum manifeſtè, ad irriſionem, atque ludibriũ eius, qui mille machinas excogitauerat, vt ſibi plurimo tempore ſeruarentur incorrupta luxus fomenta; ſectis quidem lapideis tabulis pauimẽtum ſternendo, parietes verò inducendo opere albario, & per feneſtras introducendo auras exteriùs flantes, vt recondita perflarentur, & noxam corruptionis effugerent continuâ ventilatione agitata?

ΚΕΦΑΛΑΙΟΝ Ϛ.

Ἀλλ' οὐδὲν τῶν δεινῶς ἐπιτηδευομένων τὴν τοῦ Θεοῦ σοφίζεται βούλησιν, οὐδὲ τὴν ἀμετάπτωτον κρίσιν νικᾷ ἀνθρωπίνη ἐπίνοια ματαιοῦσα τὰς σπουδὰς τῶν οἰομένων ἀνύειν τι δυνήσεσθαι σπουδῇ τῆς οἰκείας δυνάμεως. Ἰδοὺ γοῦν τῶν πρὸς ἀσφάλειαν ἐνέλιπεν ἄφρων οὐδὲν, καὶ τῆς ἐλπίδος ἀπέτυχε· σῶαι αἱ ἀποθῆκαι, καὶ ἀποθὲν οὐδαμοῦ. τὰ κλεῖθρα, καὶ οἱ σημαντῆρες οὐκ ἠδίκηνται, καὶ ὁ σῖτος ἐδραπέτευσεν. οὐ διώρυκται τοῖχος, οὐ περιῄρηται ὄροφος, καὶ τὰ ταμιεῖα κεκένωται. πάντα σῶα τὰ τῆς ἀσφαλείας, πάντα ὁλόκληρα, καὶ τὸ γέννημα βαδίζον ἔξω θαῦμα τοῖς ὁρῶσι παρέχει, καὶ πολλὴν αἰσχύνην τῷ θησαυρίσαντι οὐδαμῶς κρύψαι δυναμένῳ τῆς ἀνοίας τὸν ἔλεγχον, τοσούτους

CAPVT II.

Sed nihil eorum, quæ callidè ſtudet homo, Diuinam voluntatem eludit, nec immutabile iudicium vincit humanæ mentis adinuentio, quod vana reddit ſtudia exiſtimantium perficere aliquid poſſe diligentia propriarum virium. Ecce igitur amens nihil prætermiſit eorum, quæ ad ſecuritatem ſpectabant, & tamen ſpe ſua excidit; Sarta tecta ſunt horrea, & quod repoſitum fuerat, nuſquam comparet; clauſtra, & ſignacula nullatenus læſa ſunt, & frumentum aufugit; paries non fuit effoſſus, neque ſublatum eſt tectum, & horrea ſunt exinanita; ſalua ſunt omnia ſecuritatis præſidia, integra cuncta, & fruges extrà procedentes ſpectantibus admirationem, coaceruatori etiam multum dedecoris præbent, qui

nullo modo poterat occultare de-
mētiæ ſuæ exprobrationē, tot habēs
inhumanitatis accuſatrices tineas,
quas nutus Diuinus mirabiliter
ſub dio diſperſit in exiguo puluere,
derelinquentes intus monumenta
ſtultitiæ ad recordationem perpe-
tuam dementiæ, qua, qui collige-
rat illa, captus fuerat; vt dereli-
ctum puluerem cernens, vanam
animaduerteret humanam proui-
Lucæ dentiam, neutiquam dicens, quæ
c.12.v. antea dicebat: Anima habes multa
18. bona repoſita in annos plurimos,
comede, bibe, lætare; ſed in exitu
rei verum illud deprehendens,
quod Eſaias, cum Superno Numi-
mine afflabatur, Deique Spiritu
correptus agebatur, dixit: Sicut
Iſaiæ c. ſomniat ſitiens tamquam bibens,
29.v.8. & poſtquam fuerit expergefactus,
adhuc ſitit, anima autem eius in
vanum ſperauit; ſic impiorum di-
uitiæ diffiabuntur, & pulueris in-
ſtar diſpergentur, quamuis in pe-
netralibus intimis reconditę ſint ad
prouidendum conſeruationi. Sic
Aggæi etenim Deus ipſe homines hoc
c.1.v.9. modo affectos alloquitur: Intuliſtis
fruges veſtras in theſauros veſtros,
& illinc exſufflaui ipſas. Præcipuè
verò is iuxta ſuum propoſitum lō-
gæuus, vtrum iſtæ fuerint, vel non
fuerint, ne id quidem nouit; præ-
uertit enim præmaturè raptus ha-
rum corruptionē, dum mente vol-
ueret prolixam fruitionem; cum
ſine vlla dilatione, ipſa nocte eius
anima expetita fuiſſet, nec dicere
quidem potuiſſet, quemnam illo-
rum, quæ relinquebat, vellet eſse
dominum. Par enim erat, vt impoſterum ob domini penuriam occu-
paræ res authoritate, & poteſtate à ſolo nil commune cum altero habe-
re volente communes fierent, quæ vnicuique ad vſus faculta-
tem aderant pariter propoſitæ: & quoniam cum inopibus eas habitu-
rum

ἔχοντι τῆς ἀπανθρωπίας κατηγόρους
τὰς σῆτας, οὓς ὁ νεῦμα παραδόξως αἰ-
θρίως ἐσκέδασεν ἐν ὀλίγῃ τέφρᾳ, κα-
ταλιπόντας ἔνδον τὰ τῆς ἀναισθησίας μνη-
μόσυνα πρὸς διηνεκῆ τῆς συναγα-
γούσης ἀνοίας ὑπόμνησιν, ἵνα τὴν ὑπο-
λειφθεῖσαν κόνιν ὁρῶν, εἰκαίαν μάθῃ τὴν
ἀνθρωπίνην προμήθειαν, οὐκέτι λέγων
ἅπερ ἔλεγε πρότερον. ψυχὴ ἔχεις πολ-
λὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά, φά-
γε, πίε, εὐφραίνου. ἀλλ' ἐκεῖνο τῇ ἐκ-
βάσει τοῦ πράγματος εὑρίσκων ἀληθὲς,
ὅπερ ὁ Ἡσαΐας ἐνθουσιῶν, καὶ θεοφο-
ρούμενος ἔλεγεν. ὃν τρόπον ἐνυπνιάζε-
ται ὁ διψῶν, ὡς ὁ πίνων, καὶ ἐξανα-
στὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κε-
νὸν ἤλπισεν, οὕτως ἔσται ὁ πλοῦτος τῶν
ἀσεβῶν ἐκφυσώμενος, καὶ σκεδαννύ-
μενος ὡς χοῦς, κἂν ἀδύτοις ἀποτεθῇ
προνοίᾳ διαμονῆς. Οὕτω γὰρ αὐτὸς τοῖς
οὕτω διακειμένοις φησὶν ὁ Θεός. εἰσηνέγ-
κατε τὰ ἐκφόρια ὑμῶν εἰς τοὺς θησαυ-
ροὺς ὑμῶν, καὶ ἐκεῖθεν ἐξεφύσησα αὐτά.
Μᾶλλον δὲ οὐτ' εἰ γέγονε ταῦτα, οὔτ'
εἰ μὴ γέγονε, ἔγνω ὁ τῇ προθέσει μα-
κρόβιος. ἔφθασε γὰρ πρόωρος ἀρ-
παγεὶς τὴν τούτων φθοράν, ἐν αὐτῷ τῷ
βουλεύεσθαι τὰ τῆς μακρᾶς εὐφροσύνης,
ἀνυπερθέτως ἐν αὐτῇ τῇ νυκτὶ τὴν ψυ-
χὴν ἀπαιτηθείς, καὶ οὐδὲ φθάσας εἰπεῖν,
τίνα τῶν καταλιμπανομένων εἶναι βούλε-
ται κύριον. Ἔδει γὰρ κοινὰ γενέσθαι λοιπὸν
ἐρημίᾳ δεσπότου τὰ κυρίως παρὰ τοῦ
ἀκοινωνήτου μόνου κατεχόμενα, ἑκάστῳ
προκείμενα εἰς ἐξουσίαν χρήσεως ὁμοίως.
Καὶ ἐπειδὴ κοινὰ γίνεσθαι αὐτὰ τῶν ἀπό-
ρων οἰκεία οὐ προῄρητο γνώμῃ, ἑκὼν
δωρήσασθαι μὴ διανοηθεὶς, ἅπερ ἔμελλεν
ἄκων ἀπολύειν, ἀνάγκῃ, μετὰ δὲ ἀπο-

περιέσθαι τῆς ὀνειροπολουμένης κραιπάλης, προσλαμβάνει αἰώνιον κόλασιν.

rum ſe communes non propoſuerat ſibi in animo, neque cogitauerat ſponte dilargiri; quæ vel inuito erant dimittendæ; neceſſe erat, vt defraudatus, & ea, quam ſomniabat, crapula vaneſcente æternam ſubiret damnationem.

ΚΕΦΑΛΑΙΟΝ γʹ.

Εἰ γὰρ ἑκατονταπλασίονα τὰ τοῖς πτωχοῖς παρεχόμενα λαμβάνοντες οἱ φιλόπτωχοι, ζωὴν ἐπὶ τούτοις κληρονομοῦσιν ἀπέραντον· πάντως καὶ οἱ παρεχόμενοι τὸν λυπούμενον ἀπαραμύθητον, πρότερον ἐκεῖνα ζημιοῦνται, ἐξ ὧν ὁ μὴ εὐεργετηθεὶς οὐδέ ποτε εὐχαρίστησε τοῖς ἀγνώμοσιν, εἶθ' οὕτω τῇ κολάσει παραδίδονται, πλέον τῆς πείρας τιμωρούμενοι τῷ συνειδότι, ὅτι τὰ λύτρον τῆς ψυχῆς αὐτῶν γενέσθαι ὀφείλοντα χρήματα τῇ εἰς τοὺς ἐνδεεῖς εὐποιΐᾳ, κατακρίσεως αἰτία ταῦτα τῇ μικρολογίᾳ πεποιήκασι, τῆς φρικτῆς ἐκείνης καὶ φοβερᾶς εἰκότως κατὰ τὴν πρᾶξιν ἀκούοντες ἀποφάσεως, πορεύεσθε λεγούσης εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· οὐ τοσοῦτον ὄντες, ὥς ἔμοιγε δοκεῖ, ἐλεεινοὶ τῆς τιμωρίας, ὅσον τῆς ἀνοίας καταγέλαστοι, ὅτι φειδοῖ δαπάνης εὐτελοῦς, τοσαύτην καὶ τηλικαύτην εἵλοντο κόλασιν· οὔτε τῶν πρὸς τρυφὴν παρεσκευασμένων, ἐφ' ὅσον ἐφαντάζοντο χρόνον, ἀπολαύσαντες, καὶ ἐπὶ τοῖς ἀπολειφθεῖσι φοβερὰς, καὶ ἀπαραιτήτους δίκας ὑπέχοντες, ἐπεὶ μὴ οἰκείαν ἐποιήσαντο παραμυθίαν τὰ ἴδια κτήματα, πάντα προπέμψαντες διὰ τῶν ἀχθοφορούντων πενήτων ἐκεῖ, ἔνθα τρυφᾶν ἀνθ' ὧν κολάζεσθαι ἔμελλον, ἄλλοις ἐνασελγαίνειν δεδωκότες

CAPVT III.

Si namque mendicis beneuoli, collata egenis centuplici fœnore recipientes, vitam pro iiſdem hæreditant interminabilem; vtique & illi, qui afflictum ſine vlla conſolatione prętereunt, priùs eo nomine mulctantur, quòd qui nullo fuerit beneficio affectus, non egit vnquam gratias inclementibus; poſteà deduntur ſupplicio puniti magis à conſcientia, quàm ab experientia, quòd pecunias, quæ per beneficentiā verſus egenos debuerant ad ſuas animas redimendas pretium eſse, damnationis cauſam ſua ſibi parcitate effecerint, terribilem, & tremendam illam iure pro facinoribus ſuis audientes ſententiam dicentem: Ite in ignem æternum præparatum Diabolo, & Angelis eius. Eſuriui enim, & non dediſtis mihi manducare; ſitiui, & non potaſtis me. Vtque mihi videtur, erunt non tantum miſerandi ob pœnam, quantum propter ſtultitiam deridendi, quòd ad parcendum ſumptui cuidam exiguo, talem, tantamque punitionem prælegerint; cum nec hiſce, quæ ad delicias præparauerant quanto tempore imaginabantur, fruiti ſint, & pro rebus derelictis horrendas, & peracerbas ſubiere damnationes: quia ſcilicet non vſi fuerunt proprijs opibus ad comparandum ſibi ſolatium, præmittendo illas omnes per baiulos pauperes illuc, vbi delicijs fruituri erant, *Matth. c. 25. v. 41.*

erant, viæ pœnarum, quas ſubeũt; ſed ſuis laboribus locum dederunt alijs profligatè viuendi, vnde & eorum loco meritò quoque ſuſtinent ſupplicium.

χώραν τοῖς οἰκείοις πόνοις, καὶ ὑπὲρ αὐτοῦ εἰκότως τιμωρίαν ὑπέχοντες.

SECTIO VI.

Quod meritò puniuntur qui facultates promiſcuè quibuſcumque relinquunt.

ΤΜΗΜΑ ϛ'.

Ὅτι οἱ τοῖς ἀδιαφόροις τῶν οἰκείων τὴν πρᾶξιν παραπέμποντες κολάζονται εἰκότως.

CAPVT I.

Etenim qui ſucceſſerunt in bonis, ſi ſumptus laboraſsent penuria, potuiſsent à peccatis abſiſtere, quæ perpetrandi libertatem eis pecuniarum exuberantia dedit, quaſi viam ſternens motui voluntatis ad ea, quæ approbat, ipſam operis facilem poteſtatem. Neque mihi quiſquam nugas effutiens obſoletum illum prætextum grauiter ediſſerat, filijs, & nepotibus, inquiens, ſe ſeruare opes ad vitam honeſtè decenterque tranſigẽdam. Experientia quippe occluſit os omne, quod illud prætexebat, vanam oſtendens re ipſa huiuſcemodi genitorum curam. Quot enim pauperculis e progenitoribus orti in tantã peruenerunt opulentiã, vt his, qui percelluntur admiratione circà vanas res, exiſtimarentur inuidendi? Quot autem filij ſplendidis parentum opibus ſuccedentes in extremam paupertatem redacti ſunt, qui cum aut violenter à potentioribus oppreſſi, & omnibus ſimul facultatibus ſpoliati fuiſſent, aut eas diſſoluta vita, vel turpibus obſequijs paulatim deuoraſſent, ad extremum vix neceſſarium victum inueniebant? Ita vt cunctis manifeſtè demonſtretur futilis congregantis proſpectio, deſiſtere faciens exemplis præcedentibus in poſte-

ΚΕΦΑΛΑΙΟΝ α'.

Ἀργεῖν γὰρ οἱ διαδεξάμενοι τὰς οὐσίας ἐδύναντο τῶν ἁμαρτημάτων ἀπορίᾳ δαπάνης, ὧν ἄδειαν αὐτοῖς ἡ τῶν χρημάτων ἀφθονία παρέσχε τῇ ὁρμῇ τῆς προαιρέσεως πρὸς τὸ δοκοῦν εὔκολον ὁδοποιήσασα τὴν ἐξουσίαν τοῦ ἔργου. Καί μοι μηδεὶς τὴν ἕωλον ἐκείνην σαπρολογῶν σεμνολογείτω πρόφασιν, τέκνοις, καὶ ἐκγόνοις λέγων φυλάττειν τὰ χρήματα πρὸς εὐσχήμονα βίον. ἔφραξε γὰρ ἡ πεῖρα πᾶν στόμα προφασιζόμενον ταῦτα, ματαίαν ἐπὶ τῶν ἔργων δείξασα τὴν τοιαύτην τῶν γεγεννηκότων φροντίδα. Πόσοι γὰρ ἐξ ἀπόρων προγόνων εἰς τοσαύτην προέβησαν εὐπορίαν, ὡς τοῖς ἐπτοημένοις περὶ τὰ μάταια νομισθῆναι ἐπίφθονοι; πόσοι δὲ πατέρων λαμπρὰς οὐσίας διαδεξάμενοι παῖδες, εἰς ἐσχάτην ἤλασαν πενίαν, ἢ βιασθέντες παρὰ δυνατωτέρων, καὶ ὁμοῦ πᾶσαν ἀφαιρεθέντες τὴν ὕπαρξιν, ἢ τῇ κατ' ὀλίγον αὐτὴν λαφύξαντες ἀσώτῳ διαγωγῇ, καὶ θητείαις αἰσχραῖς, ὕστερον μόλις πορίζόμενοι τὴν ἀναγκαίαν τροφήν; ὅπως ἡ σκέψις τοῦ συναγαγόντος εἰκαία πᾶσι προδήλως δειχθῇ, παύουσα τοὺς αὖθις τῆς τοιαύτης ματαιοπονίας τοῖς προλαβοῦσι παραδείγμασι,

καὶ τῆς οἰκείας πείθουσα γενέσθαι σωτηρίας, τὴν τῶν ἐκγόνων οἰκονομίαν ἀνατιθέντας Θεῷ κἀκείνους οἰκονομήσαντι, ὡς ἔκρινεν εὔλογον, ἢ ἐκ ταπεινῶν ποιήσαντι ὑψηλοὺς, ἢ τηρήσαντι ἐν τῷ ἀξιώματι, ᾧ παρὰ τῶν φυσάντων κατελείφθησαν. Εἰ γὰρ ἄδηλος ἡ τῶν καταλιμπανομένων τοῖς τέκνοις παραμονὴ, ὁμολογούμενος δὲ τὸ ἐκ τῆς εὐποιΐας κέρδος, τί μὴ πᾶσι τοῦ ἀδήλου τὸ προφανὲς κρίνεται προτιμότερον, ἐκεῖ πεῖθον σπείρειν τὰ σπέρματα, ὅπου καὶ πολλὴ καὶ ἀναμφίβολος ἡ ἐπικαρπία ἐλπίζεται; Εἰ δὲ καὶ βεβαία τοῖς διαδεχομένοις ἡ κτῆσις ἦν, καὶ ἀναντίρρητος, τίς οὕτως ἐχθρὸς ἑαυτοῦ καὶ ἐπίβουλος, ὡς ὑπὲρ τοῦ παραπέμψαι τοῖς μετ' αὐτοῦ ἄφθονον ὕλην τρυφῆς, αὐτὸς ἑλέσθαι αἰώνιον κόλασιν, καὶ μὴ τῆς ἄλλων ἀνέσεως τὴν ἰδίαν σωτηρίαν προτιμοτέραν ἡγήσασθαι, ἢ κἂν γοῦν ἐν ἴσῳ θέσθαι τὰ οἰκεῖα τοῖς, ὡς ἡ ἀλήθεια βούλεται, ἀλλοτρίοις, καὶ οὐδὲν προσήκουσιν ἐν τῷ μέλλοντι; οὐδὲν γὰρ οὐδενὶ τῆς ἑαυτοῦ ψυχῆς ἴσον, ἐπειδὴ μόνος ἕκαστος ὑπὲρ ἑαυτοῦ ἔσεσθαι μέλλει κρινόμενος, οὐδεμίαν ἐκ συγγενείας, καὶ φιλίας ἔχων ἐπὶ τοῦ κριτοῦ συνηγορίαν. ὅθεν ἐπειδὴ ἐλεημοσύναι καὶ εὐποιΐαι παρρησίαν ἐπὶ τοῦ βήματος παρέχουσιν ἐκείνου, τούτων ἐπιμελητέον, τῆς κατὰ τὴν οἰκειότητα προσπαθείας φροντίζοντας ἔλαττον, Θεῷ τῆς πάντων ἀνακειμένης κηδεμονίας, τῷ πρὸς τὸ συμφέρον οἰκονομοῦντι τὴν ἑκάστου ζωήν. εἰ μὴ χεῖρον ἡμᾶς τῶν ἀλόγων κατὰ τοῦτο διακεῖσθαι χρὴ τὴν πρόνοιαν τοῦ Θεοῦ σφετεριζομένους, τῇ εἰς τοὺς παῖδας δοκούσῃ κηδεμονίᾳ, σφαλλομένῃ πολλάκις, ὡς εἴρηται, τοῦ

poſterum ab iſto inani labore, & perſuadens habere propriæ ſalutis rationem; poſterorum adminiſtrationem in Deo reponentes, qui de illis diſponet, prout iudicauerit rationabile, vel ex humilibus excelſos efficiet, aut conſeruabit eos in dignitate, quam à genitoribus relictam acceperunt. Nā ſi eorum, quæ filijs relinquuntur, incerta eſt ſtabilitas; in confeſſo verò eſt lucrum, quod fit ex beneficentia: cur non manifeſtum incerto decernitur præferendum, quod ſemina ibi perſuadet ſerere, vbi copioſa, & indubitata frugum collectio ſperatur? Et ſi verò certa ſucceſſoribus eſſet poſſeſſio, nec vlli contradictioni obnoxia; quis adeò ſui ipſius hoſtis, atque inſidiator eſt; vt abundantem luxus materiā poſteris ſuis transmittendi gratiā, ipſe ſupplicium ſibi eligat æternum, nec propriam ſalutem potiorem aliorum voluptate ducat, aut ſaltem etiam in æquali trutina ponat propria cum hiſce, quæ, vti Veritas vult, ſunt aliena, nihilque proficiunt in futuro ſæculo? Nihil enim vllus ſuæmet ipſius animæ æquiparare debet, quandoquidem vnuſquiſque ſolus pro ſe ipſo iudicio ſit ſiſtendus, nullum à cognatis, vel amicis præſtò habiturus coram Iudice patrociniū. Vnde quoniam eleemoſynæ, & opera bona confidentiam in illo tribunali præbent; his potius ſolicitè ſtudendum, minuſque procuranda affectio ergà cognationem, repoſita in Deo gubernatione omnium rerum, qui diſponit vniuſcuiuſque vitam ad illud, quod magis conducit; niſi noſtrum hac in parte peior irrationabilibus ſit ſtatuenda conditio, qui Diuinæ prouidentiæ munus nobis arrogamus, dum

appro-

approbamus curam circa filios, quæ ſæpenumero ſuo fine, ac ſcopo fruſtratur, vt dictum eſt, eò quòd multi ex poſſeſſionibus quã plurimis relinquuntur omni ex parte nudi, & abſque lare. Oportet enim, quidquid prudenti diſcurſu à nobis ipſis non didicimus, id, ſicut alia multa, à brutis animalibus addiſcere. Feris etenim & reptilibus, auibus, & iumentis omnibus natura extitit diſciplina, edocens ipſa quouſque oporteat curam impendere progeniei, nempè catulis, & pullis, teneriſque auiculis, donec eis non ſuppetunt vires ad parãdum ſibi victum ſuopte ingenio; cum verò illæ adfuerint, ceſſare faciens à cura, quæ ex cognatione procedebat, & vnicuique liberam poteſtatem victus ſibi comparandi committens. Ad eos fortaſſe, qui rationis dignitate ſunt dotati, pudore ſuffundendos, quod ipſis irrationabilibus beſtijs gerant ſe ſtolidiùs; quippe qui Deũ ipſum iniuria afficiunt, perinde ac ſi non ſufficeret ad prouidendum proprijs operibus, eò quòd omnem ad ſeipſos trahant de progenitis ſolicitudinem, & præ multa circa illos cura de ſua ipſorum ſalute nihil omninò cogitent; quaſi nõ forent ſibimetipſis pluſquam illis propinquiores, & magis apti ad eorum, quæ ſibi conferunt, ſtudium.

σκοποῦ, διὰ τὸ πολλοὺς ἐκ πολλῆς κτήσεως καταλελεῖφθαι γυμνούς, καὶ ἀνεστίους παντάπασι. Δεῖ γάρ, ὃ μὴ σώφρονι λογισμῷ παρ' ἑαυτῶν ἐπαιδεύθημεν, τοῦτο μαθεῖν παρὰ τῶν ἀλόγων, ὡς καὶ ἄλλα πολλά. θηρίοις γάρ, καὶ ἑρπετοῖς, πτηνοῖς τε, καὶ κτήνεσιν ἅπασιν ἡ φύσις διδασκαλία, ἐφόσον φροντίζειν δεῖ τῶν ἐκγόνων παιδεύουσα, ἐπιμέλειαν σκύμνων, καὶ πώλων καὶ νεοττῶν, γενέσθαι, ἕως μὴ πάρεστι πρὸς πορισμὸν τροφῆς αὐτοῖς οἴκοθεν δύναμις. ταύτης προσγενομένης τὴν συγγενικὴν παύουσα κηδεμονίαν, καὶ ἑκάστῳ τὴν νομὴν αὐτεξούσιον ἐπιτρέπουσα. πρὸς ἐντροπὴν τάχα τῶν λόγῳ τετιμημένων, καὶ ἀλόγων διακειμένων ἀναισθητότερον, οἳ καὶ Θεὸν ὡς οὐχ ἱκανὸν εἰς πρόνοιαν τῶν οἰκείων ἔργων ὑβρίζουσι, τῷ πᾶσαν εἰς ἑαυτοὺς τὴν τῶν ἐκγόνων ἕλκειν ἐπιμέλειαν, καὶ τῇ πολλῇ περὶ αὐτὰ φροντίδι περὶ τῆς ἑαυτῶν οὐδόλως μεριμνῶντες σωτηρίας, ὡς οὐκ ὄντες μᾶλλον ἐκείνων ἑαυτοῖς συγγενέστεροι, καὶ πρὸς τὴν τῶν συμφερόντων ἐπιμέλειαν οἰκειότεροι.

CAPVT II.

Eſt enim cognatio corporum propinquo e ſanguine ſata familiaritas, neceſſitudinis vinculum, eò vſque pertrahens, quouſq; corporũ cõnexa eſt linea, alium ex alio ſerie ſuſpenſum colligans ordine; morte autem nexum coniunctionis diſſecante, horum cognationis iura ſoluta ſunt, vnoquoque ad rationem reddendam circà pro-

ΚΕΦΑΛ. β'.

Συγγένεια γάρ ἐστι σωμάτων οἰκειότης ἀγχίσπορος, μέχρι τότε τὸν δεσμὸν τῆς ἀγχιστείας ἐπισυρομένη, μέχρις ἂν ἡ σειρὰ πέπλεκται τῶν σωμάτων, ἄλλον ἄλλῳ στοιχηδὸν ἠρτημένων ἐν τάξει συνδέουσα. θανάτου δὲ τὸν εἱρμὸν τῆς συναφείας διακόψαντος, τούτων τὰ τῆς συγγενείας λέλυνται δίκαια, ἑκάστου

prio

πρὸς τὴν δίκην περὶ τῶν ἰδίων πρά-
ξεων ἑλκομένου, καὶ τότε γνωρίζοντος
τὴν ἐρημίαν, ἣν αὐτὸς κατεσκεύασεν,
ὅτε μηδαμόθεν ἐστὶν ἐπινοῆσαι βοήθειαν,
καὶ τῆς ὕλης, καὶ τοῦ καιροῦ τῆς βοη-
θείας οἰχομένων ὁμοῦ. ἀδελφὸς οὐ
λυτροῦται τῆς ἀνάγκης ἐκείνης ἀδελφόν,
πατὴρ οὐκ ἐξαιρεῖται υἱὸν τῆς κολάσεως,
μήτηρ οὐ παραιτεῖται υἱὸν τιμωρούμενον,
τέκνον οὐκ ἐξαιρεῖται τοὺς γεννήσαντας.
ἀργοῦσιν αἱ σχέσεις αὗται, καὶ πιέζονται
νικώμεναι τῷ φόβῳ τῆς κρίσεως. οὐκ
οἶδεν ἐπὶ τοῦ βήματος ἐκείνου γυναῖκα
ἀνὴρ, ἣν ἴσως καὶ ποθουμένην ἀπέβα-
λεν· οὐ λογίζεται ἄνδρα γυνὴ, ὃν
ἀκμάζοντι, καὶ φλεγομένῳ παρέπεμπεν
ἔρωτι, τῆς ὑπερβαλλούσης ἀγωνίας κατα-
λυούσης τὰς ἐμπαθεῖς ὑπομνήσεις τῶν
σαρκικῶν διαθέσεων. καὶ πολλάκις μὲν
ὁ προγονικὴν διαδεξάμενος ὕπαρξιν,
καλῶς οἰκονομήσας ταύτην τοῖς δεομέ-
νοις, ἕστηκε παρὰ τοῦ κριτοῦ ἐφ' οἷς ἐποί-
ησεν εὐφημούμενος, καὶ ἱλαρῷ τῷ
προσώπῳ τὰς ἐπαγγελίας ὑποδεχό-
μενος. ὁ δὲ καταλιπὼν ταύτην ἐπὶ
τὰς κολάσεις ὠθούμενος ἕλκεται, ἐπεὶ
μηδὲν ἐξ αὐτῆς εἰς τοὺς δεομένους χρη-
στὸν ἐπεδείξατο, ἄλλῳ σωτηρίας ἀφορ-
μὴν τοὺς οἰκείους πόνους καταλιπὼν, καὶ
αὐτὸς ἑαυτὸν τῶν ἰδίων ὠφελήσας ὁ τά-
λας οὐδέν. Καλῶς ὁ σοφὸς ἐν παροι-
μίαις φησὶ Σαλομών. ὁ συνάγων τὸν
πλοῦτον αὐτοῦ μετὰ τόκων, καὶ πλεο-
νασμῶν, τῷ ἐλεοῦντι πτωχοὺς συνάγει
αὐτὸν, ἑαυτῷ κολάσεως τῆς πλεονεξίας,
καὶ ἑτέροις ἀμοιβὴν τῆς εὐποιΐας ἀγαθῶν
γενόμενος αἴτιος. Καὶ τούτων οὕτως
ἐχόντων τίς ἡ μανία τῶν παραιτούντων
δι' ὅλου, καὶ οὐδὲ τῷ καιρῷ τοῦ θανάτου
λογιζομένων τὸ βῆμα τὸ φοβερόν;

prios actus attracto, tuncque agno-
ſcente penuriam, quam ſibi ipſi
molitus eſt, quando nullum vnde-
cumque auxilium licet excogitare,
cum ſubſidij materies ſimul atque
tempus præterierint. Frater ex ne- *Pſal. 48 v. 8.*
ceſſitate illa non redimit fratrem;
pater non eximit filium ſupplicio;
mater natum punitum, precibus
minimè liberat; filius non eximit
genitores: ceſſant iſtæ neceſſitudi-
nes, & iudicij metu victæ deſinunt.
In illo tribunali vir non nouit mu-
lierem, quam fortè deſideratam
perdidit; mulier nihili reputat vi-
rum, quem vehementi, & arden-
ti dilectum amore proſequuta eſt,
quia angor animi excedens diſſol-
uit recordationes propenſas affe-
ctuum carnalium. Et ſæpè quidem
qui ſucceſſit in ſubſtantia a proge-
nitoribus relicta, eò quòd eam be-
nè diſpenſauit indigentibus, ſtat
coram iudice dilaudatus ob bene-
facta, & hilari vultu promiſſa reci-
pit præmia; qui verò eam dereli-
quit, ad pœnas præceps trahitur,
eò quòd nihil ex ea boni contule-
rit in egenos, alteri ſalutis procu-
randæ materiam opportunam, la-
bores ſcilicet ſuos, relinquens, &
ipſe nihil quidquam ſibi proprijs
miſer operibus proficiens. Præcla-
rè ſapiens Salomon in Prouerbijs *Prouer. c. 28. v. 8.*
ait. Qui diuitias coaceruat ſibi cum
vſuris, & multiplici fœnore, ei,
qui egenorum miſeretur, cógregat
illas, & ſibi ipſi auctor fit ſupplicij
ob auaritiam, & alijs bonæ remu-
nerationis propter beneficentiam.
Hæc cum ita ſe habeant, quænam
inſania eſt eorum, qui ſemper deſi-
piunt, & neque in tempore mortis timendum illud tribunal cogitant?

SECTIO VII.

De iis, qui in tempore mortis nullam ſuæ ſalutis curam habent; ſed & teſtamenta ſcribentes iubere ſe dicunt de his, quorum poteſtatem non habent.

CAPVT I.

Concedatur enim contemptoribus iſtis, ſecuritatem in hac vita fuiſſe occaſionem obliuionis eorum, quæ profutura erant: cur etiam in deceſſu ipſo non commouentur? quando terribilis inſtantia repetentium animam vrget continuò ipſam trementem ad exitum, & horrendis figuris exterret, ſi aliquatenùs prudentem, & in futurum conducibilem de rebus ſuis ratiocinationem ſuſcipiat; quando Dæmones peccatum exprobrantes, & ad ſeipſos eam trahunt minitabundi in regiones horridas, & triſtiſſimas, ita vt ante tormentum ſufficiat ad ſupplicium obſtupefaciens pauor; quando conſcientia, conuerti ſolita ad flagitia commiſſa contremiſcit eam, quæ ipſam manet, condignam peccatorum pœnam: inde namque fit, vt corpus iaceat ſudore madefactum, & ſcaturientes latices ſigna interni laboris prodant, atque tumultus occulti argumenta oculis manifeſta ingerant. Sed fortaſſis ſpe viuendi tunc etiam blandiuntur patronis, & amicis, & cognatis, ob ea, quæ derelinquunt, inutilem de cætero affectantes ex ipſis beneuolentiam, forſitan autem & iudicant reuera hoc decere. cenſentes honeſtum, vt quæ (ſicut arbitrantur) non conſequuntur ipſos, quò emigrant, prædictis derelinquantur ad bonam memoriam, quæ non ampliùs vtilis pœ-

nas

ΤΜΗΜΑ ζʹ.

Περὶ τῶν ἐν τῷ καιρῷ τῆς τελευτῆς οὐ ποιουμένων τῆς ἑαυτῶν σωτηρίας φροντίδα, ἀλλὰ καὶ διαθήκας γράφοντες κελεύειν λέγουσιν, ὧν ἐξουσίαν οὐκ ἔχουσιν.

ΚΕΦΑΛ. αʹ.

Δεδόσθω γὰρ τοῖς καταφρονοῦσι τὴν ἄδειαν ἐν τῇ ζωῇ γεγενῆσθαι λήθης τῶν συμφερόντων ὑπόθεσιν, τί καὶ πρὸς τὴν ἔξοδον μένουσιν ἀπαθεῖς; ὅτε τῶν ἀπαιτούντων τὴν ψυχὴν ἐπιστασία φοβερὰ συνεχῶς φρίττουσαν αὐτὴν πρὸς τὴν ἔξοδον, καὶ δείμασι σχήμασι φοβεροῖς, εἴπερ λογισμὸν λάβοι τῶν καθ' ἑαυτὴν συμφέρα, καὶ πρὸς τὸ μέλλον συμφέροντα. ὅτε δαίμονες ὀνειδίζοντες τὴν ἁμαρτίαν, καὶ πρὸς ἑαυτοὺς ἕλκουσιν ἀπειλοῦντες εἰς ἀμειδῆ, καὶ σκυθρωπὰ χωρία, ὡς πρὸ τῆς βασάνου τὴν κατάπληξιν ἱκανὴν εἶναι πρὸς κόλασιν· ὅτε ἡ συνείδησις ἐπιστρέφειν εἰωθυῖα πρὸς τὰ πεπλημμελημένα τρέμει τὴν πρὸς ἀξίαν τῶν ἡμαρτημένων περιμένουσαν κόλασιν. ἔνθεν γὰρ ἱδρῶτι κεῖται τὸ σῶμα διάβροχον, οἱ δὲ κρουνοὶ σημεῖα δεικνύουσι τοῦ ἔνδον καμάτου, καὶ τῆς ἀδήλου ταραχῆς τὰ ὁρώμενα παρέχουσι τεκμήρια. Ἀλλὰ καὶ τότε τάχα μὲν τῇ ἐλπίδι τοῦ ζῆν κολακεύουσι προστάτας, καὶ φίλους, καὶ συγγενεῖς ἐπὶ τοῖς καταλιμπανομένοις μνώμενοι τὴν ἐξ αὐτῶν λοιπὸν ἀνόνητον εὔνοιαν. τάχα δὲ καὶ ἀληθῶς καθῆκον κρίνουσι τοῦτο, τὰ (ὡς οἴονται) οὐκ ἀκολουθοῦντα ἔνθα μεθίστανται, καταλειφθῆναι λογιζόμενοι τοῖς εἰρημένοις, καλὸν πρὸς μνήμην ἀγαθὴν τὴν οὐκέτι τοῖς τιμωρουμένοις χρη-

σημίων. Τί γὰρ τοῖς ἐν ἀφορήτοις ὀδύναις ὄφελος εὐφημίας χαρίτων, οὐκ ἐπικουφιζομένῳ τῷ εὐχαρίστοις φωναῖς τὸ ἀπαρηγόρητον ἄλγημα; Ἀκολουθεῖν δέ, κἂν μὴ προεπέμφθη, ταῦτα ἐδύνατο καταλειφθέντα τοῖς πένησι, καὶ τῷ ἐπικομισαμένῳ ποιῆσαι πολλὴν παραμυθίαν, ἔνθα τὸν κενὰς ἀπελθόντα χερσίν, οὔτε δανείσασθαι, οὔτε χάριν λαβεῖν, οὔτ' ἄλλως πως ἔστιν εὐεργεσίας τυχεῖν.

nas ſubeuntibus. Cui enim vſui grata commemoratio beneficiorum conſtituto in doloribus intolerabilibus, cuius cruciatus inconſolabilis vocibus gratulatorijs neutiquam alleuiatur? Subſequi tamen, licèt præmiſſa non fuerint, iſta poſſent, ſi pauperibus derelicta fuiſſent, & ei, qui ipſa detuliſſet, magnum ſolatium præbere inibi, quò abeunti vacuis manibus neque fœnerari, neque gratiam recipere, neque alio quocunque modo beneficium vllum adipiſci licet.

ΚΕΦΑΛΑΙΟΝ β΄.

ὩΣ δηλοῦσι μετὰ τοῦ ἄφρονος πλουσίου αἱ μωραὶ πέντε παρθένοι. ὁ μὲν γὰρ ῥανίδα κατὰ τῆς γλώττης ᾔτει φλεγόμενος, αἱ δὲ μικρὸν ἔλαιον, ὃ μὴ ἐπεκομίσαντο, καὶ οὐδεὶς δέδωκεν ἔχων τὰς δυναμένας βαστάσαι, καὶ μὴ βεβαστακυίας. Καὶ διὰ τοῦτο ὁ μὲν Ἐκκλησιαστὴς παραινεῖ λέγων· ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ἐνδεοῦς, ὅτι ἐν πλήθει ἡμερῶν σου εὑρήσεις αὐτόν. ὁ δὲ Ἀπόστολος· ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθόν. καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι. ὁ δὲ Κύριος· θησαυρίσατε ἑαυτοῖς θησαυρὸν ἐν οὐρανῷ. πρὸ τῆς ἀνάγκης συμβουλεύοντες τὸ πρακτέον, ἵνα μή τις ἀγνοίᾳ τοῦ συμφέροντος ζημιωθῇ τὴν μέλλουσαν εὐφροσύνην, ἔρημος τῶν ἐπιτηδείων ἀπελθών, καὶ μηδ' ὢν οὐ μόνον ἀνέστιος, ἀλλὰ καὶ τοὺς ἀπολαύοντας ἑτέρους ὁρῶν, πολλὴν ὑπομένων ὀδύνην. λυπεῖ μὲν γὰρ ἔνδεια μετρίως τὸν οὐκ ἐρεθιζόμενον ἑτέρων τρυφῇ, τῆς ὀρέξεως ὡς ἡσυχαζούσης τῷ μὴ ἔχειν ἔξωθεν ὑπόμνησιν ἐναλγῆ, ἐν ὀφθαλμοῖς δὲ οὔσης τῆς εὐωχίας, καὶ τῆς

CAPVT II.

VTi oſtendunt vnà cum imprudente Diuite, quinque fatuæ Virgines: ille namque guttulam aquæ ad linguam refrigerandam petijt in flammis ardens; hæ verò parum olei, quod non attulerant, & nullus dedit de ſuo, quod ipſæ potuerant afferre, nec tamen attulerant. Atque ideò ſic monet Eccleſiaſtes, dicens: Mitte panem tuum ſuper faciem indigentis, quia in multitudine dierum tuorum inuenies illum. *Eccleſ. c.9.v.51.* Apoſtolus verò: Dum tempus habemus, operemur bonum, proprio enim tempore metemus non deficientes. *Ad Galat.c.6.v.10.* Ipſe autem Dominus: Theſaurizate vobis ipſis Theſaurum in Cælis. *Matth.c.6.v.19.& c.19.v.21.* Qui antequam neceſſitas ingruat, faciendum conſulunt, vt ne quis ignorantione proprij commodi futuro gaudio mulctetur, *Luc.c.2 v.44.* ſi conuenientium præſidiorum expers diſcedat, remaneatque non ſolùm ſine manſione, verum etiam videndo alios fruentes gaudijs plurimam ſuſtineat afflictionem. Etenim indigentia moderatè affligit eum, qui aliorum luxu non proritatur, deſiderio quodammodo quieſcente, vbi non habet extrinſecùs, quod exa-

cerbat recordationem: at cum præ oculis ſunt epulæ, & conuiuæ hilariter ſe mutuis propinationibus inuitant, graue tormentum infligit cupiditas aſpectu rerum iucundarum excitans appetitum, & dum in partem venire cupit, vehementiſſimo afficitur mœrore. Cum autem cogitauerit, quod poſſibile erat, id, quod per imprudentiam impoſſibile euaſit, & quod propter propriam ſtultitiam deſtituitur delicijs, quæ in aliorum ſunt poteſtate; afflictio eò fit durior, quò impoſſibilitas eſt certior pœnitentiã errorẽ admiſſũ corrigendi, neque viam inueniendi vllam, qua facultas pateat tempus captandi, quo præbeatur occaſio benè conſtituendi rurſus id, quod malè olim diſpoſitũ fuerat.

δαιτυμόνων ταῖς προσόψεσιν ἱλαρῶς δεξιουμένων ἀλλήλους, δεινὴν ἡ ἐπιθυμία ἐργάζεται βάσανον, τῇ ὄψει τῶν ἡδέων τὴν ἔφεσιν διεγείρουσα, καὶ τῷ ἐφίεσθαι τὴν μετάληψιν, ἀνιῶσα μάλα σφοδρῶς. ὅταν δὲ καὶ τὸ ὅπως ἦν δυνατὸν τὸ γενόμενον τῇ ἀβουλίᾳ ἀδύνατον λογίσηται, καὶ ὡς παρ' ἰδίαν ἀβουλίαν ἀποστερεῖται τοῖς ἄλλοις ἐν ἐξουσίᾳ τρυφῆς, τότε τὸ θλιβερὸν χαλεπώτερον ἐστί· τῆς μεταμελείας πρὸς τὴν τοῦ σφαλλομένου διόρθωσιν ἀμηχανούσης, καὶ πόρον οὐχ εὑρισκούσης, ὅπως ἡ ἐξουσία πάλιν λαβοῦσα καιρὸν ἀφορμὴν παράσχῃ διαθέσθαι τὰ πρότερον πάλαι κακῶς.

SECTIO VIII.

Quod hi, qui ad eum deueniunt morbum, vt nulla tangantur doloris cõpunctione, in exitu vitæ prætermittentes curã habere, quod ad ſe ipſos ſpectat, heredibus ſpes ſuas tranſmittere ſatagunt.

ΤΜΗΜΑ η'.

Ὅτι ἐκ τῆς ἀναλγησίας τοσαύτης παρέντες τὸ καθ' ἑαυτοὺς μεριμνᾷν ἐν τῷ καιρῷ τῆς ἐξόδου κληρονόμοις φιλοτιμοῦνται παραπέμπειν τὰς οὐσίας.

CAPVT I.

ET hæc quidem minimè animaduertentes plerique, teſtamenta in gratiam agnatorum conſcribunt, ſuam ſcripto perulgantes amentiam, & exiſtimantes præferendos alios ſibi ipſis in ratione adminiſtrationis. Si enim naturæ lex filios parentibus proximos eſſe voluit; nihilominus ſalutis deſiderium, ſui quemque potiſſimam habere curam docet, vbi cogitationem ad tempus iudicij conuertit, in quo ſuam propriam quiſque horrens expectat ſententiam, neque aliunde, ſi malè res ſuæ ſe habuerint, ſperans auxilium. Viuo enim

ΚΕΦΑΛΑΙΟΝ α'.

ΚΑὶ ταῦτα μὲν οὐ συνορῶντες πολλοί, διαθήκας εἰς χάριν τῶν προσηκόντων τίθενται ἔγγραφον τὴν ἑαυτῶν στηλιτεύοντες ἄνοιαν, καὶ προτιμοτέρους ἑαυτῶν εἰς τὸν τῆς κηδεμονίας λόγον ἄλλους ἡγούμενοι. εἰ γὰρ καὶ τέκνα γονεῦσιν ὁ τῆς φύσεως νόμος ᾠκείωσεν, ἀλλ' ὁ τῆς σωτηρίας πόθος ἕκαστον ἑαυτοῦ πλείονα ποιεῖσθαι διδάσκει φροντίδα, πρὸς τὸν τῆς κρίσεως καιρὸν ἄγων τὴν ἔννοιαν, ἐν ᾧ τὴν οἰκείαν ὁ καθεὶς πεφρικὼς ἐκδέχεται κρίσιν, οὐδαμόθεν προσδοκῶν, ἐὰν κακῶς τὰ καθ' αὑτὸν ἔχῃ, ἀλ-

λωθεν ἐπικουρίαν. ζῶ γὰρ ἐγώ, φησὶ Κύριος, ὅτι ἐὰν ὦσιν ἐκεῖ Δανιὴλ καὶ Ἰώβ, οὐ ῥύσονται υἱούς, ἢ θυγατέρας αὐτῶν, ἀλλ᾽ ἢ αὐτοὶ μόνοι σωθήσονται, ὁ δὲ ἁμαρτωλὸς ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται. οἱ δὲ πρὸς τὴν καθ᾽ ἑαυτῶν ἀναλγησίαν γενναῖοι, οὐδένα ποτὲ παρ᾽ οὐδενὸς ἕξειν βοήθειαν μαθόντες, ἕκαστον δὲ ἐκ τῶν ἰδίων ἔργων σωζόμενον, ἢ ἀπολλύμενον, παρέντες τὰ ἑαυτῶν μεριμνᾷν, καὶ ὡς αὖ τῆς μερίδος γενόμενοι τῶν σωζομένων καταλιπόντες φροντίζειν, κληρονόμοις παραπέμπειν φιλοτιμοῦνται τὰς οὐσίας, σκυθρωποῖς μὲν προσώποις ἔξωθεν σχηματιζομένοις κατήφειαν, φαιδρᾷ δὲ τῇ διαθέσει λογιζομένοις ἔνδον τὴν τῶν καταλειφθέντων ἀπόλαυσιν· καὶ οἱ μὲν μετὰ τὴν κηδείαν εὐφραίνονται, τοῖς ἀλλοτρίοις ἐνευωχούμενοι κόποις, αὐτοὶ δὲ τὴν ὄντως στυγνὴν κατήφειαν πρὸς διηνεκῆ τῆς τιμωρίας ἐπιφέρονται ὀδύνην.

enim ego (inquit Dominus) ſi fuerint iſtic Daniel, & Iob, quia nec filios, nec filias ſuas liberabunt ſed ipſi ſoli ſaluabuntur; peccator autem in peccato ſuo morietur. At illi, qui tàm generoſi ſunt contra ſe ipſos nullum ſentiendo dolorem, animaduertentes ſe tunc a nemine ſubſidium habituros, vnumquemque autem ex proprijs operibus ſaluandum, aut damnandum, prætermittentes quæ ſua ſunt, curare, vtque & ipſi in parte ſint ſaluandorum, ſolicitudinem omittentes, heredibus tranſmittere ſatagunt, qui videlicet triſtibus vultibus, & demiſſis mœſtitiam ſpecie præferentes, lęto verò intus habitu animæ cogitant de fruendo his, quæ fuerunt derelicta: & ipſi quidem poſt exequiarum curam, voluptatem percipiunt è laboribus alienis, ſeſe iucundè conuiuijs ex ſaturantes; iſti autem verè mœrorem luctuoſum ad continuum pœnæ dolorem ſecum deferunt.

Ezech. c.14. v. 16.

ΤΜΗΜΑ θʹ.

Στηλιτευμὸς τῶν τὰς διαθήκας γραφόντων.

ΚΕΦΑΛΑΙΟΝ αʹ.

Καὶ οἷα τὰ πάντα σεμνὰ τῆς διαθήκης αὐτῶν προοίμια. εἴη μὲν ἐμοὶ ζῆν, φησί, καὶ τῶν ἐμαυτοῦ δεσπόζειν, πρὶν δωρήσωνται. δηλώσαντες τὸ μὴ κατὰ γνώμην τοῦτο ποιεῖν, πρὶν χαρίσωνται, τὸ παραχωρεῖν ἀνάγκῃ, καὶ οὐ προαιρέσει σημαίνουσι. ζῆν μὲν, καὶ δεσπόζειν τῶν οἰκείων εὐχόμενοι. ἐπεὶ δὲ μὴ συγχωρεῖ τοῦτο, παραπέμποντες τοῖς τυχοῦσιν, ἃ καὶ βουλόμενοι λαβεῖν, ἢ ἔχειν οὐ δύναιντο. Εἴη ἐμοὶ ζῆν. ἀλλ᾽

SECTIO IX.

Sugillatio eorum, qui teſtamenta ſcribunt.

CAPVT I.

ET quam feriæ ſunt omnes ipſorum Teſtamentariæ pręfationes! Mihi quidem (inquiunt) vita ſit, & meorum bonorum dominium poſſim habere, priuſquam largiantur. Declarantes id non ſe facere ex animi ſententia, antequam beneficium conferant; neceſſitati morem gerere, non voluntati ſuæ indicant: vitam vt degant, propriarumque rerum dominium ha-

habeant, precantes; poſteaquam verò id minimè conceditur, tranſmittentes quibuſcumque illa, quæ & ipſi vellent accipere, aut retinere non poſſunt. Sit mihi vita. Verùm diceret ad ipſum appoſitè veritas: Sit tibi vita. Heus tu; Sed quid hactenus viuendo ad vitam vtilitatis præbuiſti? Quem præ fame pereuntem cibaſti? Quem tecto carentem excepiſti hoſpitio? Quem debitorem exhauſtum vexatum liberaſti? Quem plangentem dominorum crudelitatẽ aduræ ſeruitute abſoluiſti? Cuiuſnam eorum, qui diuitijs fruſtrati ſunt, paupertatem conſolatus es, mendicitatis ærumnas, quamuis pro parte, ipſi alleuiaſti? Quid viuere velle dicis, nullo alio de te id dicente? dicerent verò multi omninò, ſi præterito tempore bonum te præbuiſſes: vnuſquiſque rurſus talem experturum te perſuaſus foret, qualis ipſi & olim fuiſſes. Sit tibi vita. Quam ob cauſſam: vt diſtribuas opes pauperibus? vt nunc facias quod anteà non feciſti? vt impoſterum ad neceſſitatem expleas vnicuique ex eo, quòd tibi ſuperfluum eſt? Licet id tibi & morienti facere, multoſque habere pro tua remiſſione orantes; quin etiam, & ſi nullus oret, neque Deum roget, ipſummet opus commendatum te Iudici ſiſtet, & deducet ad Regnum præparatum vna cum ijs, qui pauperem eſurientem nutrierunt. An vt & alios adhuc acquirens cenſus, molliter quidem ipſe ſuauibus delicijs quam diutiſſimè perfruaris, plurium verò tuos

εἴποι πρὸς αὐτὸν εἰκότως ἡ ἀλήθεια, εἴη σοι ζῆν. ὦ οὗτος. τί γὰρ μέχρι νῦν ζήσας ἐν βίῳ ὠφέλησας; τίνα τῶν λιμωττόντων ἐχόρτασας; τίνα τῶν ἀστέγων συνήγαγες; τίνα τῶν προβεβλημένων χρεωφειλετῶν ἠλευθέρωσας; τίνα δεσποτῶν ἀδυρόμενον ὠμότητα τῆς σκληρᾶς δουλείας ἀπήλλαξας; τίνος τῶν ἀπὸ πλούτου ἀποτυχόντων πενίαν παρεμυθήσω, ἐπικουφήσας αὐτοῖς καὶ ἐν μέρει τὰ τῆς πτωχείας δεινά; ὅτι ζῆν βούλεσθαι λέγεις, οὐδενὸς ἄλλου τοῦτο λέγοντος περὶ σοῦ; εἶπον δ' ἂν πάντως πολλοί, εἰ ἦσθα γενόμενος ἐν τῷ παρελθόντι χρηστός, πάλιν ἕκαστος τοιούτου πειραθήσεσθαι πειθόμενος, οἷος αὐτοῖς καὶ πάλαι γεγένησο. Εἴη σοι ζῆν. διατί; ἵνα μερίσῃς τὴν οὐσίαν τοῖς πένησιν; ἵνα νῦν ποιήσῃς, ὃ μὴ ἐποίησας πρίν; ἵνα τὸ λοιπὸν κατὰ τὴν χρείαν ἀναπληρώσῃς ἑκάστῳ ἐκ τοῦ σοὶ περισσεύοντος; Ἔξεστί σοι τοῦτο καὶ τελευτῶντι ποιῆσαι, καὶ πολλοὺς ἔχειν τῆς ὑπὲρ τῆς σῆς προσευχομένους ἀνέσεως. μᾶλλον δὲ κἂν μηδεὶς προσεύξηται, μηδὲ δεηθῇ τοῦ Θεοῦ, αὐτό σε τὸ ἔργον αἰδέσιμον ποιήσει τῷ κριτῇ, καὶ ἐπὶ τὴν ἡτοιμασμένην ὁδηγήσει βασιλείαν σὺν τοῖς θρέψασι πεινῶντα τὸν πένητα. ἢ ἵνα καὶ ἄλλα κτησάμενος, ἁβρῶς μὲν τῶν ἡδέων ἐπὶ πλεῖστον ἀπολαύσῃς αὐτός, πλειόνων δὲ διαδόχους καταλείπῃς τῶν σῶν, δεσπόσῃς δὲ πάλιν; ἵνα τί ὧν ἕως τοῦ παρόντος κακῶς ἐκυρίευσας, οὐδενὸς ἐκ τοσούτων παραμυθησάμενος ἔνδειαν; Πῶς δὲ καὶ σὰ λέγεις τὰ πρὸς χρῆσιν δεδομένα τῆς ἐνταῦθα ζωῆς, καὶ οἰκονομίαν τῶν δεομένων κοινήν; πόθεν ἐνείληχας αὐτὰ, ὅτι σὰ λέγεις, τὰ τῆς σῆς γενέσεως πρεσβύτερα; οὐκ ἐπεκομίσω ἄλλοθεν

derelinquas opum ſucceſſores, rurſum autem illis potiaris? Vt quid eas hucuſque male dominans obtinuiſti, nullius è tantis pecunijs ſubleuans egeſtatem? Cur vero & tua dicis, quæ ad vſum præſentis vitæ conceſſa,

& ad

παρερχόμενος εἰς τὸν βίον, οὐ συνεπέστη σοι γινομένῳ; οὐκ ἐκ νηδύος ἔχων αὐτὰ ἐξῆλθες μητρικῆς; ἵνα καθάπερ τὸ συμπεφυκὸς σῶμα, οὕτως εἴπῃς σὰ τὰ σύγχρονά σοι εὗρες; ἐχρήσω; καταλείπεις; Πῶς σὰ λέγεις τὰ πρὸ σοῦ, καὶ μετὰ σὲ πᾶσιν ὁμοίως εἰς ἐξουσίαν προκείμενα; σὰ ἦν, εἰ ἧς αὐτὰ τῇ μεταδόσει κτησάμενος. Βεβαίως σὰ ἦν, εἰ ἧς αὐτὰ τῇ ἐλεημοσύνῃ θησαυρίσας ἐν οὐρανῷ. τοῦ δὲ θανάτου σοι παραλύοντος τὴν νομὴν τῆς αὐθεντίας, μάταιος λοιπὸν διανομεύς, ὧν ὁ καιρὸς καὶ μὴ βουλόμενόν σε ἀφαιρεῖται τὴν ἐξουσίαν. Ἴθι δὴ οὖν συντόμως, καὶ μετάβηθι τάχιον ὀλίγας τῆς ὀλιγοχρονίου ζωῆς ἀντὶ πολλῶν τῆς πολυχρονίου τῇ δίκῃ ὑφέξων εὐθύνας. Τί δὲ μακρὰν σεαυτῷ, καὶ χαλεπωτέραν κατασκευάζεις τὴν κόλασιν, πρὸς ἔσχατον γῆρας ἐκταθῆναί σοι ποθῶν τὸν ἐνάμαρτον βίον, ἵνα πολλῆς τῆς ἐνθάδε διαγωγῆς πολλὴν δέξῃ, καὶ παρατεταμένην τὴν βάσανον;

& ad communem indigentium diſpenſationem? vnde ipſa importaſti, vt tua vocares, quæ antiquiora ſunt tua natiuitate? Non aliunde intuliſti vitam ingrediens, non tecum nato extiterunt, non ipſa poſſidens materno prodijſti ex vtero, vt non ſecus ac corpus tecum natum, ita diceres tua tibi coæua; reperiſti, vſus es, derelinquis. Quo pacto tua vocas, quæ ante te, & poſt te omnibus pariter ad arbitrium ſunt propoſita? Tua erant, ſi tradendo ea adquiſiuiſſes: conſtanter tua erant, ſi ea in cælũ per eleemoſynas, vti theſaurum, recondidiſſes. Morte tibi diſtributionem tui dominij diſſoluẽte, fruſtrà deinceeps diſtribuis ea, quorum tempus & inuito tibi poteſtatem adimit. Nunc igitur progredere ſine diuerticulo, & transmigra quantocyus paucas breui tempore peractæ vitæ vice multarum prolixioris iuſtè ſubiturus pœnas. Ecquid diuturnum tibi, & grauius præparas ſupplicium exoptans vſque ad extremum ſenium tibi protendere vitam peccatis refertam, vt pro longa inibi diuerſatione longum excipias, & protenſum tormentum?

ΚΕΦΑΛ. β'.

Εἶτα, βούλομαι, καὶ πολλὰ βούλομαι, προσεπιδιαταξάμενοι, καὶ ἐν τοῖς οὐκέτι λοιπὸν ἰδίοις ἄφθονον εἰς τοὺς προσήκοντας ἐπιδειξάμενοι φιλοτιμίαν, καὶ τὰ πολλὰ πρὸς τὸν σκοπὸν τοῦ ἴσως ἐπιβιώσονται, προστάτας ἑαυτοὺς παραθέμενοι, καὶ φίλοις, ἀσφαλισάμενοί τε σημαντῆρσι τὰ δεδογμένα πρὸς τὸ δῆθεν ἀραδιούργητον, διαστροφῇ τῆς ὄψεως ἀπαλλάττονται; ὡς οἱ πιθανοὺς σεμνοποιεῖν εἰωθότες, τὸ ψεῦδος φασὶ γελῶντες τὰ τῇδε, ὡς δὲ τὸ ἀληθὲς ἔχει, φρίτ-

CAPVT II.

Svbiungentes poſteà: Volo, & magnopere volo; adijciendo mandata, & in rebus, quæ non amplius propriæ impoſterum ſunt, profuſam liberalitatem erga agnatos oſtendendo, atque eum plerumque in finem, ſi fortè ſuperuiuerent, ſeipſos patronis, & amicis commendando, & quæ ſibi viſa fuerunt corroborando ſignaculo, videlicet ad fraudem impediendam; facie retorta moriuntur; videntes, ea quæ hic ſunt, vti aiunt probabiliter qui ſolent grauiter ſegerere, quaſi fallaciam rerum, quemadmodum

admodum ſe reuera habent quia exhorreſcunt loca timenda, & tetrica, quæ ipſis ſimul omnia apparẽt. Riſus quippe indicium eſt irriſionis, qui quidem debebat in vultibus morientium ſpectari; ſiquidem veluti riſu digna, quæ dimittebantur, ſubſannaſſent; nunc autem tamquam amaris medicamentis deguſtatis adſtringunt contrahentes vultum præ auerſatione; anima, quem habuit ex ijs, quæ illic aſpexit, ſæuis rebus affectum exprimente, figura viſus, & ſpecie apparente abſconditam ſui ipſius moleſtiam manifeſtè demonſtrante. Natura etenim ſpeculum animæ finxit vultum, tales in ſemetipſo formas adumbrantem, quales intus illa mouet affectus, donec paſſiones ſua prodit claris, & dilucidis argumentis. Sic dolor arguitur e mœſtitia: ita gaudium indicatur profuſione voluptatis; ita cura ſignificatur cogitatione intenſiore: ſic iracundia patefit aſperitate; nec alia ſpecies oris poteſt conformari præter eam, quam imperat occupatio mentem inuadens.

πόντες τὸ ἀηδὲς αὐτοῖς φανέντα φοβερά, καὶ ἀμειδῆ χωρία. χλεύης γὰρ σημεῖον μειδίαμα, ὅπερ τοῖς προσώποις ἐχρῆν ἐπιφαίνεσθαι τῶν τελευτώντων, εἴπερ ἐμυκτήριζον ὡς γέλωτος ἄξια τὰ ἀφιέμενα. νῦν δὲ καθάπερ ἐκ τῶν πικρῶν φαρμάκων γευόμενοι ἀποσύφουσι τῇ ἀηδίᾳ τὸ πρόσωπον, τῆς ψυχῆς πρὸς ἣν ἔσχεν ἐκ τῶν ὀφθέντων ἐκεῖ χαλεπῶν διάθεσιν τυπωσαίσης τὸν χαρακτῆρα τῆς ὄψεως, καὶ τῷ σχήματι τοῦ φαινομένου τὴν ἑαυτῆς φανερωσαίσης κεκρυμμένην ἀνίαν. ἔσοπτρον γὰρ ψυχῆς ἡ φύσις ὄψιν ἐποίησε, τοιαύτας ἀποσκιάζουσαν ἐφ' ἑαυτῆς τὰς μορφάς, οἵας ἔνδον ἐκείνη τὰς διαθέσεις κινεῖ, ἕως τῶν προφανῶν τεκμηρίων τὰ ἑαυτῆς τείνουσα πάθη. οὕτως ἡ λύπη τῇ κατηφείᾳ ἐλέγχεται· οὕτως ἡ χαρὰ τῇ διαχύσει γνωρίζεται. οὕτω δηλοῦται ὁ θυμὸς τῇ τραχύτητι, καὶ οὐκ ἔστιν ἕτερον ἐπιμορφῶσαι τὸ σχῆμα, παρ' ὃ κελεύει ἡ τὸν νοῦν κατέχουσα ἀσχολία.

CAPVT III.

NAm ſtatim fraus omnibus innoteſcit, cum ſimulatio nequeat veritatis imagines exprimere diligenter, quia non poteſt vt plurimum alia paſſione dominante exhibere ſpecie conformi, quæ ad alteram pertinent; quamuis enim ab illa celeriter ad iſtam mutare formam conetur, celare diù fictam ſpeciem haudquaquam valet, eo quod vultus ocyus transformatur, & illam recipit figuram, quam effingit occultè naturæ conſenſu paſſio, quæ intus verſatur.

ΚΕΦΑΛ. γ'.

ΓΝώριμον γὰρ εὐθὺς ἅπασι τὸ σόφισμα γίνεται, τῆς ὑποκρίσεως ἀκριβοῦν οὐ δυναμένης τῆς ἀληθείας τοὺς τύπους, οὐδὲν κρατοῦντος ἄλλου πάθους τὰ ἑτέρου σχηματίσασθαι ἰσχυούσης ἐπὶ πολύ. κἂν γὰρ ἀπ' ἐκείνου ἐπὶ τοῦτο πρὸς βραχὺ ἀμείψας τὸν χαρακτῆρα βιάσηται, φυλάττειν ἐπὶ πολὺ τὸ πλάσμα οὐκ ἔχει δυνάμεως, μεταμορφουμένης ὀξέως τῆς ὄψεως, καὶ ἐκεῖνον δεχομένης τὸν τύπον, ὃν σχηματίζει κατὰ συμπάθειαν τὸ ἔνδον διαγωνιζόμενον πάθος. Ἐγὼ δὲ καὶ τὰς πέντε παρθένους, ἃς μωρὰς ὠνόμασεν ἡ

Ego

θεία γραφὴ, ταύτης εἶναι νομίζω τῆς τάξεως, ἐχούσας μὲν μεθ' ἑαυτῶν τὰς τῆς παρθενίας λαμπάδας, ἔλαιον δὲ οὐκ ἐπικομισαμένας ἐν τοῖς ἀγγείοις, ὃ τρέφειν τῇ ἀρδείᾳ τὸν πυρσὸν τῆς λαμπάδος πέφυκος, κἀντεῦθεν τῆς μωρίας εἰκότως δεξαμένας τὸ ὄνομα, ὅτι τὸ δυσχερὲς, καὶ τοῦ ἀδυνάτου πλησίον τὴν παρθενίαν κατορθώσασαι, τοῦ ἐλάττονος, καὶ λίαν αὖ εὐκόλου κατημέλησαν· πρὸς φύσεως ἀγωνισάμεναι τυραννίδα, ἐπιθυμίαν μαινομένην χαλινώσασαι, ἡδονῆς καιομένην κατασβέσασαι φλόγα, τὸ φρόνημα τῆς σαρκὸς φιμώσασαι τῷ νόμῳ τοῦ πνεύματος, ἄνθρακας καιομένους τὰς ὑπομνήσεις τῆς ἀκολασίας πατήσασαι πάθους ἀβλαβῶς, πρὸς δὲ τὴν τῶν δεομένων συμπάθειαν μείνασαι ἀπαθεῖς, ἔνθα οὐ πόνος, οὐχ ἱδρὼς, οὐ κάματος, βουλήσεως δὲ μόνης εἰς ἔργον τὸ δοκοῦν ἦγεν ἀσκύλτως. καὶ τὸ μὲν δυσκαταγώνιστον, καὶ πολλοῖς ἀγῶνα κινοῦν κάμψασαι πάθος, ἐκεῖ δὲ πεπτώκασιν, ὅπου προαιρέσεως ἐξουσία τὸ προτεθὲν ἀπόνως ἠνύετο, καὶ τὸ φαιδρὸν τῆς παρθενίας τῷ τῆς φιλοχρηματίας ἀμαυρώσασαι ζόφῳ. διὰ τοῦτο θορυβούμεναι τὰς ἀγορὰς περιέτρεχον, ἔλαιον ποτὲ ζητοῦσαι, ὅτε τὰς θύρας οἱ πωλοῦντες ἀπέκλεισαν. ποία γὰρ μετὰ συντέλειαν πραγματεία λοιπὸν, οὐδενὸς ἐν χρείᾳ καθεστῶτος, καὶ τὴν συναλλαγὴν ποιοῦντος εὔκαιρον τῷ χρῄζοντι ἐλαίου, πεπαυμένης τῆς πανηγύρεως, καὶ τοῦ χρειώδους ἑκάστῳ ποιήσαντος τὴν ἐμπορίαν ἀμήχανον; Εἰ δὲ παρθένοις ὁ τοσοῦτος τῆς ἁγνείας κάματος, μὴ παρούσης ἐλεημοσύνης ἀνόνητος γέγονε, καὶ εἱστήκεισαν ἔξω τοῦ νυμφῶνος ἐλεειναῖς βοῶσαι φωναῖς, Κύ-

Ego vero & quinque Virgines, quas Scriptura Sacra fatuas nominauit, ad hunc ordinem ſpectare arbitror, quæ ſecum quidem habebant Virginitatis lucernas, oleum autem non intulerant in vaſis ſuis, quod ad ignem lucernæ nutriendum humore ſuo illum irrigando erat idoneum, & inde fatuitatis nomen appoſitè ſuſceperunt, quòd cum virginitatem, quæ difficilis eſt, & propè impoſſibilis, rectè ſeruaſſent, quod leuius erat, & valdè facile neglexerunt; certantes contra naturæ tyrannidem, inſanientem concupiſcentiam refrænantes, æſtuantem voluptatis flammam extinguentes, ſenſum carnis lege ſpiritus quaſi camo coërcentes, carbones ardentes, hoc eſt luxuriæ memoriam, affectumque abſque læſione conculcantes, ad commiſerationem tamen indigentium permanſerunt immotæ, vbi non labor, nec ſudor, nec vlla fatigatio, ſed voluntas ſola ſententiam animi ſine vexatione perduxiſſet ad effectum; & cum eam, quæ difficilis eſt expugnatu, multiſque certamen ciet, paſſionem declinaſſent, iſtic ceciderunt, vbi arbitrium ſententię abſque labore propoſitum perficit, & nitorem virginitatis caligine auaritiæ obtenebrarunt. Idcircò turbatæ curſitabant circum fora oleum vndequaque perquirentes, quando vendentes illud fores occluſerant. Quæ enim negotio iam peracto ſupereſt negotiatio, vbi nemine indigente vlla re, neque commutationem faciente tempeſtiuam ei, qui oleo eget, ceſſante autem publico mercatu, & neceſſariorum vnicuique commercium reddente impoſſibile? Si namque Viginibus tantus caſtitatis labor, cum non adeſſet miſericordia, inutilis fuit, & ipſæ thalamo ſponſi excluſæ ſteterunt miſerabilibus vo-

cibus clamantes: Domine, Domine aperi nobis; & intus audientes velut iracunda loquela infrementem ſponſum, & dicentem: Amen dico vobis, neſcio vos, vndenam ſitis: ecquid audire fas eſt, & quam iracunda, & aſpera eum voce eos, qui præter immiſericordiam mille alijs detinentur vitijs? Nonne illud omnino, & adeò horridè, quod ad eorum ſimiles prolatum eſt: Ite in ignem æternum præparatum Diabolo, & Angelis eius; eſuriui enim, & non dediſtis mihi manducare? Illis quidem ſatis ſuperque fuit ſupplicij vice & ſponſi thalamo excludi, & eo ſolo puniri, quòd nec intus cum prudentibus eſſent Virginibus, cruciante ipſas interim cogitatione, dum conſiderabant, quæ foret intra thalamum oblectatio. Hi vero præterquam quod ſunt expertes omnis bonæ conſolationis, ineuitabilem, & acerbiſſimam luent pœnam, duplici ſupplicio puniti, quorum vnum ipſos tormento ignis inextinguibilis afficiet, alterum verò eſt, quod efficere ſolet aliorum fruitio, cui poterant intereſſe ipſi, nec interſunt propter negligentiam propriam, non minori dolore animam flagellans ex pœnitentia, quàm corpus excruciet exterius, quod eſt ab igne, ſupplicium.

ριε, Κύριε ἄνοιξον ἡμῖν, καὶ ἔνδοθεν ἀκούουσιν ὡς ἐπιβρυχωμένου τῷ ὀργίλῳ φθέγματι τοῦ νυμφίου, καὶ λέγοντος· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ. τί ἀκοῦσαι ἔστιν εἰκότως καὶ μετ᾽ οἵας ὀργῆς, καὶ τραχείας φωνῆς τοὺς μετὰ τῆς ἀσπλαγχνίας μυρίοις ἄλλοις ἐνεχομένους κακοῖς, ἢ πάντως ἐκεῖνο, καὶ οὕτως ἀπηνῶς τὸ πρὸς τοὺς ὁμοίους αὐτοῖς εἰρημένον· πορεύεσθε εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ, καὶ τοῖς Ἀγγέλοις αὐτοῦ. ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν; ἐκείναις μὲν γὰρ εἰς τιμωρίας ἤρκεσε λόγον τῷ ἀποκλεισθῆναι τοῦ νυμφῶνος, καὶ μόνῳ τούτῳ κολάζεσθαι, τῷ μὴ ἔνδον μετὰ τῶν φρονίμων εἶναι παρθένων, τῆς ἐννοίας αὐτὰς ὀδυνώσης, λογιζομένας, τίς ἄρα ἡ ἐντὸς τοῦ παστάδος τυγχάνει ἀπόλαυσις. οὗτοι δὲ μετὰ τοῦ ἔξω εἶναι πάσης παραμυθίας χρηστῆς, ἀπαραίτητον ἕξουσι, καὶ ἐπώδυνον κόλασιν, διπλῇ τιμωρηθέντες ὀδύνῃ, μιᾷ μὲν τῇ ἐχούσῃ αὐτοὺς βασάνῳ τοῦ ἀσβέστου πυρὸς, μιᾷ δὲ, ἣν ποιεῖν ἡ ἑτέρων ἀπόλαυσις ἔσωθεν τοῖς ἐν αὐτῇ δυναμένοις εἶναι, καὶ οὐκ οὖσιν δι᾽ οἰκείαν ἀμέλειαν, οὐκ ἔλαττον τῇ λύπῃ τῆς μεταμελείας μαστίζουσα τὴν ψυχὴν τῆς ἔξωθεν τῷ πυρὶ βασανιζούσης τὸ σῶμα κολάσεως.

CAPVT IV.

O Quantum miſericordes extulit compaſſio! O quantum immiſericordes depreſſit inhumanitas! Illos ad regnum Angelorum induxit, iſtos cum Dæmonibus, & Diabolo in Gehennã ignis deuoluit præcipites. Tãta in liberalitate vtilitas; & tantum in incommunicatione damnum ineſt. Idque

ΚΕΦΑΛ. δ′.

Ὢ Πόσον τοὺς ἐλεήμονας ὕψωσεν ἡ συμπάθεια· ὢ πόσον τοὺς ἀνελεήμονας ἡ ἀσπλαγχνία κατήγαγεν. ἐκείνους Ἀγγέλων εἰς Βασιλείαν εἰσήγαγεν. τούτους μετὰ δαιμόνων καὶ διαβόλου εἰς πυρὸς γέενναν κατέρρειψεν. οὕτως ὠφέλιμον ἡ μετάδοσις, καὶ οὕτως βλαβερὸν τὸ ἀκοινώνητον. καὶ μάλα γε εἰκότως. ἐπειδὴ τὸ μὲν ἐστιν ἐγγὺς φι-

valdè

φιλανθρωπίας Θεοῦ, τὸ δὲ οὐ μακρὰν Σατανικῆς βασκανίας. ὁ γὰρ λιμώττοντα, καὶ πηγνύμενον, καὶ παρὰ τοκογλύφων ἀγχόμενον δανειστῶν μὴ οἰκτείρων τὸν ὁμόφυλον, πῶς οὐκ εἰς δαιμονικὴν κατάστασιν ὤλισθεν, μεθ' ὧν δικαίως κοινὴν καταχρίνεται κόλασιν, κοινωνὸς πονηρίας, οἷς οὐ κεκοινώνηκε φύσεως. Οὕτως δὲ καὶ κτῆνος, καὶ θηρίον, καὶ ἑρπετὸν ὀνομάζεται ὁ κατ' εἰκόνα Θεοῦ γεγενημένος ἄνθρωπος, ἐπειδὴ πονηρῷ ζηλώσας ὃ μὴ φύσει γέγονε, καὶ μεταβὰς ἐκ τῆς κατὰ φύσιν εὐγενείας εἰς τὴν παρὰ φύσιν δυσγένειαν. Ὁρᾷς ἐπὶ ἐδάφους, ὦ οὗτος, ἐν μέσῃ τῇ ἀγορᾷ τὸν ὁμογενῆ κατακείμενον ἄστεγον, ἀνέστιον, ἄσιτον, οὐ κάτωθεν ἔχοντα ῥάκος μεσιτεῦον γῇ, καὶ τετριμμέναις πλευραῖς, οὐκ ἄνωθεν ἐπέτασμα κρυμοῦ, ἢ θάλπους ἀπαλλάξαι δυνάμενον, αἴθριον, βολαῖς χιόνων, καὶ ἡλιακαῖς ἀκτῖσιν ὁμοίως προκείμενον, γυμνὰ θριαμβεύοντα τῆς φύσεως τὰ μυστήρια, οὐκέτι τῇ φωνῇ χρῆσθαι πρὸς τὰς δεήσεις ὑπ' ἀσιτίας ἰσχύοντα, κινῆσαι χεῖρας, καὶ νεύματι βλεφάρων μόλις καμπτομένων λοιπὸν τὸ σύμβολον τῆς ἱκεσίας ποιούμενον, ἄνω πνέοντα, καὶ ψυχορραγοῦντα δι' ἔνδειαν παρεξέρχεις ὑπὸ τοῦ καιροῦ ἐσθ' ὅτε τῆς τροφῆς ἐλαυνόμενος, καὶ οὔτε τὸ σὸν πάθος ἐπικάμπτει σε πρὸς συμπάθειαν, οὐδ' ἡ πεῖνα συγγινώσκειν τῷ πεινῶντι ποιεῖ, διδάσκαλος ἐκ τῶν σῶν σοὶ περὶ τῶν ἀλλοτρίων γινομένη κακῶν, καί τοι οὐκ οὔσης τῆς ἀνάγκης ὁμοίας. σοὶ μὲν γὰρ ἡ χθὲς ἴσως οὐδέπω διεφθάρη κραιπάλη, οὐδὲ ἡ πολύσιτος διαπέπτωκε τῆς ἀπλήστου γαστρὸς πλησμονή, ἀλλ' ἔτι δυσώδεις ἐρεύγῃ καπνούς, τοῦτο μόνον τῆς παρελθούσης δικαίως καρπούμενος

valdè contueniēter: quandoquidem hæc quidē accedit proximè ad benignitatem Dei, iſta verò haud longē à Satanica inuidia abit. Nam qui hominem contribulem famelicum, & egentem à fœneratoribus vſurarijs oppreſſum non miſeratur; quomodo is ad Dæmonum ſtatum non degener irruit, cum quibus iuſtè communi pœna damnatur particeps eorum malitiæ, quorum naturæ non eſt conſors. Sic verò & iumentum, & fera, & reptile ſeu ſerpens nominatur, qui ad imaginem Dei effictus eſt homo, cum prauis moribus emulatur, quod à natura non accepit, & à nobilitate ſua ſecundum naturam tranſit ad ignobilitatem repugnantem naturæ. Vides tu, quiſquis es, iacentem in ſolo, medioque in foro genere tibi coniunctum hominem ſine tecto, ſine foco, ſine cibo, nec habentem ſubtus vel centunculum, qui inter humum, & tabefacta latera intercedat; nullum tegumentum ſuperiniectum, quod à frigore, vel ab æſtu poſſit eum defendere, niuium iaculationibus, & ſolis radijs pariter expoſitum ſub dio, nuda naturæ ſecreta oculis omnium oſtentantem, neque valentem præ fame voce ipſa vti ad rogandum, motu manus, & nutu palpebrarum vix flexibilium ægrè amplius ſignū deprecationis edentem, ſurſumque anhelantem, & præ inopia iam animam agentem curſim præteris, forſitan etiam ad cibum capiendum tempore prandij ſtimulatus, & neque te inflectit quod ipſe pateris, ad compaſſionem, nec eſurienti te indulgere facit eſuries tibi ipſi magiſtra, è tuis de alienis effecta malis, quamuis non ſit neceſſitas ſimilis: tu enim fortaſse nedum heſternam crapulam digeſſiſti, neque multiplex eſca, qua venter inexplebi-

lis fuit refertus, adhuc eſt exhalata, verùm adhuc male olentes fumos eructas; ſolum iſtum præteritæ voluptatis iure fructum percipiens, quòd ipſe pêrfruaris inſuauitate faſtidioſa vaporum ſurſum emiſſorum: ita opifice Deo diſponente illa, quæ ad naturam ſpectant, vt nidores ex ore prorumpentes de proximo ſuſcipiat olfactus, vt ipſe præ alijs impleatur ſui ipſius graui tædio. At illius inedia multis iam à diebus perdurat, & pro fortuita, & viliſſima eſca ipſius appetitus intolerabiliter inſanit ad vnicam breuemquè buccellam directus; nam abundantiam à diutino tempore dedidicit, & habitum, vt paruo egeret, neceſſitate inopiæ acquiſiuit ſenſim inuitus. Præterea non conſideras, hunc tibi eſſe Lazarum, quia non vides ipſum in ſinu Patriarchæ iudicatus. Videbis autem, neque addubites: nam eodem certamine probat; eadem loca ſortiuntur, & ad idem damnantur tormentum qui eadem ſcelera patrarunt. Tu verò & magis impius es diuite; ille namque ſaltem recumbendi ſpatium ſecurum ante proprias fores conceſſit, non eum expellens; ſuſtinenſque videre aſſiduè, iniucundum pertulit aſpectum, corporis vlceribus ſcatentis, & fœtidi, fœdum exhibentis ſpectaculum ob puris riuulos iugiter diffluentes, ad quos accurrebant canes ad illecebram guſtus, ingredienti, & egredienti impeditiorem tranſitum reddentes; nunquam tamen vel ipſos abegit, vel eos, propter quos confluentes aditum anguſtum efficiebant; ſcriptum etenim foret, ſi quidem illud feciſſet, ſicut & alia, iſtud vtique; tacetur verò, quandoquidem factum non fuit, vt oſtendatur, quod certè etiam in admodum malis eſt aliqua ſcintilla ingenuitatis naturalis effulgens proprio ſplen-

ἡδονῆς τὸ αὐτῆς ἀπολαύειν τῆς ἀηδίας τῶν ἀναπεμπομένων ἀτμῶν, οὕτως οἰκονομήσαντος τοῦ δημιουργοῦ τὰ τῆς φύσεως, ἐγγύθεν τὴν ὄσφρησιν ὑποδέχεσθαι τὰς διὰ στόματος προερχομένας ὀσμὰς, ὥστε καὶ πρὸ τῶν ἄλλων πιμπλᾶσθαι τῆς ἑαυτοῦ ἀηδίας. ἐκείνῳ πολυήμερός ἐστιν ἡ ἔνδεια, καὶ πρὸς τὸ τυχὸν ἔδεσμα ἀσχέτως αὐτοῦ μαργαίνει ἡ ὄρεξις ψωμοῦ τάχει στοιχοῦσα ἑνί. τὸν γὰρ πόρον τῷ χρόνῳ ἀπέμαθεν, ἕξιν τῆς ὀλιγοδείας ἀνάγκῃ τῆς ἀπορίας κτησάμενος κατ' ὀλίγον ἀκούσιον. Εἶτ' οὐ λογίζῃ τοῦτον εἶναί σοι Λάζαρον, ἐπεὶ μηδὲ βλέπεις αὐτὸν ἐν τῷ κόλπῳ τοῦ Πατριάρχου κρινόμενον. ὄψῃ δὲ, μὴ ἀπίστει. σὺν γὰρ αὐτοῖς κληροῦνται τόπους οἱ τὰ αὐτὰ ἠγωνισμένοι, καὶ τὴν αὐτὴν κατακρίνονται βάσανον οἱ τὰ αὐτὰ πραξάμενοι. Σὺ δὲ καὶ πλέον ἀσεβὴς τοῦ πλουσίου. ἐκεῖνος μὲν γὰρ κἂν τὴν ἀνάκλισιν αὐτοῦ παρὰ ταῖς ἰδίαις θύραις οὐ διώξας παρεῖχεν ἀμέριμνον, ὁρῶν διὰ παντὸς ἀναχεόμενος ὄψιν ἀηδῆ σώματος ἡλκωμένου, καὶ ὀδωδότος, καὶ τὴν θέαν δυσχεραίνοντος αἰσχρὰν ταῖς τοῦ ἰχῶρος ἀδιαστάτοις πηδαῖς, ᾗ ἀεὶ ἐπιτρέχοντες οἱ κύνες διὰ τὸ λίχνον τῆς γεύσεως ὀχληροτέραν ἀποτελοῦν παρεῖχον τὴν δίοδον, οὐκ ἐλαύνετί ποτε οὔτε αὐτοὺς, οὔτε δι' οὓς συναθροιζόμενοι ἐστενοχώρουν τὴν πρόσοδον. ἐγέγραπτο γὰρ ἂν, εἴπερ ἐποίει, ὡς τὰ ἄλλα, καὶ τοῦτο· ἐπειδὴ δὲ μὴ πέπρακται, σεσιώπηται, ἵνα δειχθῇ, ὅτι καὶ ἐν τοῖς κομιδῇ φαύλοις ἔστι τι ζώπυρον τῆς φυσικῆς εὐγενείας λάμπον τὸ οἰκεῖον φέγγος ὑποτυφόμενον, κἂν οἱ ζόφοι τῆς πονηρίας ἐξεῖναι ἐπισκοτῶσι τούτῳ,

εἰς ἅπαν οὐ πεφυκὸς ἀποσβέννυσθαι. Οἱ δὲ σοὶ ῥαβδοῦχοι οὐδὲ πλησιάσαι ῥακοδυτοῦντα συγχωροῦσι ταῖς πύλαις, μήτιγε καθέδρας, ἢ κλίσεως ἔχειν ἐπιτρέπουσι τόπον, οἰωνὸν τῆς πρὸς τὰ χείριστα μεταβολῆς τὸν πτωχὸν λογιζόμενοι, καὶ τὰς ἱκετηρίους τούτου φωνὰς κληδόνας παλιμφήμους τιθέμενοι.

ſplendore, cum ſuſcitatur, & quamuis prauorum habituum caligines illam obſcurent obumbrando, penitus tamen extingui ea non poteſt. Tui verò virgarij lictores neque concedunt appropinquare portis pannis obſitum: tantum abeſt, vt locum habere ad ſedendum, vel ad decumbendum permittant; mendicum mutationem ad res peſſimas portendere opinantes, huiuſque voces ſupplices inter inſauſta omina reponentes.

ΚΕΦΑΛ. ε'.

ΚΑὶ τί λέγω Λάζαρον σμικρύνων τὴν ἀξίαν τοῦ πένητος; Χριστὸς εἶπεν ἐν τούτῳ εἶναι, καὶ τὰ εἰς αὐτὸν οἰκειοῦσθαι γινόμενα· ἑνὶ γάρ φησιν ἐποιήσατε τούτων, ἐμοὶ ἐποιήσατε. Καὶ τί παθεῖν ἕκαστος προσδοκᾷ τῶν διωκόντων καὶ ἀτιμαζόντων τὸν πένητα, καὶ ἐν αὐτῷ τὸν Χριστόν; τὰ ῥάκη διαπτύων ἔξωθεν ἀπρεπῶς περικείμενα, καὶ τὴν κεκρυμμένην ἁλουργίδα οὐ βλέπων τὸν ἔνδον βασιλέα σημαίνουσαν· τὴν εὐτέλειαν χλευάζων τοῦ σχήματος, καὶ τῆς εἰκόνος οὐχ ὁρῶν τὸ ἀξίωμα· τὸν ῥύπον τοῦ σώματος κατανοῶν, καὶ τὴν καθαρότητα τῆς ψυχῆς οὐ λογιζόμενος. οὐ γὰρ ἂν Χριστὸς εἶπεν ἑαυτὸν εἶναι τοῦτον, εἰ μὴ πολλὴν ᾔδει τὴν ἔνδον σεμνότητα. Σὺ δὲ βασιλέα μὲν εἰ ἐθεάσω ἰδιωτικὴν ἐπενδυσάμενον ἐσθῆτα, οἰκονομοῦντά τι χρήσιμον, καὶ κρύψαντα τὴν ἀξίαν σχήματι ταπεινῷ, πάντα ἂν ἐπραγματεύσω, καὶ πᾶσαν πάντοθεν ἔθου σπουδὴν, δώροις αὐτοῦ καὶ πολλαῖς θεραπείαις γνώριμος γενέσθαι, κἂν πᾶσαν ἔδει σε παρασχεῖν αὐτῷ τὴν οὐσίαν, καὶ πάσης στῆναι γυμνὸν τῆς ὑπάρξεως, τὰς ἐν ἀνάγκῃ χάριτας εἰδὼς ἀξιοῦσθαι μεγάλης ἐπὶ καιρῷ ἀμοιβῆς. Σὸν δὲ

CAPVT V.

ET quid Lazarum, pauperis dignitatem imminuendo nomino? Chriſtus dixit, in ipſo ſe eſſe, & ea, quæ erga ipſum præſtita fuerint, ſibi propriè attribui. Quæ namque vni (inquit) iſtorum feciſtis, mihi feciſtis. Et quid ſe paſſurum expectat quiſquis pauperem, & in eo Chriſtum expellit, & contemnit? dum externum amictum cētonum indecenter deſpuit, & latentem purpuram non reſpicit ſignificantem eum, qui eſt intus, Regem: vilitatem veſtitus ſubſannans, & imaginis dignitatem non perſpiciens; ſordes corporis cogitans, & animæ puritatem non intelligens: nec enim Chriſtus diceret eſſe ſe iſtum, niſi tunc multam intus honeſtatem peruidiſſet. Tu autem ſi Regem plebeiâ veſte indutum ſpectares, & boni alicuius procurandi cauſſa, occultantem ſuam dignitatem humili ſpecie; omnia perficere tentares, & omne adhiberes ſtudium, donis vt ipſi, plùrimiſque obſequijs notus fieres, etſi vniuerſas facultates in eum impendere, & cunctis opibus nudum te ſtare oporteret; probè ſciens, quæ in neceſſitate ipſi exhibuiſses beneficia, ſuo tempore copioſè remuneranda. Tuum verò Iudi-

Matth. c. 25. v. 40. & 45.

cem

cem cur non tibi concilias beneficijs ergà indigentes, volentem nunc muneribus vt eum promerearis, vt tunc iudicet indulgentiùs, pro erogatione occulta manifeſtam ſalutem largiturus: quemadmodum Prætor, ad fauendum pecunias accipiens in iudicio, & ei, qui ligitans contendit, indulgens palam, quod ſperauit? Huiuſce rei teſtis eſt infallibilis Dominus dicens, cùm oranti, tùm eleemoſynam elargienti, vt ne tuba canas ante te, ſicut hypocritæ; ſed Fac in ſecreto, & in abſcondito bonum; & Pater, qui videt in abſcondito, reddet tibi in aperto; qui clandeſtinas erogationes non obuoluit ſilentio, ſed prædicat coram vniuerſa creatura, & ipſe confitetur ſe accepiſſe, quidquid accepit pauper mediator, vti domeſticus, & familiaris notus. Quod enim vni feciſtis iſtorum, mihi feciſtis, apertè dixit ipſe Iudex. Et hoc fit non ſecundum legem humanam; contrarium verò conſequitur illi, quod apud nos obtinet; in præſentiarum enim prętor in neceſſitate acceptum negat donum, ſuſpicatus periculum; quia hoc furtum eſt, & damnationem affert; & quia confeſſus eſt id ſe auſum eſſe, reus habetur, & pœnæ fit obnoxius; ſeruus eſt quippe, qui ius dicit, & lex pariter ſeruilis eſt. At vbi iudicans & ex poteſtate mera iudicat, & à pœnis, quæ præſtitutæ ſunt criminibus, cum ſit Dominus, non vetatur abſoluere: bonum eſt peccatum confiteri, cum venia confeſſionem aſſectetur, neque pœna ſubſequatur; & donum non occultatur à Iudice, cum nemo pro Throni præeminentia beneficentiam eius, vti non rectè impenſam, poſſit calumnioſè accuſare, neque deputare furto munus acceptum, vt pote pau-

Matth. c.6.v.2

κριτὴν πῶς οὐκ οἰκειώσῃ, ταῖς εἰς τοὺς ἐνδεεῖς δωρεαῖς προσδοκεῖσθαι θέλοντα νῦν, ἵνα τότε συγγνωμόνως δικάσῃ, λαθραίας δόσεως φανερὰν χαριζόμενος σωτηρίαν, καθάπερ ἄρχων ἐπὶ συγγνώμῃ χρήμασι δικασθεὶς, καὶ τῷ δικάσαντι παρέχων ὃ ἤλπισεν ἐμφανῶς; Καὶ τούτου μάρτυς ὁ Κύριος ἀψευδὴς λέγων, καὶ τῷ προσευχομένῳ, καὶ τῷ ποιοῦντι τὴν ἐλεημοσύνην· ὅτι μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὡς οἱ ὑποκριταί· ἀλλ' ἐν τῷ ταμιείῳ ποίει, καὶ ἐν τῷ κρυπτῷ τὸ ἀγαθόν. καὶ ὁ Πατὴρ ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει ἐν τῷ φανερῷ, τὰς λαθραίας δόσεις οὐ κρύπτων σιωπῇ, κηρύττων δὲ αὐτὰς ἐπὶ πάσης τῆς κτίσεως, καὶ αὐτὸς ὁμολογῶν εἰληφέναι, ὅπερ ἔλαβε μεσιτεύσας ὡς οἰκεῖος καὶ γνώριμος ὁ πτωχός. ἑνὶ γὰρ τούτων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε, διαρρήδην εἶπεν αὐτὸς ὁ κριτής. Καὶ τοῦτο γὰρ οὐ κατὰ νόμον ἀνθρώπινον· ἀπ' ἐναντίας δὲ τῆς παρ' ἡμῖν κρατούσης ἀκολουθίας. ἐν γὰρ τοῖς παροῦσι καὶ ὁ ἄρχων ἀρνεῖται ἐν ἀνάγκῃ τὸ δόμα κίνδυνον ὑφορώμενος, ἐπειδὴ κλέμμα τοῦτό ἐστι, καὶ φέρει κατάγνωσιν. καὶ ὅτι τολμηθὲν ὁμολογήσας παράνομος γὰρ, τιμωρίᾳ ὑπεύθυνος, δοῦλος γὰρ καὶ ὁ δικάζων, καὶ ὁ νόμος ὁμοίως δουλικός. Ἔνθα δὲ ὁ δικάζων καὶ κρίνει ἀπ' ἐξουσίας, παραλύειν τὰς ἐπὶ τοῖς ἐγκλήμασι τιμωρίας δεσπότης ὢν οὐ κεκώλυται, καλὸς καὶ τὸ ἁμάρτημα ὁμολογεῖται, συγγνώμης ἀκολουθούσης τῇ ὁμολογίᾳ, καὶ οὐχ ἑπομένης κολάσεως, καὶ τὸ δόμα οὐ κρύπτεται παρὰ τοῦ κριτοῦ. ἐπεὶ μηδείς ἐστι ὑπεροχῇ θρόνου συκοφαντεῖν τὴν φιλανθρωπίαν, ὡς οὐ καθηκόντως προσενεχθεῖσαν δυνάμενος. οὐδὲ τὸ λῆμμα [illegible]

κρίνων χλοεινὴν ἐπὶ εὐεργεσίᾳ, καὶ τοῦ μεσιτεύοντος πτωχοῦ, καὶ τοῦ παρέχοντος ὑποδίκου διδομένου· ἵνα τοῦ μὲν οἰκονομηθῇ ἡ χρεία τοῦ σώματος, τοῦ δὲ θεραπευθῇ τῆς ψυχῆς τὸ παράπτωμα, καὶ μὴ διὰ τὸ ἀσυμπαθὲς ἀσυμπαθῶς καταδικασθῇ τὴν ἀπέραντον κόλασιν. Ἢ πάντως γελᾷς ὡς πλάσμα μύθου μέλλουσαν τῆς κρίσεως ἀπειλήν; ἀλλ' οὐ γελάσεις τὴν πεῖραν, κἂν νῦν χλευάζεις τὴν ἀκοήν. εὑρήσει γάρ σε τότε τὰ τῆς τιμωρίας, καὶ συνέξει ἀνένδοτος ἡ κόλασις, ὅτε τὴν ἀβουλίαν ἀποκλαιόμενος ὀνήσει οὐδὲν, ἀληθῆ βλέπων τὰ προηγγελμένα, καὶ βοηθείας ὁρῶν λοιπὸν οὐδαμόθεν ἐπίνοιαν, καθ' ὧν ἐνταῦθα μὲν ἐπικροτοῦντας ἑαυτοῖς γῆν ἐν πάσῃ, ἀνεμποδίστῳ τῆς τρυφῆς ἐξουσίᾳ, καὶ λέγοντας· μὴ παροδευσάτω ἄνθος ἔαρος. στεψώμεθα ῥόδων κάλυξιν. οἴνου πολυτελοῦς, καὶ μύρων πλησθῶμεν. πανταχοῦ καταλείψωμεν σύμβολα τῆς εὐφροσύνης.

pauperis intercedentis, & rei tribuentis ex beneficentia profectum, vt illius quidem corporis neceſſitas, huius verò animi lapſus opportuna diſpenſatione ſubleuetur, neque ob compaſſionis defectum condemnetur abſque miſericordia ad inceſſabile ſupplicium. An verò planè rides tanquam figmentum fabuloſum futuram comminationem Iudicij? Sed non ridebis experientiam, quamuis nunc ſubſannes auditum. Inuenient enim te tunc temporis, quæ præparata ſunt ſupplicia, & comprehendet pœna ſine vlla remiſſione, quando deplorare imprudentiam nihil iuuabit, & vera intueberis, quæ prædicata ſunt, & nullam vndecumque reliquam opitulationem excogitari poſſe, quemadmodum illi, qui ſibimetipſis hic applaudebant per omnem terram abſque vllo impedimento luxuriantes ad arbitrium, *Sapien. c. 2. v. 17.* & dicentes: Ne prætereat flos vernus, coronemur roſarum caliculis, vino pretioſo, & vnguentis impleamur, vbique relinquamus ſigna lætitiæ.

ΚΕΦΑΛ. ϛʹ.

Τοσοῦτοι γὰρ οἱ καμμύσαντες τὴν αἴσθησιν πρὸς τὰ μέλλοντα, πάντων ἔχειν βούλονται τὴν κατὰ γνώμην τὴν ἐξουσίαν ἀκώλυτον, προχείρως τὰ δοκοῦντα τολμῶντες, οὐκ ὄντος λογισμοῦ τοῦ ἐπέχοντος τὰς ἀδίκους ὁρμάς· μετὰ δὲ τὴν ἔνθεν πρὸς τὴν δίκην μετανάστασιν μυηθέντες τῶν ὧδε πεπραγμένων τὰς ἀθλίας ἐκεῖ φοβερὰς, καὶ τὸν ἠδικημένον δίκαιον πένητα πολλὴν ὁρῶντες ἔχοντα παρὰ τῷ κριτῇ παῤῥησίαν, τὴν ἐκ μεταμελείας παλινῳδίαν ὀδυρηρὰν. ἐροῦσι γὰρ μετανοοῦντες, φησὶν, οὗτός ἐστιν ὃν ἔχομεν εἰς γέλωτα, καὶ εἰς παραβολὴν ὀνει-

CAPVT VI.

Hviuſmodi namque ſunt, qui ſenſum occludentes ad res futuras, liberam rerum omnium poteſtatem habere volunt ex animi ſui ſententia, protinus ad audendum quidquid placitum eſt prompti; cum nulla conſideratio iniuſtos impetus animi retineat. Sed poſteaquam hinc ad Iudicium emigrarint, iamque terribiles operum hic commiſſorum pœnas ibi experientia didicerint, & pauperem iuſtum iniquè habitum multa fiducia niti apud Iudicem vident: ibi pœnitentia ducti flebilem rurſus

ſus occinunt palinodiam: dicunt enim pœnitentes; Hic eſt, quem habuimus in deriſum, & in ſimili-
Sapien. c.5.v.3 tudinem improperij: nos inſenſati vitam ipſius æſtimabamus inſaniam, & finem illius ſine honore. Ecce quomodo computatus eſt inter filios Dei, & inter Sanctos ſors illius! Iſta dicentes illos ſacra Scriptura retulit, poſteros eorum inſtruens, & edocens plurimam gerere pauperum tamquam iuſtorum hominum curam commendauit. Omnino etenim perſuaſos eſſe oportet iſtos fore eos, quos Dominus ſibi ipſi honore pares non dedignatus eſt confiteri, hac ratione fortaſſis ſuperbos pudore confundens, vt ad compaſſionem inflectantur, quando eos ad miſericordiam non inclinauit neceſſitudo ex eadem gente; ſi namque (inquit) vti cognatum ſecundum naturam non miſeraris, veluti me ipſum propter dignitatem curato: vilitati pauperis auctoritate perſonæ propriæ reuerentiam concilians, & animi promptitudinem ad beneficentiam, non vt in obſcuro, & ignobili aliquo, ſed in nobili, & venerando, & amico ſuo exercendam exhortans. Quemadmodum enim mendicantis miſerandus aſpectus non facilem efficit datoris liberalitatem, vel vt tenuis ipſa, & accipientis conditioni commenſurata fiat extorquet; ita reuerentia, quæ ex obtutu ipſo concipitur mente, gratiam prouocat honoratam, vt ne ſpecies veneratio-

διωμεθ. ἡμεῖς οἱ ἄφρονες, τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν, καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον, πῶς κατελογίσθη ἐν υἱοῖς Θεοῦ, καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ. ταῦτα εἰπόντας ἐκείνους ἱστόρησεν ἡ θεία γραφή, παραδεικνῦσα τοὺς μετ' αὐτούς. καὶ πολλὴν ἔχειν διδάσκουσα τῶν πενήτων, ὡς δικαίων, ἔδωκεν ἐπιμέλειαν. πάντως γὰρ εἶναι πεπεῖσθαι χρὴ τούτους, οὓς ὁ Κύριος ὁμολογῆσαι ἰσοτίμους αὐτοῦ οὐκ ἀπηξίωσεν, οὕτω τάχα τοὺς σοβαροὺς δυσωπῶν ἐπικαμφθῆναι πρὸς συμπάθειαν. ἐπειδὴ πρὸς οἶκτον αὐτοὺς οὐκ ἐπέκλινε τὸ ὁμόφυλον. εἰ γάρ φησι, καὶ ὡς συγγενῆ κατὰ φύσιν οὐκ ἐλεεῖς, ὡς ἐμὲ διὰ τὴν ἀξίαν θεράπευσον, τῇ ἀξιοπιστίᾳ τοῦ οἰκείου προσώπου σεμνοποιῶν τοῦ πτωχοῦ τὴν εὐτέλειαν, καὶ τὸ πρόθυμον εἰς τὴν εὐποιΐαν, ὡς οὐκ εἰς τινα ἀφανῆ, καὶ ἄσημον ἐσομένην, ἀλλ' εἰς εὐπατρίδη, καὶ αἰδέσιμον, καὶ φίλον ἑαυτοῦ προτρεπόμενος. ὡς γὰρ τὸ οἰκτρὸν ἐμφανὲς τοῦ αἰτοῦντος οὐ πάνυ εὔκολον τὴν δόσιν, ἢ μικρὰν ταύτην καὶ τῇ καταστάσει τοῦ λαμβάνοντος σύμμετρον γίνεσθαι παρασκευάζει, οὕτως τὸ νομισθὲν ἐκ τοῦ ὁρωμένου αἰδέσιμον, φιλότιμον ἐκκαλεῖται τὴν χάριν, ἵνα μὴ τὸ δόξαν ἐντρεπὲς ἀξίωμα ὑβρισθῇ μικροπρεποῦς δωρεᾷ. καὶ πάντες μὲν Ἀπόστολοι, καὶ Προφῆται, καὶ δίκαιοι, καὶ πρὸ πάντων ὁ Κύριος σπουδαίως παρακαλοῦντες ἐπιτάττουσι τὴν ἐλεημοσύνην. οἱ μὲν λέγοντες. διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου. ἐὰν ἴδῃς γυμνόν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψῃ. οἱ δέ, τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν. καιρῷ γὰρ

ne digna offendatur munere, quod tenuem decet. & omnes quidem Apoſtoli, atque Prophetæ, ac iuſti, & ante omnes Dominus ſedulo exhor-
Eſaiæ c. 58.v.8. tantes eleemoſynam præcipiunt. Alij quidem dicentes Frange eſurienti panem tuum, & egenos vagos induc in domum tuam, ſi videris nudum, operi eum & eos, qui ſunt de ſemine tuo cognatos ne deſpexeris.

Alij

ἰδίῳ θηρίσωμεν· ἄλλος· τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι. καὶ ἄλλος· δανείζει Θεῷ ὁ ἐλεῶν πτωχόν. καὶ ὁ Κύριος· ποιήσατε αὐτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας. καὶ πάλιν· μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Αὕτη δὲ, ὡς οὐδενὸς οὐδὲν εἰρηκότος ἠμέληται, καὶ βαθείᾳ παραδέδοται λήθῃ, πολλῶν οἰομένων τάχα μήτε ἐνέχεσθαί τισιν ἁμαρτήμασι, μήτε χρῄζειν ὡς πάντα κατορθωκότων, ἐλέους. ὁπότε τοῦτο εἰ ἦν ἀληθὲς, ἔδει τοὺς φανταζομένους τὸ ἀναμάρτητον, μιμεῖσθαι τοῦ Θεοῦ τὸ φιλάνθρωπον, καὶ οἰκτείρειν πᾶν τὸ καθ' ὃν δήποτε τρόπον ἀτυχοῦν μέρος τοῦ γένους, εἰ καὶ μὴ ἀμοιβῆς ἐλπίδι, ἀλλὰ γοῦν ὁρμῇ τῆς ἀρίστης ἕξεως. καὶ γὰρ ὁ Θεὸς ἀπροσδεὴς ὢν, ὠφελείας χάριν ἀνταποδόσεων παρέχει τὴν κηδεμονίαν, φυσικῇ σπλαγχνίᾳ ἐλεῶν πᾶν τὸ ἐλέους δεόμενον, τὸν ἥλιον αὐτοῦ ἀνατέλλων ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους· ὁμοίως καὶ τοῦτο διδάσκων, ἀδιάκριτον εἰς πάντας τοὺς δεομένους ἐπιδείκνυσθαι τὸν ἔλεον, οἵοιπερ ἂν ὦσι, κἂν πονηροὶ κἂν ἀγαθοὶ τυγχάνοντες. ἀπορίας γὰρ ὁ δεόμενος, τῆς χρείας, ἧς ἐπιδέεται, ἀξιοῦσθαι ὀφείλει, οὐχὶ δὲ κρίνεσθαι, ἢ δίκαιος τυχὸν πάντως, ἢ μὴ δίκαιός ἐστιν. ὡς ἡλίου, καὶ ὑετοῦ μετὰ τῶν δικαίων, κἂν ἄδικος ᾖ, ἀπολαύων, τῆς παρὰ τῶν ἀνθρώπων ἀξιούμενος χάριτος, ἐπειδὴ καὶ οὗτοι τῇ κατασκευῇ συνεσπαρμένον ἔχουσι τὸ θεῖον, καὶ ὁμοίαν τῷ δημιουργῷ διδάσκουσιν ἐπιδείκνυσθαι τὴν χρηστότητα.

Alij verò: Bonum facientes non deficiamus; tempore namque proprio metemus. alius: Peccata tua eleemoſynis redime. & alter: Fœneratur Deo, qui miſeretur mendici. & Dominus: Facite vobis amicos ex mammona iniquitatis. & rurſus: Beati miſericordes, quia ipſi miſericordiam conſequentur. Ea tamen, perinde ac nemine quidquam loquuto de ipſa, negligitur, & profundæ traditur obliuioni, multis forſitan opinantibus, neque ſe vllis diſtineri peccatis, neque miſericordia indigere, ac ſi omnia benè geſſiſſent. Quod ſi verum eſſet, debebant tamen ipſi impeccabilitatis imaginatores imitari benignitatem Dei, & cuiuis homini quacumque de cauſſa infelici, ſicuti parti generis, ſi non ſpe remunerationis, at impulſu optimi habitus, miſericordiam impendere. Deus etenim cum nulla re indigeat, tantum vt proſit, curam adhibet ſine vlla retributione; naturali miſericordia miſerens cuiuſcumq; miſeratione egentis, Solem ſuum oriri faciens ſuper malos, & bonos, atque pluuiam effundens ſuper iuſtos, & iniuſtos: ſimiliter & hoc docens, in omnes indigentes ſine diſcrimine miſericordiam exhibere, qualeſcumque tandem hi ſint, quamuis mali, quãuis boni fuerint. Nam qui beneficio indiget, ope, qua eget, ſubleuari debet, non autem iudicari, vtrum iuſtus vt illam mereatur, an iniuſtus: quemadmodum ſolis, & pluuiæ vnà cum iuſtis, licet ſit iniuſtus, prouidentiæ benignæ largifluo munere fruitur, ita hominum quoque gratia iuuandus, quoniam & hi habent ſibi Diuinum quid inſitum è ſua conſtitutione, ſimilemque creatoris docent exhibere bonitatem.

ad Galat. c.6. v. 9.
Daniel c.4. v. 24.
Prouer. c.19.v. 17.
Luca c. 16.v.9.
Matth. c.5.v.7
Matth. c. 5. v. 45.

CAPVT VII.

VErùm tanta nunc inæqualitas occupat vitam mortalium, vt alij quidem non ſufficiant curis diuitiarum, neque præ multa ſolicitudine opum ſomni capiendi tempus habeant, ſecundum dicentem: Saturato diuitijs terræ, non eſt qui dimittat ipſum dormire redditus vndiq; dinumerantem, & menſtrua fœnora computantem calculis, nocturnumque ſpatium impendentem, vt ne paruum aliquod lucrum depereat memoriam latens; aliis verò ne quidem neceſſaria vitæ adminicula ſuppetant, propter alimenti autem penuriam contemptim edormiant, idq. maximo deputent lucro, quòd dum ſopor ſomni protenditur ipſis, ſuam non perſentiunt egeſtatem: nonnullis deſertæ hominibus extent, aurataque domus oblongæ, coruorum, & noctuarum, forte verò & dirorum Dæmonum ſpatioſa diuerſoria; alijs autem neque ſuppetat tricubitale corporis receptaculum, quo tegantur: aliquibus argentum inſeruiat etiam ad miniſteria inhoneſta, ad excipiendas nempe vrinas, & purgamenta ventris, extenſum in vaſa multo pondere grauia; aliis nec adſit teſta, qua ſitientes aquam ori admoueant: nonnullis marceſcant ſitu putridæ veſtes ingentis pretij, & Barbaricæ dementiæ; alijs verò deſit & centunculus attritus operculum turpitudinis: aliquibus menſæ omnigenis edulijs capiendis anguſtæ ſint, è terra petitis, ex aëre, & aquaticis; nihil enim eſt, cuius guſtum non delibet voluptas, laxiſſima retia quacunque extendens, quibus concludat & quæ in maris fundo,

Eccleſ. c. 5. v. 11.

ΚΕΦΑΛ. ζ.

Ἀλλὰ τοσαύτη νῦν ἀνωμαλία συγκατέχει τὸν βίον, ὡς τοὺς μὲν μὴ ἐπαρκεῖν ταῖς φροντίσι πλούτου, μηδ᾽ ἔχειν τῇ πολλῇ μερίμνῃ τῶν κτημάτων ὕπνου καιρὸν κατὰ τὸν λέγοντα· τῷ ἐμπλησθέντι τοῦ πλούτου τῆς γῆς οὐκ ἔστιν ὁ ἀφιεὶς αὐτὸν τοῦ ὑπνῶσαι, προσόδους ἀριθμοῦντα πάντοθεν, καὶ μηνιαίους ψηφίζοντα τόκους, καὶ τὸ νυκτερινὸν διάστημα δαπανῶντα εἰς τὸ μή τι καὶ μικρὸν κέρδος ἀπόληται τὴν μνήμην λαθόν· τοὺς δὲ μήτε τῶν ἀναγκαίων εὐπορεῖν, καταφρονητικῶς δὲ ὑπ᾽ ἀσιτίας καθεύδοντας, καὶ τὸ πολὺ κερδαίνοντας τῆς κατὰ τὴν ἔνδειαν ἐν ἀναισθησίᾳ τῆς παρατεταμένης τῷ ὕπνῳ καρώσεως. καὶ τοῖς μὲν ἐρήμους ἀνθρώπων εἶναι, καὶ χρυσοφόρους οἰκίας μακράς, κοράκων, καὶ νυκτερίδων, ἴσως δὲ καὶ παλαμναίων δαιμόνων εὐρύχωρα καταγώγια, τοῖς δὲ μὴ ὑπάρχειν τρίπηχυ πρὸς σκέπην κατάλυμα. καὶ τοῖς μὲν ἕως τῶν ἀτιμοτάτων χρειῶν ὑπηρετεῖσθαι τὸν ἄργυρον εἰς οὔρων δοχάς, καὶ λυμάτων γαστρὸς χαλκευόμενον, σκεύη πολλὴν ἔχοντα σταθμόν. τοῖς δὲ μὴ παρεῖναι ὄστρακον, ᾧ προσενέγκωνται διψῶντες ὕδωρ στόματι. τοῖς μὲν κατασήπεσθαι βαρβαρικῆς ἀπονοίας ἐσθῆτα πολύτιμον. τοῖς δὲ καὶ ῥάκος λείπειν τρύχινον τῆς ἀσχημοσύνης συγκάλυμμα· τοῖς μὲν στενοχωρεῖσθαι τὴν τράπεζαν παντοίοις ἐδέσμασι, χερσαίων, ἀεροπόρων, ἐνύδρων, οὐδὲν γάρ ἐστιν, ὧν μὴ γεύσηται ἡδονή, πανταχοῦ τὰ σαγηνευτικὰ διαπετάσασα δίκτυα, οἷς ἐσαγηνεύσατο καὶ τὰ βύθια, καὶ τὰ πλησίον αἰθέρος διαιπτάμενα, πρὸς φιλότιμον εὐτρεπίσασα

τοῖς φιληδόνοις ἀπόλαυσιν, ἀπολεγομένης τὸν κόρον τῆς ἀθλίας γαστρὸς, καὶ λειτουργεῖν οὐκ ἔτι φθανούσης τῇ ἀπληστίᾳ τῆς ἀπληρώτου ὀρέξεως, ἣν οὐ πλησμονὴ τῶν ἀγγείων ἵστησι τῆς ἀκαθέκτου ὁρμῆς, ὅρον τῆς χρείας οὐ τὸ αὔταρκες ἡγουμένην, ἀλλὰ τὸ μηδὲν παρεσκευασμένον καταλιπεῖν. οὕτως οὖν ῥηγνυμένων τῶν ἀγγείων, ἔσθ' ὅτε καὶ τὸ ἄχθος οὐ φερόντων τοῦ κόρου, κενὴ, καὶ διαψιλής ἐστιν αὐτὴ τῇ λιχνείᾳ τῶν καταλελειμμένων ὀδυρομένη, καὶ τῷ μέτρῳ τῆς γαστρὸς μεμφομένη, ὅτι μὴ τοσούτων ἐστὶ χωρητικὴ, ὅσων αὐτὴ μαργῶσα ἐφίεται· πρὸς ὅσα κέχηνε μαιμάσσουσα ταῖς ἀκαθέκτοις ὁρμαῖς. τοῖς δὲ τὴν ἐπιθυμίαν ἐξηρτῆσθαι καὶ μόνου ψωμοῦ, τρυφὴν ἡγουμένοις καὶ τὴν ἐν μέρει παραμυθίαν τῆς χρείας, ποιεῖ γὰρ ὁ κόρος ἄλλας ἐξ ἄλλων καινοτομεῖν ἡδονῶν ἐπινοίας πολλὰς, οὐδ' ἐπ' ὀλίγον τοῖς ἐν ἔθει στοιχεῖν, ἂν μὴ συνεχεῖς ὦσιν αἱ διαδοχαὶ τῶν τερπόντων, καὶ ἐπάλληλοι, ταῖς ἐφέδραις τῶν ξενιζόντων ψυχαγωγοῦσαι τὸ ἀλῦον τῆς ὀρέξεως, καὶ τὴν γεῦσιν παρηγοροῦσαι ἄλλῃ καὶ ἄλλῃ ποιότητι. Οὕτως ἡ ἔνδεια καὶ τὸ χρειῶδες ἡγεῖσθαι πείθει ἀγαπητὸν, πληρῶσαι τὸ κενὸν, οὐ τέρψαι τὸ ἐπιθυμοῦν ἐπιτάττουσα. Πῶς οὖν αὐτοῖς τῶν οὕτω νῦν διακειμένων ἀνθρώπων ἀνηλεῶς, καὶ παρατρεχόντων τῶν ἐν ταῖς τριόδοις κατακειμένους ἀσθενεῖς, τῶν ἐν τοῖς στενωποῖς περιερχομένους, καὶ ταῖς θύραις ἀναιδῶς ἐνοχλεῖν ἀναγκαζομένους, καὶ τῶν αἰσχυνομένους δημοσιεῦσαι τὴν οἰκείαν μεταβολὴν διὰ τὸ ἀσυνήθες τῆς αἰτήσεως, καὶ λιμῷ τήκεσθαι αἱρουμένους ἔνδον, ἢ τοῖς γνωρίμοις φαίνεσθαι παρ' ἀξίαν ἀνεχομένους, τούς τε ἐν μετάλλοις, καὶ ἐν φυλακαῖς φθειρομένους κακοπαθείᾳ δεσμῶν, καὶ λιθοτομίας ἀνάγκῃ

fūdo,& quæ in ætheris propinquis, conuexiſque tractibus diuerſantur, atque in ambitioſam oblectationem eorum, qui voluptatem amant, conuertit, cum reclamet ſatietas ventris laborantis, nec inſeruire amplius ſufficiat inexplebilitati nunquam ſaturatæ cupiditatis,cuius neque ſiſtit effrænem impetum vaſorum inteſtinorum repletio, cum vtendi terminum non quod ſufficit exiſtimet, ſed nihil vt eorum,quæ apparata fuerant,relinquatur; ſic ergo diſruptis vaſis, neque hiſce interdum pondus ſatiationis ſuſtinentibus,vacua,& abundans eſt ipſa gula præ ingluuiē moleſtē ferēs, quòd aliqua reliqua ſint,deq; ventris arctiore conqueritur menſura, quòd recipere tot nequeat, quot ipſa inſano appetens deſiderio admittit, ad quæ ardenter concupiſcens inhiat appetitibus, qui nullatenus contineri poſſunt; aliorum verò deſiderium dependeat & ab vnica buccella, cum in delicijs hi habeāt vel ex parte neceſſitatem conſolari; nam ſatietas alias ex alijs excogitationes voluptatum nouas comminiſci facit, eaſque plurimas, neque paululum in his, quæ vſitata ſunt, procedit, niſi continuæ ſint ſucceſſiones earum rerum, quæ delectant, & viciſſim ſibi mutuæ, peregrinarum eſcarum ſubſidio languorem cupiditatis ſubleuantes, & guſtum lenientes alia,& alia ciborum qualitate. Ita egeſtas & neceſſarium perſuadet exiſtimandum carum, vt adimpleas vacuum ventrem, non vt cupiditatem oblectes, præcipiens. Quomodo igitur ſi quis hominum, qui nunc ita ſunt affecti abſque miſericordia, & pertranſeunt iacentes in triuijs infirmos, & in angiportis circumuagantes, atque

in foribus moleſtiam inuerecundè ingerere coactos, nec nō eos, quos pudet publicare propriam ſortē demutatam, quòd mendicare ſint inſueti, & fame contabeſcere præeligunt apud ſe, quàm notis ſibi apparere indecorè ſuſtineant; hos in metallis, atque carceribus conſumptos præ vinculorum ærumnis, & neceſſitate lapicidinæ; iſtos qui in monumentis, prærupti ſque montium cacuminibus ſacro morbo abſumuntur, è quibus alij quidem propter offenſionem morbi ſuſpecti adire vrbes, atque vicos minimè audent veriti, ne miniſtratione illos nemo dignetur, quin lapidibus obruantur propter infirmitatis vitandæ diligentem animaduerſionem, alij verò orbati pedibus ad deambulandum, & ad rependum manibus, omnes domi otioſè deſident, quemadmodum arborum ſtipites abſque ramis, deſtituti membris ad quemcumque motum idoneis: non dicat iuſtum eſſe Domini iudicium, videns eos quidem ex tanta calamitate translatos ad requiem, ſeipſum autem è tanto luxu tranſeuntem ad ſupplicium? Quo pacto verò & in animum inducet ſuum ſupplices ad Iudicem voces emittere, ille ipſe, qui ad ſupplicationes indigentium abſque vlla compaſſione permanſit, & omni tempore immitis, & propriam conſcientiam habens, quæ priuſquam Iudex id ipſum præſtet, eum de præterita inhumanitate condemnat? Hic verò violentus, & tyrannicus, diripiens, abſorbens, ſpolians, abigens, exterminans, calumnians, agens, ferens, & in ſeruitutem abducens, omnium denique omnino vitam perturbans, nullam prætermittens malignitatis ſpeciem, & quantum poteſtas, vireſquè concedunt vt faciat, penitus in imum fundum Tartari ſponte ſua præceps deſcendit, redargutionem de

tantis

τούς τε ἐν μνήμασι, καὶ ἠλιβάτοις ὄρεσι τῇ ἱερᾷ νόσῳ διαπανωμένους, ὧν οἱ μὲν τὸ ἀηδὲς ὑφορώμενοι τῆς νόσου προσβάλλειν πόλεσι καὶ κώμαις οὐ τολμῶσι πρὸς τῷ μὴ οἰκτειρηθῆναι, καὶ τὸ καταλιθωθῆναι δεδοικότες, διὰ τὸ παρατηρημένον τοῦ πάθους, οἱ δὲ βάσεως ἐστερημένοι πρὸς περίπατον, καὶ πρὸς τὸ ἐρείσειν χειρῶν, ἡσυχάζουσιν οἴκοι ἅπαντες, ἔρνη καθάπερ δένδρων ἀνάρπακα, περιῃρημένοι τὰ πρὸς πᾶσαν κίνησιν ἐπιτήδεια μέλη· οὐκ ἐρεῖ τοῦ δεσπότου δικαίαν εἶναι τὴν κρίσιν, τοὺς μὲν ἐκ τοσαύτης κακοπαθείας ὁρῶν μεταστάντας εἰς ἄνεσιν, ἑαυτὸν δὲ ἐκ τοιαύτης ἀσωτίας μετελθόντα εἰς κόλασιν; Πῶς δὲ καὶ ἔννοιαν λήψεται ἱκετηρίους πρὸς τὸν δικάζοντα προΐεσθαι φωνὰς, αὐτὸς πρὸς τὰς ἱκεσίας τῶν δεομένων μείνας ἀσυμπαθὴς, καὶ διὰ παντὸς τὸ ἀνήμερος, καὶ τὸ συνειδὸς ἔχων πρὸ τοῦ δικάζοντος κατακρῖνον ἑαυτὸν ἐπὶ τῇ παρελθούσῃ ἀπανθρωπίᾳ; ὁ δὲ καὶ βίαιος, καὶ τυραννικὸς, ἁρπάζων, καταπίνων, περιδύων, ἐλαύνων, ἐξορίζων, συκοφαντῶν, ἄγων, φέρων, δουλαγωγῶν, πάντων πάντοθεν τὴν ζωὴν διαταράττων, οὐδὲν παραλιμπάνων πονηρίας εἶδος, ὃ τέως δίδωσι πρὸς τὴν ἐξουσία, καὶ δύναμις, πάντως εἰς ἔσχατόν που καταδύεται αὐτομολήσας πυθμένα ταρτάρου, χρεώστης ὢν ἐπὶ τοσούτοις ἁμαρτήμασιν ἔλεγχον κρείττω τῆς κατὰ τὴν βάσανον ὀδύνης· αὕτη γὰρ ἀληθῶς πρέπουσα λῆξις τοῖς τῇ δυναστείᾳ μὴ πρὸς εὐεργεσίαν, ἀλλ' ἐπὶ κακῷ χρησαμένοις τῶν πέλας, καὶ τὰ μὲν πλεονεκτηθέντα καταλείπουσιν ἄλλοις

πρὸς χρηστὸν φιλοτίμου ζωῆς, τὴν δὲ ὑπ᾽ αὐτοῖς τιμωρίαν καρπουμένοις αἰώνιον.

tantis ſceleribus ſubeundam deteriorem iudicans, quàm dolorem ex tormentis. Iſte namque finis re vera conuenit illis, qui potentia non ad beneficentiam, ſed ad maleficium vtuntur, erga proximum, & ea, quæ congeſſerunt, derelinquunt quidem alijs ad vitæ ambitioſæ abuſum, ſibi verò ipſis æternam percipiunt pro fructu pœnam.

ΚΕΦΑΛ. η΄.

Ὦ τῆς παρανοίας, ὦ τῆς παραπληξίας. τί πλέον παρέχει τῆς φαιδρᾶς ἀπολαύσεως, ἵνα μὴ λέγω τῆς ἀναγκαίας χρείας διὰ τοὺς βουλομένους χαρίζεσθαί τι καὶ ἐπιθυμίᾳ πρὸς παραμυθίαν τῆς ἀσθενείας τοῦ σώματος, ἡ πλεονεξία; ὅτι πᾶσαν μὲν παγκτησίας ἱμέρῳ τὴν γῆν μετερχόμεθα, Βρετανοὺς, καὶ Ἑσπερίους, καὶ Μαύρους, πρὸς Ἕω δὲ Θήβας, καὶ τὴν Ἰνδῶν καταλαμβάνοντες χώραν, τὰ πανταχόθεν πρὸς τρυφὴν ἐπιτήδεια εἰς ἑαυτῶν χρῆσιν ποιοῦντες ἀγώγιμα, χρημάτων δὲ θησαυροὺς ἀπειράστους σωρεύοντες εἰς τὴν τῶν συνωνητῶν παρασκευήν. δεῖ γὰρ τὰ μὲν ἐκ γεωργίων οἰκείων, τὰ δὲ ἐξ ἀγορᾶς ποικίλλειν τὴν τράπεζαν, καὶ ποιεῖν πολυτελῆ, καὶ πλήθουσαν ὡς μέλλοντος ἀχανοῦς τινος χάσματος τῆς κοτύλῃ παραπλησίας πληροῦσθαι γαστρός· καὶ γάρ ἐστι τοῖς πολλοῖς ἀχανὴς ὄντως, καὶ ἀπλήρωτος, κἂν μὴ τῷ εὐρυχωρίῳ τοῦ ἀγγείου, ἀλλὰ τῷ ἀπλήστῳ τῆς ὀρέξεως τῆς ἀεὶ κενῆς ἐπιθυμίας, οὐδέποτε πιμπλαμένης, πᾶν δὲ, ὃ δείκνυσιν ὅρασις, γλιχομένης λαβεῖν. διὰ τοῦτο συκοφαντίαι, καὶ τυραννίδες. διὰ τοῦτο λωποδυσίαι, καὶ ἁρπαγαί, διὰ τοῦτο οὕτως ἐκεῖνον, καὶ τοῦτον εὐθὺς ἄλλος βιάζεται, βαθμῷ προκοπτούσης ἐπὶ τοὺς ἀεὶ μᾶλλον δυναστεύοντας τῆς τυραννίδος, καὶ τοὺς νῦν ἀδικοῦντας τὸν ἀσθενέστερον, μετ᾽ ὀλίγον ἀδι-

CAPVT VIII.

O dementiam! O veſaniam! Ecquid præbet præter ſplēdidam fruitionem, ne dicam neceſſarium vſum propter eos, qui ad debilitatem corporis ſubleuandam indulgere gratioſe aliquid volunt, & cupiditati; quid plus (inquam) præbet auaritia, vt vniuerſam terram peragremus omnigenæ acquiſitionis deſiderio, Britannos, Heſperios, Mauros; ad Orientem verò Thebas, & Indorum regionem adeuntes, vndique ad noſtrum vſum luxui accommoda conducentes, pecuniarum verò theſauros immenſos ad coëmendarum rerum comparationem coaceruantes: menſam enim oportet variè inſtruere tum ex his, quæ in proprijs fundis naſcuntur, tum ex illis, quæ veneunt in foro, eamque magnificam, & refertam, vt expleatur venter velut immanis quidam hiatus ſimillimus heminæ; etenim multis eſt reuerà inexplebilis, & vaſtus, etſi non amplitudine venæ, ſed inſatiabilitate appetitus, & ſemper vacuæ cupiditatis, quæ nunquam impletur, quodcumque verò indicat viſus, capere affectans. Ideò calumniæ, & tyrannides, ideo graſſationes, & rapinæ, ideò ſic illum, & hunc ſtatim alius cogit illata vi; gradum promouente ad hos ſemper magis dominantes Tyrannide, & eos qui

nunc

nunc iniuriam faciunt debilioribus, paulo poſt præparante ad iniuriam à potentioribus excipiendam, & excogitante rapinæ prætextus ſpecie non inhoneſtos. Eſt quippe ingenioſa in adinueniendis auaritiæ coloribus ipſa, & iura reddens, conſilia ſupponit, vt videtur, perſuaſibilia rapinæ apta. Sic Iezabel audientem, quòd vineam Nabuthæ vicini vir eius Achab percupierat, grauiter ſimul, atque callidè hunc rapinæ ſcopum diſponens apparauit, vt & concupitum caperetur, nec eſſet, qui de rapina conquereretur: calumniata etenim eum, qui poſſidebat vineam, blaſphemiam in Deum, & Regem protuliſſe, occidit, & ſic vineam vacantem domino accepit, cum nullus eſſet, qui patefaceret calumniam ignaris, eo, qui, reclamare poterat, ſublato è medio. Verùm nunc fieri audet, & grauiora hominibus, exercita iam ſatis beneficio temporis iniquitas propter experientiam, & conſuetudine adeò prouecta, vt multo magis artificioſa exiſtat. Filij namque viuentes paternis priuantur facultatibus, & fratres fratrum hereditates alienant, & vxores bonis eijciuntur mortuotum maritorum, proclamantes de iniuria, nec exauditæ. Horum enim ſingulis violenter oppreſſis defenſio damni videtur eſſe donum regium; Rex enim forſitan bona domino vacantia petentibus rationabiliter concedere potuiſſet; alijs verò aliorum bona iuſte largiri nequit præbens exteris, quæ alijs legitimè proueniunt ex hereditate, ſpectantque ad eos, qui debent ſucceſſiuè illa ſuſcipere iure cognationis, quæque ad decedentes pertinebant.

κεῖσϑαι παρασκευαζούσης ὑπὸ τῶν δυνατωτέρων, καὶ προφάσεις ἐπινοούσης τῇ ἁρπαγῇ τῷ δοκεῖν οὐκ ἀσχήμονας. ἔστι γὰρ ἐν ταῖς πλεονεκτικαῖς ἐπινοίαις αὕτη γνωμοδότης ἀμήχανος, βουλὰς ὑποτιθεμένη πιθανὰς πρὸς τὸ δοκοῦν τοῦ ἁρπάγματος εὔλογον. οὕτω τὴν Ἰεζάβελ ἀκούσασαν, ὅτι τοῦ ἀμπελῶνος Ναβουθαὶ τοῦ γείτονος ὁ ταύτης ἀνὴρ Ἀχαὰβ ἐπεθύμησε, δεινῶς ἅμα καὶ πανούργως τὸν τῆς ἁρπαγῆς σκοπὸν διαθεῖναι παρασκευάσειν, ἵνα καὶ τὸ ἐπιθυμηθὲν ληφθῇ, καὶ μὴ ᾖ ὁ τὴν ἁρπαγὴν ὀδυρόμενος. βλασφημίαν γὰρ Θεοῦ καὶ Βασιλέως συκοφαντήσασα τὸν κεκτημένον ἀπέκτεινε, καὶ οὕτως ἀδέσποτον τὸν ἀμπελῶνα περιέλαβον, οὐδενὸς ὄντος τοῦ τὴν ἀδικίαν διασαφοῦντος τοῖς ἀγνοοῦσι, τοῦ ταύτην βοᾶν δυναμένου ἐκ ποδῶν οἰχομένου. νῦν δὲ τολμᾶται καὶ χαλεπώτερα τοῖς ἀνθρώποις, τῷ χρόνῳ γεγυμνασμένης πρὸς τὴν ἐμπειρίαν τῆς ἀδικίας, καὶ τῷ ἔθει προκοψάσης ἐπὶ τὸ τεχνικώτερον. υἱοὶ γὰρ ἀποστεροῦνται ζῶντες ὑπάρξεως πατρικῆς, καὶ ἀδελφῶν ἀλλοτριοῦνται κληρονομίας ἀδελφοί, καὶ γυναῖκες οὐσίας ἐκβάλλονται τελευτησάντων ἀνδρῶν βοῶσαι τὴν παρανομίαν καὶ οὐκ ἀκουόμεναι. τοῖς γὰρ ἑκάστοις τούτων βιαζομένοις συνηγορία τῆς βλάβης εἶναι δοκεῖ βασιλικὴ δωρεά, ἥτις τὰ μὲν ἀδέσποτα εὐλόγως ἴσως τοῖς αἰτοῦσι παρέχειν ἐδύνατο, ἄλλοις δὲ τὰ ἄλλων χαρίζεσθαι δικαίως ἔστιν οὐχ οἷά τε, ξένοις προπίνουσα τὰ τῶν νομίμως προσερχομένων τῷ κλήρῳ, καὶ ὀφειλόντων ἀκολούθως διαδέξασθαι τὰ τῶν οἰχομένων συγγενικῷ δικαίῳ.

CAPVT

ΚΕΦΑΛΑΙΟΝ θʹ.

Ἀλλὰ πάντα πρὸς τὸ πιθανὸν σοφίζεται δεινῶς πλεονεξία, καὶ βασιλεῖς ἀπατᾷ ἀπὸ δημαγωγίοις αἰτήσεσι, καὶ ἐξουσίαν καθ' ὧν βούλεται λαμβάνει εὐπρόσωπον, καὶ κάτω τὰ ἄνω, καὶ ἔμπαλιν ἄνω τὰ κάτω ποιεῖ, πολλοῖς πάντοτε συμφορῶν ἀνυποίστων καθισταμένη αἰτία. διὰ τοῦτο πολλοὶ τῶν ἠδικημένων δοκιμασίᾳ ἔστησαν ἀναιδῶς ἐρανιζόμενοι, καὶ λαμπρᾶς οὐσίας ἀφῃρημένοι τῆς ἐξ ἄλλων ἐπιδεεῖς ἀπορίας κατέστησαν τὰς συμφορὰς διηγούμενοι, τραγῳδοῦντες τὰ πάθη, κρουνοῖς δακρύων τὴν ἀνάγκην πιστούμενοι, καὶ μόλις ἄρτου τινὰς πείθοντες ὀρέξαι τιμὴν αὐτοῖς ἀπορουμένοις, ἔθιμον λέγοντας εἶναι τοῖς μεταιτοῦσι πλάττεσθαι τοιαῦτα, καὶ κομπάζειν πρὸς ἀπάτην πολλά, εὐγένειαν προσποιουμένοις οὐκ οὖσαν, καὶ χρημάτων ὀδυρομένοις οὐ γενομένην ἀπώλειαν, ναυάγια λογοποιοῦσι, καὶ λῃστῶν ψευδομένοις ἐφόδους, οἰκετῶν δρασμὸν προφασιζομένοις σεσυληκότων αὐτῶν, καὶ ἀφέντων οὕτως ἀσχημονεῖν, ὡς τὸ ἐλεεινὸν ἐκεῖνο, καὶ δακρύων ἄξιον δείκνυσι σχῆμα, ἀδροτέρων λημμάτων σόφισμα προβαλλομένοις τὰς τοιαύτας φωνάς. ἐκβέβληνται γῆς, οἰκοπέδων, κτημάτων, ἀπεστέρηνται χρημάτων, διαίτης εὐσχήμονος, οἰκετικῆς θεραπείας, καὶ οὐδαμόθεν ἀξιούμενοι παραμυθίας, ἔτι καὶ προσκωμῳδοῦνται οἱ ἄθλιοι, τραγῳδεῖν εἰκῆ ψευδεῖς νομιζόμενοι τύχας. ὕποπτον γὰρ ὄντως εἰς ψεῦδος ἀεὶ τὸ ἐκ τοῦ φαινομένου ἀξιόπιστον παλαιᾶς ἀπαγγέλλον εὐπραγίας, κἂν ἀληθεύειν δοκῇ οὐδὲν τεκμήριον ἔχον πιστώσασθαι τὰ λεγόμενα, οὐ συναδόντων

CAPVT IX.

Sed auaritia grauiter omnia, & perſuaſibiliter cōminiſcitur, ac veluti ſapienter, & Reges decipit petitionibus facile circumuenientibus, & ſpecie decoram ſumit licentiam aduerſus quoslibet, quæ deorſum ſunt, ſurſum, & rursùs quæ ſurſum ſunt, deorſum efficiens, multis vndique calamitatum intolerabilium cauſſa exiſtens. Atque ideò plerique paſſorum iniuriam experimento ſiſtuntur impudenter, corrogantes, & ſplendidis opibus ſpoliati, & ex aliorum beneficentia indigentes miſerias enarrando conſtiterunt, tragico more affectum excitantes, & lacrymarum riuis fidem neceſſitati conciliantes, & ægrè aliquibus ſuadentes, vt pretium panis ſibimet ipſis inopibus porrigant; cum dicant eſſe ſolemne mendicantibus res huiuſmodi confingere, multaque ad deceptionem iactare, qui nobilitatem, qua carent, ſimulant, & iacturam pecuniarum, quam nunquam fecerunt, deplorant, naufragia verboſè fabulantur, & latronum ementiuntur incurſus, prætexunt ſeruorum fugam, qui expilarunt ipſos; & reliquerunt ſic indecenter compoſitos, vt amictus ille miſerabilis, & lacrymas merens oſtentat: huiuſcemodi vociferationes emittentibus callido conſilio ad captandas ſtipes craſſiores. Eiecti fuerunt è terra, vernis, poſſeſſionibus, & pecunijs orbati, houeſto victu, famulorū miniſterio: & nullo vſpiam ſolatio quiſquam eos dignatur; quin etiam comicè irridentur, dum infelices fortunas, falſas tragico ſermone fruſtra deflere cenſentur. Suſpectum quippe

pe

pe falſi verè ſemper eſt,quod ex apparenti credibile veteres felicitates renunciat, & ſi vera dici videantur, cum fidem adſciſcendi nullum eorum, quæ dicuntur, certum ſignum habeat, non conuenientibus vſquam vllibi factis cum verbis. Vnde taciti compelluntur tolerare paupertatis ærumnas, intempeſtiuum rati detegere rerum ſuarum ſtatum credere nolentibus,cum potius ludibrij, quàm compaſſionis ſermones ipſorum occaſionem ſuppeditent:& quidam equidem ex his vagantur alias ex alijs demutantes patrias, quas hactenus ignotas ad vitæ miniſtrationem forſitan idoneas intento animo cōſpicati ſunt; quidam verò permanent illis in locis,in quibus eos comprehendit calamitas, migrare dum piget, quà præ virium imbecillitate, quà propter incertum futuri, præſens,quod experti ſunt, ambiguo, qualecumque id foret ſiue peius, ſiue melius, præferentes merito, & conſolantes ſemetipſos, quòd licèt cæteris bonis fortunæ per tyrannidem fuerint eiecti, liberis attamen elementis fruendi facultatem ſimul habent minimè prohibitam.& cum his, qui magnos ſpiritus ducũt propter potentiam, æqualem in ipſis vſum habent. Iſtam inuiolabilem poſſeſſionem a ſuo Creatore adepti, vt ne omnino deiecti animi mœrore concidant, perinde ac ſi nulla ex parte in vniuerſas res creatas haberent aliquam poteſtatem. Quocircà ſpirant, vbicumque voluerint, aërem iſtum haudquaquam vetitum, hauriunt e fontibus, fluminibus, & ſtagnis pro libito vſi potu largiſſimè, & magna cum libertate ſe ſe circumluunt, idque ſi non in vrbibus, atque vicis (forſitan etenim inibi diſtributa aqua ad irrigationem iſtis tamquam nihil poſſidentibus non attribuitur) in deſer-

οὐδαμῶς οὐδαμόθεν τῶν πραγμάτων τοῖς ῥήμασι. ὅθεν σιωπῇ φέρειν ἀναγκάζονται τὰ τῆς πτωχείας δεινά, τὸ ἀπαμφιάσαι τὰ καθ᾽ ἑαυτοὺς τοῖς ἀπιστεῖν ἐθέλουσι κρίνοντες ἄκαιρον, χλεύης μᾶλλον, ἢ συμπαθείας τοὺς λόγους ποιουμένοις ὑπόθεσιν. καὶ οἱ μὲν αὐτῶν ἀλῶνται ἄλλας ἐξ ἄλλων πατρίδας ἀμείβοντες, τὰς τέως ἀγνοουμένας στοχαζόμενοι πρὸς οἰκονομίαν τῆς ζωῆς ἴσως ἐπιτηδείας. οἱ δὲ μένουσιν ἐφ᾽ ὧν ὑπὸ τῆς συμφορᾶς κατελήφθησαν τόπων ὀκνοῦντες τὰς μεταστάσεις, τὸ μὲν ἀσθενείᾳ δυνάμεως, τὸ δὲ καὶ τῷ ἀδήλῳ τοῦ μέλλοντος, τὸ παρὸν καὶ ἐν πείρᾳ γενόμενον τοῦ ἀμφιβόλου, οἷον ἔσται χεῖρον, ἢ ἄμεινον προτιμήσαντες εὐλόγως, καὶ παραμυθούμενοι τούτῳ γοῦν ἑαυτούς, ὅτι κἂν τῶν ἄλλων κτημάτων τυραννηθέντες ἁπάντων ἐκβέβληνται, ἀλλὰ θείων στοιχείων ὅμως ἔχουσι τὴν μετουσίαν ἀκώλυτον, καὶ τοῖς μέγα πνέουσιν ἐπὶ δυναστείᾳ τὴν χρῆσιν ἐν τούτοις ἰσότιμον. ἄσυλον κτῆσιν ταύτην λαχόντες παρὰ τοῦ κτίσαντος, ἵνα μὴ πάντῃ καταπέσωσι ἀθυμίᾳ, ὡς μηδενὸς μέρους ἔχοντες ἐξουσίαν ὅλης τῆς κτίσεως. ἀναπνέουσι τοιγαροῦν ὅπου περ ἂν ἐθέλωσι τὸν ἀέρα τοῦτον ἀκώλυτον, ἀντλοῦσι πηγάς, καὶ ποταμούς, καὶ λίμνας, ὡς βούλονται πόμασι κεχρημένοι ἀφθόνως, καὶ περικλυζόμενοι μετ᾽ ἐξουσίας πολλῆς, κἂν μὴ ἐν πόλεσι, καὶ κώμαις, ἴσως γὰρ ἐν ταύταις πρὸς ἀρδείαν μεμερισμένον τὸ ὕδωρ οὐκ ἐφεῖται τούτοις ὡς ἀκτήμοσιν· ἐν ἐρήμοις οὖν, καὶ ἀγεωργήτοις, ὅμως ἄνευ αἰτίας πρὸς τὸ δοκοῦν ἀπολαύοντες, οὐδενὸς ἐμποδίζοντος. αὐγαῖς ἡλίου καὶ ὀφθαλμοῖς, καὶ παντὶ τῷ σώματι

Digitized by Google

δέχονται, ἀναστέλλειν τὴν ἐκεῖθεν φερομένην ἀκτῖνα οὐδενός, κἂν ἐθέλῃ, ἰσχύοντος, οὐδὲ τῇ ὑπεροχῇ τοῦ πλουσίου πλέον νέμειν παρὰ τὸν πένητα ὄντος ἱκανοῦ διὰ τὴν ταπεινότητα. ἔνθα μὲν γὰρ ὑπόκειται ὕλη μεριστὴν ἔχουσα φύσιν, πλεονεκτοῦσιν οἱ πλούσιοι, παρ' ἄλλοις οὐ συγχωροῦντες εἶναι ἃ σπουδάζουσιν ἔχειν αὐτοί. τῶν δὲ ἀδιαιρέτων ἡ χρῆσις κοινὴ πᾶσιν ὁμοίως ἐφεῖται, καὶ ἄλλος ἄλλου πρὸς μετουσίαν ἔχει πλέον οὐδέν, τῆς φύσεως ἴσην ἅπασι τὴν διανέμησιν ἐργασαμένης, καὶ τοῖς πλεονεκτεῖν βουλομένοις οὐ παρεχούσης ἔριδος ἀφορμάς.

deſertis ſaltem , & incultis locis cum ſecuritate,quantumque viſum fuerit, pariter his perfruuntur, nemine impediente ſolis fulgorem & oculis,& toto corpore excipiunt , cum nemo,vt maxime velit , radiũ inde vibratum cohibere queat,neq; diuiti opibus eminenti amplius aliquid diuidere, quam pauperi , propter humilitatem, valeat. Vbi enim ſubiacet materia , cuius natura diſtributionem patitur , maiorem partem arripiunt diuites auari,non permittentes penes alios eſſe, quæ habere ipſi ſtudent ; indiuiduarum autem rerum communis omnibus ſimul vſus conceditur , & alius alio nihil plus habet ad participandum, cum natura cunctis æqualem diſtribuat portionem , & his , qui plura ſibi vendicare volunt, non præbeat occaſiones diſcordiæ.

ΚΕΦΑΛ. ι.

Τίς γὰρ ἀέρος ἀποτομὴν καθάπερ γῆς, ἢ χρήματος ποιησάμενος δυνάμεως περιουσίᾳ, ἔχει παρ' ἑαυτῷ κεχωρισμένον τοῦ συνεχῶς κεχυμένου κατὰ πᾶν μέρος τῆς κτίσεως; Τίς δὲ χρημάτων ἢ κειμηλίων δίκην ἡλιακὸν φέγγος, ἢ θάλπος, ἔνδον ἐθησαυρίσατο ἰδιόκτητον μόνος ἀπολαύων . . . . . . ὅταν νὺξ ὑπέλθῃ, ἢ νέφωσις τρέχοντα καλύπτῃ τὸν πόλον; ὕδωρ κἂν ἐν κάλπεσιν ἀντλούμενον πολυσχεδῶς καταμερίζεσθαι δοκῇ, ἴδιον ἑκάστου τῶν ἀρυομένων ἐν τῷ ληφθῆναι γινόμενον, ἀλλὰ τῇ ἀφθονίᾳ τοῦ ῥεύματος ποιεῖ τὴν χρῆσιν τοῖς πολλοῖς ἀφιλόνεικον, ἴσα τοῖς ἀμερίστοις πᾶσιν τὸν τῆς κτίσεως ἵμερον περιττὸν πάντως τοῦ λογισμὸν ἔχοντος ἡγουμένου καὶ μάταιον οἰκειοῦσθαι σπουδάζειν ἅπερ κοινὰ πᾶσιν ἡ φύσις δεδώρηται, ἰσονομίαν χρή-

CAPVT X.

QVis enim aëris ſegmentum ſicut terræ vel pecuniæ præcellenti ſua poteſtate ſecãs obtineat pro ſe ipſo ſeparatum ab vniuerſim diffuſo in omnes particulatim creaturas ? Ecquis vero inſtar pecuniarum , aut rerum pretioſarum ſolis iubar , aut calorem intus vti theſaurum ſeruet ſolus,eo ſibi peculiariter quæſito perfruens, . . . quando nox ſub terram, aut nubes coacta currẽtẽ occultat polũ? Aqua licèt in ſitulis exantlata videatur in multas partes diuidi,vnoquoque haurientium in accipiendo ſibi propriam factam vendicante ; vberrima tamen ſcaturiginis abundantia vſum eius inter plures non ſinit eſſe litigioſum; ſed æque atque res indiuiduæ poſſidendi deſiderium ſedat, ſuperfluum penitus arbitrante illo , qui ratione pollet , atque vanum, ſibi propria aſſerere velle ea, quæ communia omnibus natura donauit , æqualem vtendi

V po-

poteſtatem præbens, & dominium pariter cunctis adimens; idque veluti reconditum in penetrali aſſeruare, cuius omnibus vtendi copia perpetuo propoſita eſt, & ad manum, poteſtate prompta ad fruendum cupiditatem poſſidendi ſedante. Quandoquidem id, quod rarum, & difficile paratu eſt, prouitat deſiderium, certamen concitans, ne præoccupetur ab alio; non commouet tamen illud, quod ipſa ſemper ex abundantia deſpectum eſt.

στως περιέχουσι, καὶ δεσποτείας ὁμοίως ἀποστεροῦσα ἅπαντας, τὸ ταμιεύεσθαι τοῦτο, οὗ πᾶσιν ἡ χρῆσις διὰ παντὸς προκειμένη πλουσία, καὶ πρόχειρος, τῷ ἑτοίμῳ τῆς εἰς ἀπόλαυσιν ἐξουσίας ἀργὴν εἰς κτῆσιν τὴν ἐπιθυμίαν ποιεῖ. ἐπειδήπως τὸ μὲν σπάνιον, καὶ δυσπόριστον ἐρεθίζει τὴν ὄρεξιν, μὴ προληφθῇ παρ᾽ ἑτέρου ἀγῶνα ποιοῦν, οὐ κινεῖ δὲ ταύτην πρὸς ἔφεσιν τὸ ἐν τῷ πληθύνειν ἀεὶ καταφρονούμενον.

SECTIO X.

De Beatorum conuerſatione, & Diaboli malignitate.

CAPVT I.

CVm igitur (ô amice) eo modo ſe res habeant, quo dictum fuit, & tanta iniquitas in ſeculo dominetur, vt piſcium cuncti vitã imitantes deglutiant minores, & à potentioribus deuorentur: inueniendus eſt aliquis, qui aut magni Moyſis exemplo modò percutiat Aegyptium, qui percuſſerat Iſraëlitam; modo verò populares contribules inter ſe pugnãtes cohortetur ad concordiam, & dicat: Fratres eſtis, vt quid inuicem vobis iniurias infertis? aut ſecundum Abacum, opem quidem laborantibus, afflictiſque ferat, ſed cum redarguendi puniendique facultatem non habeat, Deum conueniat precibus aduerſus iniquitatem tunc graſſantem, & zelum orationis ad eum libertate oſtendat.

Exod.c. 2.v.12.

Ait enim: Vſquequo Domine clamabo, & non exaudies? vociferabor ad te iniuriam patiens, & non ſaluabis me? non ipſe in ſemet ipſo paſſus

Abacuc c.1.v.2

ΤΜΗΜΑ ι΄.

Περὶ τῆς τῶν μακαρίων διαγωγῆς καὶ τῆς κακονοίας τοῦ διαβόλου.

ΚΕΦΑΛ. α΄.

ΟΤ᾽ ἂν πως οὖν, ὦ φιλότης, διακειμένων τῶν πραγμάτων, ὡς εἴρηται, ἡ τοσαύτης παρανομίας κατισχύσης τὸν βίον, ὡς ἰχθύων ἅπαντας μιμεῖσθαι ζωὴν καταπίνοντας τοὺς ἥττονας, καὶ καταπινομένους ὑπὸ τῶν δυνατωτέρων, εὑρεῖν χρὴ ἢ κατὰ τὸν μέγαν Μωϋσέα τινά, ποτὲ μὲν τύπτοντα τὸν διαπληκτιζόμενον πρὸς τὸν Ἰσραηλίτην Αἰγύπτιον, ποτὲ δὲ παραινοῦντα μαχομένοις τοῖς ὁμοφύλοις τὸ εὔσπονδον, καὶ λέγοντα, ἀδελφοί ἐστε, ἵνα τί ἀδικεῖτε ἀλλήλους; ἢ κατὰ τὸν Ἀβακούμ, ἀρήγειν μὲν τοῖς καταπονουμένοις, ἐπιτιμᾷν πάντως οὐκ ἔχοντα δύναμιν, Θεῷ δὲ κατὰ τῆς τότε πολιτευομένης ἐντυγχάνοντα παρανομίας, καὶ τὸν ζῆλον δεικνύντα τῇ πρὸς αὐτὸν παρρησίᾳ. φησὶ γάρ· ἕως πότε Κύριε κεκράξομαι, καὶ οὐκ εἰσακούσῃς; βοήσομαι πρὸς σὲ ἀδικούμενος

2.Tim. 3.12. omnes, qui piè volunt viuere in Chriſto Ieſu, ſecundum Sanctum Paulum perſequutionem patientur, quòd iuſtè agendo ſunt graues iniquis, & fortaſsè ſolo etiam aſpectu moleſti, & ea de cauſſa perſecutione vexati, quia etiam tacentes improbitatem redarguunt, comparatione vitæ propriæ improborum vnicuique malitiam exponentes. Verum Dominus & Apoſtolis, quod futurum erat
Ioan. 15.20. Ioa.16. 2. Luc. 6. 22. prænuntians ait: Vti me perſequuti sũt, & vos perſequentur; & Abſque synagogis facient vos, & eiicient nomen veſtrum tamquam malum; vt præparato alacriter animo aduerſus ea, quæ prædicta fuerant, leuiter ferrent ærumnas meditatione patientiæ, ipſumque diſcriminis experimentum ſibi redderent facile. Vnde ſtatim conſeſsus Phariſæorum, vincula, carceres, calumniæ, contumeliæ, ini verbera, pericula mortis, quiduis denique aliud nihil ipſos turb neque vt libertatis quidquam loquendi remitterent, effecit. Ian ipſorum animo ſedebat ſententia etiam peiora perpeſſu, quai m

οὐδὲν ἔχων ἐπαγωγόν, ᾧ δελεάσαι δυσαρεστούμενον. Καὶ πολλοὺς ἄλλους ἑτέρους ἀρετῆς ἕνεκεν ἐν περιστάσεσιν ἐξετασθέντας μυρίαις, τοὺς μὲν θεοσεβεῖν ἐσπουδακότας, καὶ τὸ θεῖον θρησκεύειν ὁσίως· τοὺς δὲ εὐλάβειαν, καὶ δικαιοσύνην, πᾶσαν τὴν ἠθικὴν ἀσκουμένους κατόρθωσιν. ἄλλους τοῖς ἐν ἀγνοίᾳ σφαλλομένοις περὶ τὴν τοῦ καλοῦ κρίσιν εἰσηγουμένους τὰ λανθάνοντα, καὶ παραινοῦντας ὠφέλιμον, ὅπως ἐπανορθωθῇ πρὸς τὸ συμφέρον ὁ βίος αὐτοῖς. ἐπειδὴ πάντες κατὰ τὸν Παῦλον ὅσοι θέλουσιν εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσο Βαρεῖς τῷ δικαιοπραγεῖν ὄντες παρανομοῦσι, τάχα καὶ μόνον ὁρώμ καὶ διὰ τοῦτο διωκόμενοι, ἐπειδὴ σιωπῶντες εἰσὶν ἔλεγχοι πονηρίας παραλλήλῳ τοῦ βίου στηλιτεύοντες ἑκάστῳ τὴν κακὴν μοχθηρίαν. Ὁ Κύριος δὲ τοῖς Ἀποστόλοις τὸ μέ συμβαίνειν προλέγων, φησίν, εἰ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι. καὶ Ἀπο συναγώγους ποιήσουσιν ὑμᾶς, καὶ ἐκ λοῦσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἵν παρασκευασμένοι πρὸς τὰ προειρη νημένα τῇ προθυμίᾳ, κούφως ἐνέ τὰ θλιβερὰ τῇ μελέτῃ τοῦ παθεῖ σαντες τὴν πεῖραν ἑαυτοῖς εὐμαρῆ. γοῦν συνέδρια Φαρισαίων, δε δεσμωτήρια, συκοφαντίαι, ὕβρεις. ρειαι, πληγαί, κίνδυνοι θανατη οὐδὲν αὐτοὺς ἐθορύβησεν, οὐδὲ τῆς ῥησίας καθυφεῖναί τι παρεσκεύ ἐσκέπτετο γὰρ αὐτοῖς περιέσεσθαι ἠπείλουν μείζονα πάθη. καὶ τὸ σκευασμένον τῆς προαιρέσεως κα νεῖν παντὸς ἐποίει δεινοῦ. διὰ τί δέκα τὸν ἀριθμὸν ὄντες, πε

ἐπαῤῥησιάζοντο μαινομένου τοῦ ἔθνους, ποτὲ μὲν λέγοντες· οὐ δυνάμεθα, ἃ εἴδομεν, καὶ ἠκούσαμεν, μὴ λαλεῖν· ποτὲ δὲ, εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ, ὑμῶν ἀκούειν μᾶλλον, ἢ τοῦ Θεοῦ, κρίνατε. ἄλλοτε δὲ πρὸς ὕβρεις χωροῦντες δικαίως ἐν τῷ λέγειν τοῖς ἐναντιουμένοις τῇ ἀληθείᾳ, καὶ πολλοῖς οὖσιν ὀλίγοι, καὶ δυνατοῖς, κατὰ τὸ δοκοῦν, ἀσθενέστεροι· σκληροτράχηλοι, καὶ ἀπερίτμητοι τοῖς ὠσὶ, καὶ τῇ καρδίᾳ, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς. Τοιοῦτον γὰρ ὁ δίκαιος ζῆλος, οὐ πλῆθος ἀδικεῖν δυναμένων ὁρᾷ, οὐ θυμοὺς, καὶ δυναστείας τῶν ἀντιτεταγμένων λογίζεται, οὐκ οἶδεν ἀπειλὴν, οὐκ ἐπίσταται κίνδυνον. πρὸς ἓν τέταται τῇ προθυμίᾳ, εἰπεῖν τὸ ἀληθὲς, καὶ τὸ ψεῦδος καταστῆσαι γνώριμον, ἵνα μὴ λανθάνον νέμηται τοὺς ἁπλουστέρους τινάς.

minitabantur, experiri, menſque præparata iam antè facilitatem eis omnē cōtemnēdi crudelitatē præſtabat. Ideò duodecim numero cū tātū eſſent ad vniuerſam gentē furibundam liberrimè prædicarunt; interdum quidem dicentes: Non poſſumus, quæ vidimus, & audiuimus non loqui: aliquando autem: Si iu- *Act.* 5.
ſtum eſt in conſpectu Dei vos po- 29.
tiùs audire, quàm Deum, iudicate. Aliàs & ad iniurias iuſte deueniebant, obloquendo his, qui veritati aduerſabantur, cumque illis plurimis pauci ipſi, & cum potentibus, vt videbatur, imbecilliores: Dura ceruice, & in circumciſis au- *Act.* 7.
ribus, & corde, vos ſemper Spiritui 15.
ſancto reſiſtitis, ſicut patres veſtri, & vos. Ita ſcilicet iuſtus zelus non reſpicit multitudinem eorum, qui poſſunt iniuriam inferre; non iram, non potentiam aduerſariorum æſtimat, ignorat minas, neſcit periculum. Ad vnum tendit cum alacritate, dicere verum, & mendacium notum facere, ne delitescens quoſdam perdat ſimpliciores.

ΚΕΦΑΛ. γ΄.

ΤΙ' οὖν τὸν δικαιοπραγοῦντα περικυμαίνουσαι πάντοθεν ἀδικοῦσιν αἱ θλίψεις, ἐπανιστάμεναι φοβερῶς καὶ διαλυόμεναι εὐχερῶς, προσπίπτουσαι σφοδρῶς, καὶ παρατρέχουσαι ῥύμῃ πολλῇ, ἐνσειόμεναι βιαίως, καὶ ἀποκρουόμεναι βιαιότερον, καταπασσιλάζουσαι, καὶ οὐ ποιοῦσαι ναυάγιον, πυροῦσαι τὸν χρυσὸν, καὶ δοκιμώτερον ἀποφαίνουσαι; Οὕτως ἐν τῷ ᾄσματι ἡ τελεία ψυχὴ θαῤῥοῦσα τῇ ἠσκημένῃ καρτερίᾳ τῶν πειρασμῶν, προσκαλεῖται τὰ πνεύματα, Ἐξεγέρθητι, λέγουσα, βοῤῥᾶ, καὶ ἔρχου νότε, διάπνευσον τὸν κῆπόν μου, καὶ ῥευ-

CAPVT III.

QVid ergo homini rectè, iuſtèque agenti circumfuſæ vndique afflictiones mali afferunt magno cum terrore inſurgentes, & euaneſcentes facilè; vehementi irruentes impetu, ſed magno quoque impetu pertranſeuntes; violenter concutientes, & diſcuſsæ violentiùs; vadis, breuibuſque illidentes, neque facientes naufragium; examinantes igne aurum, ſed probatius exhibentes? Sic in Cantico anima perfecta ten- *Cant.* 4.
tationibus tolerandis exercitata fi- 16.
duciæ plena ventos euocat; Surge (inquiens) Aquilo, & veni Auſter, perfla hortum meum, & fluant aro-

mata

mata: tunc perſuaſa, maiorem fore virtutis fragrantiam, quando ipſam turba tentationum euentilauerit, quæ bonum habitum tandiù otioſum commoueant ad operandum, eumque ad lucem producendo percelebrem, illuſtremque reddant. Hac ratione vniuſcuiuſque Sanctorum virtus effulſit, quæ latere potuiſſet, niſi diſcrimine fuiſſet exercitata, & ſub modio foret occultata, niſi ſupra candelabrum poſita extitiſſet, ſplendidum noui propoſiti lumen per opera fulgurans. Quis enim nouiſſet magni Abraami pietatem, niſi imperata filij cæde obedientia generoſum eius animũ prædicaſſet; ita vt armaſſet contra vnigenitum, & dilectum filium paternam manum, promptè illam extendens, neque deiectione mæſta vultus doloris animæ paſſionem oſtendens, permanens verò tali cum mentis ſerenitate, quali perſtitit cum hinnulum cerui, aut vitulum, aut agnum in precibus auſpicatis Deo ſacrificabat? Quis autem Iobi animum philoſophia obſirmatum nouiſſet ad tam multiplicem ſuorum cladem; niſi gratiæ de ſingulis quibuſque rebus actæ ipſius magnitudinem animi clara voce teſtaretur? Neque enim veterator vno exitio abſtulit omnia, ne vno calamitatis ictu dolorem eius velut in cõpendium contractum redigeret, qui poterat extendi multipliciter, & iteratis nuntijs partitis, ipſi audienti luctum reddere acerbiorem; nec enim primo loco cariſſimis eius pignoribus conuiuantibus ſuperinijcit ædes, ea ſubuerſione domum in ſepulcrum conuertens, & ſanguinem cibis, carneſque pinſens, vna cum lapidibus, ne an maiori malo hebeſcens, & ſtupens nullo minorum ſenſu afficer

Gen. 22. (margin, beside "Quis enim nouiſſet magni Abraami")

Iob. 1. (margin, beside "aut agnum in precibus auſpicatis")

σαίτωσαν ἀρώματα· τότε πεπει
μείζονα γίνεσθαι τῆς ἀρετῆς τὴν
δίαν, ὅταν πειρασμῶν ῥιπίζῃ π
αὐτὴν, κινούντων τὴν τέως ἠρε
ἀγαθὴν ἕξιν πρὸς ἐνέργειαν, κα
ούντων αὐτὴν τῇ φανερώσει περιφ
Οὕτως ἔλαμψεν ἑκάστου τῶν ἁ
ἀρετὴ λαθεῖν δυναμένη, εἰ μὴ ἐγ
θη τῇ πείρᾳ, καὶ κρύπτεσθαι ὑπ
μόδιον, εἰ μὴ ἐπὶ τῆς λυχνίας
λαμπρὸν τὸ φῶς τῆς ἀγαθότη
τῶν ἔργων ἀστράπτουσα. Τίς γὰρ
εὐσέβειαν ἔγνω τοῦ μεγάλου Ἀβ
μὴ τῆς κατὰ τὴν παιδοκτονίαν ὑπ
κηρυξάσης αὐτοῦ τὴν γενναιότητ
ὥπλισε κατὰ τοῦ μονογενοῦς, καὶ ἀγ
τέκνου πατρικὴν χεῖρα ὀρέγων, οὐ
στυφείᾳ τῆς ὄψεως ἐμφήνας λ
πάθος ψυχῆς, μείνας δὲ τοιοῦτο
γνώμην φαιδρὸς, οἷος ἔμεινε
φον, ἢ μόσχον, ἢ ἄρνα θυσιάζ
αἰσίαις εὐχαῖς τῷ Θεῷ; Τίς δὲ τὴ
τὴν ἐπὶ τῆς πολυτρόπου ἐκείνης
κείαν ἀλλοιώτως ἔμαθε φιλοσοφί
τῆς ἐφ' ἑκάστου τῶν ἀπολλυμένω
χαριστίας βοησάσης αὐτοῦ τὴν
λοψυχίαν σαφῶς; οὔτε γὰρ ὑφ' ἑ
κοῦργος ἐπόρθησεν ἅπαντα, ἵνα μ
τὰ τῆς συμφορᾶς ποιήσας πληγὴν
τομον, καὶ συνεσταλμένην τὴν ὀ
ἐργάσηται, δυναμένην εἰς πλ
ἐκταθῆναι ταῖς κατὰ μέρος ἀγγελί
ποιῆσαι αὐτῷ ἀκούοντι τὸ ἄλγος
τρον. οὐδὲν γὰρ πρότερον ἐπικατασ
φιλτάτοις τὸν οἶκον εὐωχουμένοις
ταστροφῇ τάφον τὴν οἰκίαν ποιῶν
μιγνὺς ἐδέσμασιν αἷμα, καὶ
σάρκας, καὶ λίθους ὁμοῦ, ἵνα
μείζονι πάθει ἀργεῖν πρὸς τὰ ἐλ
ποιήσῃ τὴν αἴσθησιν. Βαθμῷ γὰρ
ἐπέρχεται ἅπαντα ἀπὸ τῶν ἁπλ

μεταβαίνων ἐπὶ τὰ τιμιώτερα, καὶ ἄλλας ἄλλων ἀλγεινοτέρας ἀγγελίας κατασκευάζων, καὶ ποσότητι, καὶ ποιότητι τῶν διαφθειρομένων, ὅπως κατ' ὀλίγον αὐξηθὲν τὸ δεινὸν μέγα καὶ χαλεπὸν τὸ τραῦμα τῆς ἀθυμίας ἐργάσηται. τάξει δήπουθεν προελθὼν ἐκ προοιμίων ἕως ἔφθασεν εἰς τὴν ἐσχάτην πληγὴν, ᾗ καὶ διέδειξε τοῦ ἀνδρὸς τὸ φιλόσοφον. ὡς γὰρ τὴν καταστροφὴν τοῦ οἴκου, καὶ τῶν τέκνων ἔμαθε τὴν ἀπώλειαν, τῶν ἄλλων ἁπάντων τὴν φθορὰν ἤδη προπεπυσμένος, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ, τῷ λαβόντι τὰ ἄλλα, καὶ ἃ μὴ λαβεῖν δεδύνηται, προδιδοὺς, καὶ φθάνων φυσικῇ φιλοσοφίᾳ τὴν τοῦ Εὐαγγελίου παραίνεσιν· ἐὰν γάρ σου φησὶ λάβῃ τις τὸν χιτῶνα, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον. τοῦτο προλαβὼν ἑκὼν ἐποίησε, τὸ μὴ λυπεῖσθαι ἐπὶ τοῖς δόξασιν ἀκουσίως συμπεπτωκέναι κακοῖς τῷ ἑκουσίῳ πιστούμενος, καὶ τὸ τέως λανθάνον τῆς γνώμης τῷ φαινομένῳ μηνύων.

ſed gradatim ſigillatim peruadit omnia à tenuioribus ad res maioris momenti tranſcendens;& alium ſubinde nuntium grauiorem præcedenti, numero, & qualitate damnorum illatorum apparat, vt calamitas per incrementa exaggerata magnum, & graue, ac aſperum vulnus deſperationis animo infligeret. Ordine ſcilicet à leuioribus principijs progreſſus vſq;ad vltimũ ictũ deuenit, qui & ſapientem viri cõſtantiam maximè declarauit. Nã vt domum ſubuerſam, & liberos interemptos edidicit,cum ante cæteras omnes facultates ſibi periiſſe audiiſſet,diſcidit veſtimenta ſua, & totondit comam capitis, quò ei,qui alia eripuerat, & quæ auferre non poterat, vltrò concederet, & naturali ſapientia Euangelicam anteuerteret admonitionem : Si enim *Matt. 5, 40.*
quis (inquit) accipiat tunicam tuã, dimitte ipſi & pallium. Hoc ille præueniendo præſtitit libera ſponte, profitens non doluiſſe ſe de damnis, quæ videbantur inuito ſibi accidiſſe,& indicans euidenti argumento animi latentem tandiù ſenſum.

ΚΕΦΑΛ. δ'.

Ὁ γὰρ ληφθέντι βίᾳ, καὶ ὃ μὴ ἀφαιρεῖταί τις προδιδοὺς, δῆλος τῇ δευτέρᾳ φιλοτιμίᾳ τῶν, ὡς καὶ τὸ πρότερον κἂν ἐλήφθη ἀνάγκῃ, οὐκ ἀνάγκῃ παρεχώρησε, τὴν γνώμην οὐ βιασθεὶς, κἂν τυραννεῖν ἔδοξαν οἱ βιασάμενοι, τοῦτο λαβόντες, ὃ καὶ μὴ ἀποδοῦναι δυνάμενος, προαιρέσει ἐπέδωκεν, ἐξουσίᾳ προσχὼν ὅπερ ἄκων τῷ φαινομένῳ ἀφῃρῆσθαι νενόμισται. Καὶ Ἰωσὴφ δὲ, καὶ Σωσάννα, καὶ Ἰεφθαὶ ἔλαθον αὖ, οἱ μὲν ἐπὶ σωφροσύνῃ, ὁ δὲ ἐπ'

CAPVT IV.

NAm qui vi quidquam eripiẽti, & quod non aufert vltro dat,vtique poſteriori ea magnanimitate oſtẽdit,ſe etiam primùm, licet neceſſitate ſit ereptum, non ex neceſſitate tamen conceſſiſſe, nec animum vi coactum, etſi qui vi rapuerunt, tyrannicè videantur egiſſe, cum illud quoque acceperint,quod & non concedere valens, ex animi propoſito conceſſit ſponte præbens quod ei, qui videbatur eripere, feciſſe inuitus putabatur. Et Ioſeph verò, & Suſanna, & Iephthæ laterent, illi quidem pudicitia

Iud. 11. citia celebrati, & hic veritate. Iſte namque vt rem in bello benè gereret, ſi deuiciſſet hoſtes, qui ſuperiores erant copijs, & peritia rei militaris, promiſit quodcumque ipſi primum occurreret propriarum rerũ obuium, in holocauſtum oblaturum; vnica filia ipſi obuiam veniente caſu, quæ mirum in modum dilecta erat, nõ fregit promiſſum, pietatem naturæ anteponens, & viſcera prodens potiùs, quàm Deo nuncupatum votum, & confeſſionem irritam facere, licèt in filiæ cæde dolor eſſet intolerabilis. Et aliorum quidem egregia facinora clara cum eſſent, perſpicuam in ipſis actibus, manifeſtamque laudem excipiebant. Ioſephum autem, & Suſannam cum dolore ſtrenuoq; ſimul certamine infamiæ ſententia, & condemnatio ſubſequebatur, quæ non ſolum virtutis admirationem occultabat, verùm etiam intemperantiæ vituperio inuoluebat. Id vero homini ſapientiæ ſtudioſo mul tam faceſſit moleſtiam, cum ex quibus oportuiſſet eum dilaudari, & celebrari,ex lijs opprobrium experitur.Sed apud Deum magnam, & ineſtimabilem conciliat gloriam, & venerationem, quòd pro bono opere magnum ſubiuit laborem, & opinionem prauam de ſe, cum vera non eſſet, æquè moderatè tulit, ac ſi fuiſſet vera. Ideoque Dominus ad difficultatem huiuſcemodi magnanimitatis conſo-

Matth. 5. 11. landam dicebat: Beati eſtis, cum maledixerint vobis, & perſequuti vos fuerint, & dixerint omne malum verbum; & reliqua; duplicis virtutis duplicia præmia ponei reſpondentem moleſtiæ præbens remunerationem ad ſubleuar grauem mœrorem in labore ſuſceptum. Etenim quando hu ſapic

ἀληθείᾳ διαδοκιμάσαντες. καὶ ὁ πρότερος ὑπὲρ τῆς ἐν πολέμῳ ἀριστείας, εἰ γένοιτο τῶν ἐχθρῶν ἐπικυδεστέρων ὄν πλήθει, καὶ ἐμπειρίᾳ πολεμικῇ, ὁλοκαύτωσιν ὑποσχόμενος ὅπερ ἂν τύχῃ ἄλλων πρῶτον ἀπαντῆσαν οἰκεί θυγατρὸς κατὰ τὸ συμβὰν ὑπαντησά μονογενοῦς, καὶ στερηθεὶς ἐκ τούτου οὐκ ἐψεύσατο τὴν ἐπαγγελίαν, φύσεως τιμήσας εὐσέβειαν, σπλάγχνα δοὺς ὑπὲρ τοῦ μὴ τὴν εἰς Θεὸν ἀθε ὁμολογίαν, κἂν ἡ ἐπὶ τῇ ἀναιρέσει τέκνου τὸ πάθος ἀφόρητον. Καὶ τῶν ἄλλων ὄντα γυμνὰ τὰ κατορθώ φανερὸν ἐπὶ ταῖς πράξεσι, καὶ πολὺν εἶχε τὸν ἔπαινον. τῷ δὲ Ἰωσὴφ τῇ Σωσάννῃ μετὰ τοῦ πόνου, καὶ τῆς ἀνδραγαθίας, ἡ αἰσχρότητος ἠκο κατάγνωσις οὐ μόνον κρύπτουσα τὸ θ τῆς ἀρετῆς, ἀλλὰ καὶ ἀκολασίας βάλλουσα ψόγον. Τοῦτο δὲ πολὺ φιλοσοφοῦντι παρέχει τὸν κάμα ἐφ' οἷς ἐχρῆν εὐφημεῖσθαι ἐπὶ τ δυσφημούμενον. πολλὴν δὲ παρὰ Θεῷ καὶ ἀνείκαστον προξενεῖ δόξαν αἰδέσιμον, ὅτι καὶ πόνον ἐπὶ τῷ θῷ ἔργῳ ἀνεδέξατο μέγαν, καὶ πονηρὰν δόξαν οὐκ οὖσαν ἀληθῆ κῶς ἤνεγκεν ὡς ὄντως ἀληθῆ. Διὰ τὴν δυσχέρειαν τῆς τοιαύτης μεγαλ χίας παραμυθούμενος ὁ Κύριος ἔ μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμ καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥ καὶ τὰ λοιπά· διπλῆς ἀρετῆς διπλ ρα τιθείς, καὶ ἀναλογοῦσαν τῷ κα παρέχων τὴν ἀμοιβήν, πρὸς ψ γωγίαν τῆς ἐν τῷ πονεῖν ἀηδείας. γὰρ ὁ ταπεινόφρων ὀνειδίζηται ὑ ψίαν, καὶ ὁ σώφρων λαγνείαν, καὶ φαγίαν ὁ ἐγκρατής, καὶ ὁ ἐπιεικὴς σύτητα, καὶ βλακείαν ὁ σεμνὸς,

Συντετριμμένος ὑπόκρισιν, τότε καλῶς ὁ μισθὸς γίνεται διπλοῦς, ὁ μὲν ὑπὲρ τοῦ ἔργου, ὁ δὲ ὑπὲρ τῆς συκοφαντίας στεφανοῦν τὸν ἀθλήσαντα.

ſapiens ſuperbiæ, liberaliſque rapinæ, & caſtus luxuriæ, atque crapulæ, & voracitatis ſobrius, & manſuetus proteruiæ, & ſerius ſcurrilitatis, & contritus ſimulationis reus traducitur; ibi iure merito duplex debetur merces, quarum altera proper opus, altera propter calumniam coronat certantem.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Τοιοῦτος ἦν ὁ μέγας Ἰώβ, καὶ τὰς οἰκείας εἰδὼς ἀρετάς, καὶ ἐν τῷ παρὰ τῶν φίλων ὀνειδίζεσθαι τὰς ἐναντίας κακίας, οὐ ζυγομαχῶν περὶ τοῦ τὰ ψευδῆ ἀποσείσασθαι ὀνείδη, καὶ ἔωλα, συντιθέμενος δὲ τούτοις, καὶ συμψηφιζόμενος ἑτοίμως φησὶ γάρ, ἐπ' ἀληθείας οἶδα, ὅτι οὕτως ἐστὶ καὶ ἐπαγωνίζεται τοῦ δεῖξαι, ὅτι οὕτως ἐστὶν ἀληθῶς, ἑξῆς ἐπιλέγων· πῶς δὲ ἔσται δίκαιος βροτὸς παρὰ τῷ Κυρίῳ, ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ; τὸ δοκοῦν κοινὸν τῆς φύσεως ἔγκλημα ποιησάμενος ἴδιον, ἵνα μὴ αὐτὸς ἀπηλλάχθαι νομισθῇ ἧς ἐπεφήμιζον ἐκεῖνοι φαυλότητος. ὅθεν καὶ δικαίως διπλᾶ πάντα ἀπέλαβε, τὰ μὲν ὡς σεσυλημένος παρὰ τοῦ λωποδύτου, τὰ δὲ ἀμοιβὴν τῆς ἐπὶ τοῖς ἀπολλυμένοις φιλοσοφίας. Οὕτως οὐκ ἀδικοῦσι μόνον αἱ θλίψεις, ἀλλὰ καὶ ὠφελοῦσι τὰ μέγιστα, λαμπρὸν, ἐὰν καρτερῇ ἀποφαίνουσι τὸν θλιβόμενον. Ἀλλ' οὐδὲ τὰς θλίψεις ἕως κινδύνων ὁ τῆς ἡμετέρας ζωῆς πρύτανις χρονίζειν ἐᾷ, οὔτε τὸν ἀγῶνα ὑπὲρ δύναμιν τοῦ ἀγωνιζομένου γενέσθαι ἀφίησιν. εἰ δὲ καὶ συγχωρήσειέ ποτε οἰκονομικῶς τι παράδοξον, μεῖζον τὸ θαῦμα ποιεῖ αὐτὸς ἀναπληρῶν συνεργείᾳ τῆς χάριτος τὸ λεῖπον τῇ ἀσθενείᾳ τῆς φύσεως, καθάπερ τὸ νήχεσθαι τὸν ἀπείρως ἐθι-

CAPVT V.

Talis erat magnus Iob, & ſuarum ſibi virturum conſcius, & aduerſus amicos exprobrantes ſibi contraria vitia non contendens rixando in diluendis falſis opprobrijs, & intẽpeſtiuis; ſed ſuo quoque ipſis accedebat aſſenſu, & calculo ſuo in promptu comprobabat. Ait enim: In veritate ſcio, quòd ita ſe res habet. Et planè conatur demonſtrare, quod ita eſt reuerà, deinceps ſubiungendo: Quomodo enim erit iuſtus mortalis apud Dominum, aut ab operibus ſuis irreprehenſibilis vir? Quod videtur commune naturæ crimen, propriũ ſibi facit, vt ne ipſe cenſeretur eximere ſe ſe ab ea, quam illi exprobrabant, improbitate. Vnde etiam iure duplicia recepit omnia; alia quidem, velut a graſſatore illis ſpoliatus, alia verò ad remunerationem ſapientis conſtantiæ ſuper his, quorum iacturam fecerat, exhibitæ. Adeò afflictiones non ſolum iniuriam nullam, ſed maximam quoque vtilitatem afferunt, & afflictum, ſi fortiter perferat, illuſtrem reddunt. Verùm neque ad diſcrimina vſque, ærumnas vitæ noſtræ moderator perdurare diù ſinit, neque certamen vltrà vires decertantis produci permittit. Si verò & diſpenſando permittat nonnumquam aliquid præter opinionem, maius miraculum efficit ipſe ſupplendo adminiculo gratiæ de-

fectum præ debilitate naturæ, vt qui natādi imperitos aſſuefaciunt, ipſi eos propè adnatantes ſupportant, & ſuſtinent viribus deſtitutos, & alterutra manu alleuantes, donec vires exhauſtæ interquieſcendo reparentur, & artem eo modo docent, & non patiuntur in periculis demergi. Ita enim Paulus
1. Cor. c.10. quodam loco ait: Fidelis Deus eſt,
13. qui non patietur vos tentari ſuprà id, quod poteſtis, ſed faciet etiam cum tentatione prouentum, vt poſſitis ſuſtinere. Alio autem loco: Nolo vos (fratres) ignorare de tri-
2. Cor. c.1.v.8. bulatione, quæ facta eſt in Aſia; quoniam ſuprà modum grauati ſumus ſupra virtutem ita vt tæderet nos etiam viuere. Vbi verbis iſtis, ſecūdum vires, & ſupra vires diuinam cooperationem ſuppeditaſſe robur dicit, ad faciendū, ut exitus tentationum tolerabilis euaderet, & ſalus in deſperatis periculis non ſolum opinionem, ſed & propè fidem excederet.

ζοντες περικολυμβῶντες πλησίον διαβαστάζουσιν ἀποκάμνοντας, ἀνακουφίζοντες μιᾷ ταῖν χεροῖν, ἕως ἡ καμοῦσα διαναπαύσηται δύναμις, καὶ τὴν τέχνην διδάσκοντες, καὶ καταδύεσθαι ἐν ταῖς ἀνάγκαις οὐ συγχωροῦντες. οὕτω γὰρ ὁ Παῦλος ποτὲ μέν φησι, πιστὸς ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. ποτὲ δὲ, οὐ θέλω γὰρ ὑμᾶς ἀδελφοὶ ἀγνοεῖν περὶ τῆς θλίψεως τῆς γενομένης ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ὑπὲρ δύναμιν ἐβαρύνθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. καὶ τὸ κατὰ δύναμιν, καὶ τὸ ὑπὲρ δύναμιν τὴν θείαν συνεργίαν παρεσχηκέναι λέγων ἰσχὺν εἰς τὸ φέρειν, καὶ τὴν λύσιν τῶν πειρασμῶν ἀνεκτὴν, καὶ τὴν σωτηρίαν ἐν τοῖς ἀπεγνωσμένοις κινδύνοις παράδοξον καὶ ἀπιστίας ἐγγύς.

CAPVT VI.

Gen.12 QVomodo enim Sarra cum in libidinoſi Regis manus incidiſſet peregrina, & aduena, cum neutiquā auxilium aliud præter Diuinum ex alto ſperandum ipſi foret, maritus enim præſens quidem, & ad opem ferendam obſtrictus, adeò erat ad illam præſtandam inualidus, vt occultaret coniugium, & prætexeret cognationem vocans ſororem vxorem, & thori ſociam conſanguineā præ mortis metu, quòd ſciret alienigenæ mulieris pulchritudine ad inſaniam vſque furentes inimicos implacabiles exiſtere, quicumque riualium ſuſpicionem præbent, & promptos eſſe ad cædem vſque progredi, vt ne quem haberent, qui ada-

ΚΕΦΑΛ. ϛʹ.

ΠΩς γὰρ ἡ Σάῤῥα βασιλέως ἀκολάστου περιπεσοῦσα χερσὶ ξένη, καὶ ἔπηλυς, οὐδαμόθεν ἄλλης βοηθείας πλὴν τῆς θείας ἄνωθεν ἐλπιζομένης αὐτῇ (καὶ γὰρ ὁ παρὼν καὶ βοηθεῖν ὀφείλων ἀνὴρ οὕτως ἦν πρὸς τοῦτο ἀσθενὴς, ὡς καὶ κρύψαι τὸν γάμον, καὶ προβαλέσθαι συγγένειαν, ἀδελφὴν λέγων τὴν γαμετὴν, καὶ τὴν σύνευνον σύναιμον δέει θανάτου, τοὺς ἐπιμανέντας κάλλους γυναικὸς ἀλλοτρίας εἰδὼς ἐχθροὺς ἀσπόνδους ἡγεῖσθαι, τοὺς ἀντεραστῶν ὑπόνοιαν ἔχοντας καὶ σπουδάζειν, καὶ μέχρι φόνου χωρεῖν,

ὅπως μὴ ἔχωσι τὸν περισπῶντα πρὸς ἑαυτὸν τῆς ἐρωμένης τὸν νοῦν, καὶ τὸ τῆς συμβιώσεως ἀμέριμνον φροντίδι ζηλοτυπίας θολοῦσθαι δυνάμενον) ὅτε πάντοθεν ἠρέμησε πάντα πρὸς ἀντίληψιν εὔκολα, καὶ ἀλογώτατα, τότε δὴ αὐτῆς τῆς λύπης ἐρρύσθη ἀνύβριστος, σπασμοῖς τῶν σπλάγχνων τοῦ τυράννου κωλυθέντος τῆς μοιχικῆς ὁμιλίας, καὶ τὴν μανιώδη ναρκήσαντος ὄρεξιν τοῖς ὑπερβάλλουσι πόνοις; Τί ἦν μετὰ τὴν κοίτην, καὶ περιπλοκήν, ἢ ὕβριν προσδοκήσουσ λοιπόν, τοῦ πάθους ὄντος διὰ πολλὴν τῷ βαρβάρῳ ἀκρασίαν ἀσχέτου τοῦ κάλλους ἐρεθίζοντος τὴν ἐπιθυμίαν, τῆς ἐπιθυμίας ἐγειρούσης τὸν οἶστρον πρὸς ἄθεσμον ἡδονήν, τῆς ἀναπτούσης ἅπαντα ὕλης παρακειμένης ἑτοίμου, καὶ βουλομένης μὲν τὴν βιαίαν πεῖραν φυγεῖν, ἐπισχεῖν δὲ τοῦ βιαζομένου τὴν ὁρμήν, οὐκ οὔσης ἱκανῆς, οὔτε σώματος ἰσχύι, οὔτε παρακλήσει λόγων, πρὸς οὐδὲν γὰρ ἐνδίδωσι ῥιπτοθὲν ἅπαξ ἐν ταῖς φιληδόνοις τὸ πάθος, οὐκέτι λογισμὸν ἔχον προσέχειν τοῖς λεγομένοις, καὶ πεισθῆναι δυνάμενον; Ἀλλ' εὗρεν ἡ ἀρετὴ τῆς γυναικὸς καὶ ταῖς οὕτως ἀπόροις μηχανῆς τρόπον, ᾧ τηρῆσαι αὐτὴν ἀμίαντον ἤμελλεν, ἰδίοις ἀλγήμασι προσασχολήσασα τὸν ἀλάστορα, καὶ σβέσασα βασάνων ὀδύναις κρυφίων φλεγμονὴν, ἐπιθυμίας σμυχόμενον κρύφιον πῦρ.

adamatæ animum ad ſeipſum circumtraheret, atque ſecuritatem contubernalis conuictus zelotypiæ cura interturbare poſſet) quando ſubſederunt omnia omninò prōpta & expeditiſſima ad manuū iniectionem, tunc ex ipſo etiam lecto, ſine vlla contumelia liberata fuit, cum viſcerum conuulſiones Tyrannum prohiberent adulterino congreſſu, & furibundam cupidinem dolores intenſiſſimi reſtinguerent? Quid poſt decubitum, & complexum expectandum erat amplius, quàm probrum, cum propter barbari multam intemperantiam paſſio retineri non poſſet, cum pulchritudo irritaret concupiſcentiam, cum libido furoris ſtimulum ad illicitam voluptatem concitaret, cum materia quæ accendit inflammatq; omnia, prompta adeſſet; & ipſa quidem vellet violentam oppreſſionem effugere, nec tamen violenti impetum cohibere ſufficeret vel corporis robore, vel verborum adhortatione, nam ſemel accenſus in voluptuarijs affectus nulli rei cedit, cum ratione carens neque dictis attendat, neque ſuaderi queat? Sed reperit virtus mulieris etiam in rebus adeò anguſtis induſtriæ modum, quo ſe incontaminata conſeruare debuit, dum proteruum amatorem proprijs ſibi cruciatibus coëgit eſſe intentum, & occultorum tormentorum doloribus profundum ardentis libidinis incendium reſtinxit.

ΚΕΦΑΛ. ζ'.

Περὶ Δαβὶδ, καὶ Γεδεών.

Πῶς δὲ ὁ πρᾳότατος, καὶ ἄκακος Δαβὶδ πολλάκις παραπεσὼν τῷ αἱμοβόρῳ Σαούλ,

CAPVT VII.

De Dauide, & Gedeone.

QVo pacto verò manſuetiſſimus, & innocentiſſimus Dauid ſæpius in Saulem 1. *Reg.*

ſanguinarium incidens euaſit præter omnem ſpem ex eius manibus illæſus,& indemnis; qui nunc hoc, nunc illo modo ſaluatus fuit,ita vt ſuæ ſalutis rationem probabilem reddere non poſſet, cum vnúquodque miraculum, & rationis, & orationis omnem captum exſuperet? Quomodo autem parricidam
2. Reg. 18. 2. Abſalonem Tyrannidis reum cōuicit nullis hominum manibus apprehenſum? Nam quercus fugientem ipſum comprehenſum furſum rapuit, & conſpicuum edito in loco ſuſpendit, cunctiſque indulgentiſſimi patris iniuriam vindicare volentibus promptum,paratumque ad cædem expoſuit, ſuique defenſione priuatum dignam inſani conatus hanc pœnam perſoluere coēgit, vt proderetur ab exanima brutaque plāta ad necem. Qua ratione Gedeon cum trecentis peditibus vniuerſam Madianitarum gentem arenæ præ multitudine aſſimilatam à pubertate vſque interficiendo deleuit,cum nulla eos vndecumque adoriundi oc-
Iudic.c. 7.& 8. caſio ſe ſe oſtenderet? Nam res vniuerſim conſiderata ne animi quidem cogitatione ob ingentes aduerſariorum copias tantum audere facinus permittebat,neque adhuc narratio ſomnij fidentiorem eum reddidiſſet. Nonne formidantem, & ab obediendum ſegniorem Deus ipſe in hoſtium caſtra deſcendere iuſſit, exinde audaciam ipſi tribuens, quam fides ipſi nondum experto Diuinam opem quaſi ſocialem negabat? Nam neſcio quo ſomnium ſuum enarrante audijt, Mactra panum hordeaceorum prouoluta euertit caſtra Madianitarum. Et cum alius rurſus ſatis aptè comparationem iſtam explicans dixiſſet,Hunc eſſe gladium Gedeonis, & exercitus eius: ipſe ea narratione audita in bonam ſpem ere-

διῆλθε παρὰ πᾶσαν ἐλπίδα τῶν τούτου χειρῶν ἀπαθὴς, ἄλλοτε ἄλλως σωθεὶς, καὶ οὐκ ἔχων εἰπεῖν λογισμὸν τῆς σωτηρίας εἰκότα, νικῶντος ἑκάστου θαύματος, καὶ λογισμοῦ πέρα καὶ λόγου ἐπίνοιαν; Πῶς δὲ τὸν πατραλοίαν Ἀβεσσαλὼμ ἠτιάσατο τῆς τυραννίδος οὐ ληφθέντα χερσὶν ἀνθρωπίναις; δρῦς γὰρ αὐτὸν δραξαμένη τῆς κόμης ἀνήρπασε φεύγοντα, καὶ περίοπτον ἀνήρτησεν ἐπὶ μετεώρου, πᾶσι τὴν ἐκδικεῖν ἐθέλουσι ὕβριν φιλοστόργου πατρὸς εἰς σφαγὴν προδοῦσα προχείρως, καὶ ἀμύνειν ἑαυτῷ δυνάμενον ἥκιστα, ἀξίαν τῆς ἀλόγου ἐπιχειρήσεως ταύτην δεδωκότα τὴν ποινὴν, τὸ προδοθῆναι παρὰ τοῦ ἀψύχου, καὶ ἀλόγου πρὸς φόνον φυτοῦ. Πῶς ὁ Γεδεὼν σὺν τοῖς τριακοσίοις πεζοῖς ἔθνος ὅλον τῶν Μαδιναίων, ἄμμῳ διὰ τὸ πλῆθος παρεικασθὲν, ἡβηδὸν κατέκτεινεν, οὐκ ἐσχηκὼς ποθὲν εὔλογον πρόφασιν συμβολῆς; ἐποίει γὰρ τὸ εἰκὸς ὀλοχερῶς, καὶ τῇ ἐνθυμήσει τὴν ἐπιχείρησιν διὰ τὸ τῶν ἀντιτεταγμένων πλῆθος ἀτόλμητον, μὴ τῆς διηγήσεως τοῦ ὁράματος παρορμησάσης αὐτὸν ἐπὶ τὸ πρόθυμον. οὐ δειλιάσαντα αὐτὸν, καὶ παρειμένον ὑπακοῦσαι καταβάντα εἰς τὴν παρεμβολὴν τῶν πολεμίων ὁ Θεὸς προσετάξατο, ἐκεῖθεν δεδωκὼς αὐτῷ τὸ θαρρεῖν, ἐπεὶ μὴ τὸ πεποιθὸς εἶχεν ἐκ πίστεως, ὥσπερ τῆς ἐν συμμαχίας Θεοῦ; Μαγὶς γὰρ ἤκουσεν ἄρτων κριθίνων διηγουμένου ὄναρ τινὸς κυλιομένη κατέστρεψε τὰς σκηνὰς τῶν Μαδιανιτῶν. καὶ ἄλλου πάλιν εὐστόχως τὴν σύγκρισιν φράζοντος, καὶ λέγοντος τὴν ῥομφαίαν εἶναι ταύτην τοῦ Γεδεὼν, καὶ τῆς μετ' αὐτοῦ στρατιᾶς, καὶ ἀνέστη πρὸς ἐλπίδα χρηστὴν ἐκ τῆς ἀκοῆς,

τῷ φρονήματι τὸ ἀτελὲς τοῦ οἰκείου στρατοῦ σὺν κριθίνοις λογισάμενος ἄρτοις, οἳ κυλιόμενοι τὴν παρεμβολὴν ἀλώσουσιν ἀπονητὶ τῶν ἐχθρῶν, οὐκ αὐτοὶ χειρούμενοι τὸ ἀντίπαλον οἰκείᾳ χειρὶ, συρρηγνύμενοι δὲ τὴν ἰσχὺν παρὰ τῆς κυλιούσης αὐτοὺς, καὶ ἐπιχαζούσης θείας δυνάμεως. ἐπειδὴ τὸ κυλιόμενον δοκεῖ μὲν πλήττειν, καὶ θραύειν τὸ παρατυχὸν, αἰτίαν δὲ τούτου ἔχει τὴν τοῦ κυλίοντος, καὶ ἀπόνως ὠθοῦντος δύναμιν.

erectus eſt prudenter coniiciens tenuitatem ſui exercitus panibus illis hordeaceis ſignificari, qui prouoluti hoſtium caſtra nullo labore diſſipaturi eſſent, neque id manu conſerta cum inimicis propria, ſed voluente ipſos, atque rotante Diuinæ virtutis inſtinctu. Etenim quod voluitur, obuia quæque percellere, atque affligere videtur: ſed cauſſa eius rei in illius, qui conuoluit, atque protrudit acriter, robore conſiſtit.

ΚΕΦΑΛ. η'.

Περὶ Σαμψὼν, καὶ Ἐζεκίου.

Πῶς ὁ Σαμψὼν χιλίους ὁπλίτας μόνος ἐν σιαγόνι κατέβαλεν ὄνου, καὶ διψήσας ἐκ τοῦ κόπου τῆς μάχης, οὐδαμοῦ λιβάδος φαινομένης, οὐ πίδακος, ἐκ μιᾶς τῆς σιαγόνος μύλης ἔσχε ῥαγὲν ἄφθονον νᾶμα· τὴν αὐτὴν καὶ ὅπλον κατὰ τῶν ἀλλοφύλων λαβὼν, καὶ πηγὴν εἰς ἄκεσιν τοῦ θλίβοντος μετὰ τὴν νίκην αὐτὸν δίψους εὑράμενος; Πῶς Ἐζεκίας, οὐδὲ τὴν ὄψιν ἐνεγκὼν τοῦ Ἀσσυρίου στρατοῦ καλύψαντος τὴν πορθουμένην ἀθρόως βύζην ἅπασαν γῆν, οἴκοι προσεδεχόμενος, νεκροὺς ἐπεῖδε πρωῒ οὐ δόρυ σείσας, οὐ θυρεὸν προβαλλόμενος, οὐ τόξον ἐντείνας, οὐ ξίφος μεταχειρισάμενος, οὐκ ἄλλο τι πολεμικὸν ἐπιδειξάμενος ἔργον, ἑνὸς Ἀγγέλου ἐφ' ἑνὶ συνθήματι τὸν τοσοῦτον ἡσυχῇ δράσαντος φόνον, καὶ οὐκ ἀνελόντος μὲν ἅπαντας, οὐ γὰρ ἦν σκοπὸς αὐτοῦ πανώλεθρον ὀλέσαι τὸ ἔθνος, τοσούτους δὲ, ὅσοι φόβον τοῖς οἰκείοις πρὸς φυγὴν καὶ

CAPVT VIII.

De Sampſone, atque Ezechia.

QVo pacto Sampſon mille armatos ſolus aſini maxilla percuſſit, & cum finiiſſet e certaminis contentione defeſſus nulla vſquam ſcaturigine, nullo riuulo apparente, ex vno maxillæ dente molari laticem aquæ large prorumpentem hauſit; eâdem ſcilicet & telum aduerſus alienigenas arripiens, & fontem ad medelam ſitis, qua premebatur poſt victoriam, nactus? *Iudic. c. 15. v. 15.* Quomodo Ezechias cum ne aſpectum quidem Aſſyrij, exercitus totam regionem prædatorio agmine confertim addenſato cõtegentis ſuſtineret, domi ſuæ exorans manè mortuos conſpexit, neque haſtam vibrauit, neque ſcutum obiecit, nec arcum tetendit, neque gladium manu ſtrinxit, neque aliud opus militare vllum exhibuit: vnus autem Angelus vnica velut teſſera tantam cędem ſine ſtrepitu edidit, neque interemit vniuerſos, quod totam gentem internecione delere ſcopus non eſſet, ſed tot duntaxat, quot ſufficeret ad incutiendum ſuis terrorem, quo fugerent, & perculſi obſtupeſcerent? Quis lapides grandinis telorum

rum vice demiſit è nubibus in hoſtes coarctando, & alios mutuo perturbauit, velut hoſtibus ex improuiſo irrumpentibus, in mutuam ſuam cædem graſſantes, dum aduerſarium interficere ſibi quiſque videtur, quo pacto victoriam tunc temporis pio, & religioſo populo ſine pugna præſtitit?

καταπλῆξιν ἦσαν ποιῆσαι ἱκανοί; Τίς λίθους χαλάζης ἀντὶ βολίδων ἐκ νεφῶν ἀθρόως ἀφῆκεν ἐπὶ τοὺς πολεμίους, καὶ ἄλλους ἐτάραξε κατ' ἀλλήλων ὡς τῶν ἐναντίων ἀδοκήτως ἐκβεβληκότων, οἰκεῖον ἐργασαμένους φόνον δοκήσει τοῦ ἀναιρεῖν τὸν ἀντίπαλον, ἄμαχον νίκην παρασχὼν τῷ ποτε εὐσεβοῦντι λαῷ;

CAPVT IX.

De Eliſſæo, deque Iſraëlitis.

Quomodo Propheta Eliſſæus latuit hoſtes perquirentes, cum vndique cinctus eorum copijs neque conſpiceretur, & ad ſuã eos regionem deducens non cognoſceretur, ipſe nequiſſimis illis ducem ſe præbens, cum faciliùs inferre, quàm accipere iniuriã poſſet, oculis eorum caligine offuſis, & errantibus plane in peruestigando? Quomodo Aegyptijs perſequentibus Iſraëlitæ in manus non inciderunt ipſorum, cum à tergo haberent eos caſtrametantes, à frõte mare longè, latèque diffuſum, hinc inde ſolitudines inacceſſas, & montes excelſis iugis elatos, vndique concluſi difficultate effugiendi, quemadmodum iactus piſcium intrà ſagenam clauſus in manibus aduerſariorum? Qua ratione mare ſeceſſit? Quomodo aqua è continente iu continentem porrecta ſtetit, fundum arenoſum ſterile relinquẽs ad viam, qua equi, curruſque commigrarent, muniendam? Quo pacto fluctus fuſo ære ſolidiùs concreſcentes obduruerũt? Qua ratione aquæ natura ad defluendum in præceps prona inſtar muri in tantam altitudinem excitata ſurrexit, & perſequutione preſſis iter miraculoſo modo apertum reſecuit, hiice vtrinque abſque vllo

2. Paralip. 32. 21.

Gen. 3.

ΚΕΦΑΛ. θ'.

Περὶ Ἐλισσαίου, καὶ τῶν Ἰσραηλιτῶν.

Πῶς τοὺς ζητοῦντας ἔλαθε πολεμίους ὁ Προφήτης Ἐλισσαῖος ἐν μέσοις αὐτοῖς ἐνειλημμένος, καὶ οὐχ ὁρώμενος, φέρων ἐπὶ τὴν ἑαυτοῦ γῆν, καὶ οὐ γνωριζόμενος, πονηροὺς ὁδηγῶν, καὶ ἀδικῆσαι μᾶλλον, ἢ ἀδικηθῆναι δυνάμενος, τῆς ὄψεως ὑποχυθείσης αὐτοῖς, καὶ σφαλλομένοις εἰκότως περὶ τὴν ἔρευναν; Πῶς διώκουσι τοῖς Αἰγυπτίοις Ἰσραηλῖται οὐ γεγόνασιν ὑποχείριοι, κατόπιν ἔχοντες αὐτοὺς ἐστρατοπεδευκότας, ἐξ ἐναντίας θάλασσαν κεχυμένην πολλὴν ἐκατέρωθεν ἐρημίας ἀβάτους, καὶ ὄρη ἠλίβατα, πανταχόθεν συγκεκλεισμένοι ἀπορίᾳ φυγῆς, καθάπερ σεσαγηνευμένος βόλος ἰχθύων ἐν ταῖς χερσὶ τῶν ἐχθρῶν; Πῶς ὑπεχώρησεν ἡ θάλασσα; Πῶς δὲ ἔστη τὸ ὕδωρ ἐξ ἠπείρου εἰς ἤπειρον, τὴν βυθίαν ψάμμον χέρσον καταλιπὼν πρὸς ἱππήλατον, καὶ ἁμαξήλατον ὁδόν; Πῶς ἐπάγη τὰ κύματα χαλκοῦ κεχυμένου κραταιότερον; Πῶς ἀνέστη τειχοειδῶς πρὸς τοσοῦτον ὕψος διεγερθεῖσα ἡ καταντὴς ἐπὶ τὸ πρανὲς πεφυκυῖα φύσις τοῦ ὕδατος, καὶ ὁδὸν τοῖς διωκομένοις ἀνέτεμε παράδοξον, τούτοις ἀμπωτίσασα τοῦ πελά-

γοῦς αὐτὰ τινὸς κωλύματος ἀμφοτέρωθεν τὰ τμήματα, κἀκείνους τῇ παλιῤῥοίᾳ καλύψασα, ἓν τάφον πᾶσιν ὁμοῦ ζώοις, καὶ ἀνθρώποις τὸν βυθὸν σχεδιάσασα; Πῶς ἐν ἐρήμῳ τροφὴν αὐτοῖς ἀγεώργητον ὕμβρησεν οὐρανὸς, ποτὲ μὲν μάννα, ποτὲ δὲ ὀρτυγομήτραν ἐπινίψας, ἀταλαίπωρον, καὶ ἀναρτύτον τράπεζαν; Πῶς πέτρα σκληρὰ, καὶ νοτίδος ἄμοιρος ἐκ ἐξηρεμημένων λαγόνων ὀχετοὺς εἰς παραμυθίαν χρονίας δίψης ἀνεστόμωσεν ὕδατος, δασμὸν ἀποδιδοῦσα, ὃν ἐδεδώκει μηδέποτε πρότερον; Πῶς μιμούμενος Ἰορδάνης τὴν θάλασσαν, ἀντιπρόσωπον τοῖς πεζεύουσι τὸ ῥεῖθρον διέτεμε, τοῦτο μὲν ἐάσας τοῦ τμήματος ῥοθίῳ ἐπὶ θάλασσαν κατελθεῖν, τὸ δὲ ἐπισχὼν, εἶτ' ἀναποδίζων ὀπίσω, εἶτ' ἐκ πηγῶν αὐτῶν ἠσυχάζειν ἀργὸν, οὐκ εὔκολον εἰπεῖν. οὐδεὶς γὰρ ἑρμηνεῦσαι θαῦμα Θεοῦ ἐστὶν ἱκανὸς, ἔξω βαίνειν πάσης φυσικῆς ἀκολουθίας ταύτῃ πεφυκὸς, καὶ νικᾶν τὰς πιθανὰς τῶν εὑρεσιλόγων σοφίας αὐτός. Πῶς τὰς φυσικὰς τῶν κέντρων προσανατεινάμεναι πανοπλίας, προσεπολέμησαν τοῦ λαοῦ αἱ σφηκίαι, ἑπτὰ τῶν νεμομένων ἔθνη τὴν χώραν καθελοῦσαι, καὶ χαρίζουσαι τοῖς ὑπὸ Θεοῦ στρατηγουμένοις παραδοῦναι τὴν γῆν, οὔτε τοῖς πορθηθεῖσιν εὔλογον τῆς ἥττης πρόφασιν καταλιποῦσαι αἰτίαν ὡσεὶ ἐν πλήθει χειρὸς, καὶ δυνάμει βαρείᾳ νενικημένων, καὶ τοῖς κληρουμένοις τὰ τῶν ἠχομένων ἀπαμβλύνουσαι τῦφον, ἄπονον χάριν, καὶ οὐκ ἀριστείας γέρα δεξαμένους ὥσπερ δορυκτήτους τὰς πόλεις.

vllo obſtaculo pelagi ſegmenta reſorbendo, vt tranſirent, & illos refluo confluxu adopertos ad vnum omnes extemporario cũ iumẽtis ſimul & homines ſepulcro recondens? Quomodo in ſolitudine cælum cibum ipſis nulla terræ cultura productum perpluens nonnunquam quidem manna, interdum vero coturnicum matrem ſupernè ningens menſam laboris pariter, & artis condimenti expertem apparauit? Quo pacto petra dura, & humoris minimè particeps ex areſactis terræ cauitatibus aquarum ductus ad leuandam ſitim diu collectam relaxauit, tributum refundens quod numquam prius exſoluerat? Qua ratione Iordanes mare imitatus his, qui pedibus tranſibant, fluentũ oppoſitum diſſecuerit, alteram quidem partem procliui defluxu ſinens ad mare deuolui, alterã autem ſiſtens in primis, poſt eà verò retrogrado curſu reuocans, deinde etiam vſque ad fontes ipſos placide reſtagnantem conſiſtere iubens: explicatu difficilè eſt. Nemo enim Diuino miraculo interpretando ſufficit, quod ex ſeipſo naturæ totius ſeriẽ valet excedere, & perſuaſibilia facilè ſuperare ſolet ſophiſmata eorum, qui argutias excogitant. Quomodo veſpæ exerentes aculeos ſuos, velut conceſſa à natura arma, pugnarunt pro populo, & ſeptem gentium deditarum regionibus expugnatis pacatam Dei ductu militantibus tranquillamque terram tradiderunt, ita vt neque deuictis cauſſam probabilem ſuæ cladi prætexendam dereliquerint quaſi in multitudine manus, & graui robore deuictis; & anſam ſuperbiendi ademerint illis, quibus gratuito ſortis munere abſque vllo labore res fugitiuorum obuenerant, & non in virtutis, reique bene geſtæ præmium acceptæ fuerant quemadmodum vrbes bello quæſitæ ſolent.

CAPVT

Digitized by Google

CAPVT X.

De Tribus Pueris, & Daniele, Iona, & Aarone.

QVo pacto vis ignis deuorans omnia in tribus pueris vrendi operationem repreſſit, neque permiſit calorem ad corpora corruptioni obnoxia vel appropinquare, extra caminum propriam virtutem exſerens, & intus modo admirabili quieſcens? Qua ratione feritatem, atque famem ſimul inſitos à natura affectus ſuper Danielem Leones temperarunt in parte Philoſophiæ iſta præ hominibus manſuefacti, & ſeptem dierum pertulerunt abſtinentiam obiecto pabulo: cum ratione inſtructi homines nec vnius diei ieiunium ſuſtineant, vbi materies edulij adſit, & libera facultas eius capiendi nemine vetante præbeatur? Quomodo Balenæ venter, qui lapides côcoquendo abſumebat & dicto citiùs iniecta digerebat, tribus diebus, totidem que noctibus vnà in adeo humido, calidoque loco Ionam conſeruauit incorruptum, e terreſtri in marinum animal conuertens, & rem in corruptionem facilè pronam incorruptibilem præſtans, naturamque aëris reſpiratione viuere aſſuetam in piſcium naturam transfundens, quę aquam inſueto more trahit naribus pro conſueto, & connutrienti aëris elemento? Qua ratione virga Aaron ſine cortice, ſine ſucco, arida, & germinandi virtute iam pridem effœta, cum, vocata in dubium ſacerdotij fide, rei neceſſitas ſigni oſtenſionem expoſceret, de repente omnia mirabiliter recepit, corticem, florem, propagines, folia, fructum, & diſpertitam in

hæc

ΚΕΦΑΛ. Ι.

Περὶ τριῶν παίδων, καὶ Δανιὴλ, Ἰωνᾶ, καὶ Ἀαρών.

Πῶς ἐπὶ τῶν τριῶν παίδων ἡ παμφάγος τοῦ πυρὸς δύναμις τὴν καυστικὴν συνέστειλεν ἐνέργειαν, ἀφθάρτοις πλάσαι τὴν θέρμην οὐ συγχωρήσασα σώμασιν, ἔξω τῆς καμίνου τὴν οἰκείαν ἐπιδεξαμένη ἰσχὺν, καὶ ἔσω ἡσυχάσασα παραδόξῳ τρόπῳ; Πῶς καὶ θηριωδίας, καὶ πείνης ὁμοῦ φυσικῶν παθῶν ἐπὶ τοῦ Δανιὴλ ἐκράτησαν οἱ λέοντες, ἀνθρώπους ἐν τῷ τῆς φιλοσοφίας παρευημερήσαντες μέρει, καὶ ἑπταήμερον ἐνεγκόντες ἔνδειαν βρώσεως παρακειμένης τῶν λογικῶν τὴν ἐφήμερον οὐκ ἀνεχομένων νηστείαν ὕλης παρούσης ἐδωδίμου, καὶ ἐξουσίας τὴν μετάληψιν παρεχούσης ἀκώλυτον; Πῶς ἡ τοῦ κήτους γαστὴρ καὶ λίθους κατεργαζομένη τῇ πέψει, καὶ χωνεύουσα τὰ ἐμπίπτοντα λόγου ταχύτερον, τρισὶν ἡμέραις, καὶ νυξὶν ἅμα τοσαύταις ἐν οὕτως ὑγρῷ, καὶ θερμῷ χωρίῳ τὸν Ἰωνᾶν διετήρησεν ἀδιάφθορον, ἐνάλιον ζῶον τὸν χερσαῖον, καὶ ἀδαπάνητον τὸν εὐκόλως ἀναλισκόμενον ἀποδείξασα, καὶ φύσιν ἀέρος ἀναπνοῇ διαζῆν πεφυκυῖαν, εἰς ἰχθύων μεταστοιχειώσασα φύσιν, ὕδωρ ἕλκουσαν ἀήθως ῥισὶν, ἀντὶ τοῦ ἐθίμου, καὶ συντρόφου ἀέρος στοιχείου. Πῶς ἡ τοῦ Ἀαρὼν ῥάβδος ἄφλοιος, ἄνικμος, ξηρὰ, καὶ τὴν πρὸς τὸ βλαστῆσαι πάλαι δύναμιν ἀποθεμένη, χρείας καλεσάσης εἰς ἐπίδειξιν σημείου τῆς ἀμφισβητουμένης ἱερωσύνης, ἀθρόον πάντα παραδόξως, φλοιὸν, ἄνθος ἀνέλαβε, βλαστοὺς, φύλλα, καρπὸν, δύναμιν ζωτικὴν,

τὴν εἰς ἕκαστον τύπον κατακερματισθεῖσαν ῥιπῆς ὀξύτερον, καὶ ὄρπηκα δείξασα τεθηλότα, καὶ καρποῖς βριθόμενον τὸ πρὸ μικροῦ βάκτρον ἐν χερσὶ τοῦ στηριζομένου ὁρώμενον.

haec ſingula vegetandi facultatem, vnico temporis momento, & ſurculum exhibens efflorescentem, & fructibus onuſtum baculum, qui paulò ante manibus geſtatus incedentis greſſum firmare videbatur.

ΚΕΦΑΛ. ια'.

Περὶ τῶν Ἀποστόλων, καὶ τῆς Θεοτόκου.

CAPVT XI.

De Apoſtolis, deque Dei Genitrice.

Πῶς τὰ δεσμωτήρια τοῖς Ἀποστόλοις ἐπιμελῶς κεκλειθρωμένα τὴν ἔξοδον παρεχώρησεν ἀνεμπόδιστον, θύρας ἀναπετάσαντα, καὶ μοχλοὺς τῶν σιδηρῶν ἐκσείσαντα; Πῶς τὰ δεσμὰ τῶν χειροπέδων ἐνέδωκε, καὶ διῃρέθη τοσοῦτον, ὡς χερσί, καὶ ποσὶν ἀνετὴν παρασχεῖν τὴν διάδυσιν; Καὶ τὸ δὴ μεῖζον ἁπάντων, καὶ λόγου παντὸς ἀνώτερον θαῦμα· πῶς ὁ ἀχώρητος τῷ παντί, καὶ τὰ ὅλα περιγράφων μεγέθει δυνάμεως Θεὸς λόγος ὑπὸ μήτρας συλληφθεὶς ἐχωρήθη παρθενικῆς; καὶ πῶς ἄσπορος ἔμβρυος νηδὺς ἐτεκτήνατο γεννηθὲν, καὶ τὰ τῆς παρθενίας σῶα φυλάξασα τεκμήρια, πύλας γαστρὸς κατὰ τὸν Ἰὼβ παρελθὸν, καὶ οὐδὲν τῆς ἐξόδου σημεῖον ἐπιδεξάμενον; Ὡς γὰρ πρὸς τοὺς μαθητὰς εἰσῆλθεν ἄλλοτε κεκλεισμένων θυρῶν, οὕτως ἐξῆλθε τότε, οἷα εὗρε, τοιοῦτον ἐάσας τὸ τῆς φύσεως ἐργαστήριον, καὶ οὐδὲν λυμηνάμενον τοῖς ἀποῤῥήτοις τῶν κλείθρων ἐκείνων δεσμοῖς, ἵνα τοῖς συμβόλοις τούτοις δειχθῇ παράδοξος ἀληθῶς, καὶ θεῖος ὁ τόκος. Ταῦτα γέγονε μὲν ἅπαντα, καὶ τούτων πλείονα, καὶ πεπίστευται. ἀπόδειξιν δὲ τὴν τοῦ ἐργασαμένου αὐτὰ ἔχει ἀξιοπιστίαν Θεοῦ, καὶ οὐχ ἑρμηνευθῆναι λόγῳ ἀπονοοῦντι πρὸς

Quomodo carceres ſolicite clathris obſerati Apoſtolis egreſsũ nullatenus impeditum præbuerunt ianuis paſſim apertis, & peſſulis, ac vectibus concuſſis? Quomodo vincula manicarum expaſſa ſunt, eaque adeo diducta, & laxata fuerunt, vt manibus, pedibuſque conceſſerint facilem exitum? Et quod maius reuerà omnibus, & admirandum exſuperat omnẽ orationem: quo pacto Deus Verbum, quem vniuerſum hoc non capit, & qui vniuerſa circumſcribit potentiæ ſuæ magnitudine, Virgineo ſub vtero volens comprehenſus eſt? & qua ratione venter fœtum nullo conceptum ſemine genitum fabricatus eſt, & virginitatis ſigna ſalua, & illæſa ſeruauit tranſiens oſtia ventris, vt Iob eloquitur, & nullum egreſſus veſtigium oſtentans? Nã vt alio tempore ianuis clauſis ingreſſus eſt ad Diſcipulos ſuos, ita tunc eſt egreſſus, qualem inuenit, talem naturæ officinam derelinquens, nec vllam arcanis illorum clauſtrorum vinculis corruptionẽ inferens, vt hiſce argumentis partus verè oſtenderetur admirabilis, & Diuinus. Hæc quidem omnia, & plura hiſce facta ſunt, & fide recepta. Sed eorundem demonſtratio, Dei auctoris infallibili nititur

Act. c. 12. v. 3.

Iob. c. 3 v. 10.

Ioan. c. 20. v. 19. & 26.

certitudine, nec explicari poſſunt oratione, quæ operum ſtupendorum impar eſt enarrationi, & caligat ad miraculorum magnitudinẽ inſcrutabilem.

τὴν τῶν παραδόξων ἔργων ἐξήγησιν, καὶ ἰλιγγιῶντι πρὸς τὸ τῶν θαυμάτων δυσεκμαρτον,

CAPVT XII.

Qvocircà ſi virtus quidẽ impugnatur, facilem verò ſine ſolicitudine victoriã obtinet; quãdoquidẽ Angeli, aliæque Diuinæ poteſtates, atque ipſe Dominus etiam hominem iuſtum
Pſal. 33 v. 8. euſtodiunt: Immittet enim Angelus Domini (inquit) in circuitu timentium eum, & eripiet ipſos. & ipſe Deus ad Abraha-
Geneſ. c. 15. v. 1. mum: Noli timere Abraham; ego protector tuus ſum. & ad Hieremiã: Ecce poſui te vt ciuitatẽ munitã, &
Hiere. c. 1. v. 18. & 15. v. 29. quaſi murũ æreũ, munimẽtũ omnibus Regibus Iuda, & Principibus eorum; & bellabũt aduerſum te, & nõ præualebunt contra te; quia tecũ ſũ, vt liberẽ te. Ecquid commotus animi imbecillitate ad certantium ſudores conſternaris inuidẽs tãquam ignarus rei coronas ipſis? reſpiciens labores, & non cogitans præmia? ſuccumbis laboribus, & ſpe mercedum haudquaquam erigeris? præſentes afflictiones deploras, neque potius lætaris de futuris retributionibus? Semper enim commoda, quæ expectantur, præſentes labores conſueuerunt ſubleuare, & lucri cogitatio moleſtiam in opere ipſo exantlandam leuem efficit, præ maiori commodo minoris incommodi difficultatem nullam exiſtimans. Nonne Paulum ludi patientiæ magiſtrum his, qui cum præſentibus colluctantur afflictionibus, ſucclamantem, dum animi alacritatem multitudine calamitatum collabentem rerum ſpe-

ΚΕΦΑΛ. ιβʹ.

Εἰ τοίνυν πολεμεῖται μὲν ἡ ἀρετὴ, νικᾷ δὲ νίκην ἀμέριμνον, Ἀγγέλων, καὶ ἄλλων θείων δυνάμεων, καὶ αὐτοῦ τοῦ δεσπότου φρουρούντων τὸν δίκαιον, παρεμβαλεῖ γὰρ Ἄγγελος Κυρίου, φησὶ, κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς· καὶ αὐτὸς πρὸς τὸν Ἀβραὰμ ὁ Θεός· μὴ φοβοῦ Ἀβραὰμ, ἐγὼ ὑπερασπίζω σου. καὶ πρὸς τὸν Ἱερεμίαν· ἰδοὺ τέθεικά σε, ὡς πόλιν ὀχυρὰν, καὶ ὡς τεῖχος χαλκοῦν, ὀχυρὸν πᾶσι τοῖς βασιλεῦσιν Ἰούδα, καὶ τοῖς ἄρχουσιν αὐτῶν, καὶ πολεμήσουσί σε, καὶ οὐ μὴ δυνήσωνται πρὸς σέ, διότι μετὰ σοῦ εἰμι τοῦ ἐξαιρεῖσθαί σε. Τί παθαινόμενος πρὸς τοὺς τῶν ἀγωνιζομένων ἱδρῶτας ἀχάλλεις βασκαίνων, ὡς οὐκ οἶδας, τῶν στεφάνων αὐτοῖς; τὰ παθήματα βλέπων, καὶ τὰ βραβεῖα οὐ λογιζόμενος; πρὸς τοὺς πόνους ἐκλυόμενος, καὶ τῇ ἐλπίδι τῶν μισθῶν οὐ γαυρούμενος; τὰ νῦν ὀδυρόμενος θλιβερὰ, καὶ οὐ μᾶλλον χαίρων ταῖς μηνυούσαις ἀμοιβαῖς; ἀεὶ γὰρ τὰ προσδοκώμενα χρηστὰ τοὺς παρόντας ἐπιλαφρίζειν εἴωθε πόνους, καὶ τοῦ κέρδους ἡ ἔννοια κοῦφον τὸν ἐν τοῖς ἔργοις ποιεῖ κάματον, τῇ μείζονι ὠφελείᾳ οὐ λογιζομένη τὸ δυσχερὲς τοῦ ἐλάττονος. Οὐκ ἤκουσας τοῦ παιδοτρίβου Παύλου τοῖς ἐναχθοῦσι ταῖς παρούσαις θλίψεσι ὑποφωνοῦντος; καὶ ἀναπίπλουσαν τῷ πλήθει τῶν περιστάσεων τὴν προθυμίαν τοῖς

ἐλπιζομένοις ἐγείροντος, ὅταν λέγῃ· οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς; οὐκ ἤκουσας αὐτοῦ τὰ οἰκεῖα παθήματα διηγουμένου πρὸς παραμυθίαν τῶν πασχόντων, ἵνα μὴ μόνον οἱ δοκοῦντες ἀθλεῖν ἐκλυθῶσιν ὡς ὑπομένοντες ἀνήκεστα, ἃ μηδείς; οὐ γὰρ δόξης ὀρεγόμενος τοὺς οἰκείους διέξεισιν ἀγῶνας, ὁ λέγων· εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. οὐδὲ κατὰ τοὺς γλωσσαλγοῦντας ὠδίνει εἰπεῖν, ἃ κρύπτειν οὐ στέγει τῇ σιωπῇ. ἀλλ' εἰδὼς παρακαλεῖσθαι τοὺς πάσχοντας τῇ τῶν ἤδη παθόντων ἀκοῇ, μαθόντας, ὡς καὶ ἄλλοις συνέβη πάλαι, ἃ νῦν αὐτοῖς συμβαίνει, διδασκομένους φέρειν ἀνεκτῶς, ἐξ ὧν ἐπύθοντο ἑτέρους τὰ αὐτὰ ἐνηνοχέναι γενναίως, δημοσιεύειν ἀνέχεται ταῦτα, ἐφ' οἷς λανθάνειν εἶχε σπουδὴν, καὶ τὰ κατορθώματα ἐξαγγέλλων, ἐν τοῖς δοκοῦσι καυχήμασιν οὐ συνεπαίρων τὸ φρόνημα, μόνῃ δὲ προσέχων τῇ τῶν πολλῶν ὠφελείᾳ, καὶ ἐμπραγματευόμενος τοῦτο τὸ ζηλωτὰς ἅπαντας ἐργάζεσθαι τοῦ καλοῦ, καὶ ἄλλον ἄλλου ἐν τοῖς ὑπὲρ τῆς εὐσεβείας κινδύνοις ποιῆσαι φιλοτιμότερον.

randarum fiducia excitabat, audi-
ſti, quando dicebat: Non ſunt *Ad Rom.*
condignę paſſiones huius tempo- *c. 8. v.*
ris ad futuram gloriam, quæ reue- *18.*
labitur in nobis? Annon eum ſuas
afflictiones proprias enarrantem
ad ſolatium afflictorum audiuiſti;
vt ne qui aduerſis exerceri viden-
tur, quaſi grauiſſima tolerantes,
quę nullus alius poſſet ſufferre, diſ-
ſoluti fatiſcant? Nec enim gloriæ
cupiditate abreptus ſua comme- *Gal. 1.*
morat certamina, qui ait: Si ad- *14.*
huc hominibus placerem, Chriſti
ſeruus non eſſem. Neque quem-
admodum illi, qui prurigine lin-
guæ laborant, geſtit dicere, quæ
ſilentio non valet occultare. Sed
eum ſciret ſolatio eſſe afflictis, cum
audiunt eadem iam alios paſſos
eſſe, & cum diſcunt, vt alijs olim
euenerunt, quæ nunc ipſis contin-
gunt, erudirique ea ferre quoque
patienter, ex quo audierunt alios
eadem generoſè pertuliſſe; euulga-
re ideo ea audet, quæ occulta eſſe
obnixe ſtudebat, dum & ſuæ virtu-
tis momenta denuntiat, & vanæ
gloriationis ſpecie non extollit a-
nimum; ſed ſoli multorum vtili-
tati conſulit, & ad hoc nauat operam, vt omnes ad operandum bonum
æmulatione accendat, & ad pericula pro pietate adeúda alteri alterum ho-
neſta committat ambitione.

ΚΕΦΑΛ. ιγʹ.

Διὰ τοῦτο καθάπερ τις κομψὸς, καὶ φιλόδοξος μετὰ πολλῆς παρρησίας τοὺς ἰδίους διεξέρχεται σεμνυνόμενος ἄθλους. ἐν κόποις λέγων περισσοτέρως, ἐν θανάτοις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν ψύχει, καὶ γυμνότητι, ἐν κινδύνοις πολλάκις. τρὶς ἐραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον πε-

CAPVT XIII.

Hanc ob cauſſam adinſtar ho-
minis iactantis, & glorio-
ſi, cum multa libertate verborum
ſua certamina extollendo comme-
morat. In laboribus (inquiens) *2. Cor.*
abundantius, in mortibus frequen- *c. 11.*
ter; in fame, & ſiti; in frigore, ac *v. 21.*
nuditate; in periculis crebrò: ter
virgis cæſus ſum, ſemel lapidatus

ſum, ter naufragium feci, nocte, atque die in profundo maris fui. Vbi cum ſtudio veritatis ambit rerum abs ſe geſtarum ac ſtrenuarum magnitudinem oſtentare, vt qui libenter labores ſuſtinent, habeant, quod æmulentur imitando, & dum ad eius certamina non pertingunt, modeſtè de ſuis ſentiant, vtpotè longè ab illius virtute remoti. Etenim ſi & ipſe de illis, qui eo tempore cum eo præclaris operibus edendis contendebant, ait, quòd abundantiùs omnibus laborauit:
1. Cor. c.15.v. 10. quis hoc noſtro ſæculo viuentium gloriari audeat ſe ipſi meritis, & gloria coæquandum, quando iſta non ſolum factu, ſed etiam creditu, quod facta fuerint, multis dura ſunt & difficilia? Qualia mihi
2. Tim. 3. 11. (ait iterum) facta ſunt Antiochiæ, & Iconij; quales perſequutiones ſuſtinui; & ex omnibus eripuit me Dominus. Vbi vocem, eripuit, velut eſcam ad pericula ſubeunda ſimul audacter poſuit, & dum quiſque certus eſt nihil ſibi euenturum mali in tentationibus, bono eas animo adeat, nec operi ſe accingere tergiuerſetur, cum exemplo iam ante ex periculis erepti quaſi pignus habeat perſuadeatque ſibi idē euēturum. Et rurſus aduerſus eos, qui reſurrectionem tollunt, & fruſtrà ærumnas hìc tolerari ſtatuunt, quia poſt mortem nullum tempus percipiendi laborum ſuorum fructum laborantibus reſtat, contendens, hiſce verbis vtitur: Si ſecundum hominem ad beſtias
1. Cor. 15. 32. pugnaui Epheſi; quid mihi prodeſt, ſi mortui non reſurgunt? Mentione illa regenerationis mortuorum ſe non fruſtrà certaſſe, neque temere tot afflictiones toleraſſe oſtendit, ſed ſpe, atque expectatione futuræ poſt reſurrectionem remu nerationis optima ratione ærumnas toleraſſe momentanearum affli-

πεποίηκα ἐν τῷ βυθῷ. μετὰ τοῦ ἀληθεύειν μεγάλα φιλονεικήσας δεῖξαι τὰ ἑαυτοῦ κατορθώματα, ὅπως καὶ ζῆλον μιμήσεως ἔχωσιν οἱ φιλόπονοι, καὶ τῷ μὴ φθάνειν τὰ αὐτοῦ μετριάζουσι τῷ φρονήματι, πολὺ τῆς ἐκείνου ὑπολιμπανόμενοι ἀρετῆς. εἰ γὰρ καὶ αὐτὸς περὶ τῶν τότε φησὶν, οἷς ἔργον ἦν ἡ πρὸς αὐτὸν ἅμιλλα τῶν καλῶν, ὅτι περισσότερον πάντων ἐκοπίασε· τίς αὐχῆσαι τολμήσει τῶν νῦν τὴν πρὸς αὐτὸν ἰσοτιμίαν, ὅτε οὐ μόνον τὸ πρᾶξαι ἐκεῖνα, ἀλλὰ καὶ τὸ πιστεῦσαι ὅτι γεγένηται, τοῖς πολλοῖς ἐστι δυσχερές; οἷά μοι, πάλιν φησὶν, ἐγένοντο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, οἵους διωγμοὺς ὑπήνεγκα· καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος. τὴν ἐρρύσατο φωνὴν, δέλεαρ τοῦ ὁμόσαι τοῖς κινδύνοις τεθαῤῥηκότως χωρεῖν τεθεικώς. ἵνα ἕκαστος προσέχων τὸ μηδὲν κακοπαθεῖν ἐν τοῖς πειρασμοῖς ἔχων, εὐψύχως προσέλθῃ, καὶ μὴ ὀκλάζοι τῷ ἔργῳ, ὡς ἤδη ῥυσθέντα τῶν κινδύνων τοῦ καὶ ἑαυτοῦ γενήσεσθαι ὁρῶν ἐνέχυρον ἀξιόχρεων. Καὶ αὖθις δὲ πρὸς τοὺς ἀναιροῦντας ἀνάστασιν, καὶ ματαίαν τιθεμένους τὴν ἐνταῦθα ταλαιπωρίαν, οὐκ ὄντος καιροῦ μετὰ θάνατον, ἐν ᾧ τῶν πεπονημένων ἀπολαύσουσιν οἱ ἀθλήσαντες, ἀποτεινόμενος ὧδέ πώς φησιν. εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται; Τῇ μνήμῃ τῆς τῶν νεκρῶν παλιγγενεσίας δείξας, ὅτι οὐ μάτην ἠγωνίσατο, οὐδὲ εἰκῆ τὰς τοσαύτας ὑπέμεινε θλίψεις, ἐλπίδι δὲ καὶ προσδοκίᾳ τῆς μετὰ τὴν ἀνάστασιν ἀμοιβῆς, εὐλόγως ἐκαρτέρησε τοῖς παθήμασι προσκαίρων

θλίψεων ἀπέραντον ἐκδεχόμενος εὐφροσύνην.

ΚΕΦΑΛ. ιδʹ.

Ὅθεν καὶ πᾶσι καλῶς μεθ' ἑαυτὸν ἐγκελεύεται, λέγων. τὸ καλὸν ποιοῦντες, μὴ ἐκκακῶμεν, καιρῷ γὰρ ἰδίῳ θερίσομεν, μὴ ἐκλυόμενοι. τῇ τῶν δραγμάτων ἐλπίδι τὸν ἐπὶ τῷ σπόρῳ παραμυθούμενος κάματον. καὶ πανταχοῦ τὸ τῆς οἰήσεως πάθος κολάζων οὐ παύεται. ἵνα καὶ τὸ ἀγαθὸν γίνηται, καὶ ἀλαζονεία μὴ παρασπῇ τῷ καλῷ τοῖς κατορθώμασιν ἀεὶ φιλοῦσα συμπλέκεσθαι, ἕως μὴ νήφωσιν οἱ τὴν ἐργασίαν τούτων σπουδάζοντες. ὡς γὰρ εἴπερ ἀναγκασθεὶς τὰ οἰκεῖα πλεονεκτήματα, τέχνῃ τοῦ προτρέψασθαι τοὺς ἀκούοντας ἐπὶ τὴν μίμησιν, τὴν τοιαύτην καύχησιν, ἀφροσύνην ὠνόμασε, καὶ τὸ ζηλοῦν τὰ ἔργα δείξας τῇ διηγήσει, καὶ τὸν ἐπὶ τούτοις κόμπον κωλύσας τῷ διαβαλεῖν ὡς ἀφροσύνην τὴν καύχησιν. οὕτω πάλιν ὀπίσω λέγων ἐπιλανθάνεσθαι, καὶ τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι, τὸ αὐτὸ εἰσηγεῖται ἄλλῃ μεθόδῳ. ὁ μὲν γὰρ πρὸς τὰ ἤδη πεπονημένα βλέπων φύσασθαί πως πρὸς ἀπόνοιαν εἴωθεν. ὁ δὲ τὰ πρὸς τὴν τελείωσιν λειπόμενα σκοπῶν, ταπεινός ἐστιν ἀναγκαῖος, καὶ μέτριος, τὸ ἄδηλον τοῦ εἰ φθάσοι πρὸς ὅπερ ἐπείγεται, ταπεινοφροσύνης ἔχων μεγίστην ὑπόθεσιν. ὅπως οὖν ἀεὶ τῶν προκοπτόντων ἐν τῷ ἀγαθῷ κατεσταλμένος, καὶ ἄτυφος μένῃ τὸ φρόνημα, μὴ ὅπερ ἤνυσαν, ἀλλ' ὅσον ἀπολείπονται τοῦ προκειμένου, συμβουλεύει ὁρᾶν. πρὸς τοῦτο γὰρ τεταμένος ὁ νοῦς, καὶ τῇ

afflictionum nunquam deſituram lætitiam expectans.

CAPVT XIV.

VNde & cunctis ſuis ſectatoribus ita præclarè præcipit dicens: Bonum facientes non deficiamus:tempore enim ſuo metemus non deficientes. *Galat.6 v.19.* Vbi manipulorum ſpe laborem impendendum ſationi conſolatur. Et vbique exiſtimationis morbum coërcere non ceſſat,vt & bonū perficiatur, & iactantia bonum opus inſtar paraſiti nō aſſectetur, quæ præclarè geſtis rebus ſemper ſe ſe comitem implicare amat, niſi aduigilent bonorum operum ſtudioſi. Nam quaſi neceſſitate coactus fuiſſet proprias virtutes cōmemorare,vt hoc artificio auditores ad imitandum cohortaretur, gloriationem huiuſcemodi ſtultitiam appellauit;vbi & opera ipſa æmulāda fore cōmemorando oſtendit, & prohibet iactare ac efferre ſe operibus, accuſando ſtultitiæ nomine gloriationem. Eodem quoque modo iterum ait, eorum quæ retro ſunt ſe obliuiſci, & ad ea, quæ priora ſunt, extendi, idem alia ratione viaque adſtruens. *Philip. c.3.v.13.* Qui enim opera iam peracta reſpicit,ad inſaniam quodammodo inflari conſueuit; at qui ſpectat quantum ad perfectionem deſit, illum humilem, atque modeſtum eſſe neceſſum eſt; cum ex eo, quòd perſpectum non habet, vtrùm eò, quò tendit, ſit peruenturus, maxima humilitatis occaſio ipſi ſuppetat. Quapropter vt qui proficiunt in bono, ſemper rectè compoſito, minimeque inflato ſint animo, non quid peractum fuerit, ſed quantum ad propoſitum finem aſſequendum adhuc ſuperſit, ſpectare conſulit. Nam animus ad hoc intentus

tus, & rerum deſideratarum cura anxius tempus non habebit cogitandi de operibus peractis, neque ſequentem inde concipiendi amētiam. Quorum enim ita eſt affectus animus, illis Angeli quidem adſiſtunt, vt nullis obnoxij ſint iniurijs, miniſtri; ipſe verò Dominus Deus, quæ vitæ vſus requirit, præſens vniuerſim ſuppeditat accuratè, vt certamen eorum directo itinere ad ſupernæ vocationis brauium, ſine vlla neceſſitatis corporeæ diſtractione, ac impedimento facilè decurrat.

φροντίδι τῶν ἐν σπουδῇ καμνόντων πρυχόμενος, οὐχ ἕξει καιρὸν οὐδὲ λογίσασθαι κατορθώματα, ὥστε τὴν τούτοις παρομαρτοῦσαν ἀπόνοιαν. Τοῖς γὰρ οὕτω διακειμένοις, λειτουργοὶ μὲν πρὸς τὸ ἀνεπηρέαστον παραμένουσιν Ἄγγελοι, φροντιστὴς δὲ τῆς χρείας πάρεστιν αὐτοῖς διόλου ὁ δεσπότης Θεός. ὥσπερ αὐτοῖς ὁδευόμενος ὁ ἀγών, ἀνεμποδίστως τρέχῃ πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως, οὐκ ἐμποδιζόμενος περισπασμῷ τῆς ἀνάγκης τοῦ σώματος.

CAPVT XV.

De Iacob.

ΚΕΦΑΛ. ιε.

Περὶ τοῦ Ἰακώβ.

Genes. c.48.v.16. HOc eſt enim, quod magnus ille Iacob multa edoctus experientia dicebat: Deus, qui paſcit me ad adoleſcentia mea. Angelus, qui eruit me de cunctis malis. vtriuſque opem in Meſopotamia expertus, baculo ſolo inſtructus peregrinationem ſuſcepit, & multis cum opibus reuerſus eſt domum, & Diuinæ potentiæ adiutorio, ut ipſe ait, ereptus de cunctis malis. Nam cum minas Eſau metuens fugam arripuiſſet, rursùs verò rediiſſet metu fratris inhumani necdum depoſito; non verbis illum ad fiduciam cohortatur applaudens Deus, quibus Abraham, & Hieremiam videtur alloquutus; ſed ipſa re, atque opere ei perſuadet, quod omnes inſidias ſtruere paratos, robore ſuperaturus eſſet. & viſione diuinitùs obiecta quem-
Genes. c.32.v.24. dam viri ſpecie cum ipſo luctaturum committit, qui ipſi verſus auroram vigilanti cedere ſimulatè in lucta, & in pugna victoriam concedere

Τοῦτο γὰρ ἐκ πείρας πολλῆς ὁ μέγας ἔλεγεν Ἰακώβ. ὁ Θεὸς ὁ τρέφων με ἐκ νεότητός μου. Ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν. ἀμφοτέρων ἐν τῇ μέσῃ τῶν ποταμῶν τὴν πεῖραν λαβὼν ῥάβδῳ μόνῃ τὴν ἀποδημίαν στειλάμενος, καὶ μετὰ πολλῆς τῆς ὑπάρξεως ὑποστρέψας οἴκαδε, καὶ ῥυσθεὶς ἐκ τῶν κακῶν ἁπάντων, ὥς φασι συμμαχείᾳ θείας δυνάμεως; ἐπειδὴ γὰρ τὰς ἀπειλὰς τοῦ Ἠσαῦ δεδοικὼς δρασμῷ χρησάμενος ἦν, ἐπανήει δὲ πάλιν φοβούμενος ἔτι τὸν ἀνήμερον, οὐ λέγεται μέντοι παρακελευόμενος εἰς θάρσος, ὡς τῷ Ἀβραάμ, καὶ τῷ Ἱερεμίᾳ φαίνεται ὁ Θεὸς εἰρηκώς, πράγματι δὲ πείθει, καὶ ἔργῳ αὐτόν, ὡς ἔσται τῇ ἰσχύϊ παντὸς ἐπιβουλεύειν προθεμένου ἀνώτερος, καὶ θείαν ὄψιν ἀνδροείκελον συμπλακῆναι παρασκευάζει πρὸς ὄρθρον ὕπαρ αὐτοῦ ὑποκρινομένην ἧτταν ἐν τῇ πάλῃ, καὶ διδοῦσαν

cedere

τὸ δοκεῖν νικᾶν κατὰ τὴν μάχην αὐτοῦ, ἵνα ἔχων τὸ πεποιθὸς κατ' ἀνθρώπων, ἐκ τοῦ προειλῆφθαι τῆς φανείσης αὐτοῦ, καὶ συμβαλλούσης δυνάμεως, εὔψυχος ἀπίῃ, πάσης ἐπικρατέστερος ἔσεσθαι πεπεισμένος ἐπιβουλῆς. καὶ ἵνα πρὸς τοῦτο τῆς ὄψεως τὴν οἰκονομίαν ἐκλάβῃ, φησὶν ἀναχωροῦντι αὐτῷ, ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατός. μονονουχὶ λέγων, ἄπιθι θαῤῥῶν τῇ ἰσχύϊ ταύτῃ. τίς γὰρ ἀνθρώπων ἀντιστήσεται πρὸς ῥώμην ἰσχύσαντος συμπλακῆναι Θεῷ. Ἔνθεν δὲ καὶ ὁ γενναῖος τῇ ἐλπίδι Δαβὶδ διώκοντος αὐτὸν τοῦ Ἀβεσαλὼμ μετὰ τῶν μαχίμων παντὸς τοῦ λαοῦ, ἔλεγε πεποιθώς. οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι. τὴν φρουρὰν τῆς θείας δυνάμεως δυνατωτέραν εἰδὼς τῶν κυκλούντων ἐχθρῶν. καὶ πάλιν. ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω, ὅτι σὺ Κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με. οὕτω γὰρ ἦν τῇ ἐλπίδι τοῦ κρείττονος ὠχυρωμένος, μόνος οὐκ ἐδεδοίκει τοσοῦτον πλῆθος ἐχθρῶν, καὶ ἀμέριμνος ἅμα τῷ ἀνακλιθῆναι ἐκάθευδεν, ἀγρυπνούντων τῇ φροντίδι ἐκείνων, καὶ τρυχομένων, πῶς περιέσονται οἱ πολλοὶ τοῦ ἑνός. καὶ μάλα γε εἰκότως.

cedere videbatur, vt fiducia aduerſùs homines concepta, ex eo quod Angeli apparentis, & colluctantis ipſi, fortitudini præualuiſſet, bono inde animo abiret perſuaſus ſe omnes inſidias exſuperaturum. & vt hae de re viſionis exciperet myſterium, ait recedenti ipſi: Contrà Deum fortis fuiſti, & contra homines prçualebis. quaſi diceret: Abi confiſus hòc robore. Quis enim hominum reſiſtet fortitudini, quæ cum Deo colluctari valuit? Vnde & generoſus Dauid ſpei plenus, dum Abſalom eum delectis totius populi militibus eum perſequeretur, confidenter aiebat: Non timebo millia populi circumdantis me in gyrum. quòd Diuinæ virtutis præſidium circumcingentibus hoſtibus potentius eſſe ſciret. Item: In pace in idipſum dormiam, & requieſcam, quoniam tu Domine ſingulariter in ſpe conſtituiſti me. Ita enim erat ſolus ſpe melioris, ſeu cæleſti cõfirmatus, vt ſolus tantam multitudinem hoſtium minimè metueret; ſed ſimul cubitum conceſſiſſet ſine cura dormiret: illis interim præ ſolicitudine vigilãtibus, & cura ſe macerantibus, quomodo multi vno potirentur: & quidem meritò.

ΚΕΦΑΛΑΙΟΝ ιϛ'.

Εἰ γὰρ, ὡς εἴρηται, παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων, τί μοχθοῦσιν οἱ ἔξωθεν κυκλοῦντες ἀνόητα, τῆς ἀσφαλεστέρας φυλακῆς ἐνδοτέρω κυκλούσης τὸν δίκαιον, καὶ τὰς ἔξωθεν κωλυούσης καταδρομάς; Τί δὲ καὶ ἡ ἀκτημοσύνη τὸν φιλοσοφοῦντα, καὶ ἀσκούμενον αὐτὴν ἀδικεῖ, οὔτε φροντίδα τῆς τῶν ματαίων

CAPVT XVI.

SI enim, vti dictum eſt, immittet Angelus Domini in circuitu timentium eum: cur vano labore ſe conficiunt, qui iuſtum exterius inutiliter gyro cingunt, quem ſecurior cuſtodia interius iam circummunijt, quæ incurſus externos arcet. Qua enim iniuria paupertas Philoſophum, & exercitatorem

torem ipſum afficit, quem neque vaniſſimarum rerum cuſtodia ſolicitum habet, & cui omnia ad vſum pro libito ſufficiunt: quandoquidẽ omnis creatura ei veluti omniũ Domino ſubſeruit, & obſequium voluntati eius obnixum vti donum affert, cum illis, qui maximè gloriantur diuitijs, quæ victui ſunt neceſſario congrua & ipſa deſunt? Quas enim opes non exhauſere fames, quæ litteris Diuinis proditæ fuerunt? Quæ frugum horrea non deſtituerunt? quando lingua Prophetica Cælum, & nubes, terramque vniuerſam ſimul obſirmauit; cum fontium quidem venę in ipſis telluris adytis exaruerunt; neque ſtilla, neque ros deſuper cecidit ſuper terram; campi autem diutino ſqualore in ſaxeam obriguerunt duritiem, nec herbam, nec fœnum, nec florem vernum vſpiam producentes: vbi iumentorum, & ferarum atque volucrum demortuis cadaueribus oppleti erant montes, & valles; hominum inſuper iuuenum, ſenumque planctus erat, ſenſimque contabeſcentium mors miſerabilis, aſpectus quoque mortuorum odioſus, atque intolerabilis putreſcentibus paſſim per fora corporibus, & ſanie, taboque diffluentibus, quæ viuentibus vitam morte reddebant duriorem, non iſta tantum videntibus, ſed præterea ſpirantium adhuc mala; matres deplorantes liberos cariſſimos in ſinubus animam agitantes, filios parentibus, & parentes filijs præ alimentorum penuria exhalantibus animam aſſidentes, amicos aſsiduè adhærentes amicis coram expirantibus, nec vllo eos ſubleuantes ſubſidio, cum vel vna panis buccella deficientem tunc ſpiritum reficere, ſolatiumue aliquod afferre potuiſset. Talis enim eſt neceſſitas famis, vt vnumquemque ſui potiùs

ἔχοντα φυλακῆς καὶ τῆς χρείας ἱκανὰ ἐκλείπειν ἀποχρῶντα, τῆς κτίσεως ἁπάσης ὑπηρετούσης ὡς δεσπότῃ πάντων αὐτῷ, καὶ δωροφορούσης τὰ καταθύμια σπουδαίως, ὅτε μάλιστα τοῖς κομῶσι τῷ πλούτῳ, καὶ αὐτὰ τὰ τῆς ἀναγκαίας ἐπιτήδεια ἐπιλείπει τροφῆς; Ποῖοι γὰρ ἐν τοῖς ἱστορουμένοις λιμοῖς παρὰ τῇ θείᾳ γραφῇ οὐκ ἐκενώθησαν πλοῦτοι; ποῖαι τῶν σιτημάτων οὐκ ἐπέλιπον ἀποθῆκαι; ὅτε προφητικὴ γλῶσσα οὐρανὸν, καὶ νέφη, καὶ γῆν ἅπασαν ἀπεστήρωσεν ἅμα, ὅτε πηγῶν μὲν ἐξ ἀδύτων αὐτῶν ἐξηράνθησαν φλέβες. ψεκὰς δὲ καὶ δρόσος ἄνωθεν οὐκ ἔπεσεν ἐπὶ γῆν, ἐλιθώθησαν δὲ πεδιάδες πολυχρονίῳ αὐχμῷ, οὐ πόαν, οὐ χόρτον, οὐκ ἄνθος ἠρινὸν βλαστήσασαι οὐδαμοῦ. ὅτε κτηνῶν, καὶ θηρίων, καὶ πτηνῶν θνησιμαίων ἐπεπλήσθη ὄρη, καὶ φάραγγες. νέων δὲ καὶ γεγηρακότων ἀνθρώπων οἶκτος ἦν καὶ ἐλεεινὸς κατ᾽ ὀλίγον μαραινομένων ὁ θάνατος. ὄψις δὲ τῶν τεθνηκότων ἀηδὴς, καὶ ἀφόρητος, μυδώντων κατὰ τὰς ἀγορὰς τῶν σωμάτων, καὶ λυθρώδεις ἀποσταζόντων σταγόνας. καὶ τοῖς ζῶσι ποιούντων θανάτου τὸν βίον χαλεπώτερον ὁρῶσιν οὐ μόνον ταῦτα, ἀλλὰ καὶ τὰ τῶν ἐκπνεόντων ἔτι κακὰ, μητέρας ἐπιδακρυούσας ἐν κόλποις ψυχορραγοῦσι τοῖς φιλτάτοις, παῖδας παρακαθεζομένους πατράσι, καὶ πατέρας ψυχορραγοῦσι παισὶν ἐνδείᾳ τροφῆς, φίλους ἀτενῶς προσέχοντας ἐν τῷ ἀποπνέειν παροῦσι φίλοις, καὶ φειδοῦς τυγχάνοντας οὐδαμῶς. ἑνὸς ἴσως παραμυθίᾳ ψωμοῦ δυναμένου ἀνακτήσασθαι ἐκλεῖπον ἤδη τὸ πνεῦμα. Τοσοῦτον γὰρ ἡ ἀνάγκη τοῦ λιμοῦ ἕκαστον

ἑαυτοῦ μᾶλλον τὴν ἄλλων φροντίζειν βιάζεται. κἂν τῷ ἐλεεινῷ τοῦ πάθους τῷ ἔτι μικρὰς ἀπορουῦντι τροφῆς οἰκτρὰν δὲ πλουτοῦντες δείκνυσι τὴν ἀπώλειαν, κἀκείνῳ συμπαθῶς ἐπιστένοντι, καὶ τὴν οἰκείαν ἐννοοῦντι ἀπαραίτητον χρείαν, καὶ μᾶλλον λογιζομένου τοῦ πέλας εἰς κηδεμονίαν ἀναγκαιότερον ἑαυτόν. Τί ὤνησαν οὖν πολυχρύσους τότε οἱ τῶν χρημάτων θησαυροὶ, οὐκ ὄντος εἰς συνωνὴν οὐδαμοῦ σίτου; τί δὲ οἱ τοῦ ἀργυρίου πολυτάλαντοι ἐχρησίμευον πίνακες, ὄψων ἀπορίᾳ παρερριμμένοι; οὐδὲν γὰρ τούτων παραμυθεῖται πεῖναν, οὐδὲ τὴν ἔνδειαν θεραπεύσαι ἱκανόν. ἤργουν τέχναι μαγείρων, ἤργουν οἰνοχόων ἐμπειρίαι, ἤργει τῆς ἄλλης διακονίας ὁ θόρυβος, ἐσχόλαζον σιτοπόνοι, ἐσχόλαζον μελιπηκται, ἐσχόλαζον οἱ τῶν πρὸς αὐλὸν, καὶ κιθάραν ᾀδόντων χοροί. πάντας γὰρ αὐτοὺς εἶχεν ὁμοῦ μία τῆς ἐνδείας κατήφεια, καὶ ἓν ἔστενον ἅπαντες, ἀπορίαν τροφῆς. Τί δὲ οὖν κατ᾽ ἐκεῖνο καιροῦ δικαίους ἔβλαψεν ἡ ἑκούσιος σπάνις τῆς πολυτίμου ὕλης, ἑτοίμην, ὅπουπερ ἂν ἐβούλοντο, εὑρήσαντας καὶ ἀταλαίπωρον τράπεζαν;

potius, quam aliorum curam habere cogat. Et, quod in hoc malo maximè miſerandum, cui adhuc paululum victus ſupereſt, miſerabile morientis in oculos ingerat exitium, qui vno, eodemque tempore, & illi pro affectu humanitatis ingemiſcit, & propriam neceſſitatem ineuitabilem cogitat, ſuique ipſius curam potiorem ducit, quàm proximi. Quid profuerunt tunc opulentis pecuniarum theſauri; vbi frumentum, quod emas, nullibi eſt? Quid vero lances argenti ponderoſæ iuuerunt, quæ præ obſoniorum penuria abiectæ? Nihil enim iſtorum famem ſedat, neque curare valet egeſtatem. Ceſſant artes coquorum, ceſſat dexteritas perita pocillatorum; ceſſat reliquorum miniſteriorum turba, ſeriantur frumentarij, & conditores ciborum, feriantur cupediarij, feriantur tibicines & cithara canentium chori. Omnes enim ſimul vna neceſſitatis mœſtitia occupat, vnamque victus inopiam omnes ingemiſcunt. Quid autem eo tempore detrimenti attulit iuſtis voluntarius pretioſarum rerum defectus, qui paratam, facilemque menſam ubicumque volunt, inueniunt?

ΚΕΦΑΛ. ιζ΄.

Βασιλεὺς ἦν Ἀχαὰβ τότε, καὶ Ἠλίας, καὶ Ἐλισσαῖος προφῆται. ὁ μὲν καὶ γῆς κεκτημένος μέτρα πολλὰ, καὶ χρημάτων θησαυροὺς, ὡς βασιλικοὺς, δαψιλεῖς. οἱ δὲ παντελῶς ἄποροι, ἀνέστιοι, ἀχρήματοι. ὁ μὲν ἁλουργίδα ἠμφιεσμένος, καὶ πᾶσαν τὴν βασιλικὴν περὶ αὐτὸν ἔχων σκηνὴν, οἱ δὲ μηλωτὴν διεζωσμένοι, καὶ λειτουργῶν μεμονωμένοι. καὶ ὁ μὲν ὄρη περιῄει, καὶ νάπας,

CAPVT XVII.

Rex igitur erat tunc temporis Achab; & Helias, atque Eliſæus Prophetæ: ille quidem multa terræ poſſidens iugera, & opum theſauros luculentos, quippe Regios; hi verò rerum omniũ penitus egeni, ſine lare, ſine pecunia: ille purpura amictus, & omnem apparatus Regij pompam circum ſe obtinens; hi autem melote

3. Reg. c. 16. 17. & 18.

lote

lote & pelle ouina accincti, & famulorum miniſterio deſtituti. Ille tamen montes pererrabat, & valles, herbam ventri ſolando requirens: hi autem, vbi comedendi tempus eos occupaſſet, ibi abundabant copia congruentium ciborum. Præcipiebant viduæ, vt ipſis afferret dapes: & cum pugillum ſolum haberet farinæ domi, turbam eſurientium filiorum deſpiciens, iſtis pugillum pinſens ex eo panem ſubcinericiũ proferebat. Nulla apruerat meſſis; & hiſce pro area erat hydria: campi non fuerant conſiti; & his pluebat farina terra infrugifera erat; & ex hydria germinabat ſeges: horrea frumento ſtipata defecerant; & pugillus non deficiebat. Ex itinere deſeſſi dormiebant, & poſt ſomnum experrecti ab Angelis victum neceſſarium accipiebant cibati pane, & aqua: quin potius cum dormirent excitabantur à ſanctis Poteſtatibus, quemadmodum Domini euocati à famulis, qui deſeruiunt huiuſcemodi vſibus, ad paratas epulas: Degebant in ſolitu-
3. Reg. 17. v. 4. dine deſerta, & corui panem ipſis ex orbe terrarum mane afferebant, & carnem veſpertinam. Et vndenã accipiebant? Nec enim alimentum huiuſmodi facile erat paratu, & quidem tempore famis, ab auibus conſuetis immorari in deuorandis cadaueribus, & vix inde ad ſaturitatem recedentibus. Et quod mirandum tunc maximè, etiam in tanta rerum neceſſariarum inopia conuiuas alios dapſiliter inuitabant, nec ſui tantum tali tempore curam habentes, quaſi paulò poſt ſibi ipſis, vel ægrè, vel nullo etiam modo cibum reperturi, ſi quod tunc ſupererat, alij abſumerent, ſed & ad alios plures prætendebant donum magnificè, nunquam defuturam gratiam confidentes, quam-

βοτάνην εἰς τροφὰς παραμυθίαν ἀναζητοῦσι. ὧν ἔνθα καιρὸς κατελάμβανε τροφῆς, ἐκεῖ τὴν κατάλληλον εὐπορίαν σιτίων. ἐπετάττετο χήρα κομίσαι βρῶσιν αὐτοῖς, καὶ δράκα μόνην ἔχουσα ἔνδον ἀλεύρου, χορὸν τέκνων παρορῶσα λιμοκτονούντων, τούτοις εἰς ἐγκρυφίαν πέψασα τὴν δράκα προσέφερεν. οὐκ ἦν ἄμητος, καὶ τούτοις ἅλως ἡ ὑδρία ἐγίνετο. ἄσπορος ἡ πεδιάς, καὶ τούτοις ὤμβρει τὸ ἄλευρον. ἄκαρπος ἡ γῆ, καὶ τῆς ὑδρίας ἐπετήλει τὸ λήϊον. ἐξέλιπον ἀποθῆκαι πολύσιτοι, καὶ ἡ δρὰξ οὐκ ἀπέλειψεν. ὁδοιποροῦντες ἐκάθευδον, καὶ μετὰ τὸν ὕπνον παρ' Ἀγγέλων ἐσιτίζοντο τὴν ἀναγκαίαν, ἄρτον, καὶ ὕδωρ, τροφήν. μᾶλλον δὲ καθεύδοντες διυπνίζοντο παρὰ τῶν ἁγίων δυνάμεων, καθάπερ δεσπόται καλούμενοι παρὰ τῶν διακονουμένων ταῖς τοιαύταις χρείαις οἰκετῶν ἐπὶ ἑτοίμην ἑστίαν. ἐρημίαν ᾤκουν, καὶ κόρακες αὐτοῖς ἐκ τῆς οἰκουμένης ἄρτον παρεκόμιζον τὸ πρωΐ, καὶ κρέα τὸ δειλινόν. πόθεν λαμβάνοντες; οὐ γὰρ εὔπορος οἰωνοῖς, καὶ τότε ἐν λιμῷ, ἡ τοιαύτη τροφὴ νεκρῶν εἰθισμένοις ἐπιδημεῖν βορᾷ, καὶ μόλις εἰς κόρον ἔσθ' ὅτε ἐπιτυγχάνουσι τούτων. καὶ τὸ δὴ θαυμαστόν, ὅτι καὶ ἑστιάτορες ἄλλων ἐν σπάνει τῶν ἀναγκαίων ἐγίνοντο φιλότιμοι. οὐχ ἑαυτῶν μόνον φροντίζοντες ἐν τοιούτῳ καιρῷ ὡς μετ' ὀλίγον δυσχερῶς, ἢ οὐδαμῶς εὐπορήσοντες σίτου, εἰ τὸ πῶς ὑπάρχον, ἀναλώσουσιν ἕτεροι· ἐξέτειναν δὲ καὶ εἰς πολλοὺς ἄλλους τὴν δωρεὰν δαψιλῶς, οὔποτε τὰ τῆς χάριτος ἐπιλείψειν πεπεισμένοι, ἕως μένουσι δίκαιοι, εὐμηχάνου πρὸς πόρον οὔσης τῆς τοιούτων

ὑλῶν, καὶ τοῖς ἀξίοις ἡγουμένης δασμὸν ἢ φόρον τὴν χρείαν ὀφείλειν τοῦ σώματος. μὴ γὰρ μεριμνήσητε τοῦτο, φησὶ διδάσκων ὁ Κύριος, λέγοντες, τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα; οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρήζετε τούτων ἁπάντων, καὶ ὅτι τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν χρέος, καὶ οὐ χάριν δίδωσι ταῦτα.

quamdiu perſiſterent in iuſtitia, cum gratia Diuina ad haſce res comparandas ſit ingenioſa, & exiſtimet ſe debere dignis corporis vſui neceſſaria veluti tributum aut veſtigal. Nolite etenim ſoliciti eſſe hac de re (docens inquit Dominus) dicentes; quid manducabimus, aut quid bibemus, aut quo operiemur? Scit enim Pater veſter cæleſtis, quia his omnibus indigetis, & quòd operanti bonum hęc ipſa vti debitum, & non vti gratuitum munus elargitur. *Matth. c. 6. v. 31.*

ΚΕΦΑΛ. ιη'.

ΠΡοςίθησι τοῖς εἰρημένοις, ὅτι ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. Ἑκατὸν γοῦν ἅπαξ ἔτρεφον ἄνδρας δέκα μόνον ἔχοντες ἄρτους, ὀλίγους μὲν ὄντας τῇ ἀναλογίᾳ πρὸς κόρον τοῦ πλήθους, κορέσαντας δὲ ὅμως, καὶ τοῖς λειψάνοις ἐγγυησάμενοι τὸν κόρον. τοῦ γὰρ λειτουργοῦ, παράθες, ἀκούσαντος, παράθες τοῖς ἀνθρώποις τοὺς ἄρτους, καὶ φάγονται. εἶτα τῷ εἰκότι μᾶλλον, ἢ τῇ ἀξιοπιστίᾳ τοῦ ἐπιτάττοντος προσεσχηκότος, καὶ εἰπόντος, τί παραθῶ ταῦτα ἐνώπιον τοσούτων; καλῶς οἱ ἑστιάτορες τῇ πίστει ὠχυρωμένοι φασί, παράθες, ὅτι φάγονται, καὶ καταλείψουσι. καὶ ἔφαγον, καὶ κατέλιπον κατὰ τὸ ῥῆμα Κυρίου, ἵνα προλάβῃ θαῦμα δουλικόν, καὶ ὁδοποιήσῃ τὴν παραδοχὴν τῷ δεσποτικῷ θαύματι. Προτρέχουσι γὰρ ἀεὶ τῆς ἀληθείας εἰκόνες, τοὺς ἀγνώμονας ἐμφράττουσαι Ἰουδαίους, ἵνα ὅταν συκοφαντεῖν ἐπιχειρήσωσιν ὡς ἄπιστα, ἢ ἀδύνατα τὰ κυριακὰ θαύματα, ἐκ τῶν φθασάντων δυσωπηθῶσι, παύσασθαι τῆς ἀκαίρου φιλονεικίας, καὶ ἀναιδῶς ἵστασθαι ἐρυθριάσωσι πρὸς θαῦμα δεσποτικὸν, οὗ

CAPVT XVIII.

HIſce dictis adiungit, quòd dignus eſt operarius cibo ſuo. *Matth. c.10. v. 10.* Cētum enim viros nutrierunt vna vice ij, qui decem tantùm habebant panes, qui pauci quidē erāt, ſi multitudinem exſaturatorum attendamus, ſaturarunt tamen, & reliquijs ſaturitatem polliciti ſunt. Nam cum miniſter audiſſet: Appone, Appone hominibus panes, & comedent; & magis veriſimilitudinem rei, quàm iubentis auctoritatē attenderet, diceretque: *3. Reg. 4 v. 43.* Ecquid apponam iſta coram tot viris? præclarè conuiuij præſides fide obfirmati aiunt: Appone, vt comedant, & ſupererit. Et comederunt, & ſuperfuit ſecundum verbum Domini; vt præcederet miraculum famuli, viāque ſterneret, qua miraculum Dominicum admitteretur. Semper enim veritatem præcurrunt imagines, quę amentibus os obſtruerēt Iudæis, vt quando calumniari conarētur tamquam incredibilia vel impoſſibilia Dominica miracula, rerum antecedentium exemplis cōfunderentur, & ab intempeſtiuo contendendi ſtudio ceſſare cogerentur, vtque illi Dominicum miraculum impudenter oppugnare pudore ſuffu-

ſi erubeſcerent, cuius figuras in ſeruis eius ſine contentione ſuſcipere poterant.

CAPVT XIX.

De Filio ſemper Virginis.

ITa eoſdem contradicere Virginis Filio, & ratiocinationes temere ſpecie probabiles dum geſtiunt, quaſi natura fœtus conſtitutiones non poſſit operari ſine iactu prolificorum ſeminum, non ſinit terra in principio ſine vlla ſemente omnigenas germinans fructus: nam Verbum Diuinum vtrique fuit ſemen. Huic quidem dictum fuit: Producat terra herbam virentem, & ſeminantem ſemen iuxta genus; & hoc mandatum vertit in naturam, ſtatimque diuerſus fructus non ex alia vlla cauſſa antecedente, præterquam ſolo è verbo, germinavit, quos eduxit mandatum. Iſta verò audiuit: Spiritus Sanctus ſuperueniet in te, & virtus Altiſſimi obumbrabit tibi; poſtquā ipſa dixerat: Quomodo erit iſtud mihi; quoniam virum non cognoſco? Et carnem citra moram Verbum effecit, atque templum diuinum vox hæc conſtruxit. Ita poſt triduanum tempus è Ceto Ionas prodiens incorruptus ora obſtruit iiſdem volentibus Domini Reſurrectionem poſt tres dies dicerem poſſibilem, dum re ſimili ſimilem credibilem perſuadet, & volentes cauillari non ſinit impudenter nouum miraculum eludere, dum veteri miraculo in manifeſtam impudentiam eos prorumpere vetat.

Geн. 1. 11.

Luc. 1. 35.

Ion. c. 2.

προλαβόντες ἔφθασαν ἐπὶ τῶν δούλων καταδέξασθαι σὺν τύπους αὐτοῦ ἐριδος.

ΚΕΦΑΛΑΙΟΝ ιθ'.

Περὶ τοῦ Υἱοῦ τῆς ἀεὶ Παρθένου.

ΟΥ̓́τως ἀντιλέγειν μέλλοντας αὐτοὺς τῷ τῆς Παρθένου τόκῳ, καὶ λογισμοὺς πλέκειν δῆθεν ἀλόγους, ὡς οὐκ ἐχούσης τῆς φύσεως ἐμβρύου σύστασιν ἐργάσασθαι ἄνευ καταβολῆς σπερμάτων παιδογόνων, οὐκ ἀφίησιν ἄσπορος ἐν ἀρχῇ παντοίους ἡ γῆ βλαστήσασα καρπούς. λόγος γὰρ θεῖος ἀμφοτέραις γέγονε σπέρμα. ἡ μὲν ἤκουσε, Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος. καὶ τὸ πρόσταγμα εἰς φύσιν μετέβαλε, διαφόρους εὐθὺς οὐκ ἐξ ὑποκειμένης, πλὴν τοῦ λόγου, ἄλλης αἰτίας βλαστήσασα καρπούς, οὓς ἐξήγαγε τὸ πρόσταγμα. ἡ δέ, Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· μετὰ τὸ εἰπεῖν, πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; καὶ σάρκα ἀμελλητὶ τὸν λόγον εἰργάσατο, καὶ ναὸν θεῖον ᾠκοδόμησε τὸ ῥῆμα. Οὕτω μετὰ τριήμερον χρόνον τοῦ κήτους Ἰωνᾶς προελθὼν ἀδιάφθορος ἐπιστομίζει βουλομένους αὐτοὺς τὴν μετὰ τρεῖς ἡμέρας ἀνάστασιν λέγειν τοῦ Κυρίου ἀδύνατον, πιστούμενος τῷ ὁμοίῳ τὸ ὅμοιον; καὶ τοὺς ἐρεσχελεῖν ἐθέλουσι οὐ συγχωρεῖ ἀναιδεύεσθαι πρὸς τὸ νεαρὸν θαῦμα τῷ παλαιῷ κωλυομένοις τῆς προφανοῦς ἀναισχυντίας.

CAPVT

ΚΕΦΑΛ. κ΄.

Οὕτως ἵνα μὴ λέγωσι τὸ τῶν πέντε ἄρτων παράδοξον, ἐξ ὧν ἐκορέσθησαν οἱ πεντακισχίλιοι ἀμήχανον, δέκα ἄρτοις φθάσαντες ἑκατὸν ἐδεξιώσαντο ἄνδρας οἱ δοῦλοι. μικρῷ θαύματι τέως ἐγγυώμενοι τὸ μεῖζον, καὶ τὸ ἅπαξ γινόμενον ἐν ἐλάττονι δυνατὸν, καὶ ἐν μείζονι δεικνῦντες δυνατὸν, τῆς ὕλης καὶ ὅταν ἐκ πλείονος ὀλίγους, καὶ ὅταν ἐξ ἐλάττονος δέοι τρέφεσθαι πλείονας, ὁμοίως ὑπακουούσης τῇ πληθυνούσῃ χάριτι, καὶ τὴν ἐνέργειαν αὐτῆς, οὐ τῇ ποσότητι, τῇ δὲ δυνάμει ποιούσης ἅπασι γνώριμον. Ἀλλὰ τὰ μὲν Ἰουδαϊκῶν ἅλις. Οἱ δὲ τότε τοὺς ἑκατὸν τοῖς δέκα ἄρτοις ἑστιάσαντες ἄνδρας, ἄλλοτε λέβητα πλήθει βοτανῶν ἔτι τοῦ λιμοῦ κρατοῦντος ἑψεῖν τοῖς ὑπηρέταις προστάξαντες, καὶ πικρολίαν ἐκ τῆς γεύσεως εὑρεθέντος, ὕστερον τοῦ ἑψήματος, δηλητηρίου πάντως ἐμμεμιγμένης βοτάνης τῷ χύματι (τοῦτο γὰρ ὁ λέγων ἐδήλου, θάνατος ἐν τῷ λέβητι ἄνθρωπε τοῦ Θεοῦ) δράκα μίαν τῷ παντὶ κελεύουσιν ἐμβαλεῖν ἀλεύρου, τὸ πρὸ μικροῦ διὰ τὴν πικρίαν ἄχρηστον εἰς βρῶσιν τοῖς μοχθήσασι νομισθὲν, ποιήσαντες εἰς ἐδωδὴν ἐπιτήδειον, καὶ τοῖς λιμώττουσιν εἰς παραμυθίαν τῆς ἐνδείας χρησιμώτατον. Τούτοις καλῶς ὁ ὑμνογράφος ἐπεφώνει Δαβὶδ, πλούσιοι, λέγων, ἐπτώχευσαν, καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. τῆς ἀληθείας τοῦ λόγου τὴν προειρημένην μαρτυρίαν ἔχων ἀσφαλῆ, καὶ ἐχέγγυον. Ταῦτα καὶ ὁ Κύριος σφραγιζόμενος ἔλεγεν,

CAPVT XX.

Eodem modo vt ne dicant quinque panum miraculum, e quibus ſaturati ſunt virorum ad quinque millia, fieri non potuiſſe: decem panibus homines centum lautè exceperunt famuli eius, exiguo miraculo veluti pignore promittentes maius, & quod in minori miraculo ſemel fieri potuit, etiam in maiori oſtenderunt poſſibile; materia, & cum per plus paucos, & cùm per minus plures nutricare opus eſſet, eodem modo obtemperante multiplicanti gratiæ & ſuam operationem nō ex quantitate, ſed ex virtute omnibus notam faciente. Sed hæc Iudæis refellendis dixiſſe ſufficiat. Cæterum qui tunc centum viros exceperunt conuiuio cum decem panibus, alio tempore graſſante adhuc fame ollam herbis plurimis refertam coquere miniſtros iuſſerunt, cumque poſt coctionem eas *4. Reg. 4. 40.* guſtu nimis deprehenderent amaras, ob herbam noxiam penitùs immiſtam ſucco (hoc enim dicens demonſtrabat, Mors in olla, vir Dei) pugillum vnum farinæ in totam coctionem iniici iubētes, quod paulo antè propter amaritudinem laſſis eſui videbatur ineptum ad manducandum, reddiderunt eſculentum commodè, & famelicis ad eſuriem ſubleuandam vtiliſſimum. Hiſce hymnorum cātor præclarè accinit Dauid, Di- *Pſal. 33 v. 11.* uites (dicens) eguerunt, & eſurierunt; Inquirentes autem Dominum non minuentur omni bono: prædicta pro verbi veritatis teſtimonio certo, & indubitato habens, cui fides omninò eſt adhibenda. Hæc & Dominus velut obſignans ſigillo dicebat: Reſpi-

cite

Matth. c. 6. v. 26. cite volatilia Cæli, quoniam neque ſerunt, neque metunt, neque congregant in horrea, & Pater veſter cæleſtis paſcit illa. Et de veſtimento quid ſoliciti eſtis? Conſiderate lilia agri, quomodo creſcunt: non laborant, neque nent. Dico autem vobis, quòd neque Salomon in omni gloria ſua coopertus eſt, ſicut vnum ex iſtis. ſupponens ex his, quæ ſingulis horis cernimus, poſſe homines facili negotio, & abſque vlla moleſtia vitam ducere. Quærite namque, ait, Regnum, & hæc omnia *Matth. c. 6. v. 33.* adijcientur vobis. Vt enim minimè videretur dixiſſe ad inanem iactantiam, & ſuſpectum vaniloquiũ: Nolite ſolliciti eſſe, quid manducabitis, aut quid bibetis, aut quo operiamini; exemplo liliorum, & volatilium cohortationem ſuam confirmat, quorum illa veſtium decorem, iſta verò victum ſine labore, & ſine cura ſuſcipiunt à prouidentia Diuina: ſimulque reuocat in mentem nobis viuendi modum, quem ante inobedientiam Adam profitebatur; vt nullus dubitare queat de promiſſionis effectu, quod victum neque terram colens, vti nunc fit, neque laborans, ſine moleſtia habiturus eſſet: & ad præſentes parandi neceſſaria difficultates reſpicit, vt abſque labore veſcũtur feræ beſtiæ, & reptilia viuunt, & volatilia, quæ nos docent infallibilitatem illius, qui huius vitæ fuit legiſlator, & auctor. Nam & eamdem ob cauſſam plantæ, quæ hominum manibus excultæ quotannis ſeruntur, herbis ſilueſtribus debiliores ſunt, cum illæ à cultoribus irrigentur, & ægrè multa cum cura ad deſideratam perfectionem perueniant; hæ autem ſemel iuxta Diuinum mandatum exortæ in ſuis primæ-

ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει, οὐ κοπιᾷ, οὐδὲ νήθει. Λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλλετο, ὡς ἓν τούτων. ἐκ καθ' ἑκάστην ὁρωμένων δυνατὴν τοῖς ἐμβιοῦσι τὴν αὐτοσχέδιον, καὶ ἀταλαίπωρον ὑποτιθέμενος ζωήν, αἰτεῖτε γάρ φησι τὴν βασιλείαν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ἵνα γὰρ μὴ δόξῃ κόμπον εἰκαῖον, καὶ εἰς ματαιολογίαν ὕποπτος εἰρηκέναι τὸ μὴ μεριμνήσητε, τί φάγητε ἢ τί πίητε, ἢ τί περιβαλεῖσθε, τῷ ὑποδείγματι τῶν κρίνων, καὶ τῶν πετεινῶν πιστοῦται τὴν παραίνεσιν, τῶν μὲν τοῦ ἐνδύματος τὴν εὐπρέπειαν, τῶν δὲ τὴν τροφὴν ἄπονον δεχομένων, καὶ ἀμέριμνον παρὰ τῆς προνοίας τοῦ κρείττονος· ἅμα καὶ τῆς ἐπιμελημένης πρὸ τῆς παραβάσεως τῷ Ἀδὰμ ὑπομιμνήσκων ἡμᾶς διαγωγῆς, ὥστε μηδεὶς ἀπιστεῖν ἔχῃ τῷ δυνατῷ τῆς ὑποσχέσεως ὅτι τὴν τροφὴν ἔμελλεν ἔχειν οὐ γεωργῶν ὡς νῦν, οὐ μοχθῶν, ἀταλαίπωρος. εἰς τὴν παροῦσαν τοῦ πορισμοῦ τῶν ἀναγκαίων κακοπάθειαν ἀφορῶν τῶν ἀπόνως τρεφομένων θηρίων, καὶ ἑρπετῶν ζώων, καὶ πετεινῶν διδασκόντων ἡμᾶς τὸ ἀψευδὲς τοῦ νομοθετήσαντος τὴν τότε ζωήν. διὰ τοῦτο γὰρ, καὶ τὰ θεραπευόμενα φυτὰ χερσὶν ἀνθρωπίναις τῶν ἀγρίων βοτανῶν ἐστιν ἀσθενέστερα κατ' ἔτος σπειρόμενα, ἀρδόμενα παρὰ τῶν ἀγροκόμων, καὶ μόλις ἐπιμελείᾳ πολλῇ φθάνοντα πρὸς τὴν σπουδαζομένην τε-

uis

λείωσιν, τῶν ἅπαξ ἀνατειλάντων κατὰ πρόσταγμα τοῦ Θεοῦ ἐπὶ ταῖς ἀρχαίαις ῥίζαις βλαστανόντων, καὶ τρεφόντων ἀειθαλέστατα, καὶ τηλικαῦτα στελέχη ἀεί, πρὸς ἔλεγχον ἀναντίῤῥητον τοῦ καὶ τὰ ἡμέτερα τοῖς μὴ παραχωροῦσι Θεοῦ διαιτᾶσθαι τὸν αὐτὸν τρόπον ἀνθεῖν, καὶ παρέχειν αὐτοῖς αὐτομάτως τὴν ἀπόλαυσιν ἀνεμπόδιστον.

ΚΕΦΑΛ κα'.

Εἰς ταύτην οὖν τὴν βουλόμενος τὴν ἀμέριμνον ὁ Κύριος ἐνάγειν ζωὴν, ἐργάζεσθαι τὸ καλὸν παραινεῖ, καὶ μὴ φροντίζειν τῆς χρείας τοῦ σώματος λέγων, οἶδεν ὁ πατὴρ ὑμῶν, ὅτι χρείαν ἔχετε τούτων ἁπάντων. καὶ, ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. οὐδεμίαν ἐν τούτοις καταλιπὼν ἀπιστίας ὑπόνοιαν, ὡς ἐνδεηθήσεταί τινος τῶν καθηκόντων ὁ τὸ ἔργον τοῦ Θεοῦ ἐργαζόμενος. καθάπερ ἀθλητὴς ἀπογραψάμενος εἰς τὸν ἀγῶνα τῆς εὐσεβείας, καὶ καθ' ἑκάστην ἐνθέσμως ἀθλῶν, ὀψώνια μὲν τὰ τοῦ παρόντος αἰῶνος πρὸς τὴν ἐν σαρκὶ ζωὴν παρὰ τοῦ ἀγωνοθέτου ἀποδεχόμενος, τοὺς δὲ στεφάνους μετὰ τὰ στάδια μένων ἐν τῷ μέλλοντι, οὐ κοτίνῳ, καὶ σελίνῳ, καὶ δάφνῃ κλάδοις τὴν κεφαλὴν ἀναδεῖσθαι προσδοκῶν, ἀλλὰ τῷ διαδήματι τῆς εὐπρεπείας, καὶ τῷ καλῶς δόξης, καὶ τιμῆς πεπλεγμένῳ στεφάνῳ. ὡς φησιν ὁ Δαβίδ, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. καὶ ἆθλον ἐπὶ πᾶσι λαμβάνων ζωὴν τὴν αἰώνιον, καὶ τρυφῆς παραδείσου ἀπόλαυσιν, ἣν κατὰ τὸν Ἀπόστολον, ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. τοιαῦτα γὰρ ὁ Θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν, διὰ τὴν

uis radicibus vireſcant, & ſemper frondoſiſſimos, atque florentes alant ramos ad argumentum irrefragabile, quòd noſtræ quoque res, dum à Diuina obedientia non recedimus, eodem modo florere, fructumque ſpontaneum ſine vllo impedimento præſtare poſſunt.

CAPVT XXI.

Ad hanc ergo volentes inducens Dominus vitam ſolutã curis, vt bona operemur, adhortatur, & ne curemus de corporis indigentia; dicens: Scit Pater ve- *Matth. 6. 32.*
ſter, quoniam his omnibus indigetis. &: Dignus eſt operarius victu ſuo. Neque hac in re incredulitatis *Matth. c. 10. v. 10.*
ſuſpicionem relinquit vllam, quaſi homini Dei opus operanti rerum conuenientium quidquam deeſſe poſſit; quemadmodum Athleta, qui pietatis ad certamen nomen dedit, deſcriptuſque fuit, & quotidie legitimo more decertat, obſonia quidem, & præſentis ſeculi diaria ad vitam in carne ſuſtinendam à Munerario accipit; coronas autem poſt ſtadia decurſa manens in futuro ſæculo non ex oleaſtro, aut apio, aut lauro caput redimituras ramis expectat, ſed diadema pulchritudinis, & ſertum gloriæ, atque honoris præclarè contextũ; vti ait Dauid: Gloria, & *Pſal. 8.*
honore coronaſti eum. Et præter *v. 6.*
hæc omnia, præmia æternæ vitæ accipiens, voluptatis Paradiſo per- *I. Cor. 2*
fruitur: quam ſecundum Apoſto- *v. 9.*
lum oculus non vidit, nec auris audiuit, nec in cor hominis aſcendit. Talia enim Deus præparauit diligentibus ſe: quæ ob excellentiam ſplendoris neque verbis enarrari, neque oculis ſpectari poſſint, &

& animi deſiderium excedunt. Nam quodcumque tādem ad voluptatem magnum, & mirabile quis cogitare ſtudeat, minus profectò, multòque inferius imaginabitur ijs, quæ Sanctorum delicijs ſunt decenter apparata. Quandoquidem ſolet intellectus rerum ſenſu cognitarum in ſe ipſo formare imagines; quarum verò ab ipſis ſenſibus formas non excepit, effigiare illas volens, indefinita ſibi effingit ſimulacra, & per inane pergens, & cogitatione imaginatur non ſubſiſtentia: dum alias forma alia incidit, & antecedētem oblitterat; eo quod non ſubſit ſpecies perſpicua, quæ vagabundam illam ſuſtinere queat.

ὑπερβολὴν τῆς λαμπρότητος ὄντα ἀνέκφραστα, καὶ ἀθέατα, καὶ ἐνθυμήσεως κρείττονα. ὅπερ γὰρ ἂν ἐννοῆσαί τις πρὸς ἀπόλαυσιν σπουδάσῃ μέγα, καὶ θαυμαστὸν, ἔλαττον πάντως, καὶ πολὺ καταδεέστερον φαντασθήσεται τῶν εἰς τρυφὴν τοῖς ἁγίοις ἀπηρτισμένων. ἐπειδὴ πέφυκεν ἡ διάνοια τῶν δι᾽ αἰσθήσεως ἐγνωσμένων ἐν ἑαυτῇ μορφοῦν τὰς εἰκόνας. ὧν δὲ μὴ τύπους παρὰ τούτων ἐδέξατο, ἀγαλματοποιεῖν ἐθέλουσα, ἀόριστα ἰνδάλλεται εἴδωλα κατὰ κενοῦ βαίνουσα, καὶ ἀνυπόστατα φανταζομένη ἐνθύμια. ἄλλοτε ἄλλης ἐμπιπτούσης μορφῆς, καὶ ἀφανιζούσης τὴν φθάσασαν, τῷ μὴ ὑποκεῖσθαι πεπηγμένον εἶδος τὸ κατασχεῖν δυνάμενον πλαζομένην αὐτήν.

CAPVT XXII.

Exod. 16.15

SI enim in Deſerto manna illud conceſſum, etiam cū manibus contrectaretur, oculiſque cerneretur, dubium nihilominus relinquebat, quidnam rei eſſet? nulli earum rerū quas experimur, cōparandū aſpectu, & qualitate, ſed peregrino quodā, & diuerſo ab vſitatis ſapore pollens: quiſnam probabili coniectura exprimeret quæ ipſum manna incōparabili præſtātiæ gradu ſuperant, & quācumque ſenſuum comprehenſionem excedunt, tum cognoſcenda nunc ſui deſiderio flagrantibus, vbi ipſa experientia nos eius fruitionis docebit excellentiam, & labores exantlatos exiguos fuiſſe magnitudo præmiorum, cum remunerationum ſpē ſupergredietur obuia felicitas? Nec mihi quiſquam eorum, qui hactenus bene agere neglexerunt, rem nimis inceptu ſeram eſſe prætexat, & cum pigeat ma-

num

ΚΕΦΑΛ. κβʹ.

ΕΙ γὰρ τὸ ἐν ἐρήμῳ δοθὲν μάννα ψηλαφώμενον, καὶ ὁρώμενον, ἠπορεῖτο, τί ἂν εἴη, τῇ ὄψει καὶ τῇ ποιότητι οὐδενὶ τῶν ἐν πείρᾳ γεγενημένων συγκρινόμενον, ξένην δὲ καὶ παρηλλαγμένην παρὰ τὰς ἐθίμους ἔχων τὴν αἴσθησιν· πῶς ἄν τις εἰκότι στοχασμῷ τεκμηριώσαιτο τὰ ἀσυγκρίτῳ ὑπεροχῇ τοῦ μάννα προέχοντα, καὶ πάσης ἀνώτερα αἰσθητῆς καταλήψεως, τότε γνωσθησόμενα τοῖς νῦν προσδοκῶσιν αὐτὰ, ὅτε ἡ πεῖρα διδάξει τῆς ἀπολαύσεως τὸ ἐξαίρετον, καὶ τοὺς πόνους ἐλέγξει μικροὺς τῆς ἐπικαρπίας τὸ μέγεθος, ὑπὲρ τὴν ἐλπίδα τῶν ἀμοιβῶν ἀπαντησάσης τῆς εὐκληρίας. Καί μοι μηδεὶς τῶν μέχρι νῦν ἠμεληκότων τοῦ καλοῦ προφασιζέσθω τὸ ὄψιμον, καὶ ὀκνείτω τὴν ἐργασίαν τούτου, ὡς ἀρχόμενος βράδιον, καὶ μόλις ἢ οὐδαμῶς φθάνων πρὸς τὴν τῆς ἀρε-

τῆς πλειότητα. πολὺ μὲν γὰρ ἀληθῶς τὸ στάδιον, καὶ μακρὸν τὸ μῆκος τῆς φερούσης ἐπ' ἐκείνην ὁδοῦ· φημὶ κἀγώ· ἀλλ' ἔστι ταχέως ἀνύσαι αὐτὸ συντόνῳ σπουδῇ, καὶ παρελθεῖν τοὺς ἐκ νέας ἡλικίας βάδην ὁδεύοντας, καὶ τοσοῦτον ὀπίσω καταλιπεῖν, ὅσον ἡ προθυμία ἐπείγεται πρόσω. ὡς ἐκείνους μὲν ὀλίγον, ἢ ὅλως οὐδὲν προκεκοφέναι, ἀφ' οὗ κατελείφθησαν πόρρω νωθρῶς ἄγαν, καὶ ἀνειμένως κινουμένους τὼ πόδε· τὸν δὲ ἰσοταχῶς πτηνοῖς δραμόντα ἐπὶ τὸν προκείμενον, ἢ πλησίον τοῦ σκοποῦ, ἢ πάντως γενέσθαι ἀνάγκη ἐντός· καθάπερ νεῶν τῶν ἐξ αὐτῶν ὅρμων εὐθυδρομούσων εἰς λιμένα, καὶ καταιρουσῶν πλησιστίων, ἄλλων ἐμπλαζομένων ἐπὶ τῷ πελάγει κυβερνητῶν ῥαθυμίᾳ, καὶ τοὺς κόλπους τῆς ὀθόνης συνεχῶς κενουμένων ταῖς ἐπὶ θάτερα ἐγκαρσίοις περιστροφαῖς. ὅταν γὰρ οὐρίου πνεύματος ἐκ πρύμνης τῇ ὁλκάδι προσπίπτοντος, μὴ τὰ ἱστία ὁ κυβερνῶν φυλάττῃ πεπληρωμένα, μηδὲ κατέχῃ τὴν ὁρμὴν πρὸς τὴν πνέουσαν ὄρθιον, βραδυπαθεῖν ἀνάγκη τὸ σκάφος, ἀποφεῦγον ἀεὶ καὶ ἐκκλῖνον τὴν τοῦ ὠθοῦντος πνεύματος ἐμβολήν.

num operi admovere, quaſi tardiùs inceperit, & ægrè, vel nullo etiam modo ad virtutis perfectionem pertingere poſſit. Nam & magnum reuerà interuallum, & longitudo prolixa viæ,quæ ad eam perducit. Fateor & ego id fore; ſed intento ſtudio ocyus confici eam, & eos quoque, qui à prima adoleſcentia lento gradu proceſſerunt, præuenire, & tanto interuallo poſt ſe relinquere, quanto animus impellitur antè maiori deſiderio; vt iſti quidem parum, vel nihil omninò à loco,vnde cœperāt, ob pedum motum ignauum valdè, ſegnemque promoueant; hic autem æquali volucribus curſu & ad propoſitum ſcopum, aut proximè perueniat, vel etiam intus planè attingat neceſſum eſt. Non ſecus ac nauis cū ex ipſa ſtatione recto curſu ad portum defertur,& cum plenis ſubit velis, dum aliæ gubernatorum negligentia vagantur per mare, ſinuſque velorum linteorum continuè exinaniunt, nunc hanc, nunc illam in partem obliquis conuerſionibus. Etenim niſi gubernator,vbi ventus ſecundus à puppe adſpirat naui onerariæ, vela ſemper turgentia & plena ſeruet, curſumque rectà dirigat ad ventum ferentem ſuo afflatu,ſegniùs procedere nauim neceſſum eſt, quæ venti propellentis impetum ſemper ſubterfugit, & declinat.

ΚΕΦΑΛ. κγ'.

Διὰ τοῦτο καλῶς ὁ Παῦλος τοῖς σταδιεύουσι τοῦτον τὸν δρόμον ὑπερεφώνει βοῶν, οὕτω τρέχετε, ἵνα καταλάβητε. τὸ οὕτως ἐπιτείνειν κελεύων τὸ τάχος, καὶ τὸ στενὸν τοῦ καιροῦ βιάζεσθαι τῇ σφοδροτάτῃ φορᾷ, ὡς τὴν πολλοῦ χρόνου δεομένην ὁδὸν ἀνυσθῆναι ὀξέως συντόνῳ σπουδῇ, καὶ ἐπιμόνῳ τοῦ θέοντος. Τοῦτο τῆς ὁδοῦ

CAPVT XXIII.

HAnc ob cauſsā præclarè Paulus decurrentibus in ſtadio hunc curſum ſuperclamabat vociferans: Sic currite, vt comprehendatis. Ita iubens nos intendere velocitatem, & temporis anguſtias concitatiſſimo impetu tāquam vi occupare, vt viam longo temporis ſpatio emetiendam ſtu- 1.Cor.9 v. 20.

 dio

dio obnixo, & pertinaci curſu velociter abſoluamus. Lōgū hoc viæ ſpatium cum perſpexiſſet curſor ille velociſſimus Dauid, qui ait:
Pſal. Viam mādatorum tuorum cucur-
118. v. ri; ſupplex Deum orat, vt ſciat in-
32. uocans, quantum ſibi vitæ tempus ſuperſit, & vtrum ad obtinendum propoſitū ipſi ſufficiat. Ait enim:
Pſal. 38 Notum fac mihi Domine finem meum, & numerum dierum meorum, quis eſt, vt ſciam, quid deſit mihi. Deinde cum perſuaſus eſſet longiſſimo ſe adhuc abeſſe internallo, neque, quod reliquum erat temporis, ipſi ad illud, quod iam elapſum erat, proportionem habere; quamuis è carceribus ad metam vno ferretur per aërem currens ſpiritu: deſperata pedum velocitate volucres, & ſublimes na-
Pſal. 54 turas ad certamen prouocat, &
v. 7. ait: Quis dabit mihi pennas ſicut Columbæ, & volabo, & requieſcam? Nam ex mutua ſpatij, temporiſque commenſuratione ita demum ſe peruenturum cognorat collineando, ſi ſublimi vitæ genere tamquam pennis in altum ſublatus ſollicita diligentia quidquid medium interiacet, perlaberetur, atque ita deſideratam perfectionis metam contingeret.

τὸ μῆκος θαυμάσιος ὁ λέγων, ὁδὸν ἐντολῶν σου ἔδραμον, ὁ ταχυδρόμος Δαβὶδ, καθυπερβάλλει, καὶ ἱκετεύει τὸν Θεὸν γνῶναι παρακαλῶν, ὅσος αὐτοῦ τῆς ζωῆς λείπεται χρόνος, εἰ πρὸς τὴν κατάληψιν αὐτοῦ τοῦ σπουδαζομένου ἐστὶν ἱκανός. φησὶ γάρ· γνώρισόν μοι κύριε τὸ πέρας μου, καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ, τί ὑστερῶ ἐγώ. Εἶτα πυθόμενος, ὅτι πολλῷ ἀφέστηκε μέζω, καὶ οὐκ ἀναλογεῖ πρὸς τὸ φθάσαι ὁ λειπόμενος χρόνος αὐτοῦ, κἂν ἐκ βαλβῖδος εἰς νύσσαν ἀπνευστὶ θέων διαέριος φέρηται, πρὸς τὰς πτηνὰς, καὶ μεταρσίους μετατίθησι φύσεις τὴν ἅμιλλαν, ἀπεγνωκὼς τῆς τῶν ποδῶν ὠκύτητος, καὶ φησί· τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω; οὕτω μόνως φθάσειν λοιπὸν ἐγνωκὼς ὡς τὴν συμμετρουμένα τῷ μήκει τὸν χρόνον στοχάσασθαι, εἰ μετάρσιος ἀρθεὶς τῷ ὕψει τῆς πολιτείας ὑπόπτερος διαπτάιη τῇ σπουδῇ τὰ ἐν μέσῳ, καὶ οὕτω καταντήσει πρὸς τὸν ποθούμενον τῆς τελειότητος ὅρον.

SECTIO XII.

De parabola vineæ, & operariorum mercede conductorum ad diuerſas horas.

ΤΜΗΜΑ ιϐ΄.

Περὶ τῆς παραβολῆς τοῦ ἀμπελῶνος, καὶ τῶν μισθωθέντων ἐργατῶν κατὰ διαφόρους ὥρας.

CAPVT I.

Matth. 20. Parabola quoque vineæ, in quam diuerſis horis interdiù ingrediebantur operarij mercede conducti, qui à manè vſque ad veſperam eam excolere debebant,

ΚΕΦΑΛ. α΄.

Καὶ ἡ τοῦ ἀμπελῶνος δὲ παραβολὴ, ἐν ᾧ κατὰ διαφόρους ὥρας εἰσῆλθον τῆς ἡμέρας οἱ τοῦτον ἐργάζεσθαι μέλλοντες, μέχρι δείλης ἐκ πρωΐας μισθωθέντες, καθὼς ἔδωκεν ὁ

alij

καὶ ἑξῆς ἄλλοτε ἄλλοι τοῖς εἰρημένοις ἔοικε συμφωνεῖν. τὸν αὐτὸν γὰρ ἅπαντες ἔλαβον μισθόν, καὶ τοῖς αὐτοῖς παρὰ τοῦ δεσπότου τιμῆς ἠξιώθησαν, μᾶλλον δὲ προετιμήθησαν οἱ τελευταῖοι τῶν πρωΐ, καὶ ἴσον τοῖς ἐξ ὄρθρου ἐργασαμένοις καὶ παρ' αὐτῶν κομισάμενοι τὸ ἀργύριον, φιλοτιμίαν μὲν, ὡς ἄν τις ὑπολάβοι, τοῦ παρασχόντος ἀπολαύσαντες, ὡς δὲ οὐχὶ τἀληθὲς, δικαίας τυχόντες τιμῆς. εἰ μὲν γὰρ μετὰ τῶν γογγυσάντων κληθέντες οὐχ ὑπήκουσαν, ἐκ μεταμελείας δὲ προσῆλθον τελευταῖοι τῷ ἔργῳ, ἄξιοι τοῦ πρὸς ὃν εἰργάσαντο χρόνον ἦσαν μισθοῦ. εἰ δ' ὅτε ἐμισθώσαντο, τὸ πρόθυμον ἐπεδείξαντο, τί ἀπροαίρετον συκοφαντοῦντες ἀργίαν; ἐκ τῆς ὕστερον γὰρ δῆλοι, καὶ τῆς προλαβούσης, εἰ παρῆσαν, ὄντες σπουδῆς. τοῦτο γὰρ τοῖς μεμψιμοίροις, καὶ οὐ χαίρουσι τῇ οἰκείᾳ τιμῇ, δακνομένοις δὲ τῇ πρὸς αὐτοὺς ἄλλων ἰσοτιμίᾳ, σημαίνων ὁ οἰκοδεσπότης, ἔλεγεν ἐν τῇ ἀπολογίᾳ, ἑταῖρε οὐκ ἀδικῶ σε. οὐχὶ δηναρίου συνεφώνησάς μοι τὴν ἡμέραν; λάβε τὸ σὸν, καὶ ὕπαγε. θέλω δὲ τούτῳ δοῦναι τῷ τελευταίῳ, καθὼς καὶ σοί. ἢ οὐκ ἔξεστί μοι ἐν τοῖς ἐμοῖς ποιῆσαι, ὃ θέλω; ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; Καὶ τὴν ζηλοτυπίαν ἐκείνων ἐλέγξας ἄδικον, καὶ τὴν ἑαυτοῦ ἀγαθότητα δικαιοσύνην δείξας πεπληρωμένην. ὅτι τὸ παρὰ γνώμην τῆς ἀργίας ἀτύχημα οὐκ ἀφῆκεν αὐτοῖς αἴτιον γενέσθαι ζημίας εἰς τὴν πρόθεσιν, καὶ οὐκ εἰς τὸ συμβὰν ἀπιδών· πάντως γὰρ ἦν οὐκ ἀμελείας, ἀλλὰ συντυχίας ἡ ἀργία. τὸ γὰρ, οὐδεὶς ἡμᾶς ἐμισθώσατο, τούτους μὲν ὑπονοίας ὄκνου δείκνυσιν ἐλευθέρους ἑστῶτας

alij poſt alios, ſicut exhibuit tempus, dictis conſonare videtur. Eamdem enim omnes acceperunt mercedem, & ipſos Paterfamilias eodem honore dignatus eſt; quin potius vltimi primis fuere prælati, & parem ſummo manè laborantibus argenti denarium, ac quidem primo loco, tulere. Quē fortè quis fructum ex liberalitate largientis exiſtimet profectum; ego, quod res eſt, iuſtum præmium ipſis collatum iudico. Nam ſi vnà cum murmuratoribus iſtis vocati non obtemperaſſent, ſed poſteà pœnitentia ducti acceſſiſſent nouiſſimi ad opus, digni fuiſſent mercede, eius temporis, quo opus fecerant; ſed quia tum, cum conducerentur, promptiſſimum animum oſtenderant, quid inuitam ipſis negligentiam falſo imputas? Nam ex poſteriori diligentia perſpicuum fuit, non minùs eos ſedulos futuros, ſi priùs operi adfuiſſent. Hoc enim querulis illis, non tam gaudentibus de proprio honore, quàm alios ſibi comparari dolentibus, Dominus domus ſignificans dicebat in defenſionem: Amice non facio ti- *Matth. 20. 13.*
bi iniuriam. Nonne ex denario cōuenisti mecū in diem? Tolle quod tuum eſt, & vade. Volo autem & huic nouiſſimo dare, ſicut & tibi. Aut non licet mihi in meis facere, quod volo? An oculus tuus nequam eſt, quia ego bonus ſum? Quo & eorū æmulationem iniuſtam reuincit, & ſuam benignitatem eſſe iuſtitiā impletam oſtendit. Quia præter ſententiam otium obiectum miſeris illis noluit eſſe detrimento, animum, & non euentum rei ſpectans. Otium enim illud neutiquam ex ignauia, verum è caſu prouenit. Nam illud: Nemo nos conduxit: ignauiæ ſuſpicione ipſos liberat, ſtantes paratos ad opus faciendum. Sed

otium in conductorum defectum reijcit. Vnde ille, qui reddit vnicuique ſecundum opera ſua, rectè partem diei laborantibus, integram mercedem, non minus ac reliquis toto die incumbentibus operi, reddidit; re potiùs, quam verbis oſtendens, ea dignos fuiſſe, qui priores diei horas ideò traduxerant otioſè propter neceſſitatem, quia defuerat conductor, qui vocaret ad opus, & non voluntas laborandi è pigritia. Atque hæc quidem benignitas pariter & æquitas fuit Patrisfamilias, eos non fraudare, quibus fraudi tempus fuerat, neque permittere ipſis vt noxã ſubirent, innoxio cum eſſẽt animo, cum iure non poſſent ac, cuſari negligentiæ, qui à ſummo manè parati fuerant ad opus; ac fortaſſe paucis etiam horis integrum opus totius diei perfecerant, quod viribus integris recentes, animoque prompto aggreſſi magna cum diligentia exercuerunt: ideoque iudicauit æquum eſſe, vt non minus denario acciperent, qui operam denario dignam præſtiterunt, etiamſi ſolidum per diem non laboraſſent. Nam qui conducendo eos dixerat: Ite & vos in vineam meam, & operamini; & quod iuſtum erit, dabo vobis: cum minimè mendax ſit, dando eis denarium, quod erat iuſtum, dedit; nec fruſtra largiebatur, quia mercedem iuſte reſpondentem labori, non tempori dabat. Hanc enim ob cauſſam, eos alijs etiam prætulit, quos in laborando pares pari quoque mercede honorandos iudicabat; ſed quod anguſto temporis ſpatio præuerterant eos, quibus longitudo diei ſegnius laborandi ſecuritatem dederat, primo loco, eos tamquam gnauos, & induſtrios vocabat ad præmia; vt & hoſce honorando, & iſtos increpando

ἐπὶ τὸ ἐργάσασθαι ἑτοίμους, τὴν δὲ σχολὴν ἀνατίθησιν ἀπορίᾳ τῶν μισθουμένων. εἴγε ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς μέρος τῆς ἡμέρας ἐργασαμένοις ὁλόκληρον, ὡς τοῖς διημερεύσασιν ἐν τῷ ἔργῳ ἀπέδωκε τὸν μισθόν. πράγματι δηλώσας, καὶ οὐ ῥήμασιν, ὅτιπερ ἦσαν ἄξιοι τούτου, ἀνάγκῃ τοῦ μὴ ἀπορῆσαι καλοῦντος ἐπὶ ἔργον, καὶ οὐ ῥᾳθυμίᾳ τὰς πρὸ τοῦ ἔργου μείναντες ὥρας ἀργοί. Καὶ τοῦτο μὲν ἀγαθότητος, ἴσως δὲ καὶ δικαιοσύνης τοῦ οἰκοδεσπότου τὸ μὴ ζημιῶσαι, οὓς ἐζημίου ὁ καιρὸς, μηδὲ συγχωρῆσαι πλεονεξίαν μὲν αὐτοὺς ὑποστῆναι οὐκ ἔχοντος δίκαιον τῆς δὲ ὄρθρου παρασκευασμένους πρὸς ἔργον, τάχα δὲ καὶ πάσης τῆς ἡμέρας ἐν ὀλίγαις ὥραις νεαροὶ προσελθόντες, καὶ πρόθυμοι, τὸ ἔργον ἤνυσαν πολλῇ χρησάμενοι σπουδῇ. καὶ τοῦτο δίκαιον ἐκρίθη, μὴ ἔλαττον τοῦ δηναρίου λαβεῖν τοὺς τοῦ δηναρίου ποιήσαντας ἄξιον ἔργον, κἂν μὴ πᾶσαν εἰργάσαντο τὴν ἡμέραν. ὁ γὰρ ἐν τῷ μισθοῦσθαι αὐτοὺς εἰπών, πορεύεσθε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου, καὶ ἐργάζεσθε, καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν, δεδωκὼς τὸ δηνάριον ἀψευδὴς ὤν, ὃ ἦν δίκαιον δέδωκε, καὶ οὐκ ἐχαρίσατο μάτην, τῷ πόνῳ ἀναλογοῦντα δικαίως, οὐ τῷ χρόνῳ παρασχὼν τὸν μισθόν. ταύτῃ γὰρ τῇ αἰτίᾳ καὶ προέκρινε τῶν ἄλλων αὐτούς. διὰ μὲν τὸ ἰσομοιρῆσαι ἐν τῷ ἔργῳ ἰσοτίμους ἐν τῷ μισθῷ κρίνας αὐτούς, διὰ δὲ τὸ φθάσαι στενῇ προθεσμίᾳ τοὺς τὸ μῆκος τῆς ἡμέρας ἐσχηκότας πρὸς ἄδειαν ἀνειμένης, πρώτους καλέσας πρὸς τὰς ἀμοιβάς, ὡς σπουδαίους. ἵνα καὶ ἐκ τῆς τούτων τιμῆς, καὶ ἐκ τῆς ἐντροπῆς ἐκείνων

περὶ τὴν τοῦ καλοῦ σπουδὴν τῶν ὀκνηροτέρων διεγείρῃ τὴν προθυμίαν. οἶδε γὰρ ἄλλων τιμὴ, πρὸς πόνον παρέψασθαι ἄλλους ἔρωτι δόξης αἱρουμένους καὶ τὸν ὑπὲρ δύναμιν κάματον. Ἀλλ' ὢ τοῦ παραλόγου πάθους τῆς βασκανίας. ζηλοτυποῦσι τοὺς ὠφελουμένους οἱ μηδὲν ἀδικούμενοι. τὸ ἑτέρων κέρδος ζημίαν ἰδίαν λογίζονται. γογγύζουσιν οὐδὲν ἀποστερούμενοι. κνίζονται ταῖς ἄλλων εὐπραγίαις. φθίνουσι καὶ τήκονται ὁρῶντες εὐδοκιμοῦντας ἑτέρους. οὗτοι, φησὶ, τοὺς ἐσχάτους ἴσους ἡμῖν ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα. μῆκος προβάλλονται χρόνου, οὐκ ἔχοντες, ὡς ἔοικε, δικαιολογίαν τοῖς ἐν τῷ ἔργῳ πλεονεξίαν εἰπεῖν. σεμνύνεσθαι δοκοῦσιν ἐφ' οἷς εἰσὶ καταγνώσεως ἄξιοι, τὸν καιρὸν μετροῦντες, καὶ ὡς οὐκ ἀναλογεῖ τούτῳ τὸ ἔργον, οὐ λογιζόμενοι.

do,ſegniorum excitaret animos ad boni operis ſtudium. Nouit enim aliorum honor alios ad laborem incitare, qui amore gloriæ res etiã ſuprà vires arduas ſubeunt. Verùm(ò abſurdum inuidiæ affectũ!) aliorum commodis inuident ęmulantes, qui nullam ipſi ſentiunt iniuriam: aliorum lucrum proprium damnum exiſtimant; murmurant,vbi nihil ipſis decedit;aliorum felicitate vruntur: deficiunt, & macerantur,dum alios claros,& illuſtres vident. Hoſce nouiſſimos (inquit) æquales feciſti nobis, qui portauimus pondus diei, & æſtum. Tẽporis diuturnum ſpatium proferunt, cum ad ſui defenſionem, vt videtur, non poſſunt obtendere ſe plus operis præſtitiſſe: eo ſe videntur iactare, vnde condemnationem merentur; tempus metiuntur, & tempori opus haudquaquam reſpondere non cogitant.

ΚΕΦΑΛ. β'.

Τί γὰρ τὸν οἰκοδεσπότην καυσωθέντες ὠφέλησαν, εἰ ἀμελῶς, καὶ ἀνειμένως εἰργάσαντο, ἔργον ἐπιζητοῦντα, καὶ οὐ ταλαιπωρίαν ἀνόνητον, ἐπιμέλειαν τοῦ ἀμπελῶνος, οὐ τὸ μάτην ἐν αὐτῷ ὅλης τῆς ἡμέρας δαπανῆσαι τὰς ὥρας; τὸ γὰρ ἀμεῖψαι τῶν ἐργαζομένων τὴν τάξιν, καὶ πρώτους μὲν τοὺς ἐσχάτους, ἐσχάτους δὲ τοὺς πρώτους ποιῆσαι, οὐδὲν ἄλλο, ἢ τούτων μὲν τὴν σπουδὴν, ἐκείνων δὲ τὴν δεῖξαι τὴν ῥαθυμίαν. εἰ δὲ ἕκαστοι τὴν σπουδὴν ἴσην ἐπιδειξάμενοι τὴν αὐτὴν, ἀναλογοῦσαν τῷ καιρῷ τὴν ἐργασίαν πεποιημένοι, ποίαν εἶχον εὔλογον πρόφασιν γογγυσμοῦ, τὸν ἐν ταῖς συνθήκαις συμ-

CAPVT II.

Qvid enim profuerunt Patrifamilias æſtum ſuſtinendo, ſi negligenter interim, & ſegniter laborabant: cum ille opus requirat,non inanem moleſtiam; & curam vineæ, non vanum in ea totius diei, & horarum impendium?Illa enim ordinis operantium commutatio, qua primi fiũt nouiſſimi, & nouiſſimi primi, nihil aliud erat,quam iſtorum quidem diligentiam, illorum verò negligentiam oſtendere. Si enim ſinguli tantumdem adhibuiſſent ſtudij,operamque tempori reſpondentem præſtitiſſent; quam habuerũt cauſſam rationabilem murmurandi, qui mercedem, de qua in pactis conductionis conuenerant, reci-

recipiunt, licèt & aliis eadem multiplicata daretur: niſi quod eos inuidia torquebat, quæ cum multos alios, tum eos maximè affligit, qui aliorum honoribus cruciātur? Nec enim eos murmuraturos fuiſſe exiſtimo, ſi laboraſſent abſque nouiſſimis illis, & ſoli mercedem conſtitutam recepiſſent non habentes vllos, aduerſus quos æmulationem exercerent. Nunc verò æmulorum honor inuidię concitauit affectum, non commouendum vtique, niſi alij viſi fuiſſent præferri: parua, comparatione propriorum, æſtimantes, quæ illorum erant, & mercedem, quam ex condicto acceptam gratam, acceptamque habuiſſe debuerant (nulla re ad inuidiam ipſos vellicante, niſi quia primi fuerant honorati) eam murmurantes accipiunt, ideo tantummodo dolentes, quòd alijs videbantur inferiores æſtimati: non ſolum nacti ſeipſos in parte mercedis eiuſdem admiſſos, ſed & cernentes, quòd breuiori laborantes tempore æqualiter præmia eadem obtinuiſſent. Accepiſti heus tu, quod tuum eſt. Quid te angit, quod alius tantūdem accipiat? Tua merces nō eſt imminuta Quid doles, quòd alius, vti tu quidem reris, plus quam tu accipiat? Niſi alium accepiſſe ſcires tantumdem atque tu acceperas; vtique boni conſuluiſſes conſuetam mercedē: ſed quia alius vnà tecum accepit, tuū tibi videtur exiguū. Nihil amplius accepiſti? At neq; id cōſtituiſti, neque accepturū te ſperaſti. Quid ergo nulla affectus iniuria, voce iniuriam paſſorum ſubmurmuras? Quid tuū damnum plangis, vbi nihil amiſeris? Cur Patrisfamilias munificentiam tamquam iniuſtam traducis? Cur gratioſa commiſeratione dignis exhibitam appellas inæqualem diſtributionem? Si mercedem tibi

pactam

βιβασθέντα μισθὸν κομισάμενοι, κἂν ἄλλοις πολυπλασίως ἐδίδοτο, εἰ μὴ φθόνος αὐτοὺς ἐλύπει, ὃ καὶ πολλοὺς ἄλλους λυπῶν, διαφόρως ὀδυνωμένους ταῖς ἑτέρων τιμαῖς; Οὐ γὰρ ἂν οἶμαι γογγύσειν αὐτούς, εἴπερ αὐτοὶ τῶν ἐσχάτων ἦσαν ἐργασάμενοι, καὶ μόνοι κομισάμενοι ὃ συνέθεντο, οὐκ ἔχοντες πρὸς οὓς ζηλοτύπως διακείσονται. νῦν δὲ ἡ τῶν ἀντιζήλων τιμὴ τὸ τῆς βασκανίας ἐκίνησε πάθος, οὐκ ἂν κινηθὲν, εἰ μὴ προκεκρίσθαι ἔδοξαν ἄλλοι, μικρὰ τὰ ἐκείνων δείξαντες παραθέσει τῶν οἰκείων, καὶ ὃν ἔμελλον ἐπὶ τῷ ἔργῳ δεχόμενοι ἀσπάζεσθαι συμπεφωνημένον μισθὸν, οὐδενὸς αὐτοὺς κνίζοντος τὸ προτετιμῆσθαι πρὸς φθόνον, τοῦτον λαμβάνουσι γογγύζοντες. τοῦτο μόνον δακνόμενοι, ὅτι ἄλλων ἐκρίθησαν ἥττονες. οὐ μόνον μετισχὼς ἐν τῷ κοινωνεῖν τὸν μισθὸν εὑρέντες, ἀλλὰ καὶ φανέντες ἀμείνους τῷ ἐλάττονι χρόνῳ τῆς ἐργασίας ἰσοτίμως κεκομίσθαι τὰ ἐπίχειρα. Ἔλαβες ὦ οὗτος τὸ σὸν, τί σε λυπεῖ τὸ αὐτὸ ἄλλος λαβών; Ὁ σὸς οὐκ ἐμειώθη μισθός. τί σε θλίβει τὸ ἄλλον πλέον σου, ὡς ἐνόμισας λαβεῖν; εἰ μὴ ἔγνως κομισάμενον ἕτερον, ὅσον αὐτὸς ἠγάπας, ὃ συνέθου λαβεῖν. ἐπειδὴ μετὰ σοῦ ἔλαβεν ἄλλος, μικρὸν ἐφάνη τὸ σόν. Περιττὸν οὐκ ἐκομίσω; οὔτε συνεφώνησας, οὔτε λαβεῖν προσεδόκησας. Τί οὖν ἀδικηθεὶς τὰς τῶν ἠδικημένων ψιθυρίζεις φωνάς; Τί βλάβην ὀδύρῃ, μηδὲν ἀπεστερημένος; Τί φιλοτιμίαν τοῦ οἰκοδεσπότου διασύρεις ὡς ἄδικον; Τί τὴν εἰς τοὺς συμπαθείας ὡς ἄν τις ὑπολάβοι δεομένους χάριν λέγεις ἀνώμαλον διανέμησιν; Εἰ μὲν ὑφελὼν τοῦ σοὶ συγκειμένου προσέθηκεν ἄλλῳ, ἄδικος ἀληθῶς, παρεσχηκὼς τὰ ἑτέρου ἑτέρῳ, καὶ

ἐν τοῖς ἀλλοτρίοις ἐπιδειξάμενος μεγαλοψυχίαν ἀδάπανον. εἰ δὲ καὶ σοὶ τὸ χρέος ἐξέτισεν ὁλόκληρον κἀκείνοις οἴκοθεν ὀφέλειαν, ἢ χάριν ἐπέδωκε, τί μέμψιν ἐπάγεις μετὰ τοῦ εὐεργετημένου τὸν εὐεργετήσαντα, πονηρίᾳ γνώμης διαβάλλων τοὺς παρεσχηκότας μέμψεως εὔλογον ἀφορμήν, ἄλλων ἔγκλημα τὸ οἰκεῖον πάθος ποιούμενος, καὶ καταδικάζων ὁμοῦ τόν τε παρεσχηκότα καὶ τὴν ταύτης ὁπωσοῦν ἀπολαύσαντα, ἵνα μὴ κολάσῃς ἄλογον πάθος, ὅσιον κρίνων τὸ μὴ βασκαίνειν τοῖς ἀλλοτρίοις καλοῖς, μηδὲ κατηφεῖν, ἐφ' οἷς εὐφραίνονται ἕτεροι; Τοιοῦτος γὰρ ὁ φθόνος πένθος ποιεῖται τὴν τῶν ἀθυμούντων χαράν, αὐτὸς ἐν ὀδύναις διάγων ἀεί. ἐπεὶ μὴ προσχωρεῖ τὸ ἐν οἷς βούλεται κακοῖς εἶναι τοὺς φθονουμένους. Σὺ δὲ καὶ τὸν ἐργάτην ἔξω τοῦ ἀμπελῶνος ἤθελες ἑστάναι διὰ παντὸς ἔργου, καὶ τὸν ἀθλητὴν ἄνευ τοῦ ἀντιπάλου δι' ὅλου καθῆσθαι ἀγύμναστον, λανθάνοντα τοὺς μαθεῖν ὀφείλοντας, τίς ὢν ἐστὶ τυγχάνει τὴν δύναμιν. καὶ τὸν στρατιώτην ἀναδειχθῆναι ταῖς πρὸς τοὺς πολεμίους μάχαις ἀριστεῖα δυνάμενον, ὑποστρεφόμενον σκιοτροφεῖσθαι κορικῶς θαλαμευόμενον, τὴν ἐν ἕξει ἀνδρείαν ἐπὶ τῶν ἔργων οὐ βουλόμενος λάμψαι, καὶ φειδοῖ τῶν πόνων βασκαίνων τῶν στεφάνων αὐτῷ. Ἐγὼ δὲ τὸν ὀλυμπιονίκην πρὸς ἅπαν ἀθλήσεως εἶδος παρεσκευάσθαι παρακαλῶ, ἀνδρείαν γὰρ τὴν τῶν ἀνδρῶν ἀγωνιζομένην καλῶ, οὐ τὴν τοῦ σώματος βλέπων ἀσθένειαν.

pactam ſubtrahens alteri tuliſſet, iniquus reuerà fuiſset, alij conferens aliena, & in alienis ſine ſuo ſumptu magnificentiam animi oſtendens. Si verò & tibi debitum integrum perſoluit, & illis de ſuo commodum vel beneficium obtulit: quid quereris de benefactore pariter, & beneficij receptore; præ animi peruerſitate calumnians eos, qui nullam tibi rationabilem occaſionem præbuere conquerendi, & proprium affectum aliorum in crimen conuertis, ſimulque condemnas & erogantem beneficium, & eum, qui illud etiam recipit: vt non caſtiges affectum abhorrentem à ratione: rem ſanctam iudicans alienis bonis non inuidere, neque dolere de his, ob quæ alij gaudent? Huiuſmodi quippe inuidia mœrorem ex lætantiū gaudio percipit, ipſa in doloribus sēper verſatur; poſtquā his, quibus inuidet, non immittit ea, in quibus vellet ipſos verſari, mala. Tu vero & operarium extra vineam velles ſtare penitus otioſum, & Athletam aduerſario deſtitutum, omnino ſine vlla exercitatione deſidere latentem, ita vt nemo ſcire poſſit eorum, qui addiſcere debent, quo virium robore polleat. Velles militem, qui pugnando in hoſtes optimè mereri poterat laudem, ſub tuto in vmbra, & cubiculi receſſu puellarum more enutriri in thalamo. Velles acquiſitam habitu fortitudinem rebus geſtis non inclareſcere, & metu laborum inuidere ipſi coronas. Ego verò Olympionicen, vt ad omne certaminis genus præparetur, adhortor; fortitudinem enim Virorum virtutem exercitatam appello; non corporis ſpecto imbecillitatem.

CAPVT

CAPVT III.

GEnerosum verò animi affectum æſtimo; qui inimico varijs ad tentationem modis inſidianti, diuerſimodè varijſque vijs decipienti occurrit, & quemcumque impetum eius peritus eſt excipere dextrè. Nam Paulus, qui varia eum moliri nouit, omneſque ad ſubuertendum machinas; paratos vult eſſe, vt reſiſtant omnes ex præſcripto ſuo eius inſultibus. Etenim quandoque armans eos ſcuto fidei, & lorica iuſtitiæ, & galea ſalutis, & gladio ſpiritus: nonnumquam velut pugiles vngens ad luctas, & dicens: Non eſt nobis colluctatio aduerſus carnē, & ſanguinem, ſed aduerſus Principes, aduerſus poteſtates, aduerſus mundi Rectores tenebrarum ſæculi huius, aduerſus ſpiritualia nequitię. Vt ſimul & hoſtium multitudinem addiſcentes, & quod in tenebris pugnant, atque natura ſunt inuiſibiles, ſobrii ſint ſemper vigilantes, & manus ad arma expeditas habeant, omnino quò reſiſtant. Poſteaquam enim ſecundum ſapientem Salomonem ſomnus ab inimicis eiectus eſt, nec illi dormient, neque ſomnum capient, niſi malefecerint. Inſomnē habent (inquit) oculum & milites, vt obſeruent hoſtium inſultus, vt ne quid patiantur ob negligentiam contra voluntatem. Et cōſulit ocyus decurrere ad ſupernæ vocationis præmium, & cuſtodire nos ab eo, qui ſimul currit, necubi concurrentem ſecum, quaſi crure ſubiecto ſubuertat, & pugnare manus iactantem quaſi certa lege quidem, quando non adſunt aduerſarij, exercitationis cauſſa, qua edoceatur peritia; quando vero ad-

erunt

Ephes. c. 6. v. 12.

Prou. c. 4. v. 16.

ΚΕΦΑΛ. γʹ.

Τὴν δὲ τῆς ψυχῆς λογιζόμενος γενναιότητα τοῦ ποικίλως ἐπιτιθεμένου πρὸς πεῖραν ἐχθροῦ ποικίλως ἀπαντῶντα ταῖς μεθοδίαις, καὶ ἑκάστῃ γεγυμνασμένος ἁρμόζεσθαι προσβολῇ. Πολλὰς γὰρ αὐτὸν ἐπιτηδεύειν ὁ Παῦλος εἰδὼς, καὶ πᾶσι πρὸς τὸ καταβάλλειν μηχανὴν, ἑτοίμους εἶναι πρὸς τὸ ἀντιστῆναι ταῖς ἐφόδοις αὐτοῦ πάντας τοὺς κατ᾽ αὐτοῦ πολιτευομένους βούλεται. ποτὲ μὲν καθοπλίζων θυρεῷ πίστεως αὐτοὺς καὶ θώρακι δικαιοσύνης, περικεφαλαίᾳ τε σωτηρίου, καὶ μαχαίρᾳ πνεύματος. ποτὲ ὡς ἀθλητὰς ἀλείφων πρὸς τὰ παλαίσματα, καὶ λέγων, οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα, καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. ἵνα ἅμα καὶ τὸ πλῆθος τῶν πολεμίων μαθόντες, καὶ ὅτι πολεμοῦσιν ἐν σκότει, καὶ ὡς εἰσὶ τὴν φύσιν ἀόρατοι, νήφωσιν ἐγρηγορότες ἀεὶ, καὶ τὰς χεῖρας ἐπὶ τῶν ὅπλων ἔχοντες ἐξηρτισμένας διόλου πρὸς ἄμυναν. Ἐπειδὴ γὰρ κατὰ τὸν σοφὸν Σολομῶντα ἀφῄρηται τῶν ἐχθρῶν ὁ ὕπνος, καὶ οὐ κοιμῶνται, καὶ οὐ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν. ἄγρυπνον ἐχέτωσαν, φησὶ, καὶ τὸν στρατιώτην τὸ ὄμμα, τὰς ὁρμὰς ἐπιτηρῶν τῶν πολεμίων, ἵνα μή τι πάθωσιν ἐξ ἀμεριμνίας ἀβούλητον. Καὶ τρέχειν συμβουλεύει συντόμως ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ τὸν συντρέχοντα φυλάττειν, μή πως σκελίσῃ δι᾽ αὐτοῦ τὸν συντρέχοντα καὶ πυκτεύειν χειρονομοῦντα μὲν, ὅτε μὴ πάρεισιν οἱ

ἀνταγωνιστοὶ γυμνασίας ἕνεκεν τῆς διδασκούσης τὴν ἐμπειρίαν. παρόντων δὲ, καὶ μαχομένων συστάδην, μὴ κατὰ κενοῦ ἀέρος τὸ περὶ τὰς χεῖρας καταφέρειν ὅπλον, αὐτὴν δὲ διασκάπτειν αὐτῶν κεφαλὴν, καὶ ἀμύσσειν τοῖς ὄνυξιν. ἔνθεν ὁ Κύριος, ἐπειδὴ κοσμοκράτορες ὄντες τοῦ σκότους οἱ ἀντίπαλοι, κατατοξεύουσιν ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ, καὶ πᾶσαν ἐπιβουλὴν ἐπιχειροῦσιν ἐν σκότει, τὸ δυσφώρατον, ἢ ἀφώρατον, ἑαυτοῖς ἐκ τούτου πραγματευόμενοι ὅπως ἀδικῶσι, καὶ ἐπιβουλεύωσιν οὐχ ὁρώμενοι, φησίν, αἱ ὀσφύες ὑμῶν ἔστωσαν περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, εὐσταλεῖς μὲν εἶναι θέλων πρὸς τὸν δρόμον τῇ ζώνῃ, φυλάττεσθαι δὲ τῷ καιομένῳ λύχνῳ τὴν τῶν συντρεχόντων ἐπήρειαν. τοῦτο γὰρ ὁ μὲν Παῦλος ἔλεγεν οὕτω τρέχω ὡς οὐκ ἀδήλως τῷ φωτὶ κεχρημένος ὁδηγῷ πρὸς τὸ ἄπταιστον τοῦ καλοῦ δρόμου. ὁ δὲ Δαβὶδ λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου, τὴν ὁδὸν τῶν ἐντολῶν σου λοιπὸν τρέχων ἀμέμπτως, καὶ τὰ τιθέμενα παρ' αὐτῶν ἐχόμενα τρίβου σκάνδαλα τὰ μὲν ἐκκλίνων εὐσκόπως, τὰ δὲ ὑπεραλλόμενος ὀξυτάτῃ τοῦ δρόμου φορᾷ ἅπαξ προσκόψας μετεωρισμῷ τοῦ λογισμοῦ, καὶ ἀσφαλῶς λοιπὸν περιαθρῶν πάντοθεν τὰ ἐν μέσῳ προσκόμματα.

erunt decertabuntque ſtataria in pugna, non per vacuum aera circumferre manibus arma, ipſum verò eorum caput perfodere, atque vnguibus diſcerpere. Inde Dominus cum Rectores mũdi, qui ſunt tenebroſi aduerſarij, ſagittis feriunt obſcura in nocte leues corde, atque in caligine omnes inſidias adſtruunt, in iſta negotiatione hoc lucrum comparantes quod difficilè, vel nullatenus deprehendantur, vti noxam inferant, & non inſpecti inſidias inſultãdo faciant. Sint (ait) lumbi veſtri præcincti, & lucernæ ardentes, volens nos zona quidem benè ſuccinctos ad curſum, ardente verò lucerna cuſtodiri à concurrentium iniuria. Hoc enim Paulus dicebat. Sic curro non quaſi in incertum lumine vſus viæ duce, vt in pulchro curſu non concidam. Dauid autem. Lucerna pedibus meis lex tua, & lumen ſemitis meis, ad viam mandatorum tuorũ dein decurrendam irreprehenſibiliter, & appoſita ab ipſis hærentia ſemitæ ſcandala declinans; hæc quidem prouidè, illa verò impetu, citiſſimo curſu ſuperſiliens, ſemel progreſſus elata in altum ratione, & deinceps ſecure circumſpiciens vndequaque, quæ ſunt offendicula in medio.

Pſal. 10 v. 3.

1. Cor. 9 v. 76.

Pſal. 32 & 118. v. 105.

ΚΕΦΑΛΑΙΟΝ δ'.

ΩΣ γὰρ τὸν ὀφιόδηκτον θροεῖ καὶ σχοῖνος σπειρηδὸν ἐρριμμένη, τοῦ φόβου πλάσσοντος τὴν ὄψιν πρὸς τὴν ὑπόνοιαν, καὶ τὴν ἔννοιαν παραπέμποντος τῇ πείρᾳ, οὕτω μετὰ τὴν ἁμαρτίαν τοῦτον καὶ αἱ μὴ κεκωλυμέναι τῶν ἐπιθυμητῶν χρήσεις καταπλήττονται, δεδοικότα μή πού τις αὐ-

CAPVT IV.

QVemadmodum enim demorſum à ſerpente perturbat & funis in orbem ſpiræ modo proiectus, metu efformante viſum ad ſuſpicionem, & cogitationem transmittente ob periculum, quod expertus eſt. Ita poſt peccatum admiſſum hunc

(Dauidem nempe) rerum deſide-
rabilium etiam vſus non prohibiti
percellebant metuentem necubi
dolus aliquis inimici deliteſceret,
qui in ipſis ad peccatum, eſcā dece-
ptionis proponeret, ea, quæ ſunt
permiſſa, ad aliquid vetitorum pel-
licere machinantis: ſicuti traxe-
2. Reg. 11. v. 4 rat olim aſpectu mulieris deducens
ad inſidias interdicti lege adulterij,
& hoc manifeſtè patet, inde, quia
cum deſideraſſet in bello aquam
2. Reg. 23. v. 16. Bethleemiticam, neque indulſit ſi-
bi, cum allata ea fuiſſet, vt ipſam bi-
beret, idque poſteaquam confeſ-
ſus eſſet ſitim deſideratam, & oſ-
tentans temperantiam ſuam; niſi
caſtigaret concupiſcentiæ licen-
tiam, viam facilem ad omnem vo-
luptatem reſeraturum ſe arguens.
Alius vero quidā e Diuinis Apo-
ſtolis Leonem etiam nominat ini-
micum, nullum damnum inferen-
tem ſeuerioribus habitudinibus,
quibus ad inſidias ſtruendas ſtu-
debat, & ferarum ſpeciem ad ter-
rendum deinceps imitantem, ha-
rum imaginem ſubinduens, quò
poſſit laruarum inſtar formidinem
incutere. Ait quippe. Aduerſarius
noſter Diabolus tamquam Leo
rugiens circuit quærens quem de-
uoret, cui reſiſtite generose: rugi-
1. Petri c. 5. v. 8 tu quidem illius exitialem furorē
oſtendens, & verbis, cui reſiſtite
fortes, indicans quod robur habere
debeāt ferarū cōfectores quodque
ab exercitatione firmant, cum na-
tura inſitam virtutem corrobo-
rent quotidie frequentibus actibus.
Nec enim fugere, dixit, aut diuerti à fera frendente; verum reſiſtere ipſi,
& contra eam progredi contentione magna mandauit. Sciens vnum-
quemque vim habere ad propugnandum propriā ſecuritatē, & cognata
arma ad iniuriam propulſandam, & inſeparabilia ineſſe omnibus.

ταῖς πρὸς ἁμαρτίαν τοῦ ἐχθροῦ δόλος ἐγκέκρυπται δέλεαρ ἀπάτης προστεθέντος τὰ ἐφειμένα πρός τι τῶν ἀπηγορευμένων ἑλκύσαι μηχανωμένου. καθάπερ εἵλκυσαι πάλαι τῇ ὄψει τῆς γυναικὸς πρὸς τὸ ἔνεδρον ἀγαγὼν τῆς ἀθεμίτου μοιχείας. καὶ τοῦτο δῆλον, ἐξ ὧν ἐπιθυμήσας ἐν πολέμῳ τοῦ ἐν Βηθλεὲμ ὕδατος, οὐκ ἠνέσχετο, κομισθέντος, πιεῖν. καὶ ὁ μετ᾽ ἐπιθυμίας δίψος ὁμολογήσας, καὶ τὸ ἐγκρατὲς ἐπιδειξάμενος εἰ μὴ κολάσοι τὸ ἀδεὲς τῆς ἐπιθυμίας, ὁδὸν εὔκολον πρὸς πᾶσαν ἡδονὴν ἀνοίξειν αὐτῇ λογισάμενος. ἄλλος δέ τις τῶν θεσπεσίων Ἀποστόλων, καὶ λέοντα ὀνομάζει τὸν ἐχθρόν. οὐδὲν ἀνύσαντα τοῖς σεμνοτέροις σχηματισμοῖς, ὧν σπουδάζων εἰς ἐπιβουλήν, καὶ θηρίων πρὸς τὸ φοβῆσαι λοιπὸν μιμούμενον εἰκότως μορφήν, ὧν ἔχει τὴν ὠμότητα, τούτων ὑποδυόμενος τὸ μορμολύττεσθαι δυνάμενον εἶδος. φησὶ γάρ· ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περιπατεῖ ζητῶν τίνα καταπίῃ, ᾧ ἀντίστητε γενναίως. τῷ μὲν ὠρυόματι τὴν ἐκείνου βλαπτικὴν δηλώσας μανίαν, τῷ δὲ ἀντίστητε γενναίως. μηνύσας ἣν ἔχειν οἱ θηρεκτόνοι ἐξ ἀσκήσεως ὀφείλουσι δύναμιν, τὴν φυσικὴν ἰσχὺν ἐπιρρωννύντες ὁσημέραι ταῖς πυκναῖς ἐργασίαις. οὐ γὰρ φυγεῖν εἶπεν, ἢ ἐκτραπῆναι τὸν θῆρα βρυχώμενον, ἀλλ᾽ ἀντιστῆναι τούτῳ, καὶ ἀντιβῆναι διατόνως προσέταξε. δύναμιν ἔχειν εἰδὼς ἕκαστον πρὸς τὸ τῆς οἰκείας ὑπερμαχεῖν ἀσφαλείας, καὶ τὰ πρὸς τὴν ἄμυναν ὅπλα συμφυῆ, καὶ ἀχώριστα πᾶσιν ὄντα.

CAPVT

Digitized by Google

ΚΕΦΑΛ. ε΄.

Πάλιν ὁ Παῦλος ὑπαγορεύει λέγων, παραστήσατε τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ, τούτοις τοὺς ἐπιστήμονας βάλλειν διδάσκων τὸν πολέμιον, οἷς οἱ ἄφρονες βάλλονται ὑπ' αὐτοῦ. ἵνα ὀφθαλμὸς μὲν πολεμῇ παντὶ τῷ δι' ὄψεως ἀπατᾶν δυναμένῳ. ἀκοὴ δὲ μάχηται ταῖς φθείρειν ἤθη χρηστὰ ἐπισταμέναις ὁμιλίαις κακαῖς. ὄσφρησις δὲ τοὺς χαυνοῦν, καὶ ἐκλύειν τῆς ψυχῆς τὸ παράστημα εἰωθότας ἀτμοὺς ἀποστρέφηται σπουδαίως, γεῦσις δὲ τοὺς ἐκκαρυκευμένους πρὸς τὸ ἄγαν ἡδὺ παραιτῆται χυμούς, καὶ ἁφὴ μὴ λογίζηται τὰ μαλακότητι, καὶ λειότητι πρὸς ἡδονὴν γοητεύοντα σώματα καὶ χεὶρ πλεονεκτικὴ ἐκτείνηται εἰς μετάδοσιν, καὶ πόδες ἐπισπεύδοντες, κατὰ τὸν Σολομῶντα, κακοποιεῖν, ὁδὸν ἐντολῶν τρέχωσιν ἠπειγμένως, καὶ γλῶσσα δύσφημος εὐχάριστα φθέγγηται ῥήματα. οὕτω γὰρ γίνεται ὅπλα δικαιοσύνης τὰ ὅπλα τῆς ἁμαρτίας, ἀντιστρόφως βαλλόμενα κατὰ τῶν πρὶν αὐτοῖς ἀποκεχρημένων πρὸς ὄλεθρον τῶν κεκτημένων. διὰ τοῦτο τραχὺς, καὶ θυμοῦ πνέων ἀνίσταται κατὰ τῶν ἀφισταμένων αὐτοῦ, καὶ Θεῷ προστιθεμένων, ὁ τύραννος ὑπάγεσθαι τὸ ἀποδιδράσκον σπεύδων, ὡς ἔτι μακρῷ γενόμενον ὑποχείριον. καὶ πειρασμοῖς ὑποβάλλει ποικίλοις. πάντοθεν θλίψεις, πάντοθεν περιστάσεις κινῶν. ἵνα ὁ ἐν κακίᾳ βίος διὰ τὸ ἀθόρυβον κριθεὶς ἀνεκτὸς, παλινδρομῆσαι παρασκευάσῃ ὡς ἐπ' εὔδιον λιμένα τὴν ἄνεσιν τὸν ὡς ἐν πελάγει τοῖς πειρασμοῖς χειμαζό-

CAPVT V.

Rurſus Paulus ſubmonet dicens. Exhibete membra veſtra arma iuſtitiæ Deo, hiſce *ad Rom. c.6.v.19* docens eos, qui ſapiunt, ferire aduerſarium, quibus ab ipſo inſipientes feriuntur. Sicut oculus quidem quodcumque poteſt facilè decipere per aſpectum, debellat, auditus autem expugnat praua colloquia bonos mores eorrumpere valentia, at odoratus ab odoribus ſeu vaporibus ſolitis relaxare atque diſſoluere conſtantiam robuſtam valdè auertitur. guſtus verò ſuccos exquiſitè conditos ob nimiam dulcedinem reſpuit,& tactus corpora faſcinantia præ mollitie, atque læuitate ad voluptatem non attendit, manus verò redundans diſtenditur ad erogationem, & pedes ſecundum Salomonem properantes ad malè faciendum, viam mandatorum percurrunt feſtinanter; atque lingua maledica verba benedictionis effundit. Sic enim fiunt arma iuſtitiæ, *Prouer. c.1.v. 16.* quæ fuerant arma peccati, in contrarium verſa, & reiecta, quæ anteà propter abuſum poſſidentium, ipſis perniciem afferebant. Idcircò aſper, & iracundiam ſpirans reſurgit, & aduerſus eos, qui ab ipſo defecerunt, & Deo adhæſerunt, Tyrannus accelerans, quod aufugit denuo retrahere veluti mancipium ſibi longa conſuetudine acquiſitum, & varijs tentationibus ſubigere iterum aggreditur; vndique afflictiones commouens, & vndique calamitates, vt in malitia deducta vita, quia non perturbabatur tumultibus, iudicata tolerabilis, compellat rursùs recurrere ad voluptarium vitæ genus, diſſolutumque, velut ad tranquillum

portũ,eum,qui tentationibus,quaſi procellis in pelago iactabatur,
Exod. c. dicentem omnino illud in Deſer-
14. v.
12. to laborantium. Melius erat nos Aegyptijs ſeruire quam in iſta ſolitudine mori. optabilius enim iudicat, qui diligit deſidiam,obaudire cupiditatibus, quam bellum gerere cum illis, quando viderit virtutis viam aſperam, & difficilem, & multis vndequaque affligentibus obſeſſam,eos quidem qui amici aliquando fuerant, demum euaſiſſe inimicos,& ipſos perſequi retro, volentes abducere in ſeruiturem. veros autem hoſtes, atque ignotos occurrerẽ, & progreſſum
Num. c. ad bonum obiacens prohibere. ſic
20. v. plures hucuſque ignotę gentes
18. & quoad potuerunt, Iſraelitas prohi-
20. buerunt tranſitu dicentes. Non tranſibis per nos, inuidentes, quæ ipſis conducebant ad profectionẽ. Pharao verò habens adhuc ipſos penes ſeipſum fugam meditantes, dicebat illis, qui cum ipſo ad hæc
Exod. 5. cooperabantur. Aggrauentur ope-
v. 9. ra hominum iſtorum, opinatus vacationem ab operibus ipſis fore ad arrogantiam peruicacem velut aſſuefactionem, cũ receſſiſſent autem, ſtudioſè perſequutus eſt,non permittens eos,vti volebant,& nati erant,liberè agere,in ſeruiturem verò rurſus abducere, poſſidereque feſtinans ingenuos, & liberos, cum huius conditionis forent, & eſſe ſemper poſſent. Verum hi quidem tenace propoſiti ratione eius ſeruitium effugientes omnem patienter tulerunt ingruentem malignitatem, donec ad deſideratam peruenerunt felicitatem; hi verò non valdè iudicioſè derelinquentes, neque perferentes difficilia virtutis principia (dura etenim principia cuiuſcumque operis, ac moroſa, illorumque maximè opera, quæ laborioſa ſunt ante habitum comparandum) de reditu

μένον. λέγοντα πάντως τὸ τῶν κακοπαθούντων ἐν τῇ ἐρήμῳ, βέλτιον ἦν ἡμᾶς δουλεύειν τοῖς Αἰγυπτίοις, ἢ ἀποθανεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ. αἱρετώτερον γὰρ τοῦ μάχεσθαι ταῖς ἐπιθυμίαις, τὸ ὑπακούειν ταύταις κρίνει ὁ ῥᾳστώνην ἀγαπῶν, ὅταν ἴδῃ τῆς ἀρετῆς τὴν ὁδὸν τραχεῖαν, καὶ δύσβατον καὶ πολλοὺς πολλαχόθεν τοὺς θλίβοντας ἔχουσαν. τοὺς μὲν συνήθεις ποτὲ τελευταῖον γινομένους ἐχθρούς, καὶ διώκειν ὀπίσω πρὸς τὸ δουλαγωγεῖν ἐθέλοντας. τοὺς δὲ ἀληθεῖς, καὶ οὐ γνωρίμους ὑπαντῶντας, καὶ τὴν ἐπὶ τὸ κείμενον ἀγαθὸν κωλύοντας προκοπήν. Οὕτω πολλὰ τῶν πρὶν ἀγνώστων ἐθνῶν τοὺς Ἰσραηλίτας τῆς παρόδου εἶργεν ἐφ' ὅσον ἐδύνατο, λέγοντα· οὐ παρελεύσῃ δι' ἡμῶν βασκαίνοντα τῆς ἐπὶ τὰ συμφέροντα πορείας αὐτοῖς. ὁ δὲ Φαραὼ ἔτι μὲν ἔχων αὐτοὺς παρ' ἑαυτῷ τὴν φυγὴν σκεπτομένους γε τοῖς εἰς τὰ τοιαῦτα συνεργοῦσιν αὐτῷ. βαρυνέσθω τὰ ἔργα τῶν ἀνθρώπων τούτων τὴν ἄδειαν αὐτοῖς γενήσεσθαι νομίσας ἐπιτριβὴν πρὸς αὐθάδειαν, ἀναχωρήσαντας δὲ μετεδίωκε σπουδαίως ἐλευθεριάζειν οὐκ ἐπιτρέπων ὡς ἐβούλοντο, καὶ ἐπεφύκεισαν, δούλους δὲ πάλιν κεκτῆσθαι σπεύδων τοὺς εὐπατρίδας, καὶ ἐλευθέρους, καὶ ὄντας, καὶ εἶναι δυναμένους ἀεί. ἀλλ' οἱ μὲν ἰσχυρογνώμονι λογισμῷ τὴν τούτου φυγόντες δουλείαν, πᾶσαν καρτερικῶς ἤνεγκαν ἀπαντήσασαν κάκωσιν, ἕως εἰς τὴν σπουδαζομένην ἔφθασαν τελειότητα. οἱ δὲ μὴ πάνυ κεκριμένως καταλιπόντες αὐτόν, μὴ φέροντες τὰ δυσχερῆ τῶν τῆς ἀρετῆς προοιμίων (χαλεπαὶ γὰρ αἱ ἀρχαὶ παντὸς ἔργου, καὶ δυσάρεστοι, καὶ μάλιστα τῶν ἐπιπόνων πρὸ τῆς ἕξεως)

ὑποστρέψαι εἰς Αἴγυπτον ἐλογίσαντο. δεσπότην αὖθις αἱρούμενοι, ὃν ὅτε καλῶς ἐδοκίμασαν φανέντα δυσμενῆ, καὶ πολλοῦ μίσους ἄξιον. φασὶ γάρ· δῶμεν ἀρχηγὸν καὶ ὑποστρέψωμεν εἰς Αἴγυπτον, εὔκολον ἡγούμενοι τὴν ὑποστροφὴν τῆς μετὰ πολλοῦ κόπου ἀνυσθείσης ὁδοῦ. καὶ πάλιν παρὰ τὸ μὴ ὑπάρχειν μνήματα ἐν Αἰγύπτῳ ἐξήλθομεν ἀποθανεῖν ἐν ἐρήμῳ, λέγοντες διὰ τὴν ἀργίαν. Τὸ μεθόριον ἀρετῆς, καὶ κακίας οὐδέπω τοῦ ἐκκλίναντος ἀπὸ τοῦ κακοῦ ὁμολογουμένως ὄντος ἐν τῷ ἀγαθῷ. μεταξὺ τέως φρουρουμένους τούτου, καὶ ἐκείνου, ἕως παντελῶς ἀποδιαγαγεὶς τοῦ ἑτέρου ἐν τῷ ἑτέρῳ παγίως ἀμφοτέρας ἐρείσῃ τὰς ἰγνύας οὐκ ὀκλάζων ἔτι ὡς πρίν, οὐδὲ ποτὲ μὲν ῥέπων ὧδε, ποτὲ δὲ ταλαντεύων ἐκεῖσε.

ditu differebant in Aegyptum, dominum rurſuseligentes, quem aliquando probe probauerant, expertique fuerant crudelem, multoque dignũ odio. dicebant quippe, ſtatuamus nobis ducem, & reuertamur in Aegyptum; facilem rati reuerſionem per viam peractam cum multis ærumnis, & rurſus. quia non erant monumenta in Aegypto, eximus ad moriendum in Deſerto; dicentes id propter deſidiam virtuti, & vitio conterminã. cũ qui neutiquam declinauerit à malo, ex confeſſo verſetur in bono, intereà tamdiu cuſtodiens hoc, & illud, donec ab altero fugiens, & in altero utrumque poplitem firmiter fixerit, non titubando adhuc vt prius. nec aliquando quidem huc vergendo, interdum verò illuc præponderando.

Numer. 14.v.4.

ΚΕΦΑΛ. ϛʹ.

Τοιοῦτος γὰρ ὁ ἀναχωρῶν τῆς πονηρᾶς συνηθείας ἕλκεται τὰ πολλὰ ὀπίσω, κἂν ἐπείγηται πρόσω, προκόπτειν ἐφ᾽ ᾧ σπουδάζειν βιαζόμενος, καὶ ἀγχιστρόφοις ῥοπαῖς, ἐπὶ πολὺ κλίνειν ὧδε, καὶ ὧδε, μέχρις ἂν γυμνασίᾳ πολλῇ, καὶ χρόνῳ, αὐτὸν ἀπομαθεῖν τὰ πρότερα. ἔθιμα δὲ ἔχειν παρασκευάσῃ τὰ δεύτερα καθάπερ μεθηλικιωθέντα ἐκ μειρακίου εἰς ἄνδρα καὶ ἀπὸ τῆς παρούσης πρὸς τὴν παρελθοῦσαν, οὐκέτι, κἂν ἐθέλῃ, δυνάμενος. ἄτοπον γὰρ τὸ μὲν σῶμα νόμῳ φύσεως ἀκολούθως ἀμείβειν τὰς ἡλικίας ἀπὸ τῆς παιδικῆς ἐπὶ τὴν πρεσβυτικὴν ὁδεύοντα σεμνότητα. καὶ τῇ πολιᾷ στίλβειν

CAPVT VI.

Talis enim eſt, qui ſecedit à praua conſuetudine, vt plurimum quippe trahitur retro, etſi deducatur in partem anteriorem, progrediens parum in ea re, cui ſtudet, & rurſus à vetuſta habitudine coactus repedare, & verſatilibus inclinationibus plerũque hinc ſe inflectens, & illinc, donec multa exercitatione, & tempore diuturno dediſcat ipſe priora, ſecunda verò habere paratus ſit conſueta: perinde ac translatus ab ætate puerili ad virilem, & à præſente ad vlteriorem, neutiquam, quãtumvis velit, potens, incongruum enim eſt corpus quidẽ ex lege naturæ conſequenter ætates mutare, à puerili ad ſenilem vſque grauitatem tranſeundo, & canitie nitere condignè ad conciliandam auctoritatem, atque ſtatu fore fulgidum, & reuerendum. Animam autem non promouere proprium progreſſum in bono

bono, neque in virtute complere
legitimè ætates ex alia transgre-
dientem in aliam, ſicque per-
uenientem in perfectionem di-
gniſſimam dilectione; inhærere
verò ſtatui puerili inſipienti, at-
que illi, qui poſt ipſum, gaudet
iuuenilibus cupiditatibus, & in
prouecto corpore iuuenem adhuc
& vegetum eſſe, florentemque, in-
hiſce reprehenſibilibus vniuerſim
ſeſe oblectantem, quibus ſobrij,
frugique adoleſcentes neque vel
tantillum delectati ſunt. quod ve-
rò diſcrimina ætatum mutantur,
& ipſa ex infantia progreditur
I. Cor. 3 v. 2. ætas ad perfectionem. edocet ali-
quando Paulus dicens. Tamquam
Epheſ. 4 v. 13. paruulis in Chriſto Lac vobis dedi
potum, non eſcam. nonnunquã
I. Cor. 13. v. 11. verò. quouſque occurramus in vi-
rum perfectum in menſuram æta-
tis plenitudinis Chriſti. & rurſum.
quando eram paruulus, loque-
bar vt paruulus, ſapiebam vt par-
uulus, cogitabam vt paruulus; quã-
do autem factus ſum vir, euacua-
ui quæ erant paruuli: Nouit verò
& eos, qui ſemel geniti ſunt, &
rurſus alia egere generatione è lu-
ce iterum in vterum reflecten-
tes, quibus ait. Filioli mei, quos
Galat. 4 v. 19. rurſum parturio, uſque dum for-
metur Chriſtus in vobis, fœtus
imperfectos iterum faciens pro-
batas in Chriſti figura notas præ-
ferentes, neque bene ſecundum
imaginẽ efformatos, ſi quo pacto,
quod monſtruoſa ſpecie eſt, depo-
nentes, transmutent in integrũ, &
numeris omnibus abſolutum, &
aſſimilati ei, qui genuit, & ger-
mani ipſius, neque ſuppoſiti, & ſpurij filij agnoſcimini. faciliùs ve-
rò oportebat animam tranſcurrere ſtatus, quam corpus ætates, quan-
to tempore iſtud neceſſitatibus inſeruit, & naturæ legibus ſubiacet,
pote-

ἀξιοπίστως, καὶ τῇ καταστάσει γίνεσθαι λαμπρὸν, καὶ αἰδέσιμον, τὴν δὲ ψυχὴν μὴ προκόπτειν τὴν ἰδίαν προκοπὴν, ἐν τῷ ἀγαθῷ, μηδὲ τὰς ἐν τῇ ἀρετῇ αὐξεῖν ἐνθέσμους ἡλικίας ἐξ ἄλλης μεταβαίνουσαν ἐπ' ἄλλην, καὶ φθάνουσαν οὕτως ἐπὶ τὴν ἀξιέραστον τελειότητα, ἐναπομένειν δὲ τῇ ἀφραινούσῃ παιδικῇ καταστάσει, ἢ τῇ μετ' αὐτὴν χαιρούσῃ ταῖς νεωτερικαῖς ἐπιθυμίαις, καὶ ἐν παρηβηκότι τῷ σώματι νεάζειν ἔτι, καὶ ἀκμάζειν ἐν τοῖς κατεγνωσμένοις τούτοις. τερπομένην δι' ὅλου, οἷς νήφοντες οὐδὲ πρὸς ὀλίγον ἐτέρφθησαν μείρακες. ὅτι δὲ διαφορὰς ἡλικιῶν ἀμείβει καὶ αὐτὴ ἐκ νηπιότητος προβαίνουσα ἐπὶ τελειότητα, διδάσκει ποτὲ μὲν λέγων ὁ Παῦλος, ὡς νηπίους ἐν Χριστῷ γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα. ποτὲ δὲ μέχρι καταντήσωμεν εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ. καὶ πάλιν. ὅτε ἤμην νήπιος, ἐλάλουν ὡς νήπιος, ἐφρόνουν ὡς νήπιος, ἐλογιζόμην ὡς νήπιος· ὅτε δὲ γέγονα ἀνὴρ, κατήργηκα τὰ τοῦ νηπίου. οἶδε δὲ καὶ γεννηθέντας ἅπαξ τινὰς καὶ δεομένους αὖθις ἄλλης γεννήσεως, ἐκ φωτὸς πάλιν ἐπὶ νηδὺν ἀνακάμπτοντας, οἷς φησι· τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν, ἔμβρυα πάλιν ποιῶν τοὺς ἀδοκίμους φέροντας ἐπὶ τοῦ εἴδους τοὺς τοῦ Χριστοῦ χαρακτῆρας, μηδὲ τὸ κατ' εἰκόνα μορφωθέντας καλῶς, ὅπως τὸ τερατόμορφον ἀποθέμενοι μεταβάλωσι πρὸς τὸ ἄρτιον, καὶ ὁλόκληρον, τῷ γεννήσαντι ὁμοιωθέντες, καὶ γνήσιοι τούτου, καὶ οὐχ ὑποβολιμαῖοι, καὶ νόθοι γνωριζόμενοι παῖδες. Ἔδει δὲ μᾶλλον ἀκόλως τὴν ψυχὴν παρατρέχειν τὰς καταστάσεις, ἢ τὸ σῶμα τὰς ἡλικίας, ἐφ' ὅσον μὲν τοῦτο χρόνον ἀναγκαις

δουλεύει, ἢ φύσεως ὑπόκειται νόμοις ἐξουσίαν οὐκ ἔχον μεταβῆναι πρὸς ὅπερ οὐ μετάγει καιρός, οὐδὲ ὑπερβῆναι δυνάμενον τὴν ἐπίζευξιν, καὶ ἐπιβῆναι τῇ μετ' αὐτὴν ἀτάκτῳ φορᾷ, ἑκάστης ἡλικίας ὡρισμένον χρόνον παρεχούσης αὐτῷ, καὶ παραδραμεῖν οὐ συγχωρούσης πρὸ ὥρας, ἢ μετελθεῖν πρὸς τὴν γείτονα, ἐκείνη δὲ προαιρέσει ἀναμένουσα τῇ ἐνεστώσῃ ἕως ἂν βούληται, καὶ μεταβαίνουσα πρὸς τὴν ἑτέραν ὅτε βούλεται, ἀκώλυτον ἔχει τὴν ὅτε θέλει μετάβασιν, κἂν ὑπερβῆναι τὰς ἐν μέσῳ προέληται, ἔξεστιν αὐτῇ ἀπ' ἄκρου πηδῆσαι ἐπ' ἄκρον κούφῳ τῷ ἅλματι, καὶ ἐπ' αὐτῆς φθάσαι τῆς εἰσαγωγῆς ἐπὶ τὴν τελειότητα, γνώμῃ καὶ σπουδῇ μεταβαινούσῃ ἀφ' ὧν ἂν κρίνῃ, ἐφ' ἃ ἂν προθῆται βεβαίῳ, καὶ ἀκινήτῳ λογισμῷ.

poteſtatem nequaquam habens trāſgrediēdi ad illud ad quod tempus non transducit, neque ſupergredi valens propinquantem ætatē,& inſilire poſt ipſam inordinato motu;vnaquaque ætate definitum tempus ipſi præbente, neque permittente vt tranſcurrat ante præfinitos æui ſtatus,& ad vicinam pertranſeat.Illa vero firmè ac certa deliberatione remanens in præſente, quamdiù velit, & ad aliam tranſiens quando vult, nullum habet obſtaculum quin transgrediatur eas, quas in medio comprehendit, licet ipſi à ſummo ad ſummum proſilire ſaltu agili, & ſtatim ac fuerit introducta, conſequi perfectionem mente, ac ſtudio tranſeundo ad ea, quæ proponit ſibi ſtabili, & immota ratione, ab hiſce, quæ damnauerit ipſa.

ΚΕΦΑΛ. ζ'.

Περὶ τῶν ἀκολουθησάντων τῇ τοῦ Μωϋσέως προθέσει.

ΟὝτως οἱ τὴν τοιαύτην Μωϋσεῖ τῆς ἐλευθερίας ἐσχηκότες ἐπιθυμίαν ἀμεταθέτῳ φραξάμενοι καρτερίᾳ τὴν πρόθεσιν πάντων ἐγένοντο τῶν προσπεσόντων ἀεὶ σκυθρωπῶν ἀνώτεροι, πολεμίων μὲν οὐ καταδείσαντες πλῆθος ἀσυνόπτον. πεῖναν δὲ καὶ δίψαν τὰς δυναστευούσας ἐν σώματι βαστάσαντες ἐγκρατῶς, ἐπειδὴ πίστις αὐτοῖς ἀνενδοίαστος τῆς ἐλπιζομένης ἀπολαύσεως τὸν ἐνεστῶτα τέως ἐπεκούφιζε πόνον προσδοκίᾳ χρηστῇ παραμυθουμένη τὴν πεῖραν τῶν παρόντων ἀνιαρῶν, καὶ τὰ ἐν χερσὶ λυπηρὰ ἐπικιρνῶσα τῇ τῶν

CAPVT VII.

De his qui ſequuti ſunt Moyſis propoſitum.

SIc qui deſiderio libertatis huiuſmodi, quòd Moyſes habuit,flagrarunt immutabili cōſtantiæ robore cōmunientes propoſitū ſuum, omnibus caſibus finiſtris, qui acciderūt ipſis, euaſere ſuperiores, hoſtium quidem multitudinem, quæ ſuboculos cadere vniuerſim non poteſt,minimè formidantes, famem verò, atque ſitim, quæ dominationem exercent in corpus, temperanter tolerantes. quandoquidem fides indubitata ſperatæ fruitionis alleuiabat labores imminentes bona expectatione conſolans ærumnas, quas præſentes experiebantur, & quæ præ manibus erant dolore acerba,futurorū bono-

bonorum delectatione attemperans. nouit quippe mens ſplendidis occupata ratiocinationibus haud multum ex his, quæ perturbāt, afflictionibus ſenſum percipere,& præſentia, quę moleſta ſunt,reprimere meditatione bonorū,quibus fruiturus poſt hæc erat. Eam ob rē creatura ipſis ad eorum vſus transmutabatur aptè, & mare quidem efficiebatur continens. cum inſequerentur eos fugiētes Aegyptij, præbens iter ſiccum diuiſo pelago, & vtrimque præſegmina aquæ erigens in ſublime, fluenta rectà lapideſcentia, ſiſtenſque fluxum iteratum abruptè, & glaciem adſtrictis anſis, donec pertranſierunt ſaluati;ſaxum verò durum,& humoris expers lacum, & pelagus conſtituit circà ipſum copioſis e profundo ductibus ſcaturiens ad bibendum, & iucundis laticibus: Cęlum vice terræ meſſem fecit mannæ,non inſitam frugem deorſum ningens,& eſurientibus ſubito parans menſam ſine labore nō ſolum implentem ventris indigētiam, ſed vniuſcuiuſque appetitum mutatione qualitatis explētē; cuius enim quis eſcæ memoria deſiderium captauerat, illius guſtū reperiebat in illo, arbitratus iam ſeſe comedere, quam cupidè appetebat, vna materie inſeruiente multiformiter omnium appetentijs, & imitante in guſtu omnigenę qualitatis ſenſationem. Aqua amara fuit edulcata, & ex alia confeſtim mutata fuit in aliam qualitatem, facta ſuauis potio pro ea, quæ paulo antè moleſta erat, & inſuauis guſtui. aer oua parturire neſcius verè peperit reginam Coturnicum, ipſamque impellens flatu violenro ex ipſis cumulauit tentoria eorum, qui alimento indigebant, venationem ſine retibus exhibens ipſis aues in manus tradens

μιγνόντων ἀγαθῶν εὐφροσύνη. οὐδὲ γὰρ ὁ νοῦς φαιδροῖς ἐνασχολούμενος λογισμοῖς, οὐ πολλὴν τῶν ἐνοχλούντων λαμβάνει αἴσθησιν θλιβερῶν, καὶ τὰ παρόντα ἐπαχθῆ ἀμβλύνειν μελέτῃ τῶν ἐν οἷς ἔσεσθαι μετὰ ταῦτα καλῶν. διὰ τοῦτο πρὸς τὰς χρείας αὐτοῖς μετεστοιχειοῦτο ἡ κτίσις ἁρμοδίως, καὶ θάλασσα μὲν ἡ περιέρχετο διωκομένοις, τὸ διαιρεθὲν τοῦ πελάγους, ὁδὸν παρέχουσα ξηράν, καὶ τὰ ἐκατέρωθεν τοῦ ὕδατος τμήματα, πρὸς ὕψος ῥέεθρα, καὶ τὴν παλίρροιαν ἐπισχοῦσα ἀποκρήμνως, καὶ κρυσταλλουμένας τὰς ἀμπώτεις ἕως παρῆλθον οἱ σωζόμενοι, πέτρα δὲ σκληρὰ, καὶ νοτίδος ἄμοιρος, λίμνην, καὶ πέλαγος ἴσῃ περὶ ἑαυτὴν ἀφθόνους ἐκ βάθους βλύζουσα ὀχετοὺς ποτίμου, καὶ προσηνοῦς νάματος, οὐρανὸς ἀντὶ γῆς ἐγεώργει τὸ μάννα, ἄσπορον κατανίφων καρπὸν καὶ χαλάζων τοῖς πεινῶσιν ἀταλαίπωρον τράπεζαν, οὐ μόνον ἔνδειαν πληροῦσαν γαστρὸς, ἀλλὰ καὶ τὴν ἑκάστου πληροῦσαν ἐπιθυμίαν τῇ μεταβολῇ τῆς ποιότητος. οὗ γάρ τις τῇ μνήμῃ ἐδέσματος ἐλάμβανεν ὄρεξιν, τούτου τὴν ἡδονὴν εὕρισκεν ἐν αὐτῷ ἐκεῖνο νομίζων ἐσθίειν, ὅπερ εἶχεν εἰς ἐπιθυμίαν, μιᾶς ὕλης ὑπηρετούσης ταῖς ἁπάντων πολυτρόπως ὀρέξεσι, καὶ μιμουμένης ἐν τῇ γεύσει πάσης ποιότητος αἴσθησιν. Ὕδωρ ἐγλυκαίνετο πικρὸν, καὶ μετέβαινεν ἀθρόως ἐξ ἄλλης εἰς ἄλλην ποιότητα, προσηνὲς γινόμενον πόμα, ἀντὶ τῆς ἔναγχος ἀνιούσης, καὶ ἀηδιζούσης γεύσεως. ἀὴρ ᾠοτοκεῖν οὐκ εἰδὼς, ἔτικτε ἑτοίμως ὀρτυγομήτραν, καὶ ταύτην ἐλαύνων πνεύματι βιαίῳ, παρ' αὐταῖς ἐστόρεσε ταῖς σκηναῖς τῶν δεομένων τρο-

φῆς, ἀσαγλεύθωτον ἄγραν αὐτοῖς σὺν ὄρ-
νις εἰς χεῖρας διδούς· νὺξ εἰς ἡμέραν μετε-
βάλλετο φωτιζομένη στύλῳ πυρός· ἡμέ-
ρας ἡλιακὸς ἀνεστέλλετο φλογμός, νεφέ-
λης ἐπιπολαζούσης τῷ πλήθει, καὶ με-
σιτευούσης τούτοις, ταῖς ἐκ τοῦ πόλου
τεταμέναις ἀκτῖσιν ὥστ' ἂν μὴ θάλποιντο
κατὰ τὴν ὁδοιπορίαν πεζεύοντες ὕπαιθροι,
στεγανῷ δὲ τῆς νεφέλης σκιάζοιντο τῷ
ἁπλώματι, εὔκολον τὴν πεζοπορίαν
ποιούμενοι καθάπερ ὑπορρόφιοι διά-
γοντες, καὶ οὐχ ὁδεύοντες γυμνὴν παν-
τόθεν, καὶ ἄσκιον ἐρημίαν. οὐκ ἐπαλαιώθη
τούτοις, οὐ πέπλος, οὐ πέδιλον ἐπὶ
χρόνοις τεσσαράκοντα ἔτεσιν ὄντα διηνε-
κῶς· οὐκ ἐφθάρη ὑποζύγιον πρὸς το-
σοῦτον διαρκεῖν οὐ πεφυκὸς χρόνον. οὐ
νόσος, οὐ φθόνος, οὐ πυρετός, οὐ ῥῖ-
γος, οὐκ ἄλλο τι τῶν ἐνσκήπτειν εἰω-
θότων τοῖς σώμασι, συνέπεσε τούτοις
ἀρρώστημα. οὐκ ἦν γὰρ ἐν ταῖς φυλαῖς
αὐτῶν ὁ ἀσθενῶν. ἐνίκησαν χάριτι Θεοῦ
τὴν φύσιν κρείττονες τῆς κατ' αὐτὴν ἀσθε-
νείας γενόμενοι, καὶ τὰς συνεζευγμέ-
νας τῷ σώματι ἀρνησάμενοι κῆρας. πο-
λεμίων φάλαγγες φοβεραὶ πρὸς συμ-
πλοκὴν ἔπεσον ἄλλος ἐπ' ἄλλῳ κα-
τενεχθέντες ἄτρωτοι, σημεῖον τῆς προ-
ασπιζούσης χειρός. τείχη κατηρείπωθη
μηχανῆς ἄνευ χειρὸς ἀνθρωπίνης αὐτο-
μάτως κατενεχθέντα νεύματι θείῳ· ἔθνη
πολλά, καὶ πολυάνθρωπα δυνάμει κα-
θῃρέθη κρυφίᾳ, σχολάζουσαν αὐτοῖς, καὶ
ἀμέριμνον οἴκησιν καταλιπόντα τὴν
γῆν.

dens: nox in diem conuertebatur columnâ ignis illuſtrata; interdiu ſolaris flamma reprimebatur, nube, quæ ſuper multitudinem ferebatur, mediamque ſeſe interponebat ipſi, ne radijs, qui è polo protendebantur, dum pedibus incedentes iter facerent ſub dio, præ nimio calore æſtuarent, eius verò ſuperexpanſo quaſi tecto obumbrarentur, commodum iter pedeſtre peragentes, & conuerſantes quemadmodum contubernales, neque peregrinantes per nudam vndique, nullaque ex parte vmbroſam ſolitudinem. Nõ inueterata fuit ipſis veſtis, non calceus, in eolore ſpatio annorum quadraginta continuò perdurantes. Non perijt iumentum ſubiuge, cui natura non dederat tamdiu ſupereſſe. Non morbus, non grauamen, non febris, non frigoris rigor, non quidquam aliud, quod corporibus ſolet accidere, inualetudinis ipſis contigit: non erat enim in tribubus ipſorum infirmus. Vicerũt Dei gratia naturam, cum potiores euaſiſſent infirmitate, quæ oritur ex iſta, coniunctaſque corpori noxas, & ægritudines repuliſſent. Hoſtium legiones formidabiles ad conflictum, alter ſuper alterum, licet ſine vulnere deturbati, ceciderunt; hocque ſignum erat manus eos clypeo protegentis, atque propugnantis. Muri nulla eos humanæ manus machina impellente Diuino dumtaxat nutu diſiecti corruerunt. Gentes plurimæ, populique copioſi vi occulta imminuti, ac extenuati ſunt, vacantem, & ſecuram ad habitandum terram ipſis relinquentes.

Pſ. 104. 37.

CAPVT VIII.

Pſa.43. 3. ET hoc erat, quod hymnorum ſcriptor deinde dicebat Dauid : Gentes aboleuit manus tua,& transplantaſti ipſos;nec enim in gladio ſuo poſſederunt hereditate terram , & brachium eorum non ſaluauit eos , ſed dextera tua , & brachium tuum , & illuminatio vultus tui ; quia complacuiſti in eis.Deſcribens eorum, qui Deo benè complacuerunt,ſecuritatem in omnibus , quomodo quæque ipſis perficiat vtilia,à prouidentia Diuina iuſtam conſequentibus ſupernam tutelã , ac incõcuſſam vndique ob ſpem in eũ, ſaluat,qui obtinẽtibus firmitatem. Iſti enim ſunt, qui dicunt : Non
Pſa.45. 3. timebimus , dum turbabitur terra , & transferentur montes in cordibus marium . Etſi totus mundus exagitatus turbetur, ac tumultuetur mutua malorum ſerie circumdatus , non metuemus , neque trememus , quemadmodum hi , qui ad omnem ſtrepitum expectatione grauis alicuius mali attoniti , etiam contingentes ſonitus accommodatè ad eam , quam habent ſuſpicionem figurant,& imaginantur. Nihil etenim infirmius conſcientiâ ſtimulata prauæ memoria actionis,cuncta inimica , & hoſtilia exiſtimante,atque parata ad vltionem , per quam interiùs nutrit aſſiduam expectationẽ punitionis ob iniqua, quæ perpetrauit ; quamtumuis nemo ſit conſcius, nec redarguere valeat a turbata interiori accuſatione,& omnes rerum occultarum conſcios eſſe rata . Verùm non ſic ſe habet, quæ omni carens nequitia pura eſt, conſcientia : magnam quippe fiduciam habet ipſa , nulla ex parte rationabilem condemnationis cauſſam perſpiciens & confidens

ΚΕΦΑΛ. η'.

ΚΑὶ τοῦτο ἦν, ὅπερ ὁ ὑμνογράφος ὕστερον ἔλεγε Δαβίδ· ἡ χείρ σου ἔθνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς. οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς, ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς. τῶν εὐαρεστούντων Θεῷ διαγράφων τὴν ἐν πᾶσιν ἀσφάλειαν, ὅπως ἕκαστον ἀνύεται τῶν χρησίμων αὐτοῖς, προνοίαν Θεοῦ δικαίαν καρπουμένοις τὴν ἄνωθεν κηδεμονίαν, καὶ πάντοθεν ἔχουσι διὰ τὴν ἐπὶ τὸν σώζοντα ἐλπίδα τὸ ἀπτόητον. οὗτοι γάρ εἰσιν οἱ λέγοντες· οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν, κἂν πᾶσα ἡ κτίσις κλονουμένη ταράττηται, καὶ θορυβῆται κυκλουμένη ἐπαλληλίᾳ κακῶν, οὐ δεδοικότες, οὐδὲ τρέμοντες, καθάπερ οἱ πάντα κτύπον προσδοκίᾳ δεινοῦ τινος καταπεπληγμένοι, καὶ τὸν προσπίπτοντα ἦχον πρὸς ἣν ἔχουσιν ὑποψίαν σχηματίζοντες οἰκείως. Οὐδὲν γὰρ συνειδήσεως κεντουμένης μνήμῃ πράξεως πονηρᾶς ἀσθενέστερον, πάντα ἡγουμένη ἐχθρά, καὶ πολέμια, καὶ πρὸς ἄμυναν ἐπιτήδεια, δι' ἣν ἔνδον ἔχει κολάσεως ἀεὶ προσδοκίαν ἐπὶ τοῖς πεπραγμένοις κακοῖς, κἂν μηδεὶς ἐλέγχειν δύνηται, θορυβουμένη τῷ ἔνδον ἐλέγχῳ, καὶ πάντας εἶναι δοκοῦσα τῶν λανθανόντων συνίστορας. Ἀλλ' οὐχ ἡ καθαρεύουσα πονηρίας οὕτω. πολὺ γὰρ αὕτη τὸ πεποιθὸς ἔχει οὐδαμό-

θεν ὁρῶσα καταγνώσεως εὔλογον αἰτίαν, καὶ θαῤῥοῦσα, ὡς ἔσαι πάντοτε πᾶσιν ἀχείρωτος, ὃ ἀνυπαίτιον ἔχουσα παῤῥησίας ἐφόδιον, καὶ ποτὲ μὲν λέγουσα· ἐὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμβολὴ, οὐ φοβηθήσεται ἡ καρδία μου. ποτὲ δὲ· οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι· καὶ ὅτι τοιοῦτος καὶ ἐν τοῖς λόγοις, καὶ ἐν τοῖς ἔργοις ὁ ἐλπίζων ἐπὶ τὸν Θεὸν, δῆλον ἐξ αὐτοῦ τοῦ ταῦτα εἰπόντος Δαβὶδ, ὃς τῇ πεποιθήσει ταύτῃ, γυμνὸς μὲν πολεμικῶν ὀργάνων πρὸς πεφραγμένον ὅπλοις, μειράκιον δὲ πρὸς γίγαντα τεθαῤῥηκότως ἐχώρει τὸν δύσφημον Γολιὰθ, ῥάβδον καὶ λίθους ὡς κατὰ κυνῶν μόνον λαβὼν, καὶ καταβαλὼν ὡς κύνα αὐτὸν μιᾷ λίθου βολῇ, οὐκ ἰσχύϊ σώματος, δυνάμει δὲ, οὗ ἔχειν ἔλεγεν οὐχ ὁρωμένου ὅπλου σεβασμίου ὀνόματος τοῦ Θεοῦ. Τούτῳ γὰρ ἀπῄει τῷ ἀμυντηρίῳ θαῤῥῶν, καὶ τὴν γνώμην τοῖς λόγοις δήλην ποιῶν. φησὶ γὰρ, σὺ ἔρχῃ πρός με ἐν ῥομφαίᾳ, καὶ δόρατι, καὶ ἀσπίδι. ἐγὼ δὲ πορεύσομαι πρὸς σὲ ἐν ὀνόματι Κυρίου Θεοῦ Σαβαὼθ παρατάξεως Ἰσραὴλ· ἑνὶ τούτῳ πρὸς τοσαύτην σκευὴν παρατιθέμενος ὅπλῳ. τούτῳ γὰρ καὶ τὴν βολὴν τοῦ λίθου πρὸς τὸν σκοπὸν τοῦ προκαλουμένου ἀπεύθυνε, καὶ διέῤῥηξε κράνος χαλκήλατον, καὶ τὸ ἀναιδὲς ἐπάταξε μέτωπον, καὶ κατέβαλε τὸν ἀλαζόνα εἰς γῆν στρώσας τὸν ἐπηρμένον τῷ φρονήματι.

dens audacter, quod penitus ſemper omnibus inſuperabilis erit, habensque viaticum confidentiæ liberæ innocentiam, & interdum quidem dicens: Si aduerſum me *Pſ.* 26. 3. caſtrorum metatio inſtruatur, & acies, non timebit cor meum. Interdùm verò: Non timebo à decem *Pſal.* 3. 7. millibus populi circuminſilientium in me. Quod autem talis ſit & in verbis, & in operibus vir, qui ſpem ſuam figit in Deo, manifeſtum eſt ex eodem Dauid ſupradicta afferente, qui animatus hac fiducia nudus quidem armis bellicis, aduerſus armis communitum, adoleſcens verò aduersùs Gigantem audacter obuiam ibat contrà fa- *2. Reg.* 17. moſum Goliath, & baculo lapidibuſque aſſumptis tantùm perinde ac ſi pergeret contra canes, cum vno ictu lapidis, tanquam canem deiecit, non robore corporis, virtute vero muniminis, in quo dicebat ſe habere fiduciam, venerandi nempe nominis Dei. Hoc enim munimine confiſus abijt, & verbis ſententiam ſuam palàm faciens. Inquit enim: Tu venis ad me in gladio, & haſta, & clypeo; ego vero progrediar ad te in nomine Domini Dei exercituum aciei Iſrael, his vnicis armis ad rantæ aggreſſionis apparatum inſtructus. His enim vibrati lapidis iactum ad ſcopum eius, quem prouocarat, direxit, & diſfregit ære munitum caput, atque impudentem percuſſit frontem, & inſolentem deiecit in humum, proſternens elatum animi ſuperbia.

ΚΕΦΑΛ. θ'.

Καὶ ἐπεὶ ταῦτα παιδικῆς ἔργα χειρὸς τοιαῦτα ἰσχυσάσης οἷα μόλις ἂν ἴσχυσεν ἐκ περιβόλου μηχανὴ δι-

CAPVT IX.

QVoniam verò hæc opera pucrilis fuerant manus, quæ tanta potuit, quan-

ta vix potuiſſet e machina ſaxa eiaculante ſaxum manuale vibratū excuſsūq; ac multo cum impetu alliſum ; etiam dum perſecutiones ab hoſtibus pateretur, qualis erat fide, talis deprehenſus eſt experientia, nihil vnquam paſſus eorū, quibus eum perſequentes vexare ſtudebant; cum ſemper potior omnibus euaderet inſidijs, & è periculis, commenta, artificiaque omnia ſuperantibus, nullius gerens curam, ſaluaretur. Sic illum quondam à Saule depulſum & exagitatum protexit petra vtrimque obumbrans ab vtroque latere, ſeparanſque perquirentem, & perquiſitum, vt innocuus cuſtodiretur, qui à multitudine lædi poterat. Sic in Sylua comprehenſus à filio Abeſalom hoſtiliter cum aggreſso, cum non haberet exercitum oppoſitis copijs parem proportione (ad paucos enim redactus omnino milites, cogebatur ad pugnam immiſceri gētilibus) ipſis lignis, & arboribus ſaltus vtebatur commilitonibus aduersùs eos, qui exercitum in ipſum iniuſtè ducebant; vnumquamque arborem ad vim propulſandam pugnatorum inſultantium armās; idque per ipſa ligna efficiens, quod vel multitudo manuum experimentis aptarum ad hoſtibus reſiſtendum vix perpetraſſet. Plures enim (ait) deuorauit, atque conſumpſit ſaltus, quam enſis hauſit. Vna etenim quercus, poſt inclinationem belli, fugientem corripuit parricidam, comam eius apprehendens, ipſumque ex, qua ferebatur, mula deiiciens veluti Dux in victoriæ ſignum captiuum detinuit adoleſcentem, triumphans conſpicuè de inſanæ audaciæ infeſto auctore: aliæ vero aliunde, & vndecumque quercus omnes velut enſibus aduerſarios ſub-

1. *Reg.* 23.

2. *Reg.* 18.

ἐκπεπταίσας χερμάδιος λίθος, καὶ κριὸς πολλῷ ῥοιζήματι προσπεσσών, καὶ διωκόμενος δὲ παρὰ τῶν ἐχθρῶν, οἷος ἦν τῇ πίστει, τοιοῦτος ἠλέγχθη τῇ πείρᾳ, οὐδὲν οὐδέποτε παθὼν, ὧν διαθεῖναι ἐσπούδαζον οἱ διώκοντες, ἀεὶ δὲ κρείττων πάσης ἐπιβουλῆς γινόμενος, καὶ ἐξ ἀμηχάνων ἀμερίμνως κινδύνων σωθείς. οὕτω διωκόμενον αὐτόν ποτε παρὰ τοῦ Σαοὺλ ἐσκέπασε πέτρα ἑκατέρωθεν σκιάσασα ἑκατέρα πλευρᾷ, καὶ μερίσασα τὸν ζητοῦντα, καὶ τὸν ζητούμενον, ὅπως τηρηθῇ ἀβλαβὴς ὁ ἐκ τοῦ πλήθους ἀδικηθῆναι δυνάμενος. οὕτως ἐν δρυμῷ καταληφθεὶς ὑπὸ τοῦ πολεμίου υἱοῦ Ἀβεσαλεὲμ, ἐπεὶ μὴ εἶχε στρατὸν ἀναλογοῦντα τῇ ἐπιτιθεμένῃ δυνάμει (ὀλιγοστὸς γὰρ πάντη πρὸς μάχην ἠναγκάζετο συμμίξαι τῷ ἔθνει) αὐτοῖς τοῖς ξύλοις τοῦ ἄλσους κατὰ τῶν παρανόμως ἐπιστρατευσάντων συμμάχοις ἐχρήσατο. ἕκαστον φυτὸν ὁπλισάμενος πρὸς ἄμυναν τῶν ἐπελθόντων τῆς ἀγωνιζομένης δυνάμεως, καὶ τοῦτο δι' αὐτῶν ἐργασάμενος, ὅπερ οὐ εἰργάσατο πλῆθος ἐμπείρου πολεμικοῦ χειρός. ἐπλεόνασε γάρ φησι καταφαγεῖν ὁ δρυμὸς ἢ ὅσους κατέφαγεν ἡ μάχαιρα. μία μὲν γὰρ μετὰ τὴν τροπὴν τοῦ πολέμου φεύγοντα δρῦς ἀνήρπασε τὸν πατραλοίαν δραξαμένη τῆς κόμης, καὶ τῆς φερούσης αὐτὸν καθελοῦσα ἡμιόνου, καθάπερ στρατηγὸς νίκης σύμβολον κατεῖχεν αἰχμάλωτον μείρακα ἐπὶ προόπτου θριαμβεύουσα τῆς ἀλόγου τόλμης τὸν ἀλάστορα. ἄλλαι δ' ἀλλαχόθεν, καὶ πανταχόθεν ἅπασαι ὑπένυττον τοὺς πολεμίους ξίφεσιν, ὥσπερ κατ' αὐτῶν κεχρημέναι τοῖς ὅρπηξιν. οὕτως περιεχόμενος ἄλλοτε πλήθει πάντοθεν

tus

πολεμίων ἀμερίμνως ἐκάθευδε, σημεῖον τοῦ μὴ φροντίζειν τῶν κυκλωσάντων, τὸ ἀδεὲς τοῦ ὕπνου τοῖς μαθεῖν τὸ πεποιθὸς τῆς ἐλπίδος βουλομένοις ἐπιδεικνύμενος, καὶ τεκμήριον ἀναμφίλεκτον. ἔνθεν ποτὲ μὲν ἔλεγε σεμνυνόμενος· ἐγὼ ἐκοιμήθην, καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου· τῷ ἀντιλήπτορι παραδίδους ἐν τῷ καθεύδειν τὸ σῶμα, καὶ τὸ δυνατὸν τῆς ἀντιλήψεως εὐθὺς τῷ ἔργῳ μαθών, διαναστὰς γὰρ εὗρε φρουρηθέντα παρὰ τοῦ φύλακος ἑαυτὸν ὡς παρὰ Θεοῦ ἀσφαλῶς. ποτὲ δὲ φησι, πάντα ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Τούτῳ πάλιν κατὰ τῶν ἐπιθεμένων τῷ ὅπλῳ χρησάμενος, ὡς κατὰ τοῦ Γολιὰθ πάλαι ἐχρήσατο. ἐνεργὸν τῆς δυνάμεως τὴν πεῖραν δεξάμενος, εὐκόπως ἅμα σφενδονήσας τὸν λίθον, καὶ ἰσχυρᾷ πληγῇ καταβαλὼν τὸν ἀντίπαλον. Τοῦτον ζηλώσαντες οἱ μετ' αὐτὸν καλῶς ἔλεγον πρὸς τὸν Θεόν· ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν. γέλωτα, καὶ χλεύην αὐτοῖς τιθέμενοι παρούσης τῆς αὐτοῦ βοηθείας, καὶ διαπτύειν παρασκευαζούσης· ὡς δὲ εἰς χεῖρας ἐλθεῖν δι' εὐτέλειαν ὄντας ἀξίους, αὖθις δὲ δείκνυσι λέγων· ἐὰν πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ. ὅτι κίνδυνοι θανατικοὶ τότε βαπτίζουσιν, ὅτε μακρὰν ἐσμὲν ἀνάξιοι βοηθείας ὄντως Θεοῦ· ἐγγὺς δὲ καὶ πλησίον πίστει καὶ ἔργοις τυγχάνοντες αὐτοῦ πάσης ἐπιβουλῆς, καὶ βλάβης ἐσμὲν ἀνώτεροι, τῆς ὑψηλῆς χειρὸς πρὸς ὕψος αἰρούσης ἡμᾶς τῶν κάτω κινδύνων δυναστευόντων, καὶ οὐ

tus confodiebant contra ipſos ſurculis vt gladijs vſæ. Sic aliàs circumſeptus vndique hoſtium multitudine ſecurus dormiebat; hicque ſomnus omnis metus expers ſignum erat, ſe nihil eos curare, à quibus circumdabatur, quo ſcire volentibus, ſpei fiduciam oſtentabat, atque argumentum, quod in dubium reuocari non poterat. Vnde interdum quidem dicebat gloriabundus: Ego dormiui,
Ps. 3. 6.
& ſoporatus ſum; exſurrexi, quia Dominus ſuſcepit me: Auxiliatori inter dormiendum corpus committens, ac poſſibilitatem auxilij ſtatim reipſa ediſcens; nam cum exſurrexiſſet, inuenit ſeipſum tutè à cuſtode, vt ab ipſo Deo, communitum. Interdùm verò ait: Omnes gentes circumdederunt
Ps. 117. 16.
me; & in nomine Domini vltus ſum in eos. Hoc denuò vſus munimine aduerſus eos, qui ſtruebant ipſi inſidias, quemadmodum aduerſus Goliath olim vſurpauerat illud. Agnouit etenim experientiâ virtutem ac efficaciam potentiæ quippe vix de funda lapidem directè iaculatus vehementi plaga ſta-
1. Reg. 17. 47
tim deiecit aduerſariũ. Hunc æmulati eius poſteri rectè dicebant ad Deum: In tuo nomine nihili fa-
Ps. 43. 6.
ciemus inſurgentes in nos: ridentes, & ſubſannantes illos, dum Diuinum aderat auxilium, eoſque taliter diſponebat, vt eos etiam deſpuerent. Quod verò licèt viles, apti tamen ſint ad manibus contendendum, rurſus demonſtrat inquiens: Si ambulauero in medio
Ps. 22. 4.
vmbræ mortis, non timebo mala, quoniam tu mecum es. Quia pericula mortiſera tunc ſubmergunt, quando longe abſumus à Deo, verè eius indigni ſubſidio: propè verò, & proximè fide, atque operibus illi exiſtentes, omnibus inſidijs atque noxis ſuperiores euadimus

mus, excelſa manu in altum extollente nos, & eripiente à periculis hiſce inferioribus potentiâ quidem pollentibus, ſed non valentibus vel attingere illos, qui vita ſupergrediuntur huiuſcemodi nocumenta.
Eſa. 43. 2. Hoc Deus illis, qui tali ſtatui appropinquarunt, dicebat: Si tranſieris per aquam, flumina non te concludent; & ſi per ignem tranſieris, flamma non aduret te: quia tecum ego Dominus Deus. Eo quòd ab elementis cito corrumpentibus viuens animal nullo modo læderetur, hoc quidem per aſpirationem viſcera inflammante, illo vero per ipſam aſpirationem attracto, huiuſque ſpiritum reſtinguente; oſtẽtans propriæ dominationẽ potentiæ, ita vt natura ipſa terminos mutet, & exitialia efficiat ſalutaria, quãdo aliqui beneficio digni per ea incedũt.

φθανόντων ἅψασθαι τῶν τοὺς τοιαύτας βλάβας ὑπεραναβεβηκότων τῷ βίῳ. τοῦτο ὁ Θεὸς τοῖς τῇ τοιαύτῃ καταστάσει πλησιάσασιν ἔλεγεν. ἐὰν διαβαίνῃς δι' ὕδατος, ποταμοὶ οὐ συγκλείσουσί σε, καὶ ἐὰν διαβαίνῃς διὰ πυρὸς, φλὸξ οὐ κατακαύσει σε· ὅτι μετὰ σοῦ ἐγὼ Κύριος ὁ Θεός. διὰ τὸ μηδὲν ὑπὸ τῶν ταχέως φθειρόντων τὸ ζῶον ἀδικεῖσθαι στοιχείων, τοῦ μὲν διὰ τῆς ἀναπνοῆς φλέγοντος τὰ σπλάγχνα, τοῦ δὲ δι' αὐτῆς ἑλκομένου καὶ ταύτης ἐναποσβεννυμένου τὸ πνεῦμα, δείξας τὸ κράτος τῆς ἰδίας δυνάμεως, ὡς καὶ φύσεως κινούσης ὅρους, καὶ τὰ ὀλέθρια ποιούσης σωτήρια, ὅταν τινὲς εὐεργεσίας ἄξιοι διὰ τούτων ὁδεύωσιν.

CAPVT X

SI autem cum propinqui ſumus Dei, tanta gratia perfruimur ad tutelam, & ab ipſo procul diſſiti, omnibus ſubditi exiſtimus ad iniuriam, tamquam omni auxilio deſtituti: ſtudendum iuſtitiæ, quæ nos eſſe facit Deo proximos, præſtatque, vt nihil patiamur, & vt ſimus imperturbabiles, & intrepidi.
Prou. 28. 1. Quoniam ſecundum ſapientem Salomonem, Iuſtus, vt Leo confidit: naturam generoſam animalis, & nulli terrori obnoxiam, ob vitæ fiduciam vſurpans, & audacter in quodlibet ingruens malum inſurgens; quia perſuaſus eſt propinquum eſſe ſibi propugnatorem. Ille igitur, qui dicit indigentibus auxilio, & procul propter mo-
Iſa. 59. 1. rum peruerſitates ab auxiliatore Deo poſitis: Nonne poteſt manus mea te ſaluare? aut aggrauata eſt auris mea, ne te audiat? Verum ini-

ΚΕΦΑΛ. ι.

ΕΙ δὲ ἐγγὺς ὄντες Θεοῦ τοσαύτης εἰς κηδεμονίαν ἀπολαύομεν χάριτος, καὶ ἀφεστῶτες αὐτοῦ πᾶσιν εἰς βλάβην ὡς ἀβοήθητοι ἐσμὲν ὑποχείριοι, δικαιοσύνης ἐπιμελητέον τῆς ἐγγὺς ἡμᾶς ποιούσης Θεοῦ, καὶ παρεχούσης τὸ ἀπαθὲς, καὶ ἀπτόητον. ἐπειδὴ, κατὰ τὸν σοφὸν Σολομῶντα, δίκαιος ὡς λέων πέποιθε. τὸ φύσει γενναῖον τοῦ ζώου, καὶ ἀκατάπληκτον, τῇ παῤῥησίᾳ τοῦ βίου καταχρησάμενος, καὶ τεθαῤῥηκότως παντὸς δεινοῦ κατεξανιστάμενος διὰ τὸ πεποιθέναι τῷ πλησίον ἔχειν ὑπέρμαχον. ὁ γοῦν λέγων τοῖς χρῄζουσι βοηθείας, καὶ μακρὰν διὰ σκαιότητα τρόπων οὖσι τοῦ βοηθοῦντος Θεοῦ· μὴ οὐκ ἰσχύει χείρ μου τοῦ σῶσαι; ἢ ἐβάρυνε τὸ

οὓς μὴ τοῦ μὴ ἀκοῦσαι; ἀλλ' αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσι μέσον ὑμῶν, καὶ ἐμοῦ. ἐδήλωσε μὲν τοῖς λόγοις τὴν διάθεσιν ὡς ἐστὶ πρὸς τὴν ἀντίληψιν ἕτοιμος. προσέθηκε δὲ καὶ τὴν εἴργουσαν αὐτὸν πρὸς τοῦτο αἰτίαν εἰπών. αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ὑμῶν καὶ ἐμοῦ. ὅπως τῆς ἐπὶ τοῦ παραγενέσθαι βοηθὸς, μέμψεως εἴη ἀπηλλαγμένος, τῆς βοηθεῖσθαι καταστάσεως ἀξίας οὐκ οὔσης ἐν τοῖς πλησιάζουσι Θεῷ, οὐχὶ δὲ τοῖς μακρὰν κεχωρισμένοις αὐτοῦ παραγενέσθαι ἔθος ἐχούσης. Τοῦτο καὶ ὁ Πατριάρχης Ἀβραὰμ δεομένῳ βοηθείας ἔλεγε τῷ πλουσίῳ. χάσμα μέγα ἐστήρικται ἀνὰ μέσον ὑμῶν, καὶ ὑμῶν. δεικνὺς ἐν τούτῳ σαφῶς, ὅτι οὐ μόνον Θεοῦ διεστήκασιν, ἀλλὰ καὶ δικαίων ἀνδρῶν πολλῷ μέτρῳ οἱ οὐ δίκαιοι, οὐδὲν ἐκ φιλανθρωπίας ὠφελεῖσθαι δυνάμενοι τῷ μακρὰν κεχωρίσθαι τοῖς τρόποις τῆς πρὸς τὸ φιλάνθρωπον ἀγχιστείας. Τίς δὲ ἡ ἐγγὺς οὖσα Θεοῦ κατάστασις, διδάσκει ὁ Δαβίδ, λέγων. ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. οὐδενὶ γὰρ οὕτω Θεὸς ὡς μετρίῳ χαίρει φρονήματι, καὶ μάλιστα ὅτ' ἂν ὕλη κατορθωμάτων ὑπόκειται φυσῆσαι πρὸς ἀπόνοιαν εὐχερῶς δυναμένη, καὶ μένῃ κατεσταλμένος ἐν τῷ μετριάζειν ὁ λογισμὸς, οὐ κουφιζόμενος ταῖς αὔραις τοῦ μετεωρίζειν αὐτὸν εἰωθότων ὑπομνήσεων ἐπὶ τοῖς πεπραγμένοις καλοῖς, οὐδὲ τὸ συνειδὸς ἐπαίρων ἐφ' οἷς μέμνηται εἰργασμένος κατὰ ψυχὴν ἀγαθοῖς· τοιοῦτος ὁ κατὰ τὸ νομικὸν παράγγελμα ἐν νυκτὶ ποιῶν τὸ πάσχα ἐστί, καὶ τοιοῦτος ὁ ἄζυμα ἐσθίων. ὁ μὲν ὡς ἐν σκοτίᾳ λανθάνειν ἐφ'

iniquitates veſtræ ſeparauerunt in medio vos, & me. Ille inquam declarauit verbis quidem animi propenſionem, quod ad opitulandum paratus ſit; adiecit verò cauſam ipſum ad hoc prohibentem, inquiens. Peccata veſtra diuiſerunt per medium vos, & me; vt quando non accederet ad ferendam opem, à querela foret alienus, cum non afforet conditio digna, vt afferretur auxilium in his qui egebant auxilio, eo quod Deo non appropinquarent, nec enim procul diſcretis & ſecedentibus ab eo ſolitum eſt approximare. Hoc & Patriarcha Abraham Diuiti egenti adiutorio dicebat: Magnus hiatus in medio noſtrum, & veſtrum conſtitutus eſt. In eo luculenter, & eleganter oſtendens, quod non ſolum à Deo diſſiti ſunt, ſed & à viris iuſtis longo interuallo hi, qui iuſti non ſunt; & nihil iuuari poſſunt ex miſericordia, quia procul ſeparantur moribus ab hac proximitate ad miſericordiam. Quis verò ſit ſtatus Deo approximans, docet Dauid, dum inquit: Propè eſt Dominus his, qui contriti ſunt corde, & humiles ſpiritu ſaluabit. Nulla quippe re Deus perinde delectatur, ac moderato ſenſu: & maximè quando rerum rectè geſtarum materia ſubſit, quæ poteſt facilè ad veſaniam mentis inflare, & cogitatio in ſeſe moderáda repreſſa permanet, non elata inaniter recordationũ auris ipſam in ſublime conſuetarum efferre propter facinora præclarè patrata, neque conſcientiam extollens in bonis, quæ meminit ſe peregiſſe ſecundum animam. Talis eſt, qui iuxta Legis mandatum in nocte paſcha celebrat; & talis, qui Azymum, ſeu non fermentatum panem comedit. Alter quidem velut in tenebris latere in his, quæ facit, ſtudens

dens laudem promeretur & ſecundùm Dominicam admonitionem abdens in penetrali, quæ agnita venerationis gloriam afferrent. Alter ſe ſe compeſcens, & ſine faſtu remanens poſt opus, qualis & ante patratum opus exiſtebat. Huiuſmodi namque Azymum eſt, quod non ſe eleuat ad tumorem, ſeu faſtum, ſicut fermentatum, &, quando opus habet igni admoueri, tunc quoque humili remanens forma deſignat eum, qui modeſtè ſentit de ſe in conſectāda virtute. Quemadmodum enim ignis fermentum, niſi erit eum Azymo ſubactum, ſeu conſtipatum, eleuat in altum, ac facit vt intumeſcat in figuram quæcumque ipſa fuerit: ſic virtus animam ad vecordem elationem laceſſit, niſi firmum iudicium efficiat, vt donum ea cuſtodiat inconcuſſum.

οἷς περιττῆς σπουδάζων ἐπαίνου ἄξιος· καὶ κρύπτων κατὰ τὴν κυριακὴν παραίνεσιν ἐν τῷ ταμείῳ τὰ δόξαν σεμνότητος φέροντα γινωσκόμενα. ὁ δὲ κατεσταλμένος, καὶ ἄτυφος μετὰ τὸ ἔργον μένων, οἷος καὶ πρὸ τούτου ἐτύγχανεν ὤν· τοιοῦτον γὰρ τὸ ἄζυμον οὐκ ἀνιστάμενον κατὰ τὸ ἐζυμωμένον πρὸς ὄγκον ὅταν δέῃ πυρὶ προσομιλεῖν, ἐν ταπεινῷ δὲ μένον καὶ τότε τῷ σχήματι, καὶ σημαῖνον τὸν ἐν τῷ μετέρχεσθαι τὴν ἀρετὴν μετριόφρονα. ὡς γὰρ τὴν ζύμην τὸ πῦρ, ἐὰν μὴ ἀζύμῳ τὴν πίλησιν ἔχῃ, διανίστησι πρὸς ὕψος, καὶ φλεγμαίνειν ποιεῖ, ὡσὰν τις εἴποι τῷ σχήματι, οὕτως ἡ ἀρετὴ τὴν ψυχὴν ἐρεθίζει πρὸς ἀπόνοιαν, ἣν μὴ κρίσις αὐτὴν βεβαία τηρεῖν τὸ δεδομένον παρασκευάσῃ ἀσάλευτον.

CAPVT XI.

Talis verò eſt illa, ad quam ſermo ſacer, ait: Collum tuū ſicut monilia. Hæc autē virtutum copia, & inter eas omnes virtutes humilitatem atteſtans; collo quidem rectitudinem, & altitudinem inſtitutæ conuerſationis, monilibus verò indicans prudentiam. Sicuti namque ſuperbi collum vocat neruum ferreum, quia eſt inflexibile, & arroganti ſui exiſtimatione ad altitudinem protenditur, atque iactantia obdureſcit: ita monile virtute præditi, ac de ſe modeſtè ſapientis nuncupat aureum, à figura quidē ſtatum, a materia verò innuens probationem, quandoquidem & monile à recta figura flectitur in circulum & qui rectam vitam degit, vergit ad id quod eſt humilius; nam eo modo qui

ΚΕΦΑΛΑΙΟΝ ια'.

Τοιαύτη δὲ καὶ πρὸς ἣν ὁ λόγος φησί, τράχηλός σου ὡς ὁρμίσκοι. καὶ πλῆθος ἀρετῶν αὕτη, καὶ ἐπὶ πάσαις αὐταῖς τὸ ταπεινὸν μαρτυροῦν, τῷ μὲν τραχήλῳ τὸ εὐθὲς, καὶ ὑψηλὸν τῆς πολιτείας, τοῖς δὲ ὁρμίσκοις μηνύσας τὸ φρόνημα. ὡς γὰρ τὸν τοῦ ὑπερηφάνου τράχηλον νεῦρον καλεῖ σιδηροῦν διὰ τὸ δύσκαμπτον, καὶ τὸ ἀνατετάσθαι τῇ οἰήσει πρὸς ὕψος, καὶ σκληρύνεσθαι τῇ ἀλαζονείᾳ, οὕτω τὸν τοῦ ἐναρέτου, καὶ μετριόφρονος ὁρμίσκον, προσηγόρευσε χρυσοῦν, ἀπὸ μὲν τοῦ σχήματος τὴν κατάστασιν, ἀπὸ δὲ τῆς ὕλης τὸ δόκιμον αἰνιττόμενος, ἐπειδὴ καὶ ὁρμίσκος ἀπὸ ὀρθοῦ σχήματος κάμπτεται ἐπὶ κύκλον καὶ ὁ εὐθὺς τῷ βίῳ συννεύει ἐπὶ τὸ ταπεινότερον, οὕτω γὰρ ὁ νῦν ταύτῃ λέ-

γιον· τράχηλός σου ὡς ὁρμίσκος, μετ' ὀλίγα φησὶν, ὡς πύργος Δαβὶδ τράχηλός σου. καὶ αὖθις· τράχηλός σου ὡς πύργος ἐλεφάντινος. ποτὲ μὲν τὸ διανεστηκὸς τῆς ἀρετῆς, καὶ διεγηγερμένον τοῦ βίου, ποτὲ δὲ τὸ ταπεινὸν τοῦ φρονήματος, ποτὲ δὲ δηλῶν τὸ ἀνεπίβατον οἰήσεως λογισμοῖς. οὔτε γὰρ ἐλεφαντίνῳ πύργῳ προσβῆναί τι ἢ προσέρψαι, μὴ ἔχον ἀντιλαβεῖν, δύναται, ἀπολισθαῖνον ἅμα τῷ πλησιάσαι διὰ τὴν λειότητα. οὔτε ὁμαλῷ φρονήματι πελάσαι λογισμὸς ὑπερήφανος πάντοθεν περιεξεσμένῳ τὰς τῆς κενοδοξίας τραχύτητας. αὕτη γὰρ ἐξοχὰς ἐν τῇ ψυχῇ, καὶ βαθμοὺς τῷ τῆς ἀνθρωπαρεσκείας τέμνουσα ἔθει, εὔκολον τῇ ἀπονοίᾳ παρέχει τὴν ἄνοδον, οἴησιν ἐμποιοῦσα, καὶ τῦφον, ἐφ' οἷς τις ἔδοξε κατορθοῦν. Διὰ τοῦτο ποτὲ μὲν φησὶν ὁ Κύριος, Μακάριοι οἱ ταπεινοὶ τῇ καρδίᾳ· ποτὲ δέ· Ὅταν ποιήσητε τὰ διατεταγμένα ὑμῖν, τότε λέγετε, ὅτι ἀχρεῖοι ἐσμὲν δοῦλοι. ὃ ὀφείλομεν ποιῆσαι, πεποιήκαμεν. τῷ μὲν λύχνῳ τοῦ μακαρισμοῦ προτρεπόμενος ἐπὶ τὸ χρήσιμον διὰ τῆς τοιαύτης ἀρετῆς, τῇ δὲ μελέτῃ τῶν λόγων τῶν ταπεινῶν μετριάζειν παιδεύων τὸ φρόνημα. ὁ γὰρ δοῦλον ἀχρεῖον ἀεὶ λέγων ἑαυτὸν, καὶ τὰ διατεταγμένα παρὰ τοῦ κεκτημένου ὡς ἀναγκαίαν ὀφειλὴν ποιήσαντα λογιζόμενος, οὐδὲν οὐδέποτε περὶ αὑτοῦ φαντασθήσεται μέγα, οὐδὲ ἐν υἱοῖς ἑαυτὸν ἀριθμῆσαι τολμήσει ποτὲ, χρέος ἐκτίσας ἐπιτεταγμένης λειτουργίας, καὶ οὐχ ἑκούσιον ἐπιδειξάμενος τὰ πεπραγμένα φιλοτιμίαν. Αὕτη φραγμὸς ἡ ἀρετὴ, τεῖχος

qui nunc ipſam alloquens dicebat, Collum tuum ſicut moni- *Cant. 1. 10.*
le; po ſt pauca inquit: Quaſi Tur- *Cant. 4. 4.*
ris Dauid collum tuum: & rurſus: Collum tuum ſicut Turris *Cant. 7. 4.*
eburnea. Nonnumquam equidē virtutis erectionem indicans, vitęque ſublimis exercitationem; interdum humilitatem de ſe ſentiendi; quandoq; verò ſtatum inacceſſum cogitationibus vanę exiſtimationis. Nec enim in turrim eburneam aſcēdere poteſt aliquid aut progredi, niſi habeat quod apprehendat, prolabitur quippe lubrice, dum tentat accedere, propter læuitatem. Sic neque plano ſenſui applicat ſe cogitatio elata vndique circumpolito ex aſperitatibus vanæ gloriæ. Ipſa nempe in anima ſublimitates, & gradus pro conſuetudine aſſentandi, & complacendi hominibus, quaſi ſecando diſtinguens, facilem præbet aſcenſum veſaniæ ingerens exiſtimationem ſui, ac tumorem in ijs, in quibus aliquis ſibi viſus eſt rectè feciſſe. Idcircò aliquando quidēm Dominus ait: Beati humiles corde. Interdùm verò: Quā- *Luc. 17. 10.*
do feceritis, quæ vobis fuerint demandata, tunc dicite, quod ſerui inutiles ſumus; quod debemus facere, fecimus. Beatitudinis lucerna nos dirigens per huiuſmodi virtutē ad id quod eſt vtile ac bonum; meditatione verò humilium verborum nos inſtituens ad moderandam animi elationem. Qui namque ſeruum inutilem ſeipſum ſemper edicit, & mandata ſibi à Domino tamquā neceſsarium debitum ſeſe fuiſſe exequutum arbitratur, nihil vmquam de ſeipſo magnum concipiet mente, nec inter filios ſeipſum annumerare vmquam audebit, cum debitum miniſterij demandati perſoluerit, ſi-

muſque oſtenderit, quod in eis, quæ perpetrauit,non adeò ſibi placuit, vt ex tali conatu, ac ſtudio gloriam, & honorẽ aucuparetur. Hæc virtus ſepes, hæc aliarum virtutum murus eſt, quę cuſtodit inuiolatos animæ theſauros ingentis pretij. Ob hanc vrgentur quidem, & oppugnantur omnes ſancti, & qui nunc ſimiliter vitam illorum æmulantur, vigilare coacti, & ſobrij ſemper eſſe propter hoſtes murum expugnantes, ne diffracto muro, quæ diuturno tempore fuerant acquiſitæ, diuitias confeſtim inſilientes diripiãt. Nequaquã tamen damno afficiũtur vllo in propugnaculis cõſidentes vigilanter,& cogitationes dementiæ inſultantes quaſi telis repellentes iſtis dictis, Serui ſumus inutiles; quod feciſſe debuimus, fecimus. Sic namque haud permittunt intus ingredi ſuperbię affectum; nam ille cuncta cõparata deuaſtat, & captiuum deinde abducit ad propriam voluntatem animum,qui plurimum laborauerat ad acquiſitionem. Neque vero latronibus moris eſt rudera effodere, in quibus nihil ſub terra repoſitum eſt; neque piratis, imponere nauibus non ſubactis ad portandum theſauros pecuniarum; ſed inaniter laborantibus; non enim ſtulte aggrediũtur inquirere ſcrinia diuitijs vacua, & laborem ſuſtinere vanum. Vnde ab hiſce hoſtibus impugnatum, & perturbatum eò amplius in bonis operibus locupletari exiſtima,quò plures habet collidentes, & moleſtiam faceſſentes. Idque gaude magis, quam verecundare, quod ad patriam ab iſto inquilinatu diſceſſuri ſunt dilecti multis rebus ſibi comparatis opulenti, & coronati ante Deum ſtabunt, non ſolum

τὴν ἄλλων ἐστὶν ἀρετῶν, ἀσύλητα φυλάττουσα τῆς ψυχῆς τὰ κειμήλια. Διὰ ταύτην θλίβονται μὲν, καὶ πολεμοῦνται πάντες οἱ ἅγιοι, καὶ οἱ νῦν ὁμοίως ζηλοῦντες τὸν βίον ἐκείνων, ἀγρυπνεῖν ἀναγκαζόμενοι, καὶ νήφειν ἀεὶ διὰ τοὺς τειχομαχοῦντας πολεμίους, μὴ διαρρήξαντες τὸ τεῖχος, τὸν ἐν πολλῷ χρόνῳ κτηθέντα ἐπεισελθόντες ἀθρόον διαρπάσωσι πλοῦτον. Οὐκ ἐπηρεάζονται δὲ ἐπὶ τῶν ἐπάλξεων ἐγρηγορότως καθήμενοι, καὶ τοὺς τῆς ἀπονοίας προσερχομένους λογισμοὺς, ὥσπερ βέλεσιν ἀπελαύνοντες τούτοις τοῖς λόγοις, δοῦλοι ἀχρεῖοι ἐσμέν· ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. Οὕτως γὰρ οὐδὲν ἀφίεισιν ἔνδον ὑπεισελθεῖν ὑπερηφανίας πάθος, πάντα γὰρ πορθεῖ τὰ κεκτημένα, καὶ αἰχμάλωτον λοιπὸν πρὸς τὸ ἴδιον θέλημα ἀπάγει τὸν ἐπὶ τῇ κτήσει πολλὰ μοχθήσαντα νοῦν. Οὔτε δὲ λῃσταῖς ἔθος ἐρείπια διορύττειν, καὶ οὐδὲν ἀποκείμενον ἔχοντα τῇ γῇ, οὔτε πειραταῖς φορτίον μὴ πεφορτωμέναις ἐπιτίθεσθαι ναυσὶ χρημάτων θησαυρούς, ἀλλὰ περιεργαζομένοις, οὐκ ἔρημα πλουτημάτων περιεργάζεσθαι ταμιεῖα καταδεχομένοις, καὶ πόνον ὑπομένειν εἰκαῖον. Ὥστε τὸν θλιβόμενον καὶ ὀχλούμενον ὑπὸ τῶν ἐχθρῶν τοσούτων νόμιζε μειζόνως ἐν ἔργοις πλουτεῖν ἀγαθοῖς, ὅσους πλείονας ἔχει τοὺς παρενοχλοῦντας. Καὶ διὰ τοῦτο χαῖρε μᾶλλον, ἢ κατήφει, ὅτι πρὸς τὴν πατρίδα πολυκτήμονες ἀπὸ τῆς παροικίας ταύτης μέλλουσιν ἀπαίρειν οἱ ἀγαπώμενοι, καὶ στεφανῖται παρίστασθαι τῷ Θεῷ, οὐ μόνον, ὅτι ἠγωνίσαντο

νναίως, καὶ ἐκ τοῦ ἀγῶνος ἀναλύουσιν εὔποροι, ἀλλ' ὅτι καὶ ἀθλοῦντες λαθεῖν ἐπὶ τοῖς παλαίσμασι τοὺς ἐνταῦθα ἐσπούδασαν θεατάς, ὁλόκληρον ἑαυτοῖς πρὸς τὸ μέλλον τὴν εὐφημίαν φυλάξαντες, καὶ οὐ μειώσαντες ἐπαίνοις ἀνθρωπίνοις τὴν ἄφραστον δόξαν ἐκείνην.

ſolum quia generoſe decertarunt, & è certamine circumfluentes opibus reuertuntur; verùm & quod pugnantes latere ſtuduerunt in pugnis illos, qui ſpectatores hìc aderant, integrum, & ſolidum applauſum ſibi ipſis cuſtodientes in futurum, & laudibus humanis illam gloriam ineffabilem minimè imminuentes.

ΚΕΦΑΛΑΙΟΝ ιβʹ.

Περὶ τῆς ἀποκειμένης δόξης τοῖς τὴν ἐλεημοσύνην ἐργαζομένοις.

Ὢ πόσα παρέξει τότε πτωχὸς εὐκαίρως τραφείς; ὅσας ποιήσει καὶ οἵας ἀμοιβὰς τὰ ἄλλα καλά, συγκεροτημένης τῆς φύσεως; ὅταν ὁ ἐν κρυμῷ σκεπασθεὶς ἱματίῳ, καὶ κατακοσμηθεὶς μετὰ θάνατον τάφῳ, καὶ ὁ νοσηλευθεὶς ἐν ἀσθενείᾳ μακρᾷ, καὶ ὁ συναχθεὶς οἴκοι ξένος, καὶ ὁ ἐν φυλακῇ παραμυθίας τυχών, ὀφθῶσι πρὸ τοῦ βήματος τῷ εἰδότι ἃ ἔπαθον, ἐπιγινώσκοντες τὸν εὐεργέτην, καὶ ἐπιγινωσκόμενοι παρ' αὐτοῦ· ὅταν ὁ πᾶσι φοβερὸς δικαστὴς τὴν εἰς τοὺς εὐηργετημένους οἰκειούμενος χάριν λέγῃ, ὃ τούτοις ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. πόσους ἐγκρίνεις, εἰπέ μοι, πλούτους τῇ γλυκείᾳ καὶ προσηνεῖ ταύτῃ φωνῇ; πόσους ἐπαίνους ἀντεξετάσεις τῇ ἐπιδόξῳ εὐφημίᾳ ἐκείνῃ πάσης τῆς κτίσεως ὁρώσης τὸν ἀνακηρυττόμενον, καὶ οὐ φθονούσης μέν, οὐ γὰρ ἕξει τότε βασκανία χώραν, θαυμαζούσης δέ, καὶ μακαριζούσης αὐτόν, ἐφ' οἷς ἠξίωται ἀγαθοῖς, ποίαν ἐρεῖς εὐφροσύνην τῶν ἐν τῷ βίῳ τοιαύτην, καὶ οὕτως ἐγεῖραι πρὸς τὸ φαιδρὸν δυνα-

CAPVT XII.

De Gloria præparata his, qui Eleemoſynas erogant.

O Quanta præbebit tunc pauper tempeſtiuè nutritus? Quantas præſtabunt, & quas remunerationes alia bona opera complaudente natura; quando in frigore coopertus veſtimento, & poſt mortem tumulo religioſè illatus, & ægrotus in morbo diuturno curatus, & hoſpes domi ſuſceptus, & detétus in carcere ſubleuatus ſolamine, & ſubſidio, cóſpicientur ante ſolium ab eo, qui nouit quæ paſſi ſunt, benefactorem recognoſcentes, & ab ipſo recogniti: quando terribilis omnibus Iudex gratiã in beneficio affectos collatam ſibi datam reputans dicet: Quod iſtis feciſtis, mihi feciſtis? Quantas computas (dic mihi) diuitias pro hac dulcedine, & pro iſta ſuaui voce? Quantas laudes illi acclamationi perilluſtri comparas: ſuſpiciente omni creatura eum, qui prædicatur veluti voce preconis, & nequaquam inuidente (nec enim tunc tempus inuidiæ dabitur) admirante autem, & beatum ipſum in bonis, quibus condecoratur, renunciante? Ecquam dices oblectatio- *Matth. 25.40.*

Ff 2 nem

nem earum rerum, quæ in ſeculo ſunt, talem & quæ ita poſſit excitare animum ad iucunditatem? quale gaudium iſti gaudio adæquari par, & idoneum? qualem voluptatem, quæ vel huius voluptatis veſtigium referat? qualem gloriam, &ſi aliquantulum contendentem ad hoc excellens decus, quamuis Regnum ipſum dixeris: & eo fulgido apparente, minimè hoc illud imitatur, in quod iſte introducetur, quem verbum ſignificauit Scripturę; cum Regnũ dolores afferat incolumi, & turbas habeat, & metus, ut decus illud multam pacem, & inducias atque ceſſationem à bello adducat. Hoc eſt opibus vti præclarè. Hoc eſt poſſidere pecunias, neque cuſtodem theſauri alijs ſeruati agere. Hoc verè propria ſibi facere, quæ hactenus exiſtimata fuerant propria. Hoc ſeipſum heredem, & ſucceſſores laborum propriorum conſtituere, nec permittere ſuas poſſeſſiones his, qui nullo nobis erunt vſui in neceſſitate Iudicij. Hoc eſt ea, quæ terrea ſunt, transferre in cælũ. Hoc ea, quæ tranſeunt, facere ſtabilia. Hoc eſt temporaria trãſmutare in æternam fruitionẽ. Hoc diſpẽſare verè mamona, & amicos ex ipſis parare, qui poſt mortem recipiant nos in æterna tabernacula; hìc quidem abſque lare, verum illic hoſpitia excipientes in præſenti ſæculo ſine tecto, & in ſtupendis cellis amplexantes tunc eum, qui conſolatus eſt iſtic; indigentiam, & graue neceſſitatis onus alleuiauit communicatione illorum, quæ corporis ad vſum pertinebant.

μένην; ποίαν χαρὰν ἀξιοποθεινὴν ταύτῃ τῇ χαρᾷ ἱκανήν; ποίαν ἡδονὴν ἴχνος ταύτης φέρουσαν τῆς ἡδονῆς; ποίαν δόξαν, κἂν ποσῶς ἁμιλλωμένην πρὸς ταύτην τὴν εὔκλειαν, κἂν βασιλείαν εἴπῃς αὐτήν; καὶ ταύτης δοκούσης λαμπρᾶς, οὐ μιμεῖται αὐτὴ ἐκείνην, εἰς ἣν εἰσάγεται οὗτος, ὃν ὁ λόγος ἐσήμανεν, ἐπίλυπος οὖσα ἀπήμονι, καὶ ταραχὰς ἔχουσα, καὶ φόβους, εἰρήνην ἄγουσαν, καὶ ἐκεχειρίαν πολλήν. Τοῦτο καλῶς ἐστι χρήσασθαι τῷ πλούτῳ. τοῦτο κεκτῆσθαι χρήματα, καὶ οὐ φύλακα θησαυροῦ ἄλλοις τηρουμένου γίνεσθαι. τοῦτο ἀληθῶς ἴδια ποιῆσαι τὰ τέως νομιζόμενα ἴδια. τοῦτο κληρονόμον ἑαυτὸν, καὶ διάδοχον τῶν ἐκείνων καταστῆσαι πόνων, καὶ μὴ παραχωρῆσαι τὰ κεκτημένα τοῖς οὐδὲν χρησιμεύουσιν ἐν τῇ ἀνάγκῃ τῆς δίκης. τοῦτο τὰ τῆς γῆς μεταθεῖναι εἰς οὐρανόν. τοῦτο τὰ φθαρτὰ ποιῆσαι μόνιμα. τοῦτο τὰ πρόσκαιρα μετασκευάσαι πρὸς ἀπόλαυσιν αἰώνιον. τοῦτο δὲ ὄντως οἰκονομῆσαι τὰ τοῦ μαμωνᾶ, καὶ φίλους ἐξ αὐτῶν κτήσασθαι, τοὺς μετὰ θάνατον δεχομένους εἰς τὰς σκηνὰς, ἀνεστίους ἐνταῦθα, καὶ ξενοδόχους ἐκεῖ, ἀστέγους ἐν τῷ παρόντι, καὶ ἐν θαυμασταῖς καλύβαις δεξιουμένους τότε τὸν παραμυθησάμενον ὧδε τὴν ἔνδειαν, καὶ τὸ βάρος τῆς ἀνάγκης ἐπικουφίσαντα κοινωνίᾳ τῆς χρείας τοῦ σώματος.

CA-

ΚΕΦΑΛ. ιγʹ.

Τοῦτο φρόνιμος οἰκονόμος ἐστὶ τῶν παρὰ Θεοῦ δεδομένων κτημάτων, καὶ ἀτελεύτητον βασιλείαν ἰῷ δαπανωμένοις ἀργυρίοις ὠνήσασθαι, τοῖς παροῦσι τὰ μέλλοντα, τὸ διανεῖμαι τούτοις τὰ ὑπάρχοντα, ὧν τῆς κτήσεώς ἐστιν ἐγγυητὴς ἀξιόπιστος αὐτὸς ὁ τῶν ἁπάντων δεσπότης Θεός, ὁ τὸ χρέος μετὰ τόκων, οὐχ ἑκατοσταίων, ἀλλ' ἑκατονταπλασίων ἀποδιδοὺς ἐγκαίρως, ὅτε χρήσιμος τῶν δεδανεισμένων ἡ ἀπόληψις, καὶ ἡ χρῆσις ἐπιτηδεία πρὸς τὴν πολυχρόνιον τοῦ ἀπεράντου αἰῶνος ἀπόλαυσιν. τοῦτό ἐστι θησαυρίσαι ἐν οὐρανῷ, καὶ πολλὴν ἑαυτῷ παραμυθίαν ἑτοιμάσαι ἐκεῖ, τὸ ποιῆσαι λάθρα τὸ καλόν, καὶ ἐκφανῆ δέξασθαι τὴν δόξαν ἐπὶ πάσης τῆς κτίσεως, τὸ περιστεῖλαι ταπεινοφροσύνῃ τὸν τῶν χρημάτων θησαυρόν, καὶ μὴ ἐκδοῦναι πρόχειρον κενοδοξίᾳ τοῖς λωποδύταις αὐτῶν. Ὃ γὰρ τοῖς χρήμασίν ἐστιν ἀποθῆκαι, καὶ θύραι, καὶ μοχλοὶ πρὸς ἀσφάλειαν, τοῦτο τοῖς ἀγαθοῖς ἔργοις μέτριον φρόνημα, συγκαλύπτον αὐτά, καὶ τοῖς τοιχωρύχουσιν οὐ παρέχον ποθὲν ἁρπαγῆς ἀφορμήν. Αὕτη ἡ ἀρετὴ καὶ φυλάττει τὰ κεκτημένα, καὶ τῶν μηδέπω κτηθέντων παρέχει πρὸς τὴν κτῆσιν ἐπίνοιαν. Αὕτη εὐχαριστεῖν διδάσκει ἐπὶ πᾶσι Θεῷ, καὶ τὰ ἐν χερσὶ ἀνιαρὰ παραμυθεῖται τῇ τῶν μελλόντων ἀγαθῶν προσδοκίᾳ. Αὕτη πρὸς ἄμυναν ἐχθρῶν ὁρμῶντα τὸν θυμὸν ἀνέχει, καθάπερ ἁρπάζοντα κύνα κατέχουσα

CAPVT XIII.

Hoc eſt eſse prudentem diſpenſatorem à Deo datorũ bonorum, & rubigine inſumptis pecunijs emere Regnum nunquã deſiturum; præſentibus futura; & diſtribuere iſtis ea, quibus ſubſiſtere queant, quorũ poſseſſionis eſt fideiuſsor fideliſſimus & idoneus cautor ipſe horum omniũ Dominus Deus, qui cũ fęnoribus non centuplicatis, ſed duplo centeſimis reddet tempore ſuo, quando vtilis erit eorum, qui fœnori dant, receptio, & vſus opportunus ad diuturnam æui infiniti voluptatem. Hoc eſt theſaurizare in cælo, plurimamque ſibi comparare ibi conſolationem, clam facere bonum, & conſpicuam, illuſtremque ſuſcipere gloriam apud omnes creaturas; coarctare humilitate pecuniarum theſaurum, & non dare facilem aditum per vanam gloriam expilatoribus ipſius. Quod enim ſunt repoſitoria, & oſtia, & vectes pecunijs ad ſecuritatem, id eſt bonis operibus modeſta prudentia occultans illa, nec vnquam prębens his, qui mœnia effodiunt, rapinę occaſionem. Iſta virtus & acquiſita cuſtodit, & exhibet induſtriam ad acquirẽda ea, quæ nullatenus fuere acquiſita. Iſta gratias agere Deo in omnibus edocet, & quæ obuia præ manibus accidunt infelicia conſolatur bonorum futurorum expectatione. Iſta retinet iracundiam impellentem ad vltionem inimicorum quemadmodum canem rapientem detinens eam ęquanimi ratione. Iſta inuiſam, & ignotam exiſtimat pari pretio ac perpetem animæ dignitatem, non proſperam fortunam luteam

team breui ſe tempore pompaticè traduceentem. Hæc perſuadet vt cenſeatur caput, & dominus vir, illi quaſi membrum ſubiacens gubernanti in omnibus ſubeſſe inſtruens. Sic etenim mundi conditor Euam alloquitur: Ille tui dominabitur. Et Paulus, quod mulier reuerteatur virum. & Sarra illud perſuaſa Dominum compellat Abrahamum, honorãs ipſum, quem Legiſlator honore pręceperat affici. Hęc vernam fouere atque beneuolentia mulcere veluti contribulem conſulit; quod poteſtati ſubiugatum eſt ad operam miniſterij, in labore relaxans exhortationibus ad libertatem, & quod ſemper ex conſcientia perterretur, aſsurgere iubens ad moderatam audaciam, vt ne remaneat deiecto vilique omninò animo, & ob infortunium, quod ipſi contigit, accuſet Deum, qui hanc inæqualitatem fieri permiſit. Hæc adiuuare conſtituit commiſerando eum, qui affligitur in mendicitate, perfectumque virtutibus quaſi militem membris integrum Regi Deo ſiſtit. Etenim ab ijs qui militum delectum habent, ætas corporum excernitur, e Catalogo ſeu Numero deponitur qui forſitan in aliquo defecit, & à Deo nõ probatus eſt penitus; qui non omnibus, quæ conueniunt, perfectus, & abſolutus neglecto prorſus bono paſſim irridet pulchram aliorum rectè factorum formam. Vnde ſtudendum eſt æquè virtutibus omnibus, eæque omnes obſeruandæ. Siquidem propoſitum eſt imaginem exornari ſecundum exemplar, & Diuinis gratijs ſplendidè fulgere, non autem opprobrijs animæ pulchritudinem abo-

Gen. 3. 13.

Ephes. 5. 33.

αὐτὸν ἐπιφέρει λογισμῷ. αὕτη τὸ ἀφανές, καὶ ἄσημον ἡγεῖται ἰσότιμον, τὴν ἀεὶ μηνύουσαν τῆς ψυχῆς ἀξίαν, οὐ τὴν πρὸς ὀλίγον πομπεύουσαν λογιζομένην πηλίνην εὐτέλειαν. αὕτη κεφαλὴν, καὶ δεσπότην ἡγεῖσθαι πείθει τὸν ἄνδρα ὡς ὑποκείμενον μέλος ὑπείκειν ἡγεμονεύοντι ἐν πᾶσι παιδεύουσα. οὕτω γὰρ καὶ ὁ δημιουργὸς, τὴν Εὔαν φησὶν, αὐτός σου κυριεύσει. καὶ ὁ Παῦλος, ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. καὶ τοῦτο πεπεισμένη Σάῤῥα κύριον ἐκάλει τὸν Ἀβραάμ, τιμῶσα τοῦτον, ὃν ὁ νομοθέτης τιμᾶσθαι προσέταξεν. Αὕτη οἰκετικὸν συμβουλεύει περιέπειν, καὶ θάλπειν ὡς ὁμόφυλον, τὸ ὑποζευχθὲν τῇ δυναστείᾳ πρὸς λειτουργίαν ἐπὶ μόχθῳ ἀνιεῖσα ταῖς εἰς παῤῥησίαν προτροπαῖς, καὶ τὸ καταπληκτὸς ἀεὶ τῆς συνειδήσεως πρὸς θάρσος μέτριον ἐγείρειν κελεύουσα, ἵνα μὴ ἀθυμοῦν μένῃ διόλου, καὶ τὸ συμβὰν ἀτύχημα ἐγκαλοῦν τῷ τὴν ἀνωμαλίαν ταύτην συγχωρήσαντι γενέσθαι Θεῷ. Αὕτη τὸ ταλαιπωροῦν ἐν πτωχείᾳ συμπαθῶς ἐπικουρεῖν ὑποτίθεται, καὶ τέλειον ταῖς ἀρεταῖς ὡς βασιλεῖ στρατιώτην ἄρτιον τοῖς μέλεσι παρίστησι τῷ Θεῷ. καὶ γὰρ παρὰ τοῖς στρατολογοῦσιν ἡλικία σωμάτων ἐκκρίνεται, τοῦ καταλόγου ὁ τῷ τυχόντι λειπόμενος, καὶ παρὰ τῷ Θεῷ πάντως ἀδόκιμος, ὁ μὴ πᾶσι τοῖς καθήκουσι τέλειος τῷ παρημελημένῳ καλῷ τὴν εὐμορφίαν μωμησάμενος τῶν ἄλλων κατορθωμάτων. Ὅθεν ἐπίσης σπουδαστέον πάσας τὰς ἀρετὰς, καὶ πάσας φυλακτέον ὁμοίως. εἴπερ κατὰ τὸ ἀρχέτυπον δεῖ κοσμῆσαι τὴν εἰκόνα σκοπὸς, καὶ τοῖς θείοις χαρίσμασι λάμ-

ψαι φαιδρὰς, ἀλλὰ μὴ ταῖς λώβαις τῆς ψυχῆς ἀφανιζούσης τὸ κάλλος. ὁ γὰρ πληρώσας κατὰ * τὸν Πέτρον ὅλον τὸν νόμον, πταίσας δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος, τῷ λείποντι νομίμῳ χωλεύων εἰκότως περὶ τὴν τελειότητα. ἣν κατορθῶσαι σπουδάσωμεν εἰς δόξαν τοῦ τὰ πάντα πᾶσι παρέχοντος Θεοῦ. Ἀμήν. Ἔσεσθε οὖν ὑμεῖς τέλειοι φησὶν ὁ Σωτὴρ, καθὼς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

abolentis. Qui enim iuxtà* Pe-
trum totam legem, impleuit, la- *Iac.* 2.
pſus verò fuerit in vno, factus eſt 10.
omniũ reus. Claudicans iureme-
rito in reliqua lege circa perfectio-
nem, quam ſtudeamus conſequi
ad gloriam omnia omnibus præ-
bentis Dei. Amen. Eſtote igitur *Matth.*
vos perfecti (ait Saluator) quem- 5.48.
admodum Pater veſter cęleſtis
perfectus eſt. Ipſi gloria in ſæ-
cula. Amen.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ
ΠΑΤΡΟΣ ΗΜΩΝ

ΝΕΙΛΟΥ

Πρὸς τὴν σεμνοπρεπεστάτην Μάγναν Διάκονον Ἀγκύρας.

ΛΟΓΟΣ.

Περὶ Ἀκτημοσύνης.

ΚΕΦΑΛ. α'.

ΠΡῴην μὲν πρὸς τοὺς ἀμελέστερον μετιόντας τὸν μοναδικὸν βίον γράφοντες λόγον, ἱκανῶς καθηψάμεθα τούτων, ὅσον ὑπερέβησαν τῆς Ἀποστολικῆς ἀκριβείας δεικνύντες τῇ περὶ τὰ μάταια αὐτῶν σπουδῇ κτημάτων ἀντεχόμενοι, καὶ τοῖς τοῦ βίου τῶν φιλοπλούτων οὐχ ἥκιστα περισπασμοῖς ἐμφυρόμενοι. Νῦν δὲ ἐπειδὴ δεῖ καὶ τῶν φυλαξάντων ὑμῶν τε, καὶ τῶν καθ' ὑμᾶς τὸν τῆς ἀκτημοσύνης κανόνα ὡς εἶχεν ἐξ ἀρχῆς ἀπαράβατον ἐπαινέσαι τὸν ζῆλον, ἀναγκαῖον εἰπεῖν, ὅσα σαφῶς ἐρῶντας τῆς ἐνθέσμου διαγωγῆς πρὸς τὴν ταύτης προτρέπεται αἵρεσιν, καὶ ὁδηγεῖ πρὸς τὴν τοῦ καθήκοντος ἐκλογήν. ὡς γὰρ κατάγνωσις τοῦ φαύλου ἐντρέπουσα τοὺς ἐνεχομένους αὐτῷ ἐπιστρέφει μεταμελομένους ἐπὶ τὸ ἄμεινον, οὕτως ἔπαινος τοῦ καλοῦ καὶ τοὺς ὀκνηρῶς ἔχοντας διεγείρει πρὸς τὴν τούτου οἰκείωσιν, πόθῳ τῆς εὐφημίας δελεάζων αὐτοὺς, καὶ ἕλκων προθύμως πρὸς ἑαυτὸν, πρὶν σώφρονι λογισμῷ τὸ τῶν ἀνθρωπίνων ἀνόνητον διασκεψάμενοι, τὴν ὄντως ὀφέλιμον ἴδωσι δόξαν, ἣ δοξάζει τοὺς εὐσεβοῦντας

SANCTI PATRIS NOSTRI

NILI

Ad veneratione digniſſimam Magnam Diaconiſſam Ancyræ.

TRACTATVS.

De voluntariâ paupertate, ſeu nihil poſſidendo.

CAPVT I.

NVper quidem conſcribentes Tractatū ad eos, qui negligētiùs Monaſticam vitam degunt, affatim increpuimus eos, demonſtrantes, quantum ab Apoſtolicâ diligentiâ digreſſi ſunt, dum circa futilia iſtarum poſſesſionum ſtudio detinētur, neque minus victus diſtractionibus, quam illi, qui viuūt amore diuitiarum flagrantes, impediuntur. Nunc verò quoniam oportet & veſtrûm, qui obſervaſtis regulam paupertatis, vti ſe habuit ab initio, inuiolatā, & eorum, qui ſecundùm vos eā cuſtodierūt, zelum dilaudare; neceſſum eſt dicere quæcumq; eos, qui manifeſtè amant lege præſcriptum inſtitutum viuendi, ad eius electionem excitant, deducuntq; ad præoptādum id, quod cōuenit. Sicut enim vitij condemnatio pudore ſuffundens eos, qui ipſi adhærent, conuertit, vt cōſilium demutent pœnitentes in melius: itá rei honeſtæ laus & eos, qui ſe ignauè gerunt, excitat, vt ad illam proximè accedant deſiderio gloriæ, plauſuſque ipſos ineſcans, & trahens alacriter ad ſeipſam, priuſquam prudente ratiocinatione diſpexerint humanorum encomiorum nullam vtilitatem, ac reverà vtilem aſpexerint

xerint gloriam, qua Deus pietatẽ excolentes exornat, & imprǽſentiarum ipſos eorum, quæ operati ſunt, præmijs illuſtrans, & coronans in tempore iudicij ſuper omnem naturam rationalem, quando vnicuique iuſtè iudicans reddet non ſecundùm hîc errantem opinionem; verum vti purè ſe res habet, iuxta rerum geſtarum veritatem. Si enim his, qui commiſerati ſunt contribulem egeſtate confectum, ex compaſſione, dicit: Venite benedicti Patris mei, hereditate prehendite paratum vobis regnum: quomodo nõ eiſdem eos vocibus alloquetur, qui parum quidem carnem curauerint, & tantummodò quantũ coëgerit neceſſitas viuendi, plurimum verò tempus in occupatione animi impenderint aſſidui, & hãc curã habuerint, quo pacto ipſe purus, & à ſordidis cogitationibus impollutus ante illũ cõſiſtat, qui occulta cordium iudicaturus eſt, & examinaturus rationes, quomodò ſe habuerint ad vnũquemq; affectuum perturbãtiũ, ſiue amoris, ſiue abalienationis? Illi quippe, qui propenſi viſceribus ad miſericordiam verſus cognatos, & hi qui ad Philoſophiæ illecebras sũt proni, pariter ſunt retributione digni apud Iudicem. Sicut enim miſericordes non dolent diuitijs imminutis erogatione quotidianâ, delectantur verò potius eo, quod in egenos inſumpſerunt: ita cupiditas rerum præſentium non premit eos, qui nihil poſſident, parati verò ſunt ad exultandum, & iucundandum, quandoquidem deſpicatui habent, quæ ab alijs habentur in pretio; & quia liberati occupatione rerum vanarum, liberâ ratione pręſident operationi præſtantiorum omnium, velut intermiſſionem agentes illarum, atque indu-

Matth. c. 25. v. 34.

Θεὸς, καὶ νῦν ταῖς ἀμοιβαῖς τῶν πεπονημένων ποιῶν αὐτοὺς ἐμφανεῖς, καὶ ἀναστέφων ἐν τῷ τῆς κρίσεως καιρῷ ἐπὶ πάσης τῆς λογικῆς φύσεως, ὅταν ἑκάστῳ κρίνων δικαίως ἀποδίδωσιν οὐ κατὰ τὴν ἐνταῦθα πεπλανημένην ὑπόληψιν, ἀλλ' ὡς ἔχει τὸ ἴσον κατ' αὐτὴν τῶν πεπραγμένων τὴν ἀλήθειαν. Εἰ γὰρ τοῖς συμπαθείᾳ τὸ ὁμόφυλον οἰκτείρασιν ἐνδείᾳ ξυνεχόμενον φησι, δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· πῶς τὴν αὐτὴν οὐκ ἐρεῖ φωνὴν τοῖς ὀλίγον μὲν φροντίσασι τῆς σαρκὸς, καὶ τοσοῦτον, ὅσον ἡ πρὸς τὸ ζῆν ἐβιάζετο χρεία, τὸ δὲ πολὺ τοῦ καιροῦ προσκαρτερήσασιν ἐν τῇ τῆς ψυχῆς ἀσχολίᾳ, καὶ ταύτην φροντίδα πεποιημένοις, ὅπως αὕτη καθαρὰ, καὶ ἀμόλυντος ῥυπαρῶν ἐννοιῶν παραστῇ τῷ μέλλοντι τὰ τῆς καρδίας κρίνειν κρυπτὰ, καὶ τοὺς λογισμοὺς ἐξετάζειν, πῶς ἔχουσι πρὸς ἕκαστον οἰκειώσεως, ἢ ἀλλοτριώσεως τῶν παρενοχλούντων παθῶν; Κἀκεῖνοι γὰρ τῆς πρὸς τὸ συγγενὲς εὐσπλαγχνίας, καὶ οὗτοι τῆς πρὸς τὰ δελεάζοντα φιλοσοφίας, ὁμοίως εἰσὶ παρὰ τῷ κριτῇ ἀποδοχῆς ἄξιοι. Ὥσπερ γὰρ οἱ ἐλεήμονες οὐ λυποῦνται μειουμένου τοῦ πλούτου τῇ μεταδόσει καθ' ἑκάστην ἡμέραν, εὐφραίνονται δὲ μᾶλλον εἰς τοὺς ἐπιδεεῖς δαπανωμένου· οὕτως οὐ θλίβει τοὺς ἀκτήμονας ἐπιθυμία τῶν παρόντων, σκιρτᾶν δὲ παρασκευάζει, καὶ γάννυσθαι, ὅτι τε καταφρονητικῶς ἔχουσι τοῖς ἄλλοις νομιζομένων τιμίων, καὶ ὅτι τῆς τῶν ματαίων ἀσχολίας ἀπηλλαγμένοι, ἐλευθέρῳ τῷ λογισμῷ τῇ τῶν πάντων κρειττόνων προσεδρεύουσιν ἐργασίᾳ, ἐκεχειρίαν ἄγοντες τούτων

ὧν ὁ πολλοὶ δουλείαν εἵλοντο ἀνωφελῆ, καὶ ἀνόνητον.

ΚΕΦΑΛΑΙΟΝ β'.

Καὶ μή τις ἄπονον οἰέσθω, καὶ μετ' ῥᾳστώνης περιγινόμενον τὸ τῆς ἀκτημοσύνης κατόρθωμα. οὐ γὰρ τὴν ἀκούσιον πενίαν, νῦν ἀκτημοσύνην φαμὲν, ἥτις ἐξ ἀνάγκης συμβαίνουσα θλίβει τὴν γνώμην, ὑπαχθεὶς ἡγουμένην τὸ ἀβούλητον, ἀλλὰ τῆς προαιρέσεως τὸ περὶ τὴν ὀλιγαρκίαν αὐθαίρετον, ἐξουσίᾳ μὲν περιγινόμενον λογισμοῦ, κάματον δὲ καὶ αὐτὸ τέως παρέχον, ἕως ἕξις γενομένη ἡ ἄσκησις ἀνεκτὸν δείξει τὸ πολλῷ χρόνῳ δύσκολον φανὲν, καὶ δυσάνυστον. Ὁμοίως γὰρ εὐφυὴς σώματος ὄψις, καὶ ὕλη πλούτου λαμπρὰ, τὴν ἐπιθυμίαν ἐρεθίζει πρὸς ἔφεσιν, ὃ γενναίας ἑκάτερον χρῄζει ψυχῆς, καὶ πλευρῶν ἐρρωμένων, ὡς μὴ ἐνδοῦναι κνιζούσαις αὐταῖς, μηδὲ προστίθεσθαι τῷ ἐπαγωγῷ αὐτῶν δελεασμῷ κάμπτειν εἰωθότι πρὸς συνθέσιν, καὶ τὰ παγίως ἐνηρεῖσθαι δοκοῦντα φρονήματα. Ἀλλ' ἐπαινετοὶ μὲν μεσότητα τῆς ἀκτημοσύνης νῦν μετερχόμενοι, οὐ συναπαχθέντες τοῖς πολυκτήμοσιν εὐριπίστῳ κουφότητι λογισμῶν, οὐδὲ τὸν νοῦν ἐνδήσαντες φροντίσι κεναῖς. ποιεῖ γὰρ ἅπαντα μετὰ τοῖς ἀβεβαίοις τὰ μὴ καθήκοντα ζῆλος ἀκόλαστος μιμήσεως, πολυτέλεια ἡ μάλιστα σωματικὴ πρὸς ἀπόλαυσιν ἔχουσα, καὶ τιμὴν ἀνθρωπίνην, πολλὴν σφόδρα τὴν ἐπιτηδειότητα. ἐπειδήπερ ὁ μακρὸν ἔθος τοὺς ματαιόφρονας ἐδίδαξε μακαρίους ἡγεῖσθαι τοὺς εὐπόρους,

inducias, quarum multi ſeruitium aſſumpſerunt inutile, nulliuſque commodi.

CAPVT II.

NOllem tamen, vt quis arbitretur ſine labore fore, & facile quid factu priuationem poſſeſſionum. Nec enim eius nomine inuitam paupertatem nunc dicimus, quæ contingens è neceſſitate affligit mentem, quando cẽſet inuoluntarium eſſe moleſtum; ſed placitum, ſpontaneum, quo quis eligit paucis eſſe contentum; auctoritate quidem rationis effectum, laborem tamen & illud præbens, eò vſque dum habitus naturam induens exercitatio exhibeat tolerabile, quod diuturno tempore viſum fuerat perdifficile, atque factu impoſſibile. Aequè enim decora corporis viſio, & ſplẽdida materies pecuniæ proritat cupiditatem ad deſiderium, & generoſam animam expoſtulat vtrumque, atque indiget robuſtis lateribus, vt ne cedat ijs titillantibus, neque adhæreat illecebræ captatoriæ ipſarum, quæ conſueuit inflectere ad conſenſum etiam animos, qui videntur firmiter ſtabiles. Verum laudabiles equidẽm, atque admiratione digni, qui nunc affectantes mediocritatem paupertatis, non vna cum his, qui multa poſſident, abrepti ſunt latè credula leuitate cogitationum; neque mentem illigarũt inanibus ſolicitudinibus. Ingerunt enim inſtabilibus quæcumque minimè conueniunt, zelum imitationis apparatus maximè corporeus ad voluptatem, & ad honorem humanum plurimam habens aptitudinem. Longa ſiquidem conſuetudo edocuit eos, qui fatuè ſapiunt, beatos exiſtimare copijs

abundantes, qui ſua in opulentia gloriam recipiunt, & ex eius apparatibus ambitioſè luxuriantur. Magnos itaque verè oportet iudicare, atque generoſos eos nuncupare, quemadmodum qui victores in palæſtrâ euaſere ex certātibus ſcilicet probabiliter cogitationibus, & hinc inde contendētibus veluti perſuaſorijs geſticulationibus, decere tunc multorum opinionibus aſſentiri, & perinde iam apparentibus bonis calculum approbationis dare, ac ſi verè bona forent, neque recuſare, quæ communi opinione iudicata ſunt honore digna, neque refugere poſſeſſionem earum rerum, quæ ad vſum à Conditore fuerunt expoſitæ, & tumore ſimulatæ philoſophiæ futilem redarguere poſſeſſionem, quæ verè, neq; fruſtrà conducit ad ſubſiſtētiam. Pugiles enim iſti verè probati, nec aduerſarijs media cedentes, neque dimoti à foſſis ſuis, quia per medium nequeunt apprehendi, qui nempe poplites in recto iudicio tutò firmarunt, nec inflexi ſunt ad terrenas materias ſuſcipiēdas, vitā minimè circumuerſatilē præ confuſa magis exiſtimantes, & moderato victu honeſtè ſibi eā ab omni perturbatione ſemotam componentes. Mens etenim non ſufficiens plurium rerum curam gerendo, vacationē, non præbet intellectui capeſſendi conſilia decentia animæ; impedimentis verò negotioſis liberata luculenter, quod vtile eſt, perſpicit, & in hac commoditate opportuna intrepidè oblectata, quòd ex multiplicibus vinculorum ſæcularium hujus vitæ neceſſitatibus ſeſe, cum expedierit ſoluta peragit, quæ ſunt optima, nullatenus præpedita, quin propenſa ſit optimo impetu ad illa, à nullâ e ſolicitu-

δόξης ἀπολαύοντας ἐν τῇ περιουσίᾳ, καὶ ταῖς ἐκ ταύτης φιλοτιμίαις ἐντρυφῶντας παρασκευαῖς. Καὶ μεγάλους κρίνειν ἀληθῶς χρὴ, καὶ καλεῖν γενναίους τοὺς καθάπερ ἐν παλαίστρᾳ περιγενομένους, τῶν δῆθεν ἀλόγως μαχομένων λογισμῶν, καὶ διεριζόντων ὥσπερ χειρονομίαις πιθαναῖς, ὡς ἄρα δεῖ ταῖς τῶν πολλῶν συμφέρεσθαι δόξαις, καὶ τοῖς ἤδη φανεῖσι καλοῖς συμψηφίζεσθαι ὡς ὄντως καλοῖς, καὶ μὴ παραιτεῖσθαι τὰ κοινῷ δόγματι κριθέντα τίμια, μηδὲ τὴν κτῆσιν ἐκκλίνειν τῶν εἰς χρῆσιν ὑπὸ τοῦ δημιουργοῦ παρηγμένων, ἢ τύφῳ νομιζομένης φιλοσοφίας εἰκαία ἀνελέγχειν τὴν δεόντως, ἢ οὐ μάτην ἐληλυθυῖαν κτῆσιν εἰς ὕπαρξιν. Ἀθληταὶ γὰρ οὗτοί γε δόκιμοι ἀληθῶς, οὔτε μέσα δεδωκότες τοῖς ἀντιπάλοις, οὔτε τῶν σκαμμάτων ἐξωσθέντες διὰ τὸ ἀμεσολάβητον. Ὧν γὰρ τὰς ἰγνύας ἐπὶ τῆς ὀρθῆς κρίσεως ἐρείσαντες ἀσφαλῶς, οὐκ ἐκλίθησαν εἰς ἀποδοχὴν τῶν γηΐνων ὑλῶν, ἣν ἀπερίσπαστον τοῦ πεφυρμένου προτιμήσαντες βίον, καὶ μετρίᾳ διαίτῃ πραγματευσάμενοι καλῶς ἑαυτοῖς τὸ ἀτάραχον. Οὐκ ἐπαρκῶν μὲν γὰρ ὁ νοῦς πολλῶν πραγμάτων φροντίζειν, σχολὴν οὐκ ἄγει τῇ ἐννοίᾳ ψαύειν τῶν πρεπόντων τῇ ψυχῇ βουλευμάτων, ὀχλήσεων δὲ πραγματικῶν ἀπηλλαγμένος, σαφῶς τε τὸ συμφέρον ὁρᾷ, ἐν ἀκαιρεῖ τούτῳ ἀδεῶς εὐφραινόμενος, ὅτι τὰς πολυπλόκους τῶν βιωτικῶν δεσμῶν ἐξελήσας ἀνάγκας ἄνετος ἐπιτελεῖ τὰ κάλλιστα, οὐκ ἐμποδιζόμενος τὴν πρὸς ταῦτα βελτίστην ὁρμὴν οὐδενὶ τῶν ἐμπεριστατεῖν εἰωθότων πολυύλων φροντίδων.

hcitudinibus multarum materiarum, quæ ſolent velut obſidendo circumſiſtere.

ΚΕΦΑΛ. γʹ.

Ἀξιάγαστοι δὲ καὶ λίαν ἐκεῖνοι, καὶ πάσης τῆς ἐκ λόγων εὐφημίας ἀνώτεροι, εἰ καὶ τούτων παρελθόντες τῇ ἀκριβείᾳ, καὶ αὐτῶν ἐντὸς τῶν ὅρων τῆς τελείας ἀκτημοσύνης γινόμενοι, ὅτι καὶ πρὸς ζῆλον τοὺς νῦν ἕλκουσιν αἱρουμένους τὴν μίμησιν, καὶ ἀπονοίας τῆς ἐπὶ τοῖς πραττομένοις καλοῖς ἀπαλλάττουσιν ἑαυτούς, σπουδάζοντας κατ' ἴχνος βαίνειν αὐτῶν, καὶ ἀπολιμπανομένους τῆς καταλείψεως. πηγὴ δέ, ὥσπερ τὸ ὑπερβαίνειν τῇ ἀρετῇ τοὺς προάγοντας ἀλαζονείαν καὶ οἴησιν, οὕτω τὸ μὴ φθάνειν αὐτοὺς φυλάττει τὸν λογισμὸν κατεσταλμένον, ἢ ἐφ' οἷς ὑστερίζει ἐδυσωπούμενον, ἢ ἐφ' οἷς προκόπτειν ἔδοξεν ἐπαιρόμενον. Οὐδεὶς δὲ τῶν νῦν πῶς ἢ ἀφικνεῖται, ἢ ἐφίκετο τῆς ἀρετῆς τῶν πάλαι ἁγίων, ὧν ἄοικος, καὶ ἀνέστιος, καὶ ἀνείμων ἀναγέγραπται ἡ διαγωγὴ ἀλωμένων τόπον ἀεί, καὶ τὸ παρατυχὸν ἔδεσμα σιτουμένων ἡδέως, καὶ κοιταζομένων ὅποι ποτέ, καὶ ὡς ἔτυχε, καὶ τοὺς ἐπιβουλεύοντας, καὶ διώκοντας οὐχ ὡς ἐν τῷ παρόντι τιμῶντας, καὶ περιέποντας ἐχόντων πολλούς. τούτους γὰρ παρίστησι διαγράφων ὁ Παῦλος ἐν οἷς ἔλεγεν, Ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασι, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. Κἂν γάρ τις τῶν νῦν φαντασθῇ τὴν πρὸς αὐτοὺς

CAPVT III.

Valdè quidem ſunt admiratione illi digni, & ſuperiores omni laudum præconio, quas eloqui poſſemus, etſi iſtos prętergrediantur diligentia, & intra terminos perfectæ paupertatis præ ipſis ſint: quia & ad æmulationem trahūt eos, qui nunc sūt, amplexatos imitationem, ſeque ipſos liberant ab amente vecordia, in rebus honeſtis, quas perficiūt, ſtudentes per eorum veſtigia progredi, & deficere ob deſertionem. Fons verò; quemadmodum virtute ſuperare eos, qui præferunt iactantiam, & arrogantiam: ita ipſos non aſſequi cuſtodit mentem cohibitam, ne vel in his, in quibus vincitur affligatur, vel in illis, in quibus videtur provehi, efferatur. Nemo autem eorum, qui nunc ſunt, eò uſque aut accedit, aut acceſſit ad virtutem Sanctorum veterum, quorum cōverſatio ſine domo, ſine foco, & ſine veſtibus fuiſſe literis proditur ſemper in locum è loco demigrātium, & fortuitis dapibus ſeſe ſuauiter paſcentium, & cubantium vbicumque, vtque ſors ferebat, & inſidiantes, ac perſequentes, non vt impræſentiarùm honorantes, atque circumſectantes multos habentium. Iſtos enim deſcribens exprimit Paulus, hiſce verbis, quibus dicebat: Lapidibus obruti sūt, *Heb.11* ſecti ſunt, in occiſione gladij occubuerunt, circuierunt in pellibus *37.* ovinis, in caprinis, deſtituti, obtriti, malè habiti, quibus dignus non erat mundus. Etſi enim aliquis ipſorum, qui nunc ſunt, æqualem honorem ac ipſi, inſtituto ac propoſito imaginetur, & operibus

bus pariter videatur ipſos æmulatus eſſe, deficit in virtutis cultu, & ſtudio, in qua illi periculũ ſubierũt, ſubſequentem gloriam laborum conſolationem accipiẽs, qua Beati omninò fuerunt orbati, viatica perſequutionum vice laudis nacti, & ſæuarum mortiũ ſpeciem. Nõ erat illis tectum, & cella, non lectus, non menſa: indumentum ex ouium pellibus, & pilis; alimentum diei incurrentis ſubitaneum, nulla habita cura de craſtino. Præceperunt enim ſecundum propoſitum Philoſophicum Domini adhortationem, in
Matth. 6.26. quâ dicit: Reſpicite ad Cœli volatilia, quia non ſeminant, neque metunt, neque in horrea congregant, & Pater veſter cœleſtis nu-
Ibid.28 trit pſa. & rurſus; Conſiderate lilia agri quomodò creſcunt, non aborant, neque nent. Quæ vſui corporis ſunt neceſſaria, ſcientes ſequi, quando Deo iſta præbenti complacere adfuerit, & poſſeſſio Regni Cœlorum ante omnia exquiratur ſummo ſtudio.

ἰσοτιμίαν τῇ προθέσει, καὶ τοῖς ἔργοις ἴσως δοκεῖν αὐτοὺς ἐζηλωκέναι, ἀπολείπεται θεραπευόμενος ἐπὶ τῇ ἀρετῇ, ἐφ' ᾗ ἐκινδύνευσαν αὐτοί, τὴν παρακολουθοῦσαν δόξαν ἔχων παραμυθίαν τῶν πόνων, ἧς ἀπεστερημένοι παντελῶς οἱ μακάριοι, τὰ τῆς εὐφημίας ἐφόδια διωγμῶν εὑρίσκοντες, καὶ χαλεπῶν θανάτων ὑπόθεσιν. οὐκ ἦν ἐκείνοις στέγη, καὶ ἀποθήκη, οὐ κλίνη, οὐ τράπεζα· μηλωταὶ δὲ ἔνδυμα, καὶ τρίχες. σχέδιος ἡ τῆς ἐνεστώσης ἡμέρας τροφή, καὶ ἡ ἐπιοῦσα ἀμέριμνος. Παρέλαβον γὰρ τὴν κατὰ πρόθεσιν ἐν φιλοσοφίᾳ τὴν τοῦ Κυρίου παραίνεσιν, ἐν ᾗ φησιν· ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. καὶ πάλιν· καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει. τὰ χρειώδη τῇ χρείᾳ τοῦ σώματος ἀκολουθεῖν ἐπιστάμενοι, ὅταν παρῇ τὸ εὐαρεστεῖν τῷ ταῦτα παρέχοντι Θεῷ, καὶ κτῆσις τῆς τῶν οὐρανῶν βασιλείας προηγουμένως σπουδάζηται.

CAPVT IV.

NObis verò præparatus eſt cibus diuturnus, & veſtimentum alternum pro tempeſtatibus, & domus à frigore, atque æſtu, omnique ſimul ab iniuria defendens, pecuniarum autem, & fundorum, alteriusque ſuperuaneæ materiæ poſſeſſio non neglecta eſt. Et vbinam noſtra ipſis illorũ ſunt æqualia, quibus imaginationis corporeæ cupiditas nullum afferebat impedimẽtum, ſed purũ aliquod deſiderium diuinarum rerum ipſos ſublimes attollens ſemper perſuadebat eorum,

ΚΕΦΑΛ. δ.

ἩΜῖν δὲ καὶ τροφὴ παρεσκεύασται πολυχρόνιος, καὶ ἐσθὴς ταῖς ὥραις κατάλληλος· καὶ οἶκος κρυμοῦ, καὶ θάλπους, πάσης ἀπαλλάττων, ὁμοίως ἐπηρείας, χρημάτων δέ, καὶ κτημάτων, καὶ τῆς ἄλλης περιττῆς ὕλης ἡ κτῆσις οὐκ ἠμέληται. Καὶ ποῦ τοῖς ἐκείνων τὰ ἡμέτερα ἴσα, οἷς οὐδὲν ὄχλει σωματικῆς φαντασίας ἐνθύμιον, ἀκραιφνὴς δέ τις πόθος τῶν θείων μεταρσίους αὐτοὺς αἴρων ἀεί, ἀμνημονεῖν ἔπειθε τῶν ἐν τῇ γῇ νομιζο-

quæ

μένων λαμπρῶν, οὐδὲν εἶχον ἐπὶ γῆς πλὴν τοῦ σώματος, ὅπερ ἡ φύσις κατεῖχε κάτω βαρὺ πεφυκός, καὶ πρὸς τὴν ἄνω πορείαν δυσμετακόμιστον, ἐπεὶ δὲ αὐτὸ μεθ' ἑαυτῶν ἔχειν ἐπόθουν, ἔνθα τῷ νῷ διέτριβον τὰ ἐν οὐρανῷ λογιζόμενοι ἀγαθὰ, καὶ τῆς ἐκεῖ τέρψεως, καὶ ὠφελείας οὐδαμῶς ἀποσπώμενοι, εἰ μὴ φύσις αὐτοὺς πάλιν ἐπέστρεφε πρὸς τὴν χρείαν τοῦ σώματος, αἰδοῖ τοῦ συνδήσαντος φροντίζειν ἀναγκαζομένους τούτου, οὐ τὴν ἀλλοτρίωσιν ἐκ πείρας ἔγνωσαν λυσιτελῆ, καὶ καθήκουσαν. ζημίαν γὰρ ἀληθῶς πᾶς κρίνει σπουδαῖος δὲ τὴν πρὸς βραχὺ ἀσχολίαν τῆς εἰς τὰ σαρκικὰ λειτουργίας, ἐκεῖνον καλῶς παρεληλυθέναι τὸν καιρὸν λογιζόμενος, ὃν εἰς τὴν τῶν κρειττόνων ἐργασίαν ἀνήλωσε, μόνον ἐκεῖ τὸν πόνον τοῦτον εὑρήσειν εἰδὼς, ὃς εἰς προκοπὴν τῆς ψυχῆς δεδαπάνηται, οὐχ ὃς εἰς ἐπιμέλειαν τῆς τοῦ σώματος θεραπείας προσεχώρησε. τῷ καιρῷ τῆς χρείας παραμυθησάμενος τὴν ἀνάγκην, καὶ μετὰ τὴν χρείαν οὐκ ὤν, χθὲς χρησιμεύσας, καὶ σήμερον οὐ παρών.

quę in terra ſplēdida cenſentur, memoriā deponere? Nihil habebant in terra præter corpus, quod natura detinebat deorſum graue, & ad fruitionē ſupernam difficulter traducendum, quoniam & illud ſecum habere deſiderabant, vbi mente diverſabantur, quę in Cęlo ſunt bona intelligentes, nuſquam divulſi ab ea, quę ibi eſt, delectatione, atque commoditate; niſi natura ipſos rurſum conuerteret ad neceſſitatem corporis, coactos (præ ſimul vincti reſpectu) hujuſce euram gerere, neque mutationem norant facilem experiētia, & cōuenientem. Iudicat quippe verè detrimentum omnis ſapiens, & ad breue quamvis tempus miniſterij circà carnem curandam occupari: Illud tempus præclarè elapſum exiſtimans, quod ad rerum meliorum opus inſumpſit: ſciens ſolùm ibi laborem ſeſe reperturum, qui ad animæ profectum fuerit impenſus, non eum, qui attributus ſit ad curam famulatus corporis; tempore vſus conſolando neceſſitatem, & poſt vſum non exiſtens, heri commodè conducens, & hodie minimè asſiſtens.

ΚΕΦΑΛ. ε'.

Τοιαύτη γὰρ ἡ χρεία τοῦ σώματος ῥοώδης τε παρατρέχουσα, τοῦ παρελθόντος εἰς τὸ παρόν, καὶ τοῦ παρόντος εἰς τὸ μέλλον οὐ παρέχουσα πρόνοιαν, τὸ ἐνεστὸς ἰωμένη δὲ πρὸς τὴν ἑξῆς ἔνδειαν ἄχρηστος. ὁ δὲ τῆς ἀρετῆς πόνος, σπόρος ἐστὶν ἀδιαλείπτῳ τῷ καρπῷ, καὶ ἐν αὐτῷ τῷ ἔργῳ τὴν συνείδησιν εὐφραίνων τῇ προσδοκίᾳ τῆς ἀπολαύσεως, καὶ μετὰ τὴν ἐνθένδε μετανάστασιν εὐπρεπὴς εὑρισκόμενος, καὶ χρησιμεύων πρὸς

CAPVT V.

HViuſcemodi quippe vſus corporis fluxus, & prætercurrens, prætereuntis ad præſens, & præſentis ad futurum minimè prouidentiā exhibens; medieanſq; id, quod inſtat, & ad indigentiam, quæ deinceps erit, inutilis. Labor autem virtutis ſemen eſt fructus indeficientis, & ipſo in opere conſcientiam oblectans expectatione fruitionis, & poſt tranſmigrationem hinc, inuentus benè de-

cens

tens, conferensque ad æternam delectationem, nec habens irritum id, quod pertranſitur, niſi paſſio irrationalis vanę glorię exinaniat quæcumque collegerit, & quod needum ad opus perductum fuit iuxtà conſtans propoſitum, numeratum ęquè, ac ea, quę perfecta ſunt, poſtquam iudicioſè ſuſceptum creditum eſt, perinde, ac ſi verè abſolutum foret ex his, quæ infallibiles ſunt, pollicitationibus. Quamuis enim tẽpus minimè habuit ad operationẽ aptum, quod ex ſententia ſtudioſè fuit deſtinatum, nec ad opus peruenire potuit, ita iuſtè diiudicante veritate, vt & quod ad hominum placitum exiſtit, iudicetur actio abſoluta omninò, quę foret perfecta, vti ſe habuit deſiderium, niſi neceſſitas aliqua prohibuiſſet ad metam progredi. Et verò iuſtum id fuit verè, & diuino calculo iudicante in occultis condignam illam mercedem voluntati propenſæ porrigi, cujus cauſa opus illa procurauit diligenter, & ad quam proſpexit à principio vſque ad finem ſcopus non tranſmutatus ab altero in alterum. Scindũtur enim ſæpius contraria à contrarijs, & quod proponitur, in oppoſitũ ordinem tranſit, quando quod ad hominum gloriam exiſtit, ſapiente ratione directum fuerit, quaſi habuerit laborem inutilem; quod autem ipſius boni cauſa proponitur ſuperueniẽte cogitatione gloriæ cupida, neutiquam præſumptum ſcopum aſſequitur, diſſecatur verò à contrario, & in illum

εὐφρεσύνην αἰώνιον, οὐδὲ τὸ παρελθὸν ἀνόνητον ἔχων, ἂν μὴ κενοδοξίας ἄλογον πάθος κενώσῃ τὰ συνειλεγμένα, καὶ τὸ μηδέπω εἰς ἔργον ἀχθὲν ἐν προθέσει βεβαίᾳ γενόμενον, ἐν ἴσῳ τῶν πεπραγμένων ἀριθμούμενον. ἐπειδὴ τὸ κεκριμένως δεχθὲν πεπίστευται ὡς ἀληθῶς ἐπιτελεσθησόμενον ἐκ τῶν ἤδη ἀψευδῶν ὑποσχέσεων. κἂν γὰρ χρόνος οὐκ ἔσχε πρὸς ἐνέργειαν ἐπιτήδειος σπουδασθὲν τῇ γνώμῃ, καὶ προελθεῖν οὐ φθάσαν εἰς ἔργον. οὕτω δικαζούσης δικαίως τῆς ἀληθείας, ἵνα καὶ τὸ πρὸς ἀρέσκειαν ἀνθρώπων γενόμενον, ἀπηρτισμένη κρίνηται πρᾶξις πάντων ἀπαρτισθεῖσα ὡς εἶχεν ἡ προθυμία, εἰ μή τις ἀνάγκη τὴν προθυμίαν ἐκώλυσεν εἰς πέρας ἐλθεῖν. Καὶ δίκαιόν γε τὴν ἀληθῶς, καὶ θείας ψήφου τῆς κρυπτοῖς δικαζούσης ἐπάξιον ἐκεῖνον τῇ προαιρέσει ὀρέξαι μισθόν, οὗ τὸ ἔργον ἕνεκεν ἐπετήδευσε, καὶ πρὸς ὃν εἶδεν ἕως τέλους ἐξ ἀρχῆς ὁ σκοπὸς οὐ μεταβληθεὶς ἀφ᾽ ἑτέρου εἰς ἕτερον. Τέμνεται γὰρ τὰ ἐναντία τοῖς ἐναντίοις πολλάκις, καὶ τὸ προτεθὲν εἰς τὴν ἀντικειμένην τάξιν μεθίσταται. ὅταν τὸ μὲν πρὸς δόξαν ἀνθρώπων γενόμενον διορθωθῇ σώφρονι λογισμῷ ὡς ἔχον τὸν πόνον ἀνόνητον, τὸ δὲ αὐτοῦ ἕνεκεν τοῦ καλοῦ προτεθὲν ἐπεισελθούσης φιλοδόξου ἐννοίας μηκέτι ἀκολουθῇ τῷ προλαβόντι σκοπῷ, τιμηθῇ δὲ τῷ ἐναντίῳ, καὶ ὅλως μεταστῇ πρὸς αὐτόν. οὕτω γὰρ ἐπὶ τὸ βέλτιον ἀπὸ τοῦ χείρονος, καὶ ἀπὸ τούτου ἐπὶ τὸ ἄμεινον ἀντιμεθίστανται οἱ λογισμοὶ ποτὲ μὲν σωτηρίως, ποτὲ δὲ ὀλεθρίως ἀλλήλοις ἐπαμειβόμενοι πρὸς τὸ συμφέρον ἐκ σπουδῆς, ἢ πρὸς τὸ μὴ καθῆκον ἐκ ῥᾳθυμίας τῆς προαιρέσεως.

vniuerſim tranſit. Sic enim & ad melius à peiori, & ab eo ad meliorem ex adverſo transferuntur ratiocinationes, nonnunquam ſalubriter, interdum verò pernicioſè commutati inuicem ad id,

quod

quod conducit è diligenti ſtudio, aut ad id, quod non convenit, ex ignauia ſpontanea voluntatis.

ΚΕΦΑΛ. ϛʹ.

Διὸ τοῖς τὴν πρᾶξιν τοῦ ἀγαθοῦ χωροῦσι παραινετικῶς φησιν ὁ Κύριος· ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ. καὶ πάλιν· ὅταν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου. τὸ ἐπιδεικτικὸν ὡς ἐπιβλαβὲς παραιτεῖσθαι κελεύων. Ὁ δὲ Προφήτης λέγων, ὅτι ὁ τοὺς μισθοὺς συνάγων, συνήγαγεν εἰς ἀπόδεσμον τετρυπημένον, δείκνυσιν, ὅπως τῷ διεφθαρμένῳ σκοπῷ τῆς δοξομανίας ἀφανίζεται ὁ πόνος, καθάπερ ἀπόδεσμος διερρωγότα παρατρέχων, τὴν οὐκ ἠσφαλισμένην γνώμην μετρίῳ φρονήματι. θησαυρὸς γὰρ αὕτη γε, καὶ πάντοθεν καρτερῶς δεδομημένον ὀχύρωμα, ἔνθα σὴς, καὶ βρῶσις οὐκ ἀφανίζει, οὐ δὲ κλέπται διορύσσουσι, καὶ κλέπτουσι· σητὸς μὲν νοουμένου τῆς ἔνδον τικτομένης οἰήσεως, καὶ ἀφανιζούσης τὰ ἐφ' οἷς συνέστη καλὰ, λῃστῶν δὲ τῶν ἔξωθεν ἐπεισερχομένων ἐπαίνων, καὶ συλώντων ἀθρόως ἀπονία, καὶ τύφῳ τὰ πολλῷ μόχθῳ τῆς ἀρετῆς συνηγμένα κειμήλια. ὡς γὰρ σὴς ἀναλίσκει τὴν ὕλην, ἀφ' ἧς τὴν ὕπαρξιν ἔλαβε, καὶ λῃσταὶ τοιχωρυχοῦντες ἐκφέρουσι τὰ ἐπιμελῶς ἠθροισμένα, οὕτω λογισμὸς μὲν ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις πρὸς ἔπαρσιν κινηθεὶς ἀφανίζει τὰ κεκτημένα. τὰ δὲ παρὰ τῶν συμπεφορημένων, καὶ συγκλύδων ἀνθρώπων ἐγκώμια, διορύττει τὰ κοῦφα φρονήματα, καὶ οὐδὲν τῶν καλῶν ἀφίησιν ἔνδον τὰ θύραθεν

CAPVT VI.

IDeo ad bonum agendum procedentibus Dominus ait eos adhortans: Quando tu oraueris, ingredere tuum in penetrale, & *Matth. c.6. v.6.* clauſo oſtio Patrem tuum ora in abſcondito. & rurſus: Quando facies eleemoſynã, noli tuba canere ante te; oſtentationẽ vti valdè noxiam refugere iubens. At Propheta dicens, quod Mercedes congregans congregauit in ſaccu- *Agg. 1.6* lum pertuſum, oſtendit, quomodo deperit labor corrupto ſcopo inſani amoris gloriæ tamquam ſacculum diſruptum prætercurrens mentem non obfirmatam moderato animi ſenſu, Theſaurus quippe illa eſt, & mu- *Matth. 6.* nimentum firmiter vndique conſtructum, vbi tinea, & eroſio non abſumit, neque fures effodiunt, & furantur. Tinea porro intelligitur ſui exiſtimatio, quę intus gignitur, & abolet ea, in quibus conſiſtunt bona; latrones autem exteriores laudes ſignificant inſultantes, atque rapientes præ amentia, & tumore confertìm pretioſa quæque opera multo labore virtutis congregata. Quemadmodum etenim tinea materiam abſumit, ex qua ſubſtantiam accepit, & latrones murum effodientes exportant, quæ plurima cum cura coaceruata ſunt: ſic cogitatio quidem ob elationem in bonis operibus, acquiſita delet; laudes verò per homines cirumforaneos, & collectitios perfodiunt vanas, leueſq; mentes, & nihil bonorum immittunt intra vtpotè forinſecus introductæ legitimeque per foramen aurium eiectæ. Sed nullus adeò

Paſsioni eſt obnoxius, neque blanditijs appetitus gloriæ ſoporatus, vt iacturam omnem propriorum laborum ſuſtineat: quin vigilabit potiùs ſaltem dum perfoditur, ac inſidiatores è medio tollet, antequam detrimentum inferant, eos in ipſa perfoſsione conſiderationis feriens, priuſquã Sol ortus fuerit manifeſtè, & conſiderationem efficiat operationem.

εἰσκομισθέντα νομίμως δι' ὀπῆς ἐκβαλλόμθμα τῶν ὤπων. Ἀλλὰ μηδεὶς ἐπὶ τοσοῦτον κρατηθείη τῷ πάθει, μηδὲ καρωθεὶς φιλοδοξίας ἱμέρῳ, παντελῆ ζημίαν ὑπομείνῃ τῶν οἰκείων καμάτων, νήψει δὲ κἂν ἐν τῷ διορύττεσθαι, καὶ τοὺς ἐπιβούλους πρὸ τῆς ζημίας ἀνέλοι, ἐν αὐτῷ πλήξας αὐτοὺς τῷ τῆς ἐνθυμήσεως διορύγματι, πρὶν φανερῶς ἥλιος ἀνατείλαι, καὶ τὴν ἐνθύμησιν ποιήσει ἐνέργειαν.

CAPVT VII.

Exod. 22.2. HOc enim lex perſpicuè denunciat: Si in perfoſſione (inquiens) fur fuerit deprehenſus, & percuſſus mortem obierit, non erit cædes: ſi verò ſol ſuper ipſo facto exortus ſit, cædes eſſe arguetur. Demonſtrans veniam obtinere adhærentiam ſtultarum cogitationum in mente quemadmodum nocturnam imaginationem. Deceptio eſt enim verè omnis inimicorum communis rapina, ob inſultum coadunatum, & veniam meretur; poſt verò prædantis ſolicitam, multiplicemque curam, & clarã animaduerſionem lædentis conuenienter deinceps conſequitur pœna. Eſt verò deliberati animi lapſus ſpontanea condeſcenſio, & non ignorantiæ inuoluntarius vſus; & manifeſto malo conſentiens iuſtè fit reus, quia adhæſit per paſſionem inflexus hoſti veluti in ſolari luce deprehenſo, nec totis viribus præliatus aduerſus inimicum apparentem, vt in aggreſſione ipſa noxiarum perceptionum, perfoſſione adhuc incipiente ipſos percutiat, & deiiecit mortuos in pugna. Sic enim deinceps ſine certamine vitam tranſegiſſet, & legem delectationis in eorum

ΚΕΦΑΛ. ζ.

ΤΟῦτο γὰρ ὁ νόμος διαγορεύει σαφῶς· ἐὰν ἐν τῷ διορύγματι λέγων ὁ κλέπτης εὑρεθῇ, καὶ πληγεὶς ἀποθάνῃ, οὐκ ἔσται φόνος. ἐὰν δὲ ὁ ἥλιος ἐπ' αὐτῷ ἐπανατείλῃ, φόνος λογισθήσεται· τὴν ἐν τῷ λογισμῷ προσπάθειαν τῶν φαύλων ἐννοιῶν, καθάπερ νυκτερινὴν φαντασίαν συγγνώμην ἔχειν δηλῶν. ἀπάτη γάρ ἐστιν ἀληθῶς πᾶσα συναρπαγὴ τῶν ἐχθρῶν διὰ τῆς ἀθρόας προσβολῆς, καὶ δεῖται συγγνώμης, μετὰ δὲ μελέτην τοῦ συλῶντος πολλὴν, καὶ σαφῆ τοῦ βλάπτοντος κατανόησιν εἰκότως λοιπὸν ἀκολουθεῖ τιμωρία. Γνώμης γάρ ἐστι τὸ πταῖσμα, αὐθαίρετος συγκατάθεσις, καὶ οὐκ ἀγνοίας ἀκούσιος ἔθος. καὶ τῷ προδήλῳ κακῷ δικαίως ὁ συνθέμενος ὑπόδικος γίνεται, καμφθεὶς διὰ προσπάθειαν τῷ καθάπερ ἐν ἡλιακῷ φωτὶ φωραθέντι πολεμίῳ, καὶ μὴ πάσῃ δυνάμει καταγωνισάμενος τοῦ φανέντος ἐχθροῦ, ὡς ἐν αὐτῇ τῇ προσβολῇ τῶν ἐπιζημίων λογισμῶν ἀρχὴν ἔχοντος τοῦ διορύγματος πλῆξαι τούτους, καὶ καταπεσεῖν ἐν τῇ μάχῃ νεκρούς. οὕτω γὰρ ἂν ἐγεγόνει λοιπὸν

αὐτοῦ ἀπόλεμος ἡ ζωή, καὶ θεσμὸς θυμηδίας ὁ βίος εἴη ἀφραινομένῳ τῇ ἀπολαύσει τούτων, ὧν παρὰ μικρὸν ἔμελλε πικρῶς τὴν ζημίαν ὀδύρεσθαι. τοιοῦτος ἦν καὶ ὁ λέγων, ἐξ αὐτοῦ τοῦ στόματος τῶν θηρίων ἐξέσπασεν δύο σκέλη, καὶ λοβὸν ὠτίου πρὶν καταποθῆ. ταῦτα λαμβάνων, ἀνακτώμενος αὐτὰ ἑαυτῷ. εἴτε γὰρ λογισμὸς ἐπιθυμίας τῶν γηΐνων ἦν πραγμάτων τοῖς ποσὶν ἐμπλεκόμενος, καὶ προκοπὴν τῶν ἀμεινόνων πῶς κωλύων, εἴτε λόγος φθεῖραι διὰ τῆς ἀκοῆς χρηστὸν ἦθος δυνάμενος, τούτους ὥσπερ θῆρας χανδὸν τὰ ἡρπασμένα κατέχοντας μέλη, βλάπτειν οὐ συγχωρεῖ, φθάνων τὴν λύμην αὐτῶν σπουδαίᾳ χειρί, καὶ τῷ νηφαλίῳ κωλύων τὴν ἐντεῦθεν ἐπήρειαν.

eorum fruitione collocaſſet, quorum iacturam parū abfuiſſet, quin amare defleret. Talis erat & qui dicebat: Ex ore ipſo ferarū extra- hebā duo crura, & imam auriculæ partē, antequam deglutiretur: ipſa ſumens, & ſibi ea vēdicans cū imperio. Siue namque ratiocinatio fuerit cupiditatis terrenorū negotiorū pedibus implicita, & progreſſum in melioribus tamdiù prohibens, ſiue ſermo corrumpere per auditum bonos valens mores; illa quemadmodum feras ore hiante rapta retinentes membra, nocere non permittit, præueniens noxam ipſorum ſtudioſa manu, & vigilantia proximam violentiam arcens. Amos 3. 12.

ΚΕΦΑΛ. η'.

ΟΥ'χ ἔλαττον γὰρ τοῦ ὄντος ἐν τῷ στόματι θηρίου κινδυνεύει, ὁ ἀρξάμενος κατέχεσθαι πάθει τοῦ ἁλῶναι πλησίον τυγχάνων· ὡς καὶ τῷ καταποθῆναι ἐκεῖνος ἦν, εἰ μὴ διαγρηγορήσας ὀξέως διαδρᾶσαι τὸν συνέχοντα ὄλεθρον. ὅθεν οἱ τὴν ποιμαντικὴν τέχνην ἔμπειροι Δαβὶδ, καὶ Ἰακὼβ ἐγκαλλωπιζόμενοι τῇ περὶ ταύτην ἐπιστημονικῇ, ὁ μὲν φησιν· ἐκράτουν τοῦ φάρυγγος τῆς ἄρκτου, καὶ τοῦ λέοντος ἀναθλίβων, δηλονότι τὸ καταποθὲν, καὶ ἀσινὲς πρὸς ζωὴν ἀποκαθιστῶν. ὁ δέ· θηριάλωτον οὐκ ἐνήνοχα σοι· ἐμαυτοῦ ἀπετίννυον κλέμματα ἡμέρας, καὶ κλέμματα νυκτός, οὐδὲν μὲν εἰς ἐνέργειαν θανατικὴν τῶν ἀλόγων, καὶ βοσκηματωδῶν ἐπιθυμιῶν ἐάσας ἐλθεῖν. εἰ δὲ καὶ τι τῶν ἀδιαφορωτέρων, καὶ οὐ μέγαν ἐχόντων τὸν κίνδυνον μετεωρισμῷ τοῦ νοῦ, ἐκλα-

CAPVT VIII.

NEc enim minùs periclitatur eo, qui eſt in ore feræ belluæ, is, qui paſſione incipit detineri, itaut propè abſit quin capiatur. Quemadmodum & erat ille vt deuoraretur, niſi euigilans ocyus tranſcurriſſet fugiendo exitium imminens. Vnde qui paſtoritiæ periti erant artis, Dauid, & Iacob gloriabundi de cuſtodia, ſcientiaque circa ipſam exacta; ille quidem, ait: Vrſæ guttur comprehendi, & leonis eliſi, hoc eſt, deuoratum vitæ incolume reddidi. Hic verò: Captum à beſtia non tuli, à meipſo rependi furta diurna, & nocturna; nullam ad operationem mortiferam irrationabilium, & brutalium cupiditatū peruenire ſinens, ſi verò & aliquid eorum, quæ ſunt magis indifferentia, & in quibus non magnum ſubeſt periculum, mentis elatione interdum, verbi gra-

1.Reg. 17.34.

Gen. 31. 39.

tia, ſi quid eorum, quę non ita decent, dictum ſit, aut dicente alio auditum ſit, ſtatim ſubreptum è domo redde, contento ſtudio adimplens, quod per errorem prætermiſſum fuit, & efficiens per correctionem quantocyus, vt id referatur aliorum bonorum in numerum, vt ſit integrum, ac minimè vitioſum ſimul totius corpus virtutis in nullo deficiens, neque mutilatum partibus, quę ad ipſius pulchritudinem naturali formæ venuſtate concurrunt. Qui verò præſes in Apoſtolorum choro, & ſemper in his Dux præſtantior fuit, Petrus, qui & piſces verriculo expiſcatus eſt, & homines viuos cepit gratia, feram belluam, & eius inſanum furorem ad vorandum demonſtrat dicens: Aduerſarius veſter diabolus tam-
1. Pet. 5. 8. quam leo rugit quærens, quem deuoret.

πη ποτὲ, αὖ ἐσφάλη τι τῶν οὐ καθηκόντων, ἢ λέγοντος ἀκοῦσαι ἑτέρου, εὐθὺς οἴκοθεν τὸ κλαπὲν ἀπεδίδου τοῦ παρημελημένου τὸ σφάλμα ἀναπληρῶν συντόνῳ σπουδῇ, καὶ ποιῶν διὰ ἐπανορθώσεως ὅτι ταχέως τῷ καταλόγῳ τῶν ἄλλων καλῶν ἐναρίθμιος, ὅπως ἡ ἀρτιος, καὶ ἀπλημμελὲς ὁμοῦ πάσης τὸ σῶμα τῆς ἀρετῆς, οὐδενὶ λειπόμενον, ἢ λελωβημένον τῶν συντεινόντων πρὸς τὸ κάλλος αὐτῆς μορίων τῆς φυσικῆς εὐμορφίας. Ὁ δὲ τῷ χορῷ τῶν Ἀποστόλων προέκριτος, καὶ ἐν αὐτοῖς ἡγεμονεύσας ἀεὶ Πέτρος, ὁ καὶ ἰχθύας σαγηνεύσας τῷ ἀμφιβλήστρῳ, καὶ ἀνθρώπους ζωγρήσας τῇ χάριτι, καὶ τὸν θῆρα, καὶ τὴν περὶ τὴν βορὰν τούτου μανίαν ἐνδείκνυται, λέγων· ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρύεται ζητῶν τίνα καταπίῃ.

CAPVT IX.

DIſcamus nos diligenter, quòd primùm quidem aliquis ex pigritia in Leonis ore ponitur, vtq; deuoretur vtique præparatur, & ad exeundū promptus eſt. Sibi verò cæteroquin negligens, aut cautè ſtudens, alterutrius horum auctor cōſtituitur; auctoritate proprię ſentētiæ eligens quod cumque vult, vel in parte ſaluatorum, vel in pereuntium ſpontè ſitus. Et idcirco omninò & magnus Paulus inimici machinamenta clarè diſpiciens, nec ignorans eius artes ad exitium ſimpliciorum ipſas ſtupidè admittētium è multa puſillanimitate, in ore leonis exiſtentem extrahi iubet adhortando, & cōſolando plurimū, ne fortè

ΚΕΦΑΛ. θʹ.

ΜΑ'θωμεν ἡμεῖς ἀκριβῶς, ὅτι πρῶτον μὲν ἐκ ῥαθυμίας ἐν τῷ στόματι γίνεταί τις τοῦ λέοντος, καὶ πρὸς τὸ καταποθῆναι ὤν, καὶ πρὸς τὸ ἐξελθεῖν ἐπιτήδειος· ἑαυτοῦ δὲ λοιπὸν ἀμελήσας, ἢ σπουδάσας, θατέρου τούτων καθίσταται αἴτιος. ἐξουσίᾳ γνώμης αἱρούμενος ὅπερ βούλεται τῆς τῶν σωζομένων ἑκουσίως, ἢ ἀπολλυμένων μερίδος γινόμενος. καὶ διὰ τοῦτο πάντως καὶ Παῦλος ὁ μέγας ὁ τὰ νοήματα τοῦ ἐχθροῦ διαθρήσας σαφῶς, καὶ οὐκ ἀγνοῶν τὰς ἐπ' ἀπωλείᾳ τῶν ἀκεραιοτέρων εἰσφερομένων τέχνας αὐτοῦ, τὸν ἐκ πολλῆς ἀθυμίας ἐν τῷ στόματι ὄντα τοῦ λέοντος ἐξελκυσθῆναι

κελεύει προσέχειν, καὶ παρακλήσει πολλῇ, μή πως λέγων τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος ἔξω ὢν καὶ τοῦ προσελθεῖν ἐκεῖθεν, ἐὰν θαῤῥήσῃ παρηγορηθεὶς ψυχαγωγίᾳ τῶν παραμυθουμένων τὴν ἀθυμίαν, καὶ καταποθῶσι, ἐὰν παροραθεὶς ἀπογνῷ ἑαυτοῦ. Τοσαύτην οὖν δυσχέρειαν ἐχούσης τῆς ἐπὶ τὴν βασιλείαν ἀγούσης ὁδοῦ, στενῆς τε οὔσης, καὶ κρημνοῖς περιεχομένης ἑκατέρωθεν, τίς ἐστι χρεία φορτίοις ἐπηχθισμένους χρημάτων, ἢ κεχηνότας πρὸς τοὺς ἐπαινοῦντας, ἢ ψέγοντας πειρᾶσθαι, ταύτην ὁδοιπορεῖν ὡς οὐκ ἐνδέχεται; καὶ γὰρ αἱ φροντίδες τῶν ὑλικῶν περισπῶσαι, συντόμως ἕλκουσι κάτω, καὶ τὸ πρὸς δόξαν, ἢ ἀτιμίαν ὁρᾷν εὔκολον, τὸ εἴτε ἐντεῦθεν, εἴτε ἔνθεν πτῶμα ποιεῖ, τοῦ πρὸς ὁδήποτε μετεωρισμοῦ τὸν ὄλισθον παρέχοντος εὐμαρῆ· τοῦ μὴ τὸν ὀφθαλμὸν ἀσχολεῖν ἐκεῖ, ἔνθα φροντίδα πολλὴν ἀπαιτεῖ ἡ ἀσφάλεια, καὶ τὸ παρεῖναι νήφουσαν βούλεται. μόλις γὰρ καὶ οὕτως ἡ πορεία γίνεται ἄπταιστος τῷ στενῷ, καὶ κρημνώδει πολλὴν παρέχουσα τὴν δυσχέρειαν. εἰ γὰρ κατὰ τὴν κυριακὴν φωνὴν, στενή, καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν, πάντως εὐσταλῆ, καὶ ἐγρηγορότα τὸν διαβαίνοντα αὐτὴν εἶναι προσήκει, οὔτε βαρυνόμενον φορτίῳ, καὶ ἐν τῷ βαδίζειν ἀλλάζοντα, οὔτε ἀδεῶς περιαθροῦντα τῇδε καὶ τῇδε. μέγας γὰρ ἀμφοτέροις, καὶ χαλεπὸς ἄγαν ὁ κίνδυνος τῆς τυχούσης ἐκτροπῆς εἰς τὸ ὑποκεχηνὸς βάραθρον καταφερούσης πρὸς ὄλεθρον.

ne fortè (inquiens) præ nimia triſtitia abſorbeatur, qui propin- 2.Cor.2. 7.
quus hocce modo eſt, & vt exeat illinc,ſi audebit adductus ſuaſionibus permulcentiũ puſillanimitatẽ; & vt deuoretur, ſi deſpicatui habitus ſeipſum deſperãs abiiciat. Cũ tãtam igitur difficultatem habeat via, quæ deducit ad Regnum, & ſit anguſta, vtrinque circumdata præcipitibus, ac præruptis ſcopupulis; quænam eſt vtilitas ingemiſcentes præ grauitate onerantium pecuniarum, vel inhiantes ad laudantes, vel vituperantes tentare hoc per iter progredi, vt non licet? Etenim curæ rerum materialium diſtrahentes continuò trahunt deorſum: & ad gloriam, vel ignominiam reſpiciendi facilitas ſiue hinc, ſiue inde caſum efficit, euectione ad quodcumq; expeditũ præbente lapſum,eo quod oculus ibi non occupetur, vbi plurimam ſolicitudinem ſecurum eſſe exigit, adeſſe vero, eandem vult vigilantem; vix quippe ſic etiam progreſſus abſque caſu ſuccedit, cum difficultas multa præbeatur ob anguſtias, & præcipitia. Nam ſi ſecundum Domi- Matth.
nicam vocem, arcta eſt, & preſſu- 7.14.
ris referta via, quæ ducit ad vitã; conuenit omninò expeditum eſſe, & experrectum eum, qui per ipsã tranſit, neque grauatum onere, atque inter gradiendum variantem, neque hac & illac ſine metu circumſpicientem. Ingens eſt nempe vtrinque,ac valdè durum periculum; quæcumque enim obueniret deflexio, ad dehiſcens barathrum deferret in exitium.

CAPVT X.

IDeo & Dominus, & Paulus aliquando abdicationem poſſeſſionum præcipiunt dicentes :
Matth. 10.9. Ne poſſideatis aurum, neque argentum, nec æs in veſtris marſupijs.
Matth. 6.4. Et: Ne ſollicitè cogitetis in craſtinum. Et : Habẽtes alimenta,
1. Tim. 6.8. & tegumenta, his contenti ſimus.
2. Tim. 2.4. Et: Nemo militans implicatur negotijs ſæculi. Interdum verò ne ad gloriam ſtupidi efferamur conſulũt effantes : Quando ieiunatis,
Matth. 6.16. ne ſitis ſicut hypocritæ vultuoſi, exterminant enim facies ſuas, vt videantur hominibus ieiunantes. Et: Quando oratis, ne ſitis ſicut
Ibid. v. 5 hypocritæ;ſolent quippe in angulis platearũ ſtantes orare,vt videãtur ab hominibus; eorũ, qui retro ſunt, obliuiſcentes ; ad eos vero, qui ante ſunt,ſe extendẽtes. Nam qui eo modo ſe habet,nõ tantum extollitur ob ea, quæ rectè agit, quantum deprimitur ob ea, in quibus deficit à propoſito, vt perficiatur ſolicitè curans, non ad ea, quæ perfecta ſunt, conuerſus, ſiquidem ea, quæ quis operatus eſt, ſæpius vaniores inflant ad dementiam. quæ vero expoſcunt effici, mentem cohibent incertitudine, an terminum ſint habitura, dolorem afferentia antequã fiant. Vnde Dominus ad ſummam virtutem tendentes obfirmans, ne inanis gloriæ lapſum paterẽtur,ait : Cũ feceritis omnia,
Luc. 17. 10. quæ vobis mandata fuerunt, tunc dicite : Serui inutiles ſumus;quod feciſſe debebamus, fecimus. Gaudere quidem adhortans veluti de impleto debito, non autem permittens & magna ſapere. Debitum

ΚΕΦΑΛ. ι'.

ΔΙὰ τοῦτο καὶ ὁ Κύριος, καὶ ὁ Παῦλος, ποτὲ μὲν ἀκτημοσύνην ἐπιτάττουσι λέγοντες· μὴ κτήσησθε χρυσὸν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν. καὶ· μὴ μεριμνήσητε εἰς τὴν αὔριον. καὶ· ἔχοντες διατροφὰς, καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. καὶ· οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις. Ποτὲ δὲ μὴ πρὸς δόξαν ἐπτοῆσθαι συμβουλεύουσιν· ὅταν νηστεύητε, φάσκοντες, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί, ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες. καὶ· ὅταν προσεύχησθε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταί. φιλοῦσι γὰρ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ὁραθῶσιν ὑπὸ τῶν ἀνθρώπων. καὶ τῶν ὄπισθεν ἐπιλανθανόμενοι, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενοι. ὁ γὰρ οὕτω διακείμενος, οὐ τοσοῦτον ἐπὶ τοῖς κατορθουμένοις ἐπαίρεται, ὅσον ταπεινοῦται τοῖς λείπουσι τὸ προκείμενον, ὅπως ἀνυσθῇ μεριμνῶν, οὐ πρὸς τὸ ἀνυσθὲν ἐπιστρεφόμενος, ἐπειδὴ τὰ μὲν πεπραγμένα πολλάκις τοὺς κουφοτέρους φυσᾷ πρὸς ἀπόνοιαν, τὰ δὲ τὴν ἐργασίαν ἀπαιτοῦντα συστέλλει τὸ φρόνημα τῷ ἀδήλῳ, εἰ πέρας λάβῃ, λυποῦντα πρὶν γένηται. ὅθεν καὶ ὁ Κύριος τοὺς εἰς ἄκρον φθάσαντας ἀρετῆς ἀσφαλιζόμενος τοῦ πρὸς τὴν οἴησιν ὀλίσθου φησίν· ὅταν πάντα ποιήσητε τὰ διατεταγμένα ὑμῖν, τότε λέγετε· δοῦλοι ἀχρεῖοί ἐσμεν· ὃ ὀφείλομεν ποιῆσαι πεποιήκαμεν· χαίρειν μὲν ἐπιτρέπων ὡς ἐπὶ πληρωθέντι ὀφλήματι, οὐ μὴν συγχωρῶν καὶ μέγα φρονεῖν. χρέος

γὰρ ἦν φησι τὰ ἀποδιδόμενα, οὐ δῶρον ἑκούσιον, καὶ τὸν ἐκτίσαντα κατὰ τοῦ Χριστοῦ οὐχ ὅσιον ὡς εὐεργέτην ἐπαίρεσθαι μεγαλαυχοῦντα, ὅτι εὐγνωμόνως ἀπέδωκεν ἅπερ ἀγνωμονῶν ἀπαιτεῖσθαι στρεβλούμενος ἔμελλεν.

bitum enim erat, quod redditum eſt, non donum ſpontaneũ: & eum, qui rependit in Chriſtum, nefas eſt tamquam benefactorem extolli iactabundum, quia gratè reddidit, quæ ingratus reponere debuiſſet exactori per ſupplicia.

ΚΕΦΑΛ. ια'.

Ὁ δὲ Ἀπόστολος, οὐ μόνον τὰ ὀπίσω παραδιδόναι λήθῃ κελεύει, μνήμην αὐτῶν οὐκ εὐχερῶς πρὸς ἀλαζονείαν βλέπειν εἰδώς, ἀλλὰ καὶ τὰς ἑκατέρωθεν ἐπηρείας φυλάττεσθαι κελεύει σπουδαίως, ὅταν λέγῃ· διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν, καὶ ἀριστερῶν, διὰ δόξης, καὶ ἀτιμίας, διὰ δυσφημίας, καὶ εὐφημίας, ὡς πλάνοι, καὶ ἀληθεῖς. οὐκ ἔλαττον γὰρ τῶν χαυνούντων ἐπαίνων τὸν ἐπὶ τελειότητα ἐπειγόμενον ἀδικοῦσιν οἱ ψόγοι, ταπεινὸν ἐργαζόμενοι τὸ φρόνημα, καὶ τὸ πρόθυμον ἐκλύοντες ἀθυμίᾳ τε, καὶ λύπῃ. Διὸ κατὰ σκοπὸν χρὴ τρέχειν πρὸς τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ τρέχειν ἀξίως, καὶ ἀμετεωρίστως ὁμοῦ. τὸ μὲν γὰρ κατὰ τὸν λέγοντα, οὕτω τρέχετε, ἵνα καταλάβητε, φθάνειν κἂν ὀψέποτε τοῦ σπουδαζομένου παρασκευάζει τὸ πέρας (πολὺ γὰρ τὸ μῆκος, καὶ πτερῶν μᾶλλον, ἢ ποδῶν χρῇζον πρὸς τὴν κατάληψιν. οὕτω γὰρ ὁ τοῦτο πεπεισμένος ἔλεγε· τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω; τὸ δὲ νηφόντως τὰς ἔνθεν, καὶ ἐκεῖθεν ἐνοχλεῖν ὑποτίθεται παγίδας, ἐπειδὴ σχοινία διατείνουσι τοῖς ποσὶν οἱ ἐχθροὶ τοῖς δεξιοῖς, καὶ τοῖς ἀριστεροῖς μηχανώμενοι βρόχοις τῶν καλῶς τρεχόντων τὴν ἅλωσιν,

CAPVT XI.

Apoſtolus verò non ſolum ea quæ retro ſunt tradi obliuioni iubet, memoriam ipſorum ſciens reſpicere faciles ad iactantiam; ſed & vtrinque mandat obſeruari diligenter inſultus, quando dicit: Per arma iuſtitiæ à dextris, & ſiniſtris; per gloriam, & ignominiã;per infamiam, & bonã famam; quaſi fallaces, & veraces. *2.Cor.6.7.* Non minus enim eum, qui ad perfectionem contendit, lædunt, quàm laudes tumefacientes, vituperia, quæ animi ſenſa deprimunt abiectè, ac diſſoluunt quidquid eſt animoſum demiſſione animi, ac triſtitia. Quamobrem oportet currere per ſcopum ad brauium ſupernæ vocationis, & dignè currere, ſimulq; haud elatè. Illud enim, quod dicitur: Sic currite, vt comprehendatis, quamuis ſerò, tandem aliquando aſſequi facit, quod ſtudetur. *1.Cor.9.24.* Multa eſt quippe longitudo, & pennis magis, quàm pedibus vtẽdum ad comprehenſionem. Sic etenim qui ſibi hoc ſuaſerat dicebat: Quis dabit mihi pennas ſicut columbæ, & volabo, & requieſcam? *Pſ.54.7.* Illud verò vigilanter hinc, & inde ſubijcit moleſtiam exhibere laqueos, quandoquidem funes extendunt pedibus inimici dextris, & ſiniſtris reſtibus machinantes capere illos, qui benè currunt

currunt; gloriam, & bonam famam; inde ignominiam, & infamiam, & quod eſt in ſæculo reprobatum ſtruentes, vt præparatis vtrinque inſidijs ſi vna præualeat, aut omninò cadere faciat, aut ſaltem curſum inhibeat ad breue tempus, vt impediat tamdiu progreſſum ad bonum, atque is perfectione, ad quam ſtudiosè tendit, fruſtretur. Quid verò etiam ſic calumniantia falsò contriſtant cogitationem? aut quid ad miraculum eam efferentia delectant, atque inflant ad diſſipationem?

ἔνθεν δόξαν, καὶ εὐφημίαν, ἐκεῖθεν ἀτιμίαν, καὶ δυσφημίαν, καὶ τὸ κατεγνωσμένον τοῦ βίου πηξάμενοι· ὡς τῆς ἑκατέρωθεν ἐπωσοῦν ἐσκευασμένης ἐπιβουλῆς ἰσχύσασα μία, ἢ πεσεῖν παρασκευάσῃ τελείως, ἢ κἂν ἐπίσχῃ τοῦ δρόμου πρὸς ὀλίγον, ὡς ἐμποδισθῆναι τέως τὴν ἐπὶ τὸ ἀγαθὸν προκοπὴν, καὶ ἀποτυχεῖν τῆς σπουδαζομένης τελειότητος. Τί δὲ καὶ οὕτω λυπεῖ τὰ διαβάλλοντα ψευδῶς τὴν ὑπόληψιν; ἢ τί τὰ πρὸς θαῦμα ταύτην ἐπαίροντα εὐφραίνει, καὶ χαυνοῖ πρὸς διάχυσιν;

CAPVT XII.

Enimuerò ſi ex calculo hinc deſumpto apud incorruptum Iudicem approbaretur, pulchrè hominibus placere: quis curam adhiberet, cum inde natam gloriam ad fidem futuri pro teſtimonio adduceret, & reddendæ rationi minimè obnoxius oſtenderet ex his, de quibus conſtitit apud Iudices, qui hic ſunt. Sin verò fruſtra fuerit habitus, & approbatio, & gloria eorum, quæ iudicata ſunt in præſenti ſæculo, & quæ penès nos; nudæ autem factorum, & cogitatorum adſtant imagines, argumenta clara cogitationum vilium, & vrbanarum, atque operum effectæ, & iudicatæ non ex ijs, quæ pleriſque viſa fuerunt, ſed ex illis, è quibus conſiſtit veritas: temerarius, & vanus verè conatus eſt velle ipſis ſuadere, quomodo noſtra ſeſe habent, quorum plena fides nihil nos apud ſupremam iuſtitiam, quæ videt ea, quæ ſunt, adiuuat, nec his, quæ exiſtimantur, aſſentitur; cognoſcens ea, quæ

ΚΕΦΑΛ. ιβʹ.

Εἰ μὲν γὰρ ἐκ τῆς ἐντεῦθεν ψήφου ἐβεβαιοῦτο παρὰ τῷ ἀδεκάστῳ κριτῇ, καλῶς ἀρέσκειν ἀνθρώποις, τίς εἶχε σπουδὴν, μαρτυρίαν τὴν ἔνθεν δόξαν εἰς πίστιν τοῦ μέλλοντος ἐπαγόμενος, καὶ ἀνεύθυνος ἀποδειχθήσεσθαι, ἐξ ὧν συνέστη παρὰ τῶν ἐνθάδε κριτῶν. εἰ δὲ σχολάζοι σχῆμα, καὶ ἀποδοχὴ, καὶ δόξα τῶν ἐν τῷ παρόντι ψηφιζομένων τὰ καθ' ἡμᾶς, γυμναὶ δὲ αἱ τῶν πεπραγμένων, καὶ νενοημένων παρίστανται εἰκόνες, σαφεῖς ἔλεγχοι φαύλων, καὶ ἀστείων ἐνθυμήσεων, καὶ ἔργων γινόμεναι, καὶ κρινόμεναι οὐκ ἀφ' ὧν ἔδοξε τοῖς πολλοῖς, ἀλλ' ἀφ' ὧν αὐτὴ συνίστησιν ἡ ἀλήθεια· εἰκαῖόν τι, καὶ μάταιον ἀληθῶς ἐπιτήδευμα τὸ πείθειν τούτους ἐθέλειν, ὅπως ἔχῃ τὰ ἡμέτερα, ὧν ἡ πληροφορία οὐδὲν ἡμᾶς εἰς τὴν ἄνω δίκην ὀνίνησι τὰ ὄντα βλέπουσαν, οὐ τοῖς νομιζομένοις παραγινομένην, τὰ γινόμενα γνωρίζουσαν, οὐ συντιθεμένην συνηγορίᾳ τῶν πειρωμένων πιθανῶς δεῖξαι ψευδος

ἀλήθειαν, καὶ δεινότητι σεσοφισμένων λόγων τὴν γνώμην τῶν ἀκουόντων διατιθέντων ὡς βούλονται. ἄλλως τῶν πραγμάτων ἐχόντων, ἄλλην ὅπως ἔχει τὰ φαινόμενα φαντασίαν ἠπατημένην. ὅπου δὲ τὰ νῦν ὑπ' ὄψιν ἀγόμενα μορφοῦται τὰ πράγματα, ἕωλος ἡ φανερουμένη σαφῶς, οἷα λανθάνουσα νῦν ἐστι, καὶ οὐχ οἵα λογοποιεῖται, πρὸς τὸ ἄφημος ἢ ἐπίψογον παρὰ τῶν πολλῶν ψιθυριζομένη. οἷς ἡδονὴ πάντως, καὶ τέρψις τὰ ἀλλότρια περιεργάζεσθαι καὶ ἀντιβάλλειν ἐν ταῖς ἀντιλογίαις, πρὸς ἀλλήλους ἐστὶν, ἔργον ἔχουσι διὰ παντὸς οὐ χρήσιμον τοῦτο, διὰ τὴν οὐ πᾶσι λυσιτελοῦσαν εἰς δέον σχολήν.

quæ facta ſunt, neque ſe accommodat patrocinio eorum, qui tētant appoſitè ad perſuadendum demonſtrare mendacium veritatem, & efficacia ſermonum fraudulenter excogitatorum audientium ſententiam (vti volunt) diſponunt, cum res aliter ſeſe habeant in ſe, aliter appareant in imaginatione decepta. Vbi verò res, quæ nunc ſub aſpectum deductæ ſunt, transformantur, imaginatio, quæ heri clarè apparebat, nunc quaſi latitans eſt, non qualis cenſetur, ad cōmendationē, aut reprehenſionem à permultis inſuſurrata, quibus voluptas eſt omninò, & delectatio, aliena quærere, & contradicere ſibi ad inuicem, prout tempora ſunt opportuna; elaborantibus penitus non quod vtile eſt, propter vacationem non omnibus congruentē ad id, quod oportet.

ΚΕΦΑΛ. ιγʹ.

Ἀλλὰ τριττῆς οὔσης ἐν τῷ βίῳ ἀγωγῆς τῆς ἄκρας ἀκτημοσύνης, καὶ τῆς μέσης, καὶ τῆς ἐνύλου, καὶ πολυκτήμονος· μία γὰρ ἦν ἐξ ἀρχῆς, καὶ θεσπισθεῖσα παρὰ τοῦ δημιουργοῦ, καὶ πολιτευομένη πᾶσιν ὁμοίως, ἡ ἀμέριμνος, καὶ παντάπασιν ἄϋλος, ἣν ἔτεμον ὕστερον εἰς τὰς διαφορὰς ταύτας αἱ ποικίλως πρὸς ἅπερ ἕκαστον ἐπικλινεῖς σχισθεῖσαι γνῶμαι τῶν ἀνθρώπων· ἀναγκαῖον ἑκάστης διεξελθεῖν τὸ ἰδίωμα, καὶ τίς ὠφέλεια τοῖς μετιοῦσιν, ἢ βλάβη ἐκ τούτων ἀκολουθεῖ, καὶ ποῖα τὰ πρεσβεῖα καθήκει, καὶ δέδοται παρὰ τοῦ νομοθετήσαντος ἐξ ἀρχῆς ἡμῖν τὴν ἀγωγὴν τοῦ βίου; Κριθήσεται γὰρ αὕτη προτιμοτέρα πάντως τῶν ἄλλων, καὶ παρὰ τοῖς λίαν ἀγνώμοσι δυσωπουμέ-

CAPVT XIII.

VErùm cum triplex ſit via ſummæ in præſenti vita paupertatis, mediæ ſcilicet, & materialis, & plurima poſſidentis (Vna etenim erat ab initio, & mandata diuinitus ab Orbis cōditore, & pariter ab omnibus obſeruata, abſque ſollicitudine, & omnifariam immaterialis, quam ſciderunt poſteà in has diuerſas, prout variè ad queq; propensè inclinabant diuiſæ hominum ſententiæ) Neceſſum eſt de vniuſcuiuſq; proprietate diſſerere; ac quæ vtilitas participibus, aut noxa ex illis cōſequatur; & quænam priuilegia conueniant, & tribuantur ab eo, qui leges præſtituit à principio, nobiſque vitæ ſtatum poſuit? Iudicabitur enim ipſa præ alijs omninò honoratior, ac veritatis etiam à valdè improbis exoratæ dignita, erit in

confeſſo, etſi decepti delectationis illecebra in contrarium ſe ſe diſpoſitos operibus exhibeant, nequaquam ratiocinatione delectum facientes eius, quod prodeſt. Quænam igitur pręcepta fuit homini primùm efficto vita? Man-
Gen. 3. 10. ducabis (inquit) fœnum agri. Et ne quis ratiocinationes ad hoc nunc perſuaſibiles inquirendo cõmoueret, vtrum animal rationale deceat belluinus, vt videtur, victus? prohibet curioſitatem indagationis auctoritas eius, qui præcepit. Fortè verò & magis congruus fuit homini, & magis idoneus, quàm quæ ab alijs, qui ſecũdum imaginem Dei conditi ſunt, quęreretur anxietas è nimijs delicijs aggrauans intellectũ, & perſpicaciam rationis obtenebrans atque vigilantiam. Quod enim hæc ita ſe habuerint anteà, conſideremus, an, vt videtur, ſit rationabile; promittit enim demonſtrationem Conditoris ſolicita cura, qui in vtilitatẽ ſuæ creaturæ ſemper omnia efficit, & indulgentia ſua naturas noſtras propenſiores in peius diſponit ad id, quod eſt vtile. Nam poſt tranſgreſſionem, atque inobedientiam non dereliquiſſe vti repudiatum contemptorem improuidum; altera verò via primum errorem correxiſſe, atque demum ad Idolorum cultum furentes poſteros conuertiſſe, vt ſibi ſacrificium offerrent, & aliàs aliter, prout tempora ferebant ſingulis, ſeſe accommodaſſe, & eorum intempeſtiuis propenſionibus vſum eſſe è conuerſo ad id, quod oportet, quemadmodum languentium inordinatorum pernicioſas cupiditates ſapienter commutando ad id, quod eſt ſalutare: prouidentiæ ſum-

mæ

νως τῆς ἀληθείας ὁμολογεῖν τὸ ἀξίωμα, κἂν τοῖς ἔργοις ἐναντίως διακέωνται δελεαζόμενοι τῷ ἐπαγωγῷ τέρποντος, οὐχὶ δὲ λογισμῷ ποιούμενοι τὴν ἐκλογὴν τοῦ συμφέροντος. Τίς οὖν ἐπιταγὴ τῷ πρωτοπλάστῳ ζωῆς; φαγῇ φησι τὸν χόρτον τοῦ ἀγροῦ. Καὶ μή τις λογισμοὺς ἀνακινείτω πρὸς τοῦτο νῦν πιθανοὺς ζητῶν, εἰ τῷ λογικῷ ζώῳ ἡ κτηνώδης ἔπρεπεν ὡς οἴεται δίαιτα; κωλύει γὰρ τὸ περίεργον τῆς ἐρεύνης ἡ τοῦ προστάξαντος ἀξία. τάχα δὲ καὶ ἦν λυσιτελὴς μᾶλλον τῷ ἀνθρώπῳ, ἢ ἐπιτηδειοτέρα πρὸς τὴν σπουδαζομένην τοῖς κατ᾽ εἰκόνα Θεοῦ γενομένοις ἀγχίνοιαν ἐκ τῆς ἄγαν ἁβρότητος βαρύνουσαν τὸ διανοητικὸν, καὶ σκοτίζουσαν τοῦ λογιστικοῦ τὸ διορατικὸν, καὶ νηφάλεον. ὅτι γὰρ εἶχε ταῦτα οὕτω πρὶν, τὸ δοκοῦν σκοπήσωμεν εὔλογον, ἐπαγγέλλεται τὴν ἀπόδειξιν καὶ τὸ κηδεμονικὸν τοῦ ποιήσαντος, ἐπ᾽ ὠφελείᾳ τοῦ γενομένου πραγματευσαμένου ἀεὶ, καὶ ταῖς ἐπὶ τὸ χεῖρον ἡμῶν ῥοπαῖς συγκαταβάσει διατεθέντος πρὸς τὸ ὠφέλιμον. τὸ γὰρ μετὰ παράβασιν, καὶ παρακοὴν μὴ καταλιπεῖν ὡς ἀπεγνωσμένον τὸν καταφρονητὴν ἀπρονόητον, δι᾽ ἑτέρας δὲ μεθόδου τὸ πρῶτον διορθώσασθαι σφάλμα, καὶ πρὸς εἰδωλολατρείαν ὕστερον ἐκμανεῖσι τοῖς ἔπειτα τρέψαι θύειν αὐτῷ, καὶ ἄλλοτε ἄλλως κατὰ καιροὺς συνδιατίθεσθαι ἑκάστοις, καὶ ταῖς ἀκαίροις αὐτῶν ὁρμαῖς ἀποχρήσασθαι εἰς δέον καθάπερ ἀτάκτων ἀρρώστων τὰς ὀλεθρίους ἐπιθυμίας σοφιζόμενον πρὸς σωτήριον προνοίας ἐστὶ μεγίστης συνεχομένης τῇ ἀγαθοσύνῃ τῶν οἰκονομουμένων, καὶ ταῦτα ἐπιτρεπούσης, ἃ πως πράττειν οἷά τε ἐστὶ πρὸς τὸ συμφέρον ἡ παροῦσα δύναμις.

Digitized by Google

mæ opus eſt compatientis infirmitati eorum, qui gubernantur, & ea procurantis, quæ eouſque agere præſens potentia valet, ad id quod conducit.

ΚΕΦΑΛ. ιδ'.

Αὐτίκα γοῦν οὐκ ἐνεγκόντα τὸν κόρον τῆς ὑπερβαλλούσης τιμῆς, καὶ κατασπαταλήσαντα τῆς ἀλήκτου εὐφροσύνης ἐκείνης, ἐφοίτα μὲν γὰρ πρὸς αὐτὸν εἰς καθημερινὴν ὁμιλίαν χρῄζοντα ψυχαγωγίας ἐρημίᾳ τῶν παραμυθουμένων τὴν ἀηδίαν ἐθελοντὴς αὐτὸς ὁ Θεός, καρποῦ τε παντὸς τῶν ἐν παραδείσῳ φυτῶν ἀπόλαυσιν ἐπέτρεψεν αὐτεξουσίῳ, ἑνὸς ἀπέχεσθαι μόνου κελεύσας, οὐ φθόνῳ τῆς γεύσεως, γυμνάζων δὲ τέως πρὸς ὑπακοὴν αὐτόν, ἄλλης οὐκ οὔσης ὕλης πρὸς τὴν νομοθεσίαν ἐπιτηδείας, ἵνα εἰδῇ τῶν ἄλλων ζώων ἡγεμονεύων ἁπάντων, ὅτι καὶ αὐτὸς ὑπόκειται νόμῳ, καὶ τὴν ἐντολὴν ἔχει τῆς πρὸς τὸν ἐπιτάξαντα ὑποταγῆς σημεῖον ἀρίδηλον. Ἐκβάλλων δὲ τῆς πρώτης, καὶ οὐχ ἁρμοζούσης ἀψικόρῳ τρυφῆς, οὐκ ἀφῆκεν ὡς ἀπειθῆ κηδεμονίας ἔρημον, οὐδὲ παραβάντα τὴν ἐντολὴν τῆς ἑαυτοῦ παντελῶς ἐπικουρίας ἐστέρησε. Δευτέραν δὲ τούτῳ νομοθετεῖ αὖθις ζωὴν τῇ καταστάσει προσφυῆ· καὶ τοῦ μὴ χρησαμένου τῇ ἀνέσει εἰς δέον κατάλληλον, ἐργασίᾳ, καὶ μόχθῳ κελεύσας πορίζεσθαι τὴν τροφήν, ἐπεὶ μὴ ἔγνω σχολάζων προσεδρεύειν θεραπείᾳ Θεοῦ, καὶ τῇ τούτου προσανέχειν ὁμιλίᾳ, τῶν σωματικῶν πόνων ἀργίαν ἄγων. Καὶ δερματίνους χιτῶνας περιτίθησιν αὐτοῦ σκεπάζοντι ἅμα τὴν τότε φανεῖσαν, οὐ πρὶν ὅτε ἦν φύλαξ τῆς ἐντολῆς, αἰσχύνης γέμουσαν γύμνωσιν, καὶ

CAPVT XIV.

Statim igitur non ferentem ſatietatem honoris præcellentis, & illa indeficiente delectatione laſciuientem adibat, frequẽtabatq; ipſum (primum hominẽ) ad colloquium quotidianum, cum indigeret animi oblectatione, propter ſolitudinem, & defectum cõſolantium eũ in otio lubens ipſe Deus: omnis quoq; fructus arborum, quæ in paradiſo erant conſitæ, fruitionem ad eius arbitrium commiſit, vno ſolo abſtinere iubens, non inuidia deguſtationis, verùm exercens iam tunc ipſum ad obedientiam, cum alia nõ eſſet materies apta ad ferendam legem, vt ſcitet, qui alijs viuentibus animalibus præerat omnibus, quod & ipſe legi ſubditus eſt, & præceptum habet, ſubiectionis ergà præcipientem ſignum manifeſtũ. Eijciens verò è primis, & minimè ipſi conuenientibus delicijs faſtidioſis, non dimiſit tamquam inobedientem deſtitutum cura, neque cum tranſgreſſus fuiſſet mandatum, ſuo priuauit omnino auxilio: ſecundam autem ipſi lege præſcripſit rurſus vitam ſtatui cõgruam; conceſſa quiete conuenienter, vt par erat, non vſum, iubens opere, atque labore alimenta comparare: quandoquidem otio ſibi indulgens neſciuit in obſequio Dei perſiſtere, & in ipſius conuerſatione perdurare, cum corporeorum laborum vacationem ageret. Pelliceas ei tunicas circumponit operiens ſimul tunc apparentem, non autem quando mandati cuſtos erat, pudore plenam nuditatem, & quibus

bus indumentis vti oporteret, tacens verbo, ac re ipſa docens, & demum in veſtimentis innouatam mollitiē inde reprimens facile parabili veſte & haud operoſo indumento illam multo antea ſugillans quæ nunc obtinet luxuriē.

CAPVT XV.

QVænam igitur illi magis conducebat, proderatq; viuendi ratio? Illane, quæ, cum lex ipſi ediceretur, conſtituta fuit? an illa, ad quam condemnatus fuit, poſtquam mandatum neglectui habuit? Quando potiebatur omnigena voluptate, delicijſq; contemplationis in paradiſo, atque vſufructu variarum plantarum? an cum agriculturæ laboribus ærumnosè incumbens, in ſudore vultus alimenta percipiebat? Quando fructus, quos optarat, ſine ſolicitudine decerpebat, & vndiq; manu colligebat, quodcumque tunc oblectabat eum, ipſius protenſione id ſolum quod erat comeſtibile diuellens, & appetitum pro quibus non laborauerat excipiens epulis paſcebat eſca cupidinem ad deſideriū mouente ipſam explens, & naturaliter condita dape conſolans? An quando rutrum, atque bidentem, & falcem manu tractabat, ſulcans aratro terrā, quę ſponte ſua paulò ante producebat neceſſaria, & quę vſui erant ſeminans, irrigans, metens, transferens manipulos, triturans, terens, ventilabro expurgās fruges, & poſt hęc triticū conficiens, artificijs molarum frumentum frangens, pinſens, aquæ farinam permiſcens, coquens igne, ſicq; laborioſū valdè panē apparans? Quando audiebat amicos Dei ſermones, & animam ineffabilibus per auditum verbis

οἷς ἐνδύμασι χρῆσθαι δεῖ, σκοπῶν τῷ λόγῳ, καὶ διδάσκων τῷ πράγματι, τὴν ὕστερον ἐν τοῖς ἐσθήμασι καινοτομηθεῖσαν βλακείαν, ἀνασέλλων ἐκεῖθεν τῇ χρειώδει στολῇ, καὶ τῷ ἀπεριέργῳ τῆς ἀμπεχόνης προδιαβάλλων τὴν νῦν πολιτευομένην περιπέρειαν.

ΚΕΦΑΛ. ιε'.

Τίς οὖν ἔπρεπεν ἄρα, ἢ συνέφερεν ἐκείνῳ διαγωγή; τὴν ἐπειδὴ νομοθετούμενος; ἢ τὴν κατεδικάσθη ἀλογήσας τῆς ἐντολῆς; ὅτε πᾶσαν εἶχεν ἀπόλαυσιν, καὶ τέρψιν τῆς ἐν τῷ παραδείσῳ θεωρίας, καὶ χρήσεως τῶν διαφόρων φυτῶν; ἢ ὅτε ταλαιπωρῶν τοῖς γεωργικοῖς μόχθοις ἐν ἱδρῶτι τοῦ προσώπου τῆς τροφῆς μετελάμβανεν; ὅτε καρπῶν, ὧν ἤθελεν, ἀμερίμνως ἀπέλαβε, καὶ πᾶν τότε τερπνὸν ἐδρέπετο τῇ χειρί, τῇ ἐκτάσει ταύτης εἰς τὴν ἐδωδὴν μόνην σκυλώμενος, καὶ τὴν ὄρεξιν ἀκαμάτῳ δεξιούμενος ἑστίᾳ, τῷ τὴν ἐπιθυμίαν κινήσαντι πρὸς ἔφεσιν βρώματι πληροφορῶν αὐτήν, καὶ παραμυθούμενος φυσικῶς ἐσκευασμένῳ σιτίῳ; ἢ ὅτε σκαπάνην, καὶ δίκελλαν, καὶ ἅρπην μετεχειρίζετο, αὐλακίζων ἀρότρῳ τὴν αὐτομάτως πρὸ μικροῦ τὰ χρήσιμα φύουσαν γῆν, σπείρων, ἐπάρδων, ἀμώμενος, μετακομίζων δράγματα, ἀλοῶν, τρίβων, τῷ λικμητῷ καθαίρων τὸ γέννημα, καὶ μετὰ τοῦτο σιτοποιῶν μηχαναῖς μύλων ἐρέτλων πυρόν, ἀλήθων, φυρῶν ἄλευρα ὕδατι, πέττων πυρί, καὶ ὕπο πολύμοχθον ἄρτον σιτούμενος; Ὅτε φιλικῶν ἤκουε λόγων Θεοῦ, καὶ τὴν ψυχὴν ἀπορρήτοις διὰ τῆς ἀκοῆς εὐφραίνετο ῥήμασιν; ἢ ὅτε μυκηθμοῦ, καὶ

βληχημάτων, καὶ ὀγκηθμῶν ὀχληροῖς ἤχοις περιεκτυπεῖτο τὰ ὦτα; Τὰ μὲν γὰρ τῆς ἀκτημοσύνης, τὰ δὲ τῆς πολυτελοῦς ζωῆς ἐστὶν ἰδιώματα· τὰ μὲν θείοις διηγόρευται νόμοις, τὰ δὲ ἀνθρωπίναις ἐπιτήδεια ταῖς ἐπιθυμίαις. τὰ μὲν ἐλπίδος ἤρτηται τοῦ Θεοῦ, καὶ τὴν αὐτάρκειαν διὰ παντὸς ἔχει χορηγουμένην ἐκεῖθεν, τὰ δὲ τῇ ματαιότητι προσορμοῦντα σαλεύοντα λίαν ἐπισφαλῶς, καὶ πολλὴν ἔχει πρὸς τὴν ἀτυχίαν τὴν συγγένειαν.

verbis oblectabat? An cum concutiebãtur eius aures mugituum, atque balatuum,& ruditũum turbulentis ſonis! Illa ſiquidem paupertatis, iſta vero vitæ prædiuitis ſunt propria. Illa diuinis præſtituta ſunt legibus; at iſta humanis accommodata ſunt cupiditatibus. Illa Dei ſpe nixa pendent, & habent iugiter inde deductã frugalitatem; iſta ad vanitatem appellunt ſubſultantia magno cum periculo, & plurimam habent cum infelicitate cognationem.

ΚΕΦΑΛ. ιϛʹ.

Καὶ μάρτυς τούτων ἡ πεῖρα, καὶ τὰ καθ᾽ ἑκάστην πληροφοροῦντα τὴν αἴσθησιν, ὡς τὰ μὲν εἰκότα πολλάκις τῆς ἐλπίδος διήμαρτεν, οὐκ ἐψεύσατο δὲ τὴν ἐπικουρίαν ποτὲ ἡ κηδεμονία τοῦ κρείττονος. Τίς γὰρ τὰς παρακολουθούσας τῇ γεωργίᾳ οὐκ οἶδε ζημίας; Τίς ἀγνοεῖ τὰς ἑπομένας τοῖς καρποῖς ἐπηρείας; ὑετοὶ πολλάκις οἱ τρέφοντες τούτους ὁμοίως ἠδίκησαν· ἀνέμων ἀνεπιτηδείων αὖραι ἢ περιέψυξαν τοῦ μέτρου πλέον, ἢ περιέφλεξαν, καὶ ἀπώλεσαν· χάλαζα παρεῶσα τὸν ἄσταχυν, καὶ τηλικοῦτον λήιον ἐπενεχθεῖσα κατέκλασε· χείμαρροι δὲ ἐπομβρίας ἀτάκτου συσσωρευόμενον ἢ καὶ τριβόμενον ἔτι τὸ γένημα κατέσυραν, καὶ ἠχρείωσαν· βροῦχος, ἐρυσίβη, κάμπη καὶ τῶν κανθαροειδῶν ἄλλα ζώων πολλὰ μεγάλην οἶδε τὴν βλάβην ἐργάζεσθαι. Ἐῶ λέγειν τοὺς ἐν αὐταῖς ταῖς ἀποθήκαις ἐντικτομένους σκώληκας τῷ κόκ-

CAPVT XVI.

Horum porrò teſtis eſt experientia, & ea quæ quotidie contingũt,ſenſus ipſos certos reddunt, quod ea quæ probabilia viſa ſunt, ſępe ſpem eluſerunt; at numquam opem fruſtrata eſt cura & prouidentia numinis. Ecquis enim non nouit damna, quæ culturam agri comitantur? quis ignorat ea, quæ fructus conſequuntur,detrimenta? Pluuiæ perſæpè, quæ ipſos enutriunt, malè mulctarunt: ventorum importunorum flatus aut immoderatè perflauerunt, aut inflammarunt, & diſperdiderunt;grando ſpicã prominentem, & ſegetem, quæ iam germinauerat,cũ impetu afficiens comminuit: torrentes ex imbriũ inordinata copia fruges etiam dũ erãt ſub tritura accumulatę,diſtraxere,& prorſus inutiles reddidere. Bruchus, rubigo, eruca, aliaque plurima ſcarabei formam habentia animalcula valdè ingentem norũt inferre noxam. Abſiſto dicere in ipſis horreis ingenitos vermiculos grano, qui reddunt laborem omnem agriculturæ inutilem. Rurſus autem quis tempore non edoctus eſt eam, quæ à Diuina prouidentia præbe-

præbetur, ſecuritatem? quomodo Dei cultoribus ſine labore, & ſine vlla moleſtia, quando eſt opus, exhibet illa cōgruam alimoniam, & (dum qui omnibus machinamentis vſi fuerunt, vt ciborum abundantia gauderent, diuites, egeſtate, & inopia tabeſcerent) quandoque in ipſa confidentibus, vndecumque vult mirabiter paratam inſtruit mēſam; nonnunquam è nubibus minimè aratis non ſeminatum panem in ſolitudine deſerta manna præbens, interdum etiā è mari coturnicem magnā deducens; aliàs ſitientibus ex arida petra profundens vberes latices: vtroq; vt alimento humido,& ſicco ingentem expleret neceſſitatem, atque diuerſis edulijs ſubleuaret appetitum innatum,ne ad vniformem victum elāgueret.

χορ, καὶ ποιοῦντας ταύτην τὴν ἐπὶ τῇ γεωργίᾳ ταλαιπωρίαν ἀνόνητον. Τίς δὲ πάλιν τὴν ἐκ τῆς θείας προνοίας οὐκ ἐδιδάχθη τῷ χρόνῳ ἀσφάλειαν, ὅπως ἄπονος τοῖς θεοσεβοῦσι, καὶ ἀταλαίπωρος, ὅτε χρὴ παρέχει τὴν ἐπιτηδείαν τροφὴν, καὶ (τῶν ἅπαντα μηχανωμένων πρὸς εὐπορίαν σιτίων πλουσίων ἐνδείᾳ τρυχωμένων) ἔσθ᾽ ὅτε τοῖς πεποιθόσιν αὐτῇ ὅθεν βούλεται παραδόξως ἑτοίμην σχεδιάζει τὴν τράπεζαν, ποτὲ μὲν ἐξ ἀνηρότων νεφῶν ἄσπορον ἄρτον ἐν ἐρήμῳ τὸ μάννα παρέχουσα, ποτὲ δὲ καὶ ἐκ θαλάττης ὀρτυγομήτραν ἀνάγουσα, ἄλλοτε διψῶσιν ἐκ πέτρας ξηρᾶς δαψιλῆ προχέουσα νάματα, ἀμφοτέρας ὅπως τροφῆς ὑγρᾶς, καὶ ξηρᾶς πληρώσῃ τὴν χρείαν φιλότιμος, καὶ διαφόροις ἐδέσμασι παραμυθήσηται τὸ ἀλύειν πρὸς τὸ μονότροπον τῆς διαίτης πεφυκυίας τῆς ὀρέξεως.

CAPVT XVII.

Qvis coruos inſtruxit bis per diem fame graſſante Heliç deportare nutrimētum? Quis in hydria pugillum farinę diffuſum tanto tēpore ſufficere fecit? Quomodo Eliſſęus decē panibus centum homines ſatiauit reliquijs vſus pro teſtibus ſaturitatis? Aut quo pacto rurſus in lebete decoctum amarum ex herba exitiali in eſui aptum tranſmutauit, vt expleretur neceſſitas eorum, qui tunc indigebant nutrimento? Non erat his prę́ſto bos, nec arabilis terra, nec reliquus apparatus agriculturæ: & quo pacto ſemper adducebantur illis affatim neceſſaria corpori, itaut nulla re indigerēt? Alijs adſunt ſemper quæ ad cultum terræ conueniunt, nihilque negligitur eorum,quę

ΚΕΦΑΛ. ιζ'.

Τίς οὖν κόρακας παρεσκεύασε δὶς τῆς ἡμέρας ἐν λιμῷ παρακομίζειν τῷ Ἠλίᾳ τροφήν; Τίς ἐν τῇ ὑδρίᾳ τὴν δράκα τοῦ ἀλεύρου πρὸς τοσοῦτον χρόνον διαρκέσαι χεομένην ἐποίησε; Πῶς Ἐλισσαῖος δέκα ἄρτοις ἑκατὸν ἄνδρας ἐκόρεσε, μάρτυσι τοῦ κόρου τοῖς λειψάνοις χρησάμενος; Ἢ πῶς πάλιν πικρὸν ἐκ δηλητηρίου βοτάνης ἐν τῷ λέβητι ἕψημα μετέβαλεν εἰς ἐδώδιμον, ἵνα πληρωθῇ ἡ χρεία τῶν τότε δεομένων τροφῆς; οὐκ ἦν τούτοις βοῦς, καὶ ἀρόσιμος γῆ, καὶ ἡ λοιπὴ τῆς γεωργικῆς ὕλης παρασκευή· καὶ πῶς αὐτοῖς ἠνύσθη πάντοτε ἀνενδεῶς ἡ χρεία τοῦ σώματος; Ἄλλοις ἅπαντα πάρεστιν ἀεὶ τὰ πρὸς ἐργασίαν ἐπιτήδεια γῆς· καὶ οὐδὲν ἀμελεῖται τῶν

ad

εἰς γένεσιν καρπῶν παρὰ τῆς ἀνθρωπίνης εἰσφερόμενος σπουδῆς. καὶ πῶς τὰ πολλὰ μένουσιν ἐνδεεῖς, θεραπεύοντες τὰ σπαρτὰ πάσῃ δυνάμει, καὶ οὐδὲν τοῦ πόνου καρπούμενοι πάντως; ὅτι ἡ τῆς ἐπὶ Θεὸν ἐλπίδος ἀσφαλής ἐστιν ἔκβασις, ψευδὴς δὲ τῆς ἀνθρωπίνης πεποιθήσεως ὁ σκοπὸς τοῖς δοκοῦσιν εὐλόγοις θαῤῥοῦσι, καὶ τῆς προσδοκίας ἀποτυγχάνει εἰκότως, τὰ παράδοξα κρίνων ἀδύνατα, καὶ τὰ συνήθη λογιζόμενος βέβαια, καὶ τῇ πείρᾳ πειθόμενος ὑστέρως, ὡς ταῦτα μὲν ἀμφίβολον ἔχει, καὶ ἐνδεχομένην τὴν παρουσίαν, ὅσα τῆς ὑμετέρας ἐντρεχείας ἐξηρτῆσθαι δοκεῖ, ὁμολογουμένως δὲ, καὶ ἀναγκαίως παραγίνεται τούτων ἡ χρῆσις, ὅσα ἐκ θείας ἔρχεται χάριτος, ἀενάου πηγῆς τῆς προνοίας οὔσα δαψιλοῦς, καὶ ἄφθονα ῥέεθρα. Εἶπέ που καλῶς ὁ Κύριος, καὶ μετ' αὐτοῦ συμφώνως ὁ ὑμνογράφος Δαβίδ· ὁ μὲν, ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ· ὁ δὲ, πλούσιοι ἐπτώχευσαν, καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. σὺν τῇ θεραπείᾳ σχολάζοντας τοῦ Θεοῦ, ἐκεῖθεν δηλοῦντες ἔχειν ἑτοίμην τὴν τῆς τροφῆς χορηγίαν, μισθὸν οὖσαν πρὸ τοῦ ἠργασμένου μισθοῦ, καὶ πρεπόντως τῷ ἔργῳ τέως καθήκοντα, καὶ ὀφειλόμενον τῇ λειτουργίᾳ τοῦ σώματος. Ὁ μὲν γὰρ ἀναλογῶν τῷ πόνῳ μένει τῇ ψυχῇ φυλαττόμενος ἐν τῷ μέλλοντι, ὁ δὲ τῷ συνεργοῦντι πρὸς τὴν ἀρετὴν αὐτὴν ζώῳ, καὶ συμπεραίνοντι πρὸς τὴν θεοσέβειαν, ἀποδίδοται δὲ ὄντως ὑποζυγίου δίκην ὀχοῦντος τὸ ἐνεργοῦν, καὶ χρήζοντος ἐπιμελείας πρὸς τὸ διαρκεῖν τῇ διακονίᾳ, μέχρις ἂν ὑπέζευκται

ad gignendos fructus ab humana diligentia conferuntur. Et quanam ratione multorum indigi remanent, totis viribus ſtudiũ his, quæ inſita ſunt adhibentes, nullumque fructum penitus è labore decerpentes? Quia ſpei erga Deũ ſecurus eſt euentus; mendax verò humanæ confidentiæ ſcopus, audens fidere his, quæ videntur rationi conſentanea, & fruſtratus expectatione, iure merito iudicans ea, quæ ſunt mirabilia, & pręter opinionem, impoſſibilia, & ea quę conſueta ſunt arguens fore certa, ad extremum perſuaſus experimento, quod hæc quidem ambiguum, & accidentalem habent ſucceſſum quæcumque videntur à noſtra ſolertia pendere: at in confeſſo, & neceſſario eorum euenit vtilitas, quæ proueniunt è diuinæ gratiæ perenni fonte, cum prouidentiæ fluenta ſint copioſa, & opipara. Dixit alicubi pręclarè Dominus, & cum ipſo conſonè ſcriptor hymnorum Dauid; ille quidem: Dignus eſt operarius nutrimento ſuo. Hic verò: Diuites eguerunt, & eſurierunt; inquirentes autem Dominum non minuentur omni bono. Oſtenduntque inde eos, qui Dei vacant famulatui, certam obtinere victus ſubminiſtrationem, quæ ſit merces ante eam, quæ exiſtimatur, mercedem, et cõgruens decenter interim operi, et debita miniſterio corporis. Illa namque proportione quadã correſpondens labori manet animo cuſtodita in futuro. Hæc autem cooperanti ad ipſam virtutem, ſimulque perficienti ad cultum diuinum animali, corpori ſcilicet, debitè quaſi cibus ſubminiſtratur, veluti ſubiugali vehenti id quod operatur, & indigenti cura vt ſatisfaciat miniſterio

Matth. 10.10.
Pſal. 33. 11.

ſterio, donec iugoſubiectum eſt, & ſeruiat ſeruitutem, cui ſuppoſitum fuit à Conditore.

καὶ δουλεύῃ τὴν δουλείαν, ἣ ὑπετάγη παρὰ τοῦ κτίσαντος.

CAPVT XVIII.

HAc ſuntprærogatiuæ prioris paupertatis. Hæc præmia, & pignora vitæ diuulſæ à circumfluentibus negotijs. Hæc animal rational decens conuerſatio, famulatum exhibere Deo, & accipere quæ deueniunt, velut ex horreo prouidentię ipſius: ſperare in illa gubernatione, & eam percipere, quæ ab ipſa eſt, in omnibus retributionem: deſpicere terrena, terramque habere ſua bona munifice largientem ad commenſuratam fruitionem: nihil in hoc mundo poſſidere, et cum auctoritate, quandocumque oportet, illius bonis vti; ſeruire ſincerè Creatori, & creaturā ad ea, quibus opus eſt, pro vſu quaſi tributum colligere, vt lubet: hic inquilinum eſſe, & inibi habitationē eligere, vbi verè eſt habitatio: nihil ducere dignum ſtudio eorum, quę hic manent; ea verò pluris facere quæcumque contingunt ad illum terminum. Hanc ſtatuit mundi opifex hominibus ab initio viuendi rationem, & hanc ipſi obedientes ſancti omnes egerunt, nec habuerūt terræ quantulamcūq; menſuram quam ipſi ſub dominij titulo poſsiderent; & ex omnibus terris tributa colligebant, ea, quæ neceſſaria erant, vbicumque reperire obtingebat, quaſi Domini percipientes. Non erant propter diuitias, et potentatus inſignes apud homines, et feras flectebant ad reuerentiam præ virtutis eminentis dignitate. Non erat

ΚΕΦΑΛ: ιη'.

ΤΑῦτα τῆς προτέρας ἀκτημοσύνης τὰ πλεονεκτήματα. ταῦτα τῆς ἀπερισπάστου ζωῆς τὰ ἐπίχειρα. αὕτη τῷ λογικῷ ζώῳ πρέπουσα διαγωγή· θεραπείᾳ σχολάζειν Θεοῦ, καὶ τὰ καθήκοντα κομίζεσθαι ὡς ἐκ ταμείου τῆς προνοίας αὐτοῦ· ἐλπίζειν τῇ κηδεμονίᾳ ἐκείνῃ, καὶ τὴν παρ᾽ αὐτῆς ἐν πᾶσι καρποῦσθαι ἀντίληψιν· καταφρονεῖν τῶν γηΐνων, καὶ ἔχειν τὴν γῆν δωροφοροῦσαν τὰ αὐτῆς ἀγαθὰ πρὸς ἀπόλαυσιν σύμμετρον· μηδὲν κεκτῆσθαι ἐν κόσμῳ, καὶ μετ᾽ ἐξουσίας, ὅτε δεῖ, κεχρῆσθαι τοῖς τούτου καλοῖς· δουλεύειν γνησίως τῷ κτίσαντι, καὶ τὴν κτίσιν δασμολογεῖν πρὸς τὸ χρειῶδες, ὡς βούλεται· παροικεῖν ἐνταῦθα, καὶ τὴν κατοικίαν αἱρεῖσθαι ἔνθα καὶ ἀληθῶς κατοικία ἐστί· μηδὲν ἡγεῖσθαι τῶν ὧδε μενόντων σπουδαῖον, ταῦτα δὲ περὶ πολλοῦ ποιεῖσθαι, ὅσα συμβαίνει πρὸς τὴν λῆξιν ἐκείνην. Ταύτην ἔταξε τοῖς ἀνθρώποις ὁ δημιουργὸς τὴν ζωὴν ἐξ ἀρχῆς, καὶ ταύτην αὐτῷ πεισθέντες, ἐβίωσαν πάντες οἱ ἅγιοι. οὐκ εἶχον γῆς οὐδὲ τὸ τυχὸν μέτρον εἰς αὐθεντίας λόγον αὐτόκτητον, καὶ πᾶσαν ἐφορολόγουν τὴν γῆν, τὰ χρειώδη ταύτης, ἔνθα ἂν ἔτυχεν εὑρεθῆναι, ὡς δεσπόται καρπούμενοι. οὐκ ἦσαν ἐκ πλούτου, καὶ δυναστείας τοῖς ἀνθρώποις ἐπίσημοι, καὶ θῆρας ἐδυσώπουν πρὸς ἐντροπὴν τῷ τῆς ἀρετῆς ἀξιώματι. οὐκ ἦν αὐτοῖς οἰκετικὴ θεραπεία τὸ βάναυσον ἐπιτηδεύουσα πρὸς θρύψιν τοῦ σώματος, καὶ δια-

κόνει πρὸς τὸ ἀναγκαῖον αὐτοῖς τὰ μέρη τῆς κτίσεως. οὐ παρῆν ἀχθοφόρων ὑπηρεσία κτηνῶν εἰς μετακομιδὴν τῶν ἀγωγίμων, καὶ κόρακες διεκόμιζον ταῦτα τὴν ἐκείνων χρείαν ἐκπληροῦντες ταχύτερον.

erat ipſis ſeruile famulitium exercens artificia ad corporis mollitiem, & miniſtrabant ad neceſsitatem ipſis Orbis terrarum portiones. Non aderat miniſterium iumentorum onera ferentium ad tranſportanda ea, quæ conuehenda erant; et corui ea deferebant, ipſorum ocyus explentes indigentiam.

ΚΕΦΑΛ. ιθʹ.

Φίλοι τῇ καθαρότητι τοῦ βίου ἐσπούδασαν γενέσθαι Χριστοῦ, καὶ ἐν τοῖς τοῦ φίλου κτήμασι διετάξαντο μετὰ παῤῥησίας ὡς ἠθέλησαν. ἐπέταξαν οὐρανῷ παρασχεῖν τοῖς δεομένοις τροφὴν, καὶ μάννα τούτοις ὡς ἐκελεύσθη κατήνεγκεν. ἔκλεισε δ᾽ ἄλλοτε τοῦτον ἐπὶ ἀγνωμόνων παιδείᾳ, καὶ τὰ συνήθη μαιμάσσων ἐπέσχεν ὑετὸν τριῶν ἐτῶν βαστάσας, καὶ μηνῶν ἓξ βάρος συναχθὲν τῷ χρόνῳ κατ᾽ ὀλίγον εἰς ἄβυσσον κυοφόρον διὰ τοὺς προστάξαντας. ὤμβρησε δὲ πῦρ νυκτός ποτε καταπρῆσαι τινας ἀλάστορας κελευσθεὶς, καὶ χάλαζαν ἐσφενδόνησεν ἄλλοτε καθ᾽ ἑτέρων ἀνόμων εὐστόχοις βολαῖς, καὶ πολλὴν ἐν ἑαυτοῖς εἰργάσατο θάνατον, τοῦτο τῶν δικαίων ἐκείνων τῷ νεύματι διδαχθείς. γῆν διέστησαν χάσματι μεγάλῳ, καὶ σκηναῖς ἅμα, καὶ κτήνεσι πολυζώου ἀγέλης, τοὺς στασιώδεις κατήγαγον πρὸς καταχθονίους μυχούς. βυθὸν ἠπείρωσαν εἰς λεωφόρον ὁδὸν, καὶ γῆν ἐλίμνωσαν ἄνυδρον εἰς ἄφθονον χρῆσιν τοῦ πρὶν σπανίζοντος ὕδατος. ποταμοὺς διῆλθον ἀβρέχῳ ποδὶ, καμίνῳ πυρὸς ἐμπεριεπάτησαν, καὶ πυρὸς βλάβην οὐκ ἔγνωσαν, καθάπερ ὕδατι ψυχρῷ τοῖς σώμασι τῇ φλογὶ μαχεσάμενοι, καὶ τὸ φθοροποιὸν τῷ ἀφθάρτῳ νικήσαντες. θηρίων θυμοῖς εἰς βορὰν

CAPVT XIX.

Amici Chriſti effici puritate vitæ ſtuduerũt, & in amici poſſeſſionibus pro libito cũ libertate diſpoſuerut: imperarũt cęlo, vt exhiberet alimentũ egentibus, & manna ipſis, vti fuerat imperatum attulit; ipſum aliàs occluſerunt ad inſipientium doctrinam, & illud cõſueta percupiens tribus annis, & ſex menſibus pluuiã cohibuit portans graue pondus tẽpore congeſtum paulatim in abyſſum, quaſi vterum grauidum, propter eos qui mandabant. Pluit verò & illud aliquando ignem, cum iuſſum fuiſſet cõburere quoſdam impios, & grandinem tamquam funda iaculatum eſt aliàs aduerſus alios iniquos ad ſcopum directis iactibus, & plurimam in ipſis internecionem patrauit, id nutu iuſtorum illorum edocente. Terrã diſciderunt ingẽti hiatu, & ſeditioſos ſimul cum tentorijs, & animalium multimodis gregibus ad ſubterraneos deduxerunt ſpecus. Profundum pelagus effe cerunt cõtinentem terram ad viam Regiam muniendam, & terram ſine aqua ſtagnare ad copioſum vſum eius, qui antea penuria laborabat aquæ. Fluuios tranſierunt pede neutiquam madefacto, ambularunt in ignis camino, & ignis damnum non norunt, quemadmodum gelida aqua corporibus cum

flamma confligentes, & eo quod facilè corrumpitur vincentes id, quod voraciter corruptionem infert: traditi ſunt furibundæ iræ belluarum ad eſcam, nec vllum experimentum earum feritatis acceperunt, oratione quaſi carmine cicurante ad manſuetudinem ipſas lenientes. Tenebras obſcuras illuminarunt columna ignis; meridianum ardorem inhibuerunt, viamq; carpentibus nube vti tentorio feruidum aërem protexerunt. Aquam amaram, infœcunditatis terræ cauſſam aliam potabilem ſitientibus, & ad feracitatem frugum idoneam exhibuerunt his, qui poſſidebant illam regionem. Sterilibus dederunt liberorum progeniem, & eos, qui mortui ſunt ex ipſis, viuentes illis reddiderunt. Tyrannis magna ſatellitum haſtatorum multitudine ſeptis obſtiterũt; bellicas acies diſpoſitas irriſerunt; hoſtiũ phalangas oppoſitas verterunt in fugam; inſidiatorum inſultus excogitatos euitarunt indemnes; carceribus exſiluerunt, cum ianuæ virtute inuiſibili fuiſſent ipſis recluſæ, vinculis liberati fuerunt mirabiliter compedibus, quibus detinebantur, ſoluti; minas cædium à Principibus intentatas, & furentium populorum iras prærerierunt abſque periculo ſemper, nullum vmquam graue omninò malum experti.

παρεδόθησαν, καὶ τῆς τούτων πεῖραν οὐκ ἔλαβον ἀγριότητος, καθάπερ ἐπῳδῇ πραϋνθείσῃ πρὸς ἡμερότητα προσευχῇ τούτους πραΰναντες. σκότος ἀφεγγὲς κατηύγασαν στύλῳ πυρός. μεσημβρινὸν ἀνέστειλαν καύσωνα, σκιάσαντες τοῖς ὁδοιποροῦσι νεφέλῃ τὸ αἴθριον. ὕδωρ πικρὸν, καὶ ἀγονίας τῇ γῇ αἴτιον ἄλλο πότιμον τοῖς διψῶσι, καὶ πρὸς γένεσιν καρπῶν ἐπιτήδειον παρέσχον τοῖς νεμομένοις τὴν χώραν ἐκείνην. στείραις ἐδωρήσαντο τέκνων γονὴν, καὶ θανόντας τοὺς ἐξ αὐτῶν, ζῶντας ταύταις ἀπέδωκαν. τυράννοις δορυφορουμένοις πλήθει πολλῷ ἀντέστησαν. πολέμων παρατάξεις ἐγέλασαν. φάλαγγας ἀντιτεταγμένας ἐχθρῶν ἐτρέψαντο. ἐπιβούλων μεμηχανημένας ἐνέδρας διῆλθον ἀπαθεῖς. δεσμωτηρίων ἐῤῥύσθησαν τῶν θυρῶν αὐτοῖς ἀνοιχθεισῶν ἀοράτῳ δυνάμει, δεσμῶν ἠλευθερώθησαν παραδόξως λυθέντες, ὧν κατείχοντο πέδων. ἀπειλὰς φόνων τῶν ἀρχόντων, καὶ μαινομένων δήμων θυμοὺς παρῆλθον ἀκινδύνως ἀεὶ πεῖραν οὐδενὸς οὐδέποτε λαβόντες ὅλως δεινοῦ.

CAPVT XX.

ET hæc omnia, atque hiſce plura iuſtis illis acciderunt, quia mundanas curas multiplices auerſati Diuino cultui incubuerunt ſedulitate indiuulſa, ob libertatem, quam cum Numine habebant ad præcipiendum reuerendi omni creaturæ effecti. Indicat, quinam iſti fuerint, Scripturæ ſacræ Hiſtoria, & nomina per ordinem

ΚΕΦΑΛ. κ'.

ΚΑὶ ταῦτα πάντα, καὶ τούτων πλείονα τοῖς δικαίοις ὑπῆρξεν ἐκείνοις, ὅτι καὶ κοσμικῶν ἀπηλλαγμένοι πολυπλόκων φροντίδων, ἐθρήσκευον ἀπερισπάστως προσεδρίᾳ τὸ θεῖον τῇ πρὸς αὐτὸ παῤῥησίᾳ πρὸς τὸ ἐπιτάττειν αἰδέσιμοι πάσῃ τῇ κτίσει γινόμενοι. Μηνύει, τίνες οὗτοι, ἡ τῆς γραφῆς ἱστορία, καὶ τὰ ὀνόματα κατὰ χώραν ἐκ τῶν πράξεων δῆλα ποιεῖ

ἑκάστῳ θαύματι ἕκαστον τοῖς μαθεῖν βουλομένοις γνωρίζουσα· καὶ μακρὸς ἂν εἴη νῦν καὶ παρέλκων ἅμα καταριθμεῖν τούτους τῷ λόγῳ φανερὰς ὄντας, καὶ τοῖς οὐ πάνυ σπουδαίως ἐντυγχάνουσι τῇ θείᾳ γραφῇ, τέρψιν δὲ τῇ μελέτῃ ποιουμένοις, καὶ ἀπαγωγὴν ἴσως λυπηρῶν ἐνθυμήσεων. οἷς γὰρ πεφροντισμένως ποιεῖται τὸ ἔργον, τούτοις καὶ πρὸς θεωρίαν χρησιμεύει ἡ λέξις, τοῖς νοήμασι προσασχολοῦσα τὸν νοῦν, καὶ ἄλλοις ἄλλοτε ῥητοῖς αὐτὸν χειραγωγοῦσα πρὸς σύνεσιν τοῦ παρατυχόντος ἀκολούθως ἀεὶ διαδεχομένου τὴν τοῦ παρελθόντος μέριμναν, καὶ ταύτην παρατείνοντος ἕως ἀφεδρεύει τὰ κινοῦντα τὴν ἔννοιαν, πλατυνόντα τὴν φιλοσοφίαν ὁσημέραι προκόπτουσαν αὐτὴν, καὶ ἄγοντα ἐνθέσμως, ἐφ᾽ ὅπερ ἐπείγεται τέλος.

dinem ex Actibus manifeſta facit ſingulis miraculis ſingulos addiſcere volentibus notos reddens. Et longum vtique nunc foret, ſimulq; ſuperuacaneum iſtos enumerare, cum ſermone paſſim clari exiſtant etiam his, qui neque valdè ſtudioſè Diuinam in Scripturam inciderunt, ex meditatione verò delectationem capientibus, & forte cogitationum mœſtarum abductionem. Iis enim, à quibus accuratè opus elaboratur, & dictio prodeſt ad contemplationem, mentem intellectionibus præoccupans, & alijs aliàs dictis ipſam quaſi manu deducens ad prudentiam, diſcretionemque occurrentium, quæ conſequenter, ac ſucceſſiuè ſemper ſuſcipiunt ſolicitudinem rei præteritæ, & eam extendentis, quouſque inſideant commouentia cogitationem, dilatantia ſapientiæ amorem, qui quotidiè ipſam prouehit, & ducit iuſtè ad finem, ad quem inducitur.

ΚΕΦΑΛ. κα'.

Ἴστε δὲ καὶ τοὺς τῆς νέας διαθήκης ἀκτήμονας, Ἰωάννην τὸν πρόδρομον τοῦ Χριστοῦ, καὶ τὸν χορὸν τῶν Ἀποστόλων ὁμοῦ, ἐξ ὧν ὁ μοναδικὸς ἤρξατο βίος. ὅπως ὁ μὲν οἰκεῖν ἀφ᾽ ἑαυτοῦ τὴν ἔρημον εἵλετο ἀκρίδας ἐσθίων, καὶ μέλι ἄγριον, ἐνδύματι δὲ χρησάμενος ἐκ τριχῶν πεποιημένῳ καμήλου· οἱ δὲ κυριακῇ παραινέσει πεισθέντες ἐνὶ χιτωνίσκῳ ἐστοίχησαν, καὶ τροφῇ τῇ πρὸς ὥραν εὑρισκομένῃ ὁπουδήποτε, οὐδὲν κτησάμενοι ὡς ἐδιδάχθησαν ὅλως ἕως ῥάβδου, καὶ πήρας τῶν μάλιστα διὰ πολλὰ τοῖς ὁδίταις χρησίμων, ἵνα μὴ τούτοις τάχα δοκοῦντες θαρρεῖν τὴν ἐπὶ Θεὸν, ἀμβλύνωσιν ἐλπίδα, τοῖς

CAPVT XXI.

Scitis verò & eos qui nouo in Teſtamento nihil poſſederunt, Ioannem Chriſti Præcurſorem, & ſimul Apoſtolorum Chorum, à quibus Monaſtica vita exordium duxit: quomodo ille quidem ſpontè deſertam ſolitudinem cœpit incolere, locuſtas comedens, & mel ſilueſtre, vſus verò indumento è pilis cameli confecto; ij autem Dominicæ obedientes adhortationi vnica cũ tunica proceſſerunt, & alimento (prout tempeſtas dabat) inuento vbicumque deguſtato, nihil poſſidentes (vti fuerant edocti) vſque ad baculum, & peram, quæ potiſſimum viatoribus plurimo ſunt vſui, vt ne his fortè viſi confide-

re, fiduciam erga Deum obtunderet, his, quæ viſu conſpicua ſunt, confiſi, neque facultatis inuiſibiliter cooperantis rationem ducentes, quæ honeſtis, & docilibus impartiri gratiam gubernatricem non abnuit, nudam verò illam integumento ab omni vult exhiberi, ad conuenientia, & vera diſpertitam ſimiliter hominum dexteritatem in ſeipſam inuertens, neque ſinens circumtrahi his, quæ putantur ipſi cooperari ad ſecuritatem rerum, quæ diſpenſantur. Verum age ne Sanctorum continuę circa res Diuinas occupationi, inductę ab Adelphio Meſopotamiæ, & Alexandro, qui exiguo tempore Regnatricem Conſtantinopolim inquinauir, pigritiæ portam aperiamus prætextum ſegnitiej ad operandum: quippe qui fixerunt perpetuò videri perſeuerare in oratione; & pueris recentibus, & viris etiamnum quoad corporis robur vegetis, quique illud plurimis laboribus debuiſſet edomare, pro lege ſtatuerunt nihil operari per animi remiſſionem, & in ipſis paſſiones concitarunt, præbueruntque intellectui licentiam ipſarum materiæ adhærendo vacare otioſè, donec apparens oratio, cum non eſſet quod dicebatur, omnino deperiret.

ἀφανῶς συμπαραπλεούσης ἀλογοῦντες δυνάμεως, ἥτις τοῖς ἀλόγοις, καὶ πιθανοῖς συμμερίζεσθαι τὴν κηδεμονικὴν οὐκ ἀνέχεται χάριν. γυμνὴν δὲ παντὸς παρακαλύμματος ταύτην ἐπιδείκνυσθαι βούλεται τὴν πρὸς τὰ εἰκότα, καὶ τὰ ἀληθῆ μεριζομένην ὁμοίως τῶν ἀνθρώπων εὐχέρειαν πρὸς ἑαυτὴν ἐπιστρέφουσα, καὶ οὐκ ἐῶσα περιέλκεσθαι τοῖς νομιζομένοις αὐτῇ συνεργεῖν πρὸς τὴν τῶν οἰκονομουμένων ἀσφάλειαν. Ἀλλ' ἄρα μὴ τῇ τῶν ἁγίων διηνεκεῖ περὶ τὸ θεῖον ἀσχολίᾳ τῆς ἀπὸ Ἀδελφίου τοῦ τῆς μέσης τῶν ποταμῶν, καὶ Ἀλεξάνδρου τοῦ πρὸς ὀλίγον τὴν βασιλευομένην Κωνσταντινούπολιν θολώσαντος ἀργίας ἀνοιγομένην θύραν προκάλυμμα τῆς περὶ τὴν ἐργασίαν ὀκνηρίας τὸ διὰ παντὸς δοκεῖν προσκαρτερεῖν τῇ προσευχῇ πεποιημένοις, καὶ νέοις παισί, καὶ ἀνδράσι σφριγῶσιν ἔτι κατὰ τὴν ἰσχὺν τοῦ σώματος, καὶ ταύτην πολλοῖς ὀφείλουσι καταλῦσαι πόνοις νομοθετήσασι τὸ μὴ ἐργάζεσθαι τῇ ἀνέσει καὶ τὰ πάθη αὐτοῖς ἐπεγείρασι, καὶ τῷ λογισμῷ παρασχοῦσιν ἄδειαν ταῖς τούτων ὕλαις ἐνδιατρίβειν, ἕως ἂν ἡ δοκοῦσα προσευχή, οὐκ οὖσα δὲ τοῦτο, ὅπερ λέγεται, πάντη ἀπόληται.

CAPVT XXII.

Carnalium verò cupiditatum turbulenta recordatio non ſolùm haud permittit colloqui cum Deo, ſed & cogitationum fœdarum imaginationibus mentem contaminat, quæ videbatur ad orationem compoſita. Perſeuerare namque in oratione pulchrum, & mentem exercere

ΚΕΦΑΛ. κβ'.

Τῶν δὲ σαρκικῶν ἐπιθυμιῶν ὑπόμνησις ὀχληρά, οὐ μόνον οὐ συγχωροῦσα προσομιλεῖν τῷ Θεῷ, ἀλλὰ καὶ φαντασίαις ἐνθυμήσεων αἰσχρῶν ῥυποῦσα τὸν δοκοῦντα προσεύχεσθαι νοῦν. προσκαρτερεῖν μὲν γὰρ καλὸν τῇ προσευχῇ, καὶ τὸν νοῦν γυμνάζειν εἰς ὁμιλίαν Θεοῦ, τοσοῦτον δέ, ὅσον τὸν τῆς εἰρήνης μὴ ποιῆσαι πολέμου

ad

κομίζειν, μηδὲ τῇ παρὰ τὸ δέον ἐκτάσει τοῦ χρόνου δοῦναι παρείσδυσιν τοῖς πολεμίοις πάθεσιν αἰχμαλωτεύειν ἔθος ἔχουσι τοὺς λογισμοὺς πρὸς ἀτόπους ἐννοίας καθάπερ ἱεροῦ ἀποσπωμένους ἀσύλου τῆς προσευχῆς, καὶ τυραννικῶς ἀγομένους ἐπὶ τὸ φρόνημα τῆς σαρκός, ἐκεῖνα λοιπὸν διεξερχομένους τοῖς λογισμοῖς, ἅπερ ἐκεῖνο κρατοῦν βιάζεται λέγειν. Τίς οὖν προσευχὴν τῶν ὀρθῶς φρονούντων ταύτην ἐρεῖ τὴν μάχην τῶν ἐναντίων ἀλλήλοις, καὶ ἀμφηρίστων λογισμῶν, ὅταν οὗτος τὰ δοκοῦντα ἀντιλέγῃ ἐκείνῳ, κἀκεῖνος φιλονεικεῖ πείθειν ὃ βούλεται, καὶ ἕκαστος ἕως φανερᾶς νίκης ἀντιπάλληται τῷ ἑτέρῳ, καὶ μὴ πυγμὴν, ἢ πόλεμον παγκράτιον, καὶ εἴθε κἂν οὕτω, καλῶς γὰρ εἶχεν ἑστάναι, καὶ ἀθλεῖν πρὸς τὰ ὀχλοῦντα, καὶ μὴ δίκην ἀργυρωνήτων ἕλκεσθαι οὐδὲν ἀντιλέγοντας· πολλάκις γὰρ ἀποσπώμενοι τῶν λόγων τῆς προσευχῆς, ἑπόμεθα τοῖς ἄγουσι λογισμοῖς οὐκ ἀνανεύοντες οὐδὲ δυσχεραίνοντες, ὅπερ ἦν γνώμης οὐ συναινούσης τοῖς προσφερομένοις ἐπὶ τὰ μὴ καθήκοντα, καὶ τὸ μὲν σχῆμα δείκνυσι προσευχῆς, κεκλικότες γὰρ ἐπὶ τὰ γόνατα, τοῦτο τοῖς ὁρῶσι φαινόμεθα, τῇ δὲ ἐννοίᾳ τὰ τέρποντα φανταζόμεθα, φίλοις εὐμενῶς διαλεγόμενοι, ἐχθροῖς μετ' ὀργῆς λοιδορούμενοι, ἑστιωμένοις συνευωχούμενοι, τοῖς προσήκουσιν οἰκοδομοῦντες, φυτεύοντες, ὁδοιποροῦντες, ἐμπορευόμενοι, πρὸς ἱερωσύνην ἑλκόμενοι βίᾳ, οἰκονομοῦντες τὰ τῶν ἐγκεχειρισμένων ἐκκλησιῶν μετ' εὐλαβείας πολλῆς, καὶ τούτων διεξερχόμεθα πλείονα συνδιατιθέμενοι τῶν εἰρημένων ἑκάστῳ οὕτως ὡς οὐδὲ πρὸς ἕκαστον τὴν γνώμην διαθεῖναι τὸ πάθος.

ad colloquium Dei. Id vero eo modo,quo tempus pacis non fiat belli tempus, neque protenſione tẽporis vltra id, quod conuenit, detur aditus inimicis paſſionibus conſuctis in captiuitatem redigere ratiocinationes ad cogitationes ineptas, tamquam ſacro aſylo orationis auulſas, & tyrannicè adductas ad ſapientiam carnis; ea cæterum præcurrentes ratiocinationibus, quę illa dominans dicere cogit. Quis ergo huiuſmodi illorum, qui rectè ſapiũt, dixerit eſſe pugnam inuicem aduerſantium, & ancipitum ratiocinationum, quando hæc contradicit illi, & illa contendit perſuadere quodlibet, & vnaquæque ad manifeſtam vſque victoriam contra aliam ex aduerſo pugnat, & non pugilatum,aut Quinquertij bellum, atque vtinam ſaltem ſic;honeſtum enim haberetur cõſiſtere, & dimicare aduerſus ea, quæ perturbant, nec inſtar ſeruorũ emptitiorum trahi nihil repugnantes. Sæpius enim abſtracti à verbis orationis ſequimur cogitationes abducentes, neque renuimus,neque ęgrè ferimus,quod quidem eſſet mentis non aſſentientis, propellentibus ad ea, quæ non conueniunt,& ſpeciem quidem exhibet orationis; accliues enim,prouolutique in genua, id agere intuentibus apparemus, at cogitationi obuerſantur imagines delicioſæ, cum amicis beneuolè diſſerimus, inimicis iracundè conuitia ingerimus, epulantibus benè conuiuamur, cognatis domos ædificamus, plantamus, itinera facimus, commercia exercemus, ad Sacerdotium per vim tracti, diſpenſamus quæ ad Eccleſias quas ſuſcepimus regendas,pertinent cũ multa circumſpectione,& horum

rum

rum plura percurrimus adhærentes vnicuique dictorum, prout nouit affectus ad vnumquodque diſponere mentem.

CAPVT XXIII.

ORatio autem iſtud nō vult; verùm intellectum habet purum ab omni huiuſcemodi animi ſenſu, non abreptum volutatione; ſed quodcumque illud ſit, valde tamen honeſtum, præter propoſitum, neque terrenæ rei aſſumit ſenſum; at quaſi Numine afflatum, & ab his quæ conſueta ſunt, & amica corpori exemptum, ibi vbi, & propoſuit occupari, conuerſationem reuerenter inſtituendo. Et tantam menſuram habeat occupatio, quam erga ſe impendit, quantam præbet habitus exercitatione acquiſitus, vt abſque diſtractione quiſque inſiſtat in ea. Ne igitur decipere liceat ſimpliciores, atque orationis, & exercitationis Monaſticæ pariter inexpertis mandent maioris operis colore apparente, ceſſare ab eo, quod minus videtur. Scopus enim magis ipſis eſt, vti claret, quæ ab alijs apparata ſunt comedere, non quæ manibus ſuis defatigatis parta, honeſto prętextu vacandi circà orationem ſpecioſoque vultu colligentibus condimenta; quàm viuere ſicuti conducit animæ, & corpori. Qui namque diſpertitur tempus ad opera, & ad orationem, ſicut ad hoc, vel illud eſt aptum, corpus quidem edomat labore, eiuſque incompoſitos motus mitigat, vti magis conuenit: animam verò cum corpore laborantem, & remiſſionis cupidam ad orationem quaſi leuiorem deducit promptis, ac vigentibus viribus. Solatium enim aſſumit opus alternando, & ipſum

ΚΕΦΑΛ. κγ'.

ΠΡοσευχὴ δὲ οὐ βούλεται τοῦτο, ἀλλ' ἔχει τὸν νοῦν παντὸς καθαρὸν τοιούτου νοήματος, οὐ παρενθυμούμενον, ἀλλ' ὅτι κἂν ᾖ λίαν σεμνόν, παρὰ τὸ προκείμενον, οὐδὲ γηΐνου πράγματος λαμβάνει αἴσθησιν. θεοληπτούμενος δὲ ὥσπερ καὶ ἐξεστῶτα τῶν συνήθων, καὶ φίλων τῷ σώματι, ἐκεῖ, ἔνθα καὶ ἀσχοληθῆναι προέθετο τὴν ἔντευξιν μετ' εὐλαβείας ποιούμενος· καὶ τοσοῦτον ἡ πρὸς αὐτὸν ἀσχολία μέτρον ἐχέτω, ὅσον ἀπερισπάστως ἕκαστον προσεδρεύειν ἡ ποιημένη ἕξις παρασκευάσαι παρέχουσα· μὴ τοίνυν ἀπατῶν ἐξέστω τοὺς ἀκεραιοτέρους, τοῖς καὶ προσευχῆς καὶ ἀσκήσεως ὁμοίως ἀπείροις, καὶ φαντασίᾳ μείζονος ἔργου προστάττουσιν ἀνέχειν τοῦ δοκοῦντος ἐλάττονος· σκοπὸς γὰρ αὐτοῖς μᾶλλον ὡς ἔοικε τὰ παρ' ἑτέρων ἐσθίειν, οὐ σκυλλομένοις ταῖς χερσί, σεμνῇ τῇ περὶ τὴν προσευχὴν προφάσει τὰ τοῦ στόματος εὐπροσώπως ἐρανιζομένοις ὀψώνια. ἢ ζῆν ὡς καὶ ψυχῇ συμφέρει, καὶ σώματι. Ὁ μὲν γὰρ εἰς ἔργα, καὶ προσευχὴν μερίζων τὸν χρόνον, ὡς ἔχει πρὸς τοῦτο, ἢ τοῦτο ἐπιτηδειότητος, δαμάζει μὲν τὸ σῶμα τῷ κόπῳ, καὶ τὰς ἀτάκτους ὁρμὰς αὐτοῦ πραΰνει πρὸς τὸ ἐπιεικέστερον, τὴν δὲ ψυχὴν συγκαμοῦσαν τῷ σώματι, καὶ ἐπιθυμοῦσαν ἀνέσεως ἐπὶ τὴν προσευχὴν ὡς κουφοτέραν ἄγει πρόθυμον, καὶ ἀκμάζουσαν αὖθις τὴν δύναμιν. παρηγορεῖται γὰρ αὐτὴ τὸ ἔργον ἀμείβουσα, καὶ μεταβαίνουσα ἀφ' ἑτέρου εἰς ἔργον ὡς

ἀλύει τῷ ἑνὶ ἐγχειρίζουσα, βαρυνομένη μονοτρόπῳ, χαίρουσα δὲ τῷ ποικίλῳ τῆς ἐργασίας, ὥσπερ ἀποτιθεμένη τὸν πόνον, οὗ λήγειν δοκεῖ, καὶ νεαρὰ προσιοῦσα ὡς ἀρχομένη τοῦ μέλλοντος.

ipſum tranſmutando ab alio in opus alterum, vti mœrore angitur, dum in vno diù commorans aggrauatur vnico, ſingularique modo, gaudet autem varietate operationis, quaſi laborem intermittens, ac reponens, à quo ceſſare videtur, recens; accedit velut incipiens quod eſt aggrediẽdum.

ΚΕΦΑΛ. κδʹ.

Ὁ δὲ τὴν ῥᾳστώνην ἀγαπῶν τρέφει τῇ ἀργίᾳ τὰ πάθη, καὶ ταῖς ἐπιθυμίαις δίδωσι καιρὸν τῇ ἀδείᾳ διακινεῖσθαι πρὸς ἃ πεφύκασι, καὶ μάλιστα ἐν καιρῷ προσευχῆς ὅτε συνεστραμμένος ὁ νοῦς ὅλος ἐστὶ τοῦ ὀχλοῦντος, ἐκεῖνα τοῖς λογισμοῖς διεξιὼν, ἅπερ ἐπαγορεύει τὸ ἐνδιατριβόμενον πάθος, ἀντὶ τοῦ προσομιλεῖν Θεῷ, καὶ αἰτεῖν παρ' αὐτοῦ τὰ συμφέροντα, ἀνακινοῦντα τῆς ἀτιμίας ἐνθύμια. καὶ τοὺς λόγους τῆς προσευχῆς, ἐκκλίνων εἰς λόγους πονηρίας, ἢ ἀκαθαρσίας, ἢ πρὸς ὃ ῥέπει τῆς διανοίας ἐπικρατοῦσαν, καὶ καταχεχρημένος αὐτῇ πρὸς ἃ πεποίωται. Τοῦτο συμβαῖνον τοῖς τοιούτοις ὁ Παῦλος εἰδὼς, τὴν ἀργίαν διαβάλλει σπουδαίως, τὰ ἐξ αὐτῆς τικτόμενα μεθοδικῶς ἀναστέλλων κακά. φησὶ γάρ· παραγγέλλομεν ὑμῖν ἀδελφοὶ, καὶ παρακαλοῦμεν ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν. αὐτοὶ γὰρ οἴδατε, πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ μόχθῳ νυκτὸς, καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα

CAPVT XXIV.

Qvi verò deſidiam adamat, nutrit is pigritia paſſiones, prębetque occaſionem cupiditatibus licenter ſeſe permouendi ad ea, ad quæ natę ſunt, maximeq; tempore orationis, quando mens tota conuerſa eſt ad id, quod turbat cor, percurrens ratiocinationibus, quæcumque affectus obuerſans ſuggerit, vice colloquendi cum Deo, ab eoque poſtulandi, quæ conueniunt, & remouent inhoneſtorum apprehenſiones: rationes verò itidem orationis inflectens in rationes malitiæ, vel impuritatis, aut ad id, ad quod vergit dominans mẽti, & ipsâ ad ea, ad quæ affectum eſt, abutens. Id ipſis contingere probè ſciens Paulus, pigritiam vehementer criminatur, mala ex ipſa progenerata ordine referens; ait enim: Enunciamus vobis, fratres, & adhortamur vos in nomine Domini noſtri Ieſu Chriſti, vt ſubtrahatis vos ab omni fratre ambulante inordinatè, neque ſecundum traditionem, quam à vobis receperunt. Ipſi enim ſcitis, quemadmodum nos oporteat imitari, quoniam non inordinati fuimus inter vos, neque gratis panem mãducauimus ab aliquo, ſed in labore, atque defatigatione noctu

diuque

diuque operantes, ne quem veſtrum grauaremus, non quaſi nõ habuerimus poteſtatem, ſed vt noſmetipſos formã daremus vobis ad imitandum nos. Nam & cum eſſemus apud vos, hoc denunciabamus vobis, quoniam ſi quis nõ vult operari, neque manducet. Audiuimus enim, apud vos quoſdam inordinatè ambulare nihil operantes, ſed curioſè agentes. Iis autẽ, qui eiuſmodi ſunt, denunciamus, & obſecramus per Dominum noſtrum Ieſum Chriſtum, vt cum ſilentio operantes ſuum panem manducent.

ὑμῶν, οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ᾽ ἵνα τύπον ἑαυτοὺς δῶμεν ὑμῖν πρὸς τὸ μιμεῖσθαι ἡμᾶς. καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. ἀκούομεν γάρ τινας ἐν ὑμῖν ἀτάκτως περιπατοῦντας μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους. Τοῖς δὲ τοιούτοις παραγγέλλομεν, καὶ παρακαλοῦμεν διὰ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσι.

CAPVT XXV.

Plurimis argumentis exaggerat aſperam reprehenſionem; etenim inordinationem appellans pigritiam, & vt ne manducet, proponens, qui non laborat operando, ſeque ipſum die ac nocte in opere defatigatum, in formam, & delineationem exemplarem exhibens, & nõ illos ipſos, ſed alios de iiſdem arguens, & ſubtrahens ab eis valetudine firma perfruentes, ac ſi morbo peſtilenti detenti eſſent; plurimam, & intolerandam oſtendit indignationem. Enimuerò multis multorum malorum cauſa eſt pigritia, quæ præ otio conſueta vitia valdè auget, & quæ hactenùs inſueta erant edocet, innouatrix quippe eſt, multumque facilitatis habet ad mala noua excogitanda; eamque præclarè Paulus in prædictis, & alijs in compluribus demonſtrat abominandam, & fugiendam exhortatur, iraſcens, dolens, increpans, omnemque contendens ſtudioſè modum, vt flectat inordinatos, quemadmodum ipſe

ΚΕΦΑΛ. κε΄.

Πολλοῖς τεκμηρίοις αὐστηρὰν ποιεῖ τὴν ἐπιτίμησιν. καὶ γὰρ ἀταξίαν τὴν ἀργίαν εἰπὼν, καὶ τὸ μὴ ἐσθιέτω ὁ μὴ ἐργαζόμενος προσθεὶς, καὶ ἑαυτὸν ἡμέρας καὶ νυκτὸς ἐν τῷ ἔργῳ μοχθοῦντα τύπον, καὶ ὑπογραμμὸν δεδωκὼς, καὶ τὸ μὴ αὐτοῖς ἐκείνοις, ἀλλ᾽ ἑτέροις ὑπὲρ αὐτῶν ἐγκαλεῖν, καὶ τὸ στέλλεσθαι ἀπ᾽ αὐτῶν τοὺς ὑγιαίνοντας, ὡς λοιμώδει νόσῳ κεκρατημένους, πολλὴν, καὶ δυσανάσχετον ἐνέφηνε τὴν ἀγανάκτησιν. καὶ γὰρ ἐστιν ὄντως ἀργία πολλοῖς πολλῶν αἰτία κακῶν, τῇ χολῇ καὶ τὰ συνήθη αὔξουσα φαῦλα, καὶ τὰ πρὶν ἀήθη διδάσκουσα, καινουργὸς γὰρ ἐστι, καὶ πρὸς τὸ καινοτομεῖν τὰ πονηρὰ πολλὴν ἔχει τὴν ἐπιτηδειότητα, καὶ καλῶς αὐτὴν διὰ τῶν εἰρημένων ὁ Παῦλος, καὶ δι᾽ ἑτέρων πλειόνων ἀποτρόπαιον δείκνυσι, καὶ φευκτὴν παρακαλῶν, ὀργιζόμενος, λυπούμενος, ἐπιτιμῶν. καὶ πᾶσαν σχέσιν ἐπιτηδεύων πρὸς τὸ δυσωπῆσαι τοὺς, ὡς αὐτὸς ἔφη, ἀτάκτους μεθ᾽ ἡσυχίας ἐργάζεσθαι, καὶ πρὸς τοὺς ἔξω εὐσχημόνως περιπατεῖν,

ἄγκυραν εἰδὼς τῆς διανοίας εἶναι τὸ ἔργον, ὁρμεῖν παρασκευάζων αὐτὴν ἀσφαλῶς. κἂν λαίλαπες πάντοθεν ἐπιπελάζωσι, καὶ στρόβιλοι, ῥαγδαίοις πνεύμασιν ἀπειλοῦντες ναυάγιον, ἕστηκεν ἀκλινὴς αὕτη κατεχομένη, ὡς ἀγκύρᾳ τῷ ἔργῳ, ὀλίγον μετεωρίζουσιν ἐπικυματίζουσα λογισμοῖς, ἀλλ' οὐκ ἀποσπωμένη πρὸς κίνδυνον, ἐπειδὴ τῶν ὠθούντων πνευμάτων ἰσχυρότερός ἐστιν ὁ δεσμός.

ipſe loquitur, vel inquietos incuſſo pudore, quò cũ ſilẽtio trãquillo laborẽt, & erga eos, qui foris sũt, incedãt honeſtè. Sciens laborẽ eſſe anchorã mẽtis ipſam præparando vt appellat ad portũ ſecurè. Quãuis turbines vndiq; inſtent procelloſi, & impetuoſæ tempeſtates, ac vehementes venti flatibus violentis minitantes naufragium, ſtat ipſa inflexa inhærens operi velut anchoræ, parùmque ſe efferentibus fluctuat cogitationibus, ſed non ad periculum ſubeundum auulſa, quandoquidem ventis concutientibus fortius eſt vinculum.

2. Theſſ. 2.

ΚΕΦΑΛ. κϛʹ.

Οὕτως οἱ προφάσει τοῦ δεῖν προσκαρτερεῖν τῇ προσευχῇ παραιτούμενοι τὸ τῶν χειρῶν ἔργον, οὔτε προσεύχονται, τῆς διανοίας οὐ δυναμένης ἀμετεωρίστως τεταθῆναι πρὸς τὸ ποθούμενον, περισπώμενοι δὲ μετὰ τὸ μέτρον τῆς οἰκείας δυνάμεως περὶ πολλὰ οὐ καθήκοντα, καὶ τὸ σῶμα τρέφοντες ὑγρὸν καὶ ἀνεπιτήδειον ποιοῦσι πρὸς τὴν προσευχὴν αὐτὸ τούτῳ, ᾧ δοκοῦσι τῇ ἀργίᾳ παρέχειν τῇ ψυχῇ τὸ ἀμέριμνον, ἐμπλέκοντες αὐτὴν λαβυρίνθῳ ἀδιεξοδεύτων λογισμῶν. τὸ μὲν γὰρ σῶμα τῷ ἔργῳ κοπούμενον κατέχει πρὸς ἑαυτὸ τὴν διάνοιαν τῶν ὀφθαλμῶν οὐκ ἔλαττον παρεῖναι τῷ σπουδαζομένῳ ὀφείλουσαν, καὶ συνεργεῖν τούτοις πρὸς τὸ τῆς ἐνεργείας ἄπταιστον, ἀνειμένον δὲ ῥεμβεύειν αὐτῇ δίδωσιν ἄδειαν, ἐπεγειρομένων ἐν τῇ ἀνέσει τῶν παθῶν, καὶ πρὸς ἑκάστην ὑπόμνησιν ἐπιθυμίας περισυρόντων αὐτὴν κεχειρωμένην ὥσπερ αἰχμάλωτον.

CAPVT XXVI.

Sic qui ſub prætextu, quòd oporteat in oratione perſeuerare, repudiant opus manuale, non modò non orant, cum nequeat intellectus ad id, quod flagranter deſiderat, ſine incertitudine ſe extendere; verùm etiã diſtracti ſupra modum propriarum virium circa plura minimè conuenientia, corpuſque inſoleſcens enutrientes per quàm lautè, efficiunt inhabile ad orationem per hoc ipſum, quòd putant otio animæ præbere ſecuritatem, implicante ipſam labyrintho cogitationum, è quibus expedire ſe nequeant. Corpus quippe labore fractum, retinet ad ſe intellectum, qui debeat, non ſecus ac oculi, intentè præſens eſſe rei, cui ſtudet, & illis cooperari ad effectionẽ, vt in eo non offendat errabundus: ſin vero ſit molle ac remiſſum, dat ipſi facultatem vt circũagatur affectibus ea in remiſſione ſuſcitatis, & ipſũ ad vnamquamque ſuggeſtionem concupiſcentiæ circũtrahentibus ſubactum, & captiuum.

CAPVT XXVII.

SI mens igitur præſens, inſtanſque operi perfectã operationem elaborat, abſens verò eam defectuoſã exhibet, & multum ab eo, quod decet, diſſitam: quomodo habebit contenſionem & firmitatem in oratione, dum qui eã dirigit, diuulſus eſt paſſionibus, & continuò decidit nõ dico ex omninò perfecta exſtaſi, ſed & è verborũ attentione? Eſt etenim præcipua, ſummaq; perfectorum oratio raptus quidam mentis, & eorum, quæ ſecundum ſenſum ſũt, omnimoda exſtaſis ſuſpirijs ineffabilibus ſpiritu ad Deum accedente, qui videt cordis diſpoſitionem expanſam, quemadmodum libellum inſcriptum, & formis mutis ſine voce ſuam propriã voluntatẽ declarantem. Sic ad tertium vſque cælum raptus fuit
2. Cor. 12. 2. Paulus, qui ſiue foret in corpore, ſeu extrà corpus, neſciebat. Sic aliàs in Templo, cum oraret, in
Act. 22. 18. exſtaſi mentis, audiuit ſenſu cordis (auditus nempe corporis cũ alijs ſenſuum organis otiabatur propter exſtaſim) dicentem Dominum: Egredere hinc ocyus, nec enim ſuſcipient tuum de me.
Act. 10. teſtimonium. Sic Petrus aſcendens in ſuperiorem domus partem ad orandum, viſionem lintei vidit, in qua beſtię omnes, & pecora & reptilia terræ, & volatilia cœli inerant ſignificantia humanorum ſtatuum differentiam. Sic
Iob 39. 26. à Deo apud Iob præſignatus exſtitit Accipiter ſuſum extendens pennas immotè reſpiciens ea quæ ad Auſtrum, ſpecie quidem orantis compoſitionẽ nomine verò ſacram ipſius mentem patefaciens.

ΚΕΦΑΛ. κζ.

ΕἸ τοίνυν παρὼν μὲν τῷ ἔργῳ ὁ νοῦς ἐντελῆ ποιεῖται τὴν ἐργασίαν, ἀπὼν δὲ πλημμελῆ ταύτην δείκνυσι, καὶ πολὺ ἀφεστῶσαν τοῦ δέοντος, πῶς ἕξει τὸ σύντονον, καὶ ἀμετεώριστον ἐν τῇ προσευχῇ, ὁ τοῦ ταύτην ἰθύνοντος περιπτωμένου τοῖς πάθεσι, καὶ συνεχῶς ἀποπίπτοντος, οὐ λέγω τῆς παντελοῦς ἐκστάσεως, ἀλλὰ καὶ τῆς τῶν ῥημάτων προσοχῆς; ἔστι μὲν γὰρ προηγουμένη τῶν τελείων προσευχὴ ἁρπαγή τις τοῦ νοῦ, καὶ τῶν κατὰ τὴν αἴσθησιν ἔκστασις ὁλοσχερὴς, στεναγμοῖς ἀλαλήτοις τοῦ πνεύματος ἐντυγχάνοντος τῷ Θεῷ τῷ βλέποντι τὴν τῆς καρδίας διάθεσιν ἀναπτυσσομένην ὥσπερ ἐγγεγραμμένον βιβλίον, καὶ τύποις ἀφθόγγοις τὸ ἑαυτῆς ἐμφανίζουσαν βούλημα. οὕτως ἕως τρίτου ὁ Παῦλος ἡρπάγη οὐρανοῦ, ὅστις εἴτε ἐν σώματι ἦν, εἴτε ἐκτὸς σώματος, ἀγνοῶν ἦν· οὕτως ἄλλοτε ἐν τῷ ναῷ προσευχόμενος ἐν ἐκστάσει γεγονὼς, ἤκουσε τῇ τῆς καρδίας αἰσθήσει (τοῦ γὰρ σώματος ἡ ἀκοὴ μετὰ τῶν ἄλλων αἰσθητηρίων ἠργεῖ διὰ τὴν ἔκστασιν) ἔξελθε λέγοντος τοῦ Κυρίου ἐντεῦθεν ἐν τάχει· οὐ γὰρ παραδέξονταί σου μαρτυρίαν περὶ ἐμοῦ. οὕτως ὁ Πέτρος ἀνελθὼν ἐπὶ τὸ δῶμα προσεύξασθαι, τὴν ὀπτασίαν τῆς ὀθόνης εἶδεν, ἐν ᾗ πάντα τὰ θηρία, καὶ τὰ κτήνη, καὶ τὰ ἑρπετὰ τῆς γῆς, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ὑπῆρχε τὴν διαφορὰν τῶν ἀνθρωπίνων δηλοῦντα καταστάσεων. οὕτως ὁ παρὰ τοῦ Θεοῦ πρὸς τὸν Ἰὼβ προδεικνύμενος ἕστηκεν ἱέραξ ἀναπετάσας τὰς πτέρυγας ἀκινήτως καθορῶν τὰ πρὸς νότον, τῷ μὲν σχήματι τὸ συντεταγμένον τοῦ προσευχομένου, τῷ δὲ ὀνόματι τὸν ἱερὸν νοῦν τούτου παραδηλῶν.

CA.

ΚΕΦΑΛ. κη'.

Δευτέρα δὲ μετὰ τὴν πρώτην ἐστὶ προσευχὴ τὸ λέγειν τὰ ῥήματα παρακολουθοῦντος τοῦ νοῦ μετὰ κατανύξεως, καὶ εἰδότος, ᾧ προσάγει τὴν δέησιν· μεσολαβουμένη δὲ λογισμοῖς προσευχὴ, καὶ πεφυρμένη φροντίσι σωματικαῖς μακρὰν τῆς τοῦ προσευχομένου ἀφέστηκε καταστάσεως. εἰ γὰρ αὐτὸς οὐκ ἀκούει ὁ προσευχόμενος ἑαυτοῦ τὰ πολλὰ μετεωριζόμενος, καὶ οὐκ εἰδὼς τίνα λέγειν ἔδοξε ῥήματα, πῶς ἕξει τὴν θείαν ἀκοὴν προσέχουσαν τούτοις, οἷς αὐτὸς προσέχειν περισπώμενος οὐ δεδύνηται; οἱ γὰρ λέγοντες, πρόσχες πρὸς τὴν δέησίν μου, καὶ ἐνώτισαι τὴν προσευχήν μου, καὶ γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου, ὅλον τὸν νοῦν εἶχον ἐκεῖ σπουδαίως συνεστραμμένον, καὶ οὐ διαχεόμενον, ἐφ᾽ ἃ διαχεῖσθαι, καὶ σκίδνασθαι τῶν ῥαθύμων ἀλωμένη εἴωθεν ἡ διάνοια.

CAPVT XXVIII.

Secunda verò a prima oratio eſt dicere verba mente proſequente illa cum compunctione, & ſciente ad quem deducit ſupplicationem. Intercepta verò cogitationibus corporeiſque ſolicitudinibus confuſè permiſta precatio longè diſſita eſt à ſtatu orantis. Nam ſi orans ſemet ipſum non audit ad plurima inſtabilis, neque ſcit, quęnam viſus eſt pronuntiare verba: quo pacto Diuinam obtinebit audientiam iſtis attendentem, quibus ipſe attendere diſtractus vndique minimè potuit? Nam qui dicebant: Intende ſupplicationem meam, & auribus percipe orationem meam; .16.1
&, Fiant aures tuæ intendentes ad Pſ.129.2
vocem deprecationis meæ; mentem vniuerſam habebant eò ſtudioſè conuerſam, & minimè diffuſam in ea, ad quæ diffundi & diſſipari ſolita eſt negligentium vagabunda cogitatio.

ΚΕΦΑΛ. κθ.

Οὕτω μὲν οὖν εἶχεν ἡ τῶν ἁγίων ἀκτημοσύνη, ὡς μικρῷ πρόσθεν εἴρηται, καὶ τοσαῦτα παρεῖχεν αὐτοῖς, ὅσα κατὰ χώραν κατείλεκται. Ἔχει δὲ καὶ ἡ μέση πολὺ μετ᾽ ἐκείνην τὸ χρήσιμον, τοῖς καιροῖς, καὶ τῇ ἀνάγκῃ τοῦ σώματος οὖσα κατάλληλος· εἰ γὰρ καὶ τῶν πρωτείων ἐστὶν ἀντιποιεῖσθαι οὐχ οἵα τε, οὔτε πρὸς τὴν ὑπερέχουσαν ἀγωγὴν ἰσοτιμίαν αὐχεῖν, ἀλλὰ τὰ δευτερεῖα τῆς τιμῆς ἔχειν, καὶ τούτων παραχωρεῖν, τρίτῃ καὶ τετάρτῃ τάξει τῶν ἀμελεστέρως βιούντων, οὐκ ἀνέχεται, οὐκ ἀπολειπομένη τοσοῦτον τῆς πλειότητος, ὅσον προέχει τῆς

CAPVT XXIX.

Eo itaque modo ſe habuit Sanctorũ paupertas, vt paulò antea dictum fuit, ac præſtitit ipſis (eam amplexis) prærogatiuas, quotquot per ordinem ediſſeruiſſe contigit. Habet verò & media plurimum poſt illam vtilitatis temporibus, & neceſſitati corporeę congruens: etſi enim talis non eſt, quæ vendicet ſibi primas, nec de honore æquali ad ſupereminentem inſtitutionem gloriari poſſit, tamen partibus in ſecundis conſiſtere, atque his, qui in tertio & quarto ordine negligentius

gentiùs viuunt, cedere non ſuſtinet, & à perfectione non tantum deficit, quantum diuerſæ viuendi formæ præcellit. Primi ſiquidem Sancti animæ ſoli viuebant, & Deo, qui hanc fecit, nullam corporis habentes rationem: vnde tempeſtiuè quæ neceſſaria erant habuerunt ſine ſolicitudine benè congrua non repoſita in penuarijs cellis, & educta velut ex horreo appoſitè ad tempus ex Diuina voluntate. Qui vero poſt ipſos fuere, curam gerentes neceſſarij ſolatij ad mulcendum corpus, neue animal neglectum deperiret præter voluntatem eius, qui vtrumque cōiunxit, prouidentes, manibus vtebantur ad opus tanto tempore, quanto ad miniſtrandum neceſſitati opus erat ineuitabili; reliquo verò, quod ſupererat, tempore, vacabant animæ curandæ, precibus, & lectionibus, ac exercitatione in rebus conuenientibus ſibi ad honeſta profectum, vti decebat, procurantes.

διαφορᾶς διαγωγῆς. Οἱ μὲν γὰρ πρῶτοι ἅγιοι ψυχῇ μόνῃ ἔζων, καὶ Θεῷ τῷ ταύτην ποιήσαντι, οὐδένα ποιούμενοι λόγον τοῦ σώματος, ὅθεν καὶ ἀμέριμνον ἐν καιρῷ τὴν χρείαν εἶχον εὐπρεπῆ, οὐκ ἀποτεθεῖσαν ἐν ἀποθήκαις, καὶ παραγινομένην ὡς ἐκ ταμείου πρὸς τὴν ὥραν ἐκ θείας βουλῆς. Οἱ δὲ μετ' αὐτοὺς τῆς ἀναγκαίας τοῦ σώματος παραμυθίας φροντίζοντες, καὶ ὅπως μὴ ἀμεληθὲν διαφθαρῇ τὸ ζῷον παρὰ τὸ θέλημα τοῦ συνδήσαντος προθυμούμενοι, τοσοῦτον τῷ ἔργῳ κεχρῶσι τὰς χεῖρας, ὅσον τῇ ἀπαραιτήτῳ λειτουργῆσαι ἀνάγκῃ· τὸ δὲ πλεῖον τοῦ καιροῦ τῇ ψυχῆς σχολάζουσι ἐπιμελείᾳ, προσευχαῖς, καὶ ἀναγνώσμασι, καὶ γυμνασίᾳ τῶν καθηκόντων τὴν ἐν τοῖς καλοῖς προκοπὴν αὐτοῖς ὡς ἔχει πραγματευόμενοι.

CAPVT XXX.

Atqui horum poſtremi, fuere eum omninò forent carnei, ſe totos terreni ſimulacri famulitio addixerunt, terram excolentes, iumēta nutrientes, agitantes mercimonia, omnemque commerciorum artem præter conſectantes, non quęcumque carnis ad vitam fouendā ſufficiunt, habere volentes, verùm quęcumq; exhiberent ipſos non inferiores his, qui lepidi ac elegātes opibus circumfluunt, vt exinde illuſtres demoſtrentur, affectātes; quandoquidē ex inſtituti obſeruatione gloriā ſibi nō pepererunt, e ſumptuoſa elegantia ſibi ipſis, vti cenſent, fore inſignes. In eoque luculenter ſeipſos amentiæ arguunt, quòd criminationem laudi ducunt, ac in hiſce videri, & ad-

ΚΕΦΑΛ. λ'.

Οἱ δὲ τούτων ἔσχατοι σάρκες παντελῶς ὄντες, τῆς θεραπείας ὅλοι τοῦ γηΐνου ἀνδριάντος γεγόνασι, γηπονοῦντες, κτηνοτροφοῦντες, ἐμπορευόμενοι, καὶ πᾶσαν ποριστικὴν μετερχόμενοι τέχνην, οὐχ ὅσα πρὸς τὴν ἐν σαρκὶ ζωὴν ἐπαρκεῖ θέλοντες ἔχειν, ἀλλ' ὅσα δείκνυσιν αὐτοὺς τῶν ἐν περιουσίᾳ κομψῶν οὐκ ἐλάττονας, ἵνα κἀντεῦθεν φαντασιῶντες δειχθῶσιν, ἐπεὶ μὴ ἐκ πολιτείας ἐκτήσαντο τὸ ἐπίδοξον, ἐκ πολυτελείας ἑαυτοῖς ὡς δοκοῦσι μνώμενοι τὸ ἐπίσημον, καὶ τοῦτο σαφῶς ἑαυτοὺς τῆς ἀνοίας στηλιτεύοντες τῷ τὴν κατηγορίαν νομίζειν ἐγκώμιον, καὶ δοκεῖν ἐπὶ τούτοις καὶ θαυμάζεσθαι ἐφ' οἷς εἰσι

χλεύης καὶ γέλωτος ἄξιοι. ὡς γὰρ τὰ ἡρμοσμένα ἑκάστῳ ἐπιτηδεύματι τῆς ἀποδοχῆς διδόασιν εὐλόγους τὰς ἀφορμάς, οὕτω τὰ μὴ καθήκοντα κἂν ὦσιν ἑτέρῳ ἄλλῳ ἐπαινετὰ, πολλὴν τὰ πρὸς ὃ μὴ ᾠκείωται τὴν καταγνωσιν ἔχει. Οὐδεὶς γοῦν κροβύλῳ χρυσῷ, καὶ πολυτίμοις λίθοις ἐξησκημένον ἐπῄνεσεν ἄνδρα, οὐδὲ πόρπην, καὶ χλαῖναν περιθέμενον ἀπεδέξατο γύναιον. ὃν γὰρ ἀπένειμεν ἑκάστῳ κόσμον ἡ φύσις, ἐπὶ καινοτομίᾳ χλεύης ὑπόθεσις γίνεται.

& admirationi fore, in quibus digni ſunt ludibrio, atque riſu. Quemadmodum enim quæ vnicuique inſtituto ſunt aptata, dant facilè motus vt recipiantur: ita quæ haud congruunt, etſi aliunde laudabilia, plurimam ſortiuntur repugnantiam ad illud, quod non eſt his accommodatum. Nullus igitur virũ aureo capillorum nodo, & lapillis ingentis pretij exornatum dilaudauerit, neque mulierculam fibula, & læna circumueſtitam approbauerit. Ornatus enim, quem vnicuique natura diſtribuit, innouatione fit deriſionis argumentum.

ΚΕΦΑΛ λα.

Τίσιν οὖν ἐν μεθορίῳ τῶν παρ' ἑκάτερα εἰσὶν οἰκειότεροι; πάντως οἷς μᾶλλον πλησιάζουσι τῷ ἔργῳ, καὶ τούτων κεκράγασι τὴν συγγένειαν, ὧν ἐγγὺς εἶναι τῷ βίῳ σπουδάζουσι. οὐ γὰρ ἐπειδὴ τὴν μεταιχμίων ἔχουσι τάξιν, ἤδη καὶ ῥέπουσι ἐπ' ἄμφω ὁμοίως, τῶν μὲν γὰρ ἡγουμένων εἰσὶν ὀπαδοὶ τούτοις ἑπόμενοι, καὶ νεαρῷ τῷ ἴχνει αὐτῶν ἐπιβαίνοντες, τῶν δὲ ἐφυστεριζόντων καὶ τοσοῦτον ἀπέχουσιν, ὅσον οἱ τρέχοντες τῶν βάδην ὁδευόντων, ἢ κατὰ χώραν μενόντων, κατ' ὀλίγον χωρίζονται. τίς γὰρ τοῖς πολυύλοις κοινωνία πρὸς τοὺς ἀκτήμονας; τίς δὲ συμφωνία τοῖς τὰ τῆς σαρκὸς φρονοῦσι πρὸς τοὺς φρονοῦντας τὰ τοῦ πνεύματος; τίς μερὶς τοῖς ἀναφυρομένοις ἐν πράγμασι μετὰ τῶν ἀμερίμνως δουλευόντων τῷ Θεῷ; οὗτοι κατέλειπον ἀποστολικῶς, κἂν βραχέα ἦν ἃ ἐκέκτηντο, ἐκεῖνοι καὶ ἃ μὴ εἶχον ἐκτήσαντο. οἱ μὲν ἡσυχάζουσιν ἔνδον ἐπιεικείας ἐπιμελούμενοι, καὶ σεμνότητος, οἱ δὲ παγκρατιάζουσιν ὑπὲρ χρημάτων, καὶ κτημάτων μαχόμενοι. οἱ

CAPVT XXXI.

Quibuſnam itaque in confinio vtrinque ſunt propinquiores? Iis omnino, quibus magis approximant opere; & horum cognationem velut acclamãdo expoſcunt, quibus prope ſtudent eſſe vitæ ratione. Non enim quandoquidem ordine ſunt velut interſtitio diuiſi, vergunt ſimiliter mox in vtramq; partem; aſſectantur enim ſuos duces, ipſis continuò inhærent, & recenti veſtigio ipſorũ inſiſtunt: ab ijs autem, qui inferiores ſunt, tantũ abſunt, quantum currentes ab ijs, qui pedetentim incedunt, aut ab his qui identidem ſubſiſtunt, paulatim ſeparantur. Nam quæ communio his, qui opibus affluunt, ad eos, qui nihil poſſident? Quę conſonantia his, qui ſapiunt ea, quæ ſunt carnis, cum his qui ſapiunt ea, quę ſunt ſpiritus? Quę pars his, qui in negotijs confuſim permiſti ſunt, cum famulantibus Deo abſque curis ſæculi? Iſti Apoſtolicè dereliquerunt, quantumuis forent exigua, quæ poſſidebant, illi & ea, quæ non habebant, acqui-

acquiſierunt. Hi quidẽ ſilent quieti modeſtiam intus curantes, atque grauitatem; iſti verò pugnantes veluti quinquertio inualeſcunt ſuper pecuniis, & poſſeſſionibus. Hi quidem de cęleſtibus bonis aduerſus ſpiritualia nequitiæ legitimè certant, vti luctatores; iſti autem de terrenis cum poſſeſſionum conſortibus bellum gerunt pariter ab ipſis bello appetiti. His equidem tempus impenditur ad curam ſalutis animarum; at iſtis vix omnis vita ſufficit ad multimodas occupationes corporis diſtributa. Hi profectò procul negotijs victitantes eos, qui intuentur, diſponunt ad gratias agendas; verùm iſti blaſphemiarum auctores aduerſantur illis nihil dignum mandato Diuino perficientes.

μὲν περὶ τῶν οὐρανίων ἀγαθῶν πρὸς τὰ πνευματικὰ τῆς πονηρίας νομίμως παλαίουσιν, οἱ δὲ περὶ τῶν γηΐνων τοῖς συγκεκτημένοις πολεμοῦσιν ὁμοίως παρ' αὐτῶν πολεμούμενοι· τοῖς μὲν ὁ χρόνος δαπανᾶται εἰς μέριμναν σωτηρίας ψυχῶν, τοῖς δὲ πᾶς ὁ βίος μόλις ἀρκεῖ εἰς τὰς πολυτρόπους ἀσχολίας τοῦ σώματος μεριζόμενος· οἱ μὲν εὐχαριστεῖν ἀπραγμόνως βιοῦντες τοὺς ὁρῶντας παρασκευάζουσιν, οἱ δὲ βλασφημίας αἴτιοι τούτοις καθίστανται, οὐδὲν τοῦ ἐπαγγέλματος πράττοντες ἄξιον.

CAPVT XXXII.

Philip. 2. 15. His quidem dicit Paulus, Lucetis vt luminaria in mundo, ſplendentes prorſus conuerſatione inſigni, & æmulationis bonæ ſpectantibus effecti pararij: Rom. 2. 24. at iſtis; Per vos blaſphematur nomen meum, cum ſcilicet inſtitutioni contraria perpetretis, & habitum circumferatis contradicentem operibus. Vnde conuenienter hi ſuſpiciuntur, illi verò deſpiciuntur & deſpuuntur; hi beati prædicantur, illi autem miſeri deplorantur; hi diliguntur iure merito, illi autem non iniuria odio habentur. Quis nempe non amabit merito eum, qui omnino abalienatus eſt à tumultibus externis, & vitam amplectitur quietam, & abſque negotijs? Quis non diliget obſtupeſcens auerſum à contentioſis lucris in ſocietate acquiſitis, ac odijs, & aggreſſionibus eamdem artem profitentium, vſque ad intra domum ſolitudinem præcauentem item ne faciat quid

ΚΕΦΑΛ. λβ.

Τοῖς μὲν φησιν ὁ Παῦλος, φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λάμποντες πάντως τῷ ἐπισήμῳ τῆς πολιτείας, καὶ ζήλου τοῖς βλέπουσιν ἀγαθοῦ γινόμενοι πρόξενοι, τοῖς δὲ, δι' ὑμᾶς βλασφημεῖται τὸ ὄνομά μου, τῷ ἐπιτηδεύματι δηλονότι πράττοντας ἐναντία, καὶ τὸ σχῆμα περιφέροντας ἀντιφθεγγόμενον τοῖς ἔργοις· ὅθεν εἰκότως οἱ μὲν θαυμάζονται, οἱ δὲ διαπτύονται· οἱ μὲν μακαρίζονται, οἱ δὲ ταλανίζονται· οἱ μὲν ἀγαπῶνται δικαίως, οἱ δὲ μισοῦνται μῖσος οὐκ ἄδικον. τίς γὰρ οὐκ ἀγαπήσειεν εἰκότως τὸν παντελῶς ἀποτεταγμένον τοῖς ἔξω θορύβοις, καὶ τὸν ἀπράγμονα, καὶ ἡσύχιον ἑλόμενον βίον; τίς οὐκ ἂν ἀγαπήσειε τεθηπὼς τὸν ἐκτρεπόμενον τὰς ἐριστικὰς τῶν συγκτήσεων, καὶ τὸν ὁμοτέχνων ἀφορμὰς καὶ τῇ κατ' οἶκον ἐρημίᾳ, καὶ τοῦ δρᾶσαί τι τῶν ἀνηκέστων, καὶ

τῷ παθεῖν ὁμοίως ἐξιστάμενος, τὸν μὲν οὔτε ὀχλοῦντα, οὔτε ὀχλούμενον, οὔτε ἀδικοῦντα, οὔτε ἀδικεῖν βουλόμενον, οὔτε ἀδικηθῆναι δυνάμενον· τὸ μὲν γὰρ οὐχ αἱρεῖται γνώμῃ κἂν δύνηται, τὸ δὲ οὐχ ὑφίσταται οὐ παρούσης ὕλης, εἰς ἣν ἀδικηθήσεται;

quid pernicioſum, aut ſimiliter patiatur; non turbantem, neque turbatum; non iniuſta patrantem, nec iniuſta patrare volentem, & cui nec iniuria poteſt inferri: alterum enim, quamuis poſſet, animi ſententia non amplectitur, alterum vero non ſubſiſtit, non apparente materia, in qua ei damnoſa infligatur iniuria?

ΚΕΦΑΛ. λγ.

Τίς δὲ οὐ συγεάσειν λόγος τὸν ἀπηλλάχθαι λέγοντα τοῦ βίου, καὶ τοῖς τούτου περισπασμοῖς ἐμπλεκόμενον; καταπεφρονηκέναι τοῦ κόσμου καυχώμενον, καὶ τῶν ἐν αὐτῷ πραγμάτων μανικῶς ἀντεχόμενον; ὑπερορᾶν τῶν γηΐνων ἐπαγγελλόμενον, καὶ τοῖς ἔργοις ψευδόμενον τὴν ὑπόσχεσιν; χλεύην τὰ ἐν ἀνθρώποις πεποιημένον ὥς φησι δοκοῦντα κομψά, καὶ σπουδάζοντα τῶν ἄλλων ἀνθρώπων πλέον αὐτά; χαίρειν εἰπόντα τῇ ματαιότητι, ὁ οὐ κεχωρισμένον αὐτῆς; σταυρὸν, καὶ θάνατον τὴν ἀποταγὴν ὁμολογήσαντα, καὶ οὐδὲν νεκρώσεως τεκμήριον ἐπιδεικνύμενον; Ἐξῆλθες ἐξ Αἰγύπτου ὦ οὗτος, τί σοι καὶ τῇ πλινθείᾳ λοιπόν; ὁδοιπορεῖς τὴν ἔρημον ἐπὶ τὴν γῆν τῆς ἐπαγγελίας ἐπειγόμενος, τί ταῖς ματαίαις ἐγχρονίζεις φιλοπονίαις; βραδὺς ὁδίτης πρὸς τὴν μακρὰν ἀποδημίαν γενόμενος. πολλῆς σπουδῆς χρῄζει ὁ προκείμενος δρόμος, μὴ ἐμπλάζου ταῖς ἀνοδίαις, ἵνα μὴ ἐκπέσῃς τῆς καταπαύσεως· ἐπέβαλες τῇ ἐχέτλῃ τοῦ ἀρότρου τὴν χεῖρα, τί στρέφῃ εἰς τὰ ὀπίσω ἀνεύθετος τῇ τῶν οὐρανῶν βασιλείᾳ γενόμενος; ἀφῆκας τὸν ἐμπορισμὸν τῆς Πενταπόλεως, τί περιβλέπῃ ποθῶν ἰδεῖν τὰ γενόμενα;

CAPVT XXXIII.

Qvis vero ſermo non odioſum efficiat eum, qui dicit ſe mutaſſe vitam, & tamen ipſius diſtractionibus implicatur? gloriatur ſe contempſiſſe mundum, & tamen ad furorem vſque rebus, quæ in eo ſunt, adheret? denuntiat ſe terrena deſpicere, atque operibus promiſſionem ementitur? habet, vt ait, ludibrio, quæ apud homines elegantia, & compta cenſentur; & his ſtudioſiùs, quam alij homines, incumbit? vale dixit vanitati, cum ab illa nullatenus ſit ſeparatus? profitetur Crucem, & mortem ſuam abrenuntiationem; nullumque mortificationis indicium oſtendit? Exiſti ex Ægypto bone vir: quid tibi, & operi lateritio reliquum ſupereſt? Iter facis per ſolitudimem deſertam properans contendere in terram promiſſionis; quid vanis immoraris opificijs? Tardus viator ad longam pregrinationem effectus es. Multum ſtudium requirit curſus propoſitus: ne vageris errabundus per itinera imperuia, vt ne paſſim excidas a fine quieto, quem appetis? Inieciſti manum aratri ſtiuæ; quid conuerſus ad ea, quæ retro ſunt, Regno cælorum

lorum euadis inutilis? dimiſiſti Pentapolis incendium; quid circumſpicis deſiderans videre, quæ ibi fiunt.

CAPVT XXXIV.

SVſtuliſti Crucem, ſequere Chriſtum omnia relinquens, patrem, nauim, retia, & omnis artis inſtrumenta, & poſt hæc habitudinem omnem, & memoriam cognationis; nam plus hiſce omnibus diligi vult, cui te conſecraſti, Chriſtus. Cum ipſo mortuus es, conſepultuſque ipſi beata ſepultura exemptionis à paſſionibus. Quid viuentium paſſiones rurſus ſuſtines, plurimam carnis curam ad cupiditates ciendas aggerens? Pauculo ſolatio corpus indiget; id procura, quandoquidē ipſi interim colligatus es, vt etiam ad virtutis opera perficienda illud habeas cooperans, & animæ progreſſus minimè impediatur per exiguum tempus volens totum habere, vixque illo breui ad neceſſitatem dignus habitus. Qui autem boum curam gerens, & pecudum greges quotidie enumerans vitibus, atque nemoribus, & aruis conſitis, ac hortis ſemper deſeruit, cum non ſufficiat diurnum ſpatium ad horum miniſterium: quomodo, aut quando reminiſcendi Dei tempus habebit? quando pſallet? quando deprecabitur? quando vacabit exercitio moralis, & naturalis, & Theologicæ contemplationis? ſi verò & hoc poſſit rarò fieri quaſi digreſſio ex multis occupationibus: quomodo puram porriget Domino ſupplicationē mente nō diuulſa ab his, quorum gerit multam ſolicitudinem, & curam? Quo pacto motiones affectuum aſſequetur, vt dignoſcat diſcrimen mutationis

ΚΕΦΑΛ. λδʹ.

Ἦρας τὸν σταυρὸν, ἀκολούθει Χριστῷ πάντα καταλιπὼν, πατέρα, πλοῖον, δίκτυα, καὶ πάσης ὄργανα τέχνης, καὶ μετὰ τούτων πᾶσαν σχέσιν, καὶ μνήμην συγγενικήν· πλεῖον γὰρ τούτων ἁπάντων φιλεῖσθαι θέλει ᾧ συνετάξω Χριστός· ἀπέθανες σὺν αὐτῷ, συνετάφης αὐτῷ τὴν μακαρίαν τῆς ἀπαθείας ταφὴν, τί πὲ τῶν ζώντων πάλιν ὑφίστασαι πάθη, πολλὴν φροντίδα τῆς σαρκὸς εἰς ἐπιθυμίας ποιούμενος; Ὀλίγης χρῄζει παραμυθίας τὸ σῶμα· ταύτην μέριμνα, ἐπειδὴ τέως συνδέδεσαι τούτῳ, ἵνα καὶ πρὸς τὴν ἐργασίαν τῆς ἀρετῆς ἔχῃς αὐτὸ συνεργὸν, καὶ ἡ τῆς ψυχῆς μὴ ἐμποδίζηται προκοπὴ, τὸ πᾶν ἔχειν παρὰ μικρὸν θέλουσα τοῦ καιροῦ, καὶ μόλις ὀλίγου πρὸς ἀνάγκην ἀξιουμένη. Βοῶν δέ τις ἐπιμελούμενος καὶ προβάτων ἀγέλας καθ' ἡμέραν μετρῶν, ἀμπέλους, καὶ ἄλση, καὶ λήϊα, καὶ κήπους θεραπεύων ἀεὶ, οὐκ ἀρκοῦντος τοῦ ἡμερησίου διαστήματος πρὸς τὴν τούτων ὑπηρεσίαν, ποῦ, ἢ πότε καιρὸν ἕξει μνήμης Θεοῦ; πότε ψαλεῖ; πότε προσεύξεται; πότε γυμνασίᾳ σχολάσει ἠθικῆς, καὶ φυσικῆς, καὶ θεολογικῆς θεωρίας; εἰ δὲ καὶ πάρεργον δυνηθείη τῶν πολλῶν ἔργων τοῦτο ποιήσασθαι σπανίως, πῶς καθαρὰν προσοίσει τῷ δεσπότῃ τὴν δέησιν, τῆς διανοίας οὐκ ἀποσπωμένης ἐκείνων, ὧν πολλὴν ἔχει φροντίδα, καὶ ἐπιμέλειαν; πῶς κινήμασι παρακολουθήσει παθῶν, ὡς γνῶναι τὴν χθὲς, καὶ σήμερον τῆς ἐπὶ τὸ βέλτιον, ἢ χεῖρον μεταβολῆς τὴν διαφορὰν; πῶς λογισμῶν εὑρήσει με-

περιπλοκὰς ἄλλοις ἄλλων ἐπαμειβομένων ποικίλας, καὶ ποιούντων, καὶ παρατήρησιν δύσκολον;

tionis heſternæ, atque hodiernæ in melius, vel in peius? qua ratione cogitationum adinueniet interplicationes aliarum ex alijs variè ſuccedentium inuicẽ, & efficientium obſeruationem perdifficilẽ?

ΚΕΦΑΛ. λέ.

Αἰσχροὶ γὰρ προηγοῦνται σεμνοί, καὶ φιλαργύρων συμπαθεῖς τῷ δοκεῖν, καὶ ἐλεήμονες, καὶ μνησικάκων διόρθωσιν ἐπαγγελλόμενοι τῆς κινούσης τὰ τῆς λύπης αἴτια, κενοδόξων τε, καὶ ὑπερηφάνων οἱ τελειότητα τῆς ἀρετῆς ὑπισχνούμενοι, καὶ πάντας ἁπλῶς τοὺς πονηροὺς προλαμβάνουσιν οἱ δοκοῦντες ἀστεῖοι βουκολοῦντες τῇ φαντασίᾳ τοῦ ποθουμένου τέως καλοῦ τοὺς ἀπειράτους τῆς τοιαύτης ἀπάτης, ὕστερον δὲ προσπίπτοντες τοῖς ἐναντίοις περιτρεπομένους αὐτούς, καὶ τὴν ἀπάτην ἐπανορθώσασθαι μόλις, ἢ οὐδαμῶς δυναμένους λοιπόν. πεποιωμένος γὰρ τοῖς ἤδη λελογισμένοις ὁ νοῦς κἂν αἴσθηται τῆς πλάνης, δυσχερῶς ταύτης ἀφίσταται πλέον τῇ τέρψει τῶν ἡδέων ἑλκόμενος, ἢ ὅσον φυγεῖν τῶν οὐ συμφερόντων τὴν βλάβην ἠπείγετο. Οὕτως οὖν τούτων ἐχόντων, καὶ τοσαύτης δεομένων σπουδῆς, ποῦ σοι λοιπὸν καιρὸς ἐπιτήδειος ὑπολέλειπται πρὸς τὴν παρὰ τοῦ δέοντος ματαιοπονίαν; ἢ οὐχ ὁρᾷς, πῶς δι' ἡμέρας μὲν τὰ πράγματα, νύκτωρ δὲ θλίβουσι τούτων αἱ μνῆμαι, τὸν καιρὸν τῆς ἀναπαύσεως ὀδυνῆς ποιούμεναι; τότε γὰρ τοὺς παρορίσαντας αὐταὶ τοὺς λυμηναμένους καρποὺς τοὺς ὑδρομερίαν κωλύσαντας τοὺς νομὴν καταβοσκήσαντας, καὶ τοὺς ὁτιοῦν ἕτερον ἀδικοῦντας, ἢ ἀδικήσαντας παράγουσαι πρὸς ἕκαστον ὡς φιλονεικοῦσι καὶ μάχονται, ἐκμαίνουσι μὲν πρὸς ἄμυναν τῆς ψυχῆς

CAPVT XXXV.

Honeſti namque præcedunt turpibus; auaris compatientes, vt videtur, & miſericordes; ijs, qui ſunt veterũ iniuriarum memores, ij, qui correctionẽ denunciant partis, quæ doloris cauſas cõmouet; vanis, atq; ſuperbia elatis ij, qui perfectionem virtutis pollicẽtur; omnes tãdẽ, malos anteeunt ij, qui videntur vrbani permulcentes imaginatione honeſti deſiderati tamdiu eos, qui ſunt inexperti huiuſcemodi deceptionis, poſtremò verò ſe ipſos aduerſarijs mutatos, conuerſoſque exhibentes, & deceptionem rurſus emendare vix, aut nullatenus valentes deinceps. Mens quippe his, quæ iam ratiocinata eſt, affecta, quamuis fraudem perſentiſcat, ægrè ab illa dimouetur, plus illecta delectatione rerum ſuauium, quantumcumque ad fugiendam noxam rerum inutilium proueharur. Sic igitur cum hæc ſeſe habeant, tantoque indigeant ſtudio, quomodo tibi tempus idoneum de reliquo ſubterlinquitur ad inanem laborem, præter fas? An non vides, quomodo per diem negotia, noctu verò te atterunt eorum recordationes, dum tempus indultum quieti vertunt in tempus doloris? Tunc enim ipſæ illos, qui fines tranſilierunt, illos, qui fructus corruperunt, qui prohibuerunt irrigationem, qui paſcua depaſti

ſunt, & quocumque alio modo damnum dant, vel dederunt, tranſuerſos degentes in vnumquodque prout contendunt, ac certant, agunt in furorem ad vindictam animæ iraſcibilem vim; ſomno verò, & quieti tempus minimè præbent, ne quidem orationi, quæ indiget multa vndequaque tranquillitate, & vacatione, atque in parte exhibet animum à curis vacuum.

τὸ θυμικὸν μέρος, ὕπνῳ δὲ, καὶ ἀναπαύσει καιρὸν οὐ παρέχουσι, μήτοιγε προσευχῇ πολλῆς δεομένῃ πάντοθεν ἡσυχίας, καὶ σχολῆς, καὶ ἐν μέρει παρεχούσης τὸ ἀμέριμνον.

CAPVT XXXVI.

1. Cor. 7. 32. QVid enim dicit Paulus? Volo vos abſque ſolicitudine eſſe; & adijcit: Qui ſine vxore eſt, curat ea, quæ Domini ſunt, quomodo ipſi placeat; ſed qui duxit vxorem, cogitat, quæ ſunt mundi, quomodo placeat vxori. Itaque ſi Deo ſeruire ſine ſolicitudine non licet, quare non ducunt vxores, & illarum graue onus, moleſtumque non ſuſtinent, qui non ſunt ſoliciti, quomodo placeant Domino? Nihil enim diſcrepant ab his, qui coniugati ſunt, qui ſunt pariter, atq; illi eorum, quę ad mundum pertinent, ſoliciti; nec habent quod querantur in hoc, imò potiùs, quod condemnentur multò magis. Illis enim aliquantulum ſaltem veniæ impertitus eſt Eccleſiaſtes, qui ſuſcipientes moleſtiam inanis laboris, vt tranſmittant exiguum vitæ ſolatium natis ſuis, qui fortè intempeſtiuam parentis orbitatem paterentur, ne tutoribus quoque præſidioque careant, & rerum neceſſariarum indigentia pariter attriti omnibus vndiq; vrgeantur ærumnis in omnibus colliſi. At horú
Eccl. 4. 8. & 5. 15. manifeſtam condemnavit dementiam dicens: Vnus eſt & ſecundus non eſt ei ſiue filius, ſiue frater non eſt ei, & cui laborat hic ad ventum

ΚΕΦΑΛ. λϛʹ.

ΤΙ γάρ φησιν ὁ Παῦλος; θέλω ὑμᾶς ἀμερίμνους εἶναι· καὶ προστίθησιν. ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει αὐτῷ, ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. Εἰ τοίνυν τὸ ἀμερίμνως δουλεύειν θεῷ μὴ πάρεστι, τί καὶ γυναῖκας οὐκ ἄγονται, καὶ τῆς αὐτῶν ἀπεχθείας ἀνέχονται οἱ μὴ μεριμνῶντες, πῶς ἀρέσουσι τῷ κυρίῳ. οὐδὲν γὰρ τῶν γεγαμηκότων διαφέρουσιν ὁμοίως τὰ τοῦ κόσμου μεριμνῶντες ἐκείνοις, καὶ οὐ τὴν αὐτὴν ἔχοντες μέμψιν ἐν τούτῳ, ἀλλὰ καὶ πολλῷ πλείονα τὴν κατάγνωσιν. τοῖς μὲν γὰρ κἂν ποσῶς συγγνώμην ἔνειμεν ὁ Ἐκκλησιαστὴς, τῆς ματαιοπονίας μόχθον ἀναδεχομένοις ὑπὲρ τοῦ παραπέμψαι τοῖς ἐξ αὐτῶν μικρὰν τῆς ζωῆς παραμυθίαν, ἄωρον ὑποστησομένοις ἴσως ὀρφανίας, ἵνα μὴ καὶ τῶν προεστηκότων ἴσως ἐρημίᾳ, καὶ τῶν ἀναγκαίων ἐνδείᾳ, τρυχόμενοι πᾶσαν πάντοθεν ὑπομένωσιν ὀδύνην ἐν πᾶσι θλιβόμενοι. τῶν δὲ προφανῆ κατεψηφίσατο ἄνοιαν εἰπών· ἔστιν εἷς, καὶ οὐκ ἔστι δεύτερος καί γε υἱὸς, καί γε ἀδελφὸς οὐκ ἔστιν αὐτῷ καὶ τίνι μοχθοῦντος εἰς ἄνεμον; ἀλόγως σφόδρα τῷ

τοιούτῳ μεμψάμενος, ὅτι διαδόχων ἠλευθερωμένος, δι' οὓς τὸ κτᾶσθαι δίδωσιν ἀπολογίαν ἴσως εὐπρόσωπον, μὴ κατακέχρηται τῇ ἐκεχειρίᾳ εἰς δέον, τὸν παρὰ τοῖς πολλοῖς ἀπολλύμενον χρόνον χρήσιμον ἑαυτῷ ποιῶν πρὸς πορισμὸν τῶν τῆς ψυχῆς ἀγαθῶν. Ἔστω γὰρ πρὸς τὸ, μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν, τί φάγητε, ἢ τί πίητε, ἢ τί περιβάλησθε, ὀκλάζει δι' ὀλιγοπιστίαν ἐνδοιάζων, ἢ πάρεστι αὐτῷ, ἢ μὴ πάρεστι τὰ τῆς χρείας δουλεύοντι τῷ θεῷ· διατί μὴ στοιχεῖ τῷ, ἔχοντες διατροφὰς, καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα, οὓς ὁ μεριμνῶντες τοῦ κόσμου εἰς τὰ τῆς σαρκὸς ἔργα σπείρουσι πόνους, τούτους εἰς τὰ τοῦ πνεύματος σπείρων γεώργια, ἐξ ὧν θερίσαι ἔστι ζωὴν αἰώνιον; ἀλλ' ὅλος κατένευσεν ἐπὶ τὰ γήϊνα, πάντα καιρὸν ἐν τούτοις πάσῃ δυνάμει κακοπαθῶν, πόσης ἔχων, καὶ πόσης σχολῆς δεομένην τὴν χρείαν τοῦ σώματος εἰ πρὸς ἀνάγκην ἴδοι τούτου, καὶ μὴ τῇ πολυτελείᾳ πρὸς τὸ τῶν ἡδονῶν διαχέοιτο πέλαγος;

tum? valdè huiuſmodi hominem accuſans, quia ſucceſſoribus liberatus, propter quos acquirendi labor defenſionem præbet fortè ſpecioſam, non vſus ſit vacatione ad id, quod opus eſt, tempus, quod à multis deperditum fuit, vtile ſibi efficiens ad animæ bona comparanda. Eſto enim quod ad illud, Nihil ſolicíti ſitis animæ veſtræ, quid manducetis, aut quid bibatis, aut quo induamini, labaſcat ob modicam fidem, addubitans, an adſint neceſſaria, an non adſint ipſi, dum Deo inſeruit? At cur non ſe accommodat illi: Habentes autem alimenta, & quibus tegamur, his cõtenti ſimus: & labores, quos hi, qui ſolicíti ſunt eorum, quæ ſunt mundi, ad opera carnis ſeminant, illos per noualia ſerit, quæ ſpectãt ad ſpiritum, è quibus metere licet vitam æternam? ſed totus in terrena declinauit omni tempore totis viribus animum crucians, quantum habet, & quanto egentem otio corporis vtilitatem, ſi ad neceſſitatem eius tantum reſpiciat, neque pro multiplici, & delicato apparatu diffundatur in pelagus voluptatum?

Matth. 6. 25. *Luc. 12. 22.*

Tim. 6. 8.

ΚΕΦΑΛ. λζ'.

Εἰ γὰρ κατὰ τὸν Παῦλον ὀφειλέται ἐσμὲν, οὐ τῇ σαρκὶ τοῦ κατὰ σάρκα ζῆν, διατί μὴ ταύτῃ μὲν λειτουργοῦμεν ὀλίγα τοῖς τυχοῦσιν ἐδέσμασιν ἀποδιδόντες αὐτῇ πρὸς τὸ μὴ ὀχλεῖν τὸ ὄφλημα, τῇ δὲ ψυχῇ ζῶμεν τῷ πνεύματι, τούτοις τὸ πᾶν ἐργαζόμενοι, οἷς καὶ ἀναγκαίως τὴν ἐργασίαν ὀφείλομεν μόνιμον οὖσαν, καὶ οὐ φθειρομένην τοῖς ἐν τῇ γαστρὶ πέψει φθειρομένοις σκυβάλοις; Καλῶς ὁ Σολομὼν τὸν τῆς

CAPVT XXXVII.

SI enim iuxta Paulum Debitores ſumus non carni, vt ſecundum carnem viuamus; quare non ipſi miniſtramus pauca, obuios cibos, & faciles ipſi dando, vt ne debitum perturbemus; animæ autem viuamus ſpiritu, ijs omninò adlaborantes, quibus & neceſſario debemus operationem, cum ſingularis exiſtat, nec vllo modo corrumpatur excrementis? Præclarè Salomon eum, qui diniſit agriculturam animæ, & multam terræ curam diligenter gerit

Rom. 8. 12.

Digitized by Google

incuſans ait : Dereliquit vias vineæ ſuæ, errauit à tramitibus proprij agri, progreditur verò per inaquoſa in deſerto, & terram extenſam in ſiticuloſa, congregat verò manibus colligens ſterilitatem. Error enim verè eſt corporearum rerum, ſupra quam oportet, immenſa cura, & deuiatio inducens ad vagabundum per inacceſſas ſolitudines, habenſque pro fine laborum nullum fructum, quorum ſtudium nihil confert ad futuram vitam. Hoc & quidam Propheta deplorans clamat ſonorè dicens : Væ ei, qui congregat ſibi, quæ ſua non ſunt, & aggrauat vinculum colli ſui firmiter; omne, quod ad virtutem non conducit, pondus improprium, & impar eſſe affirmans laboranti, quo ſtudium ab inanibus rebus auertat, & traducat illud ad res vtiles, vt habeat, qui operatur, ſibi in Cælis velut in theſauro collectã propriam poſſeſſionem, laborem ſcilicet, ad diuturnam oblectationem, neque finem habituram vllum; vbi ijs, qui circa vana laborauerunt, vſque ad aquę frigidę guttam deerunt neceſſaria tunc affatim gaudens, perfruenſque delicioſè bonis, quæ præmiſit, quæque ſecum conuexit prudens diſpenſator propriorum laborum factus. Exemplar quidem nos eſſe aliorum hominũ Diuinę volunt leges, & irreprehenſibilitate vitæ cunctis præbere inoffenſum callem. Cuius igitur rei euademus ipſis exemplar plus, quam ipſi, ſtudioſius ad vanas res propenſi? quomodo verò ipſis erimus procul ab offendiculo, ſi plus quam ipſi occupemur rebus hiſce, quas contemnere edocti ſumus, & quoad

ψυχῆς ἀφέντα γεωργίαν, καὶ τῆς γῆς πολλὴν ποιούμενος ἐπιμέλειαν, διαβάλλων φησίν· ἀπέλειπεν ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος, τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται, πορεύεται δὲ δι' ἀνύδρων ἐν ἐρήμῳ, καὶ γῆν διατεταμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν· πλάνη γὰρ ὄντως ἡ τῶν σωματικῶν ὑπὲρ τὴν χρείαν ἀνήνυτος μέριμνα, καὶ ἀνοδία, ταῖς ἀβάτοις ἐμπλάζεσθαι παρασκευάζουσα ἐρημίαις, καὶ τέλος ἔχουσα τῶν πόνων ἀκαρπίαν, ὧν ἡ παρασκευὴ οὐδὲν εἰς τὴν μέλλουσαν χρησιμεύει ζωήν. Τοῦτο καί τις τῶν προφητῶν ταλανίζων βοᾷ διαπρυσίως λέγων· οὐαὶ ὁ συνάγων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ, καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς, πᾶν τὸ μὴ πρὸς ἀρετὴν συντελοῦν ἀνοίκειον ἄχθος εἶναι τῷ πονοῦντι διαβεβαιούμενος, ἵνα τὴν ἀπὸ τῶν ματαίων σπουδὴν ἀποστρέψῃ, καὶ μεταγάγῃ ταύτην ἐπὶ τὰ χρήσιμα, ὡς ἔχειν τὸν ἐργαζόμενον ἴδιον κτῆμα τὸν κάματον θησαυριζόμενον ἐν τοῖς οὐρανοῖς αὐτῷ εἰς ἀπόλαυσιν μακρὰν, καὶ τέλος οὐκ ἔχουσαν, ὅτε τοὺς ματαιοπονήσαντας ἕως ῥανίδος ὕδατος ψυχροῦ λείπει τὰ ἐπιτήδεια, τότε φιλοτίμως ἐνευφραινόμενον, καὶ λίαν ἁβρῶς, οἷσγε προέπεμψε, καὶ οἷς ἐπεκομίσατο ἀγαθοῖς, φρόνιμος οἰκονόμος τῶν οἰκείων πόνων γενόμενος. Τύπους δὲ εἶναι τῶν ἄλλων ἀνθρώπων ἡμᾶς οἱ θεῖοι βούλονται νόμοι, καὶ τὸ ἀπρόσκοπον πᾶσι παρέχειν τῷ ἀνεπιλήπτῳ τοῦ βίου. Τίνος οὖν αὐτοῖς τύπος γενόμεθα, μᾶλλον αὐτῶν ταῖς σπουδαῖς περὶ τὰ μάταια κατατεινόμενοι; πῶς δὲ αὐτοῖς ἐσόμεθα καὶ ἀπρόσκοποι, πλέον αὐτῶν ἀντεχόμενοι τούτων ὧν καταφρονεῖν ἐδιδάχθημεν, καὶ τῷ δοκεῖν συνεθέμεθα, καὶ οὔπω προσκόμ-

μαζα τιθέντες αὐτοῖς, καὶ μυρία ὁσημέραι σκάνδαλα, λογιζομένοις εἶναι περιμάχητα ἀληθῶς τὰ ἡμῖν σπουδαζόμενα, καὶ οὐδὲν τὴν περὶ αὐτὰ βλάπτειν φιλοτιμίαν εἰς τὴν θεοσέβειαν;

quoad opinionem aſſentimur, ſicque his offenſiones ponendo, & decem millia quotidie ſcandala, dum putant eſſe digna certamine, quæ à nobis ſtudioſè perquiruntur; nihilque nocere circa illa contentioſam ambitionem ad Religionem, pietatemque.

ΚΕΦΑΛ. λή.

Τὰ γὰρ τῶν σεμνοτέρων εἶναι δοκούντων προσώπων κακά, οὐ ζηλωτὰ πᾶσι, καὶ μάλιστα τοῖς ἁπλουστέροις ἀνεξετάστως καθίσταται, οὐκ ἂν τολμηθεῖναι λέγουσιν, εἴπερ ὡς νομίζεται ἦν ὄντως κακά. Διὰ τοῦτο καλῶς, ὅταν ἐνάρετον κανονίσας βίον ὁ μέγας Παῦλος, ἐπισκήπτων τοῖς καταφρονοῦσι τὴν βλάβην τῶν ἀκεραιοτέρων φησίν, ἐὰν ἴδῃ σέ τις τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις τοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; τὴν ἐν ὁτῳδήποτε ἀδιαφορίαν τῷ ἑνὶ ἀναστέλλων ἐγκλήματι, καὶ δεικνὺς, ὡς τὰ παρὰ τῶν εἰδέναι μᾶλλον τὸ συμφέρον ὑπολαμβανομένων γινόμενα τοὺς ἀφελεστέρους ἀκόλως ἄγει πρὸς μίμησιν, οἰκοδομὴν ἡγουμένους τοῦτο, καὶ οὐχὶ καθαίρεσιν τοῦ καλοῦ. τοῦτο γὰρ ἠνίξατο τὸ οἰκοδομηθήσεται, προκοπὴν φησὶν οἴσεται, καὶ βελτίωσιν τὴν οὗ ἐθεάσατο μίμησιν. καὶ γὰρ οἰκοδομεῖτε ἀλλήλους λέγων εἰς τὸν ἕνα, τὴν ἐξ ἀλλήλων εἰς ἀλλήλους ὠφέλειαν νομοθετεῖ, ἵνα τὸ καλὸν ἕκαστος ἐργαζόμενος προτρέπηται πρὸς τὸν ἄλλον τὴν τούτου ἐνέργειαν ὑπογραμμὸς αὐτῷ πρὸς τὴν τελείωσιν τῶν κατὰ μέρος προσθήκαις γινόμενος. Ποίων δὲ μύλων ὀνικῶν καὶ ποίων θαλασσίων βυθῶν ἄξιοι πρὸς τιμωρίας οἱ τοιοῦτοι τούτων σκανδάλων αἴτιοι τοῖς ἀκεραιο-

CAPVT XXXVIII.

Mala namque eorum, qui eſſe videntur honeſtiores, probioreſq; nō omnibus & imitāda, maximè ſimplicioribus, abſque inquiſitione ſtatuuntur. Nequaquā ea auderent, inquiunt, ſi (vti cenſentur) reuera eſſent mala. Ideò virtute prædıtam vitam dirigens magnus Paulus, præclareque proſpiciens ijs, qui deſpiciunt ſimpliciorum offenſionem, ait:
Si viderit te aliquis habentem 1. Cor. 8. 9.
ſcientiam in Idolio recumbētem; nonne conſcientia eius cum ſit infirma, ædificabitur ad manducandum Idolothyta? indifferentiam in quacumque re vno conſtringens reatu, & oſtendens, quemadmodum ea, quæ patrantur ab his, qui magis ſcire quid conducat, exiſtimantur, facilè inferiores adducunt ad imitationem, opinantes id ædificationem, & neutiquam fore boni deſtructionem. Iſtud enim ſignificatum fuit obſcurè per illud (ædificabitur) Progreſſum (ait) putabit, & profectum in melius eius, quod ſpectauerit imitationē. 2. Cor. 10. 8. & 13. 10.
Etenim dicens: Aedificate alterutrū; vtilitatem, quæ ex mutuo ad mutuum, lege mandat, vt vnuſquiſque bonum operans excitet aliū; ad efficacem illius operationem factus ipſi delineator ad perfectionem particularibus acceſſionibus. Quibus autem molis aſinariis, & quibus 1. Theſſ. 5. 1.

bus maris profundis abyſſis digni ſunt, vt puniantur, qui ſe talium ſcandalorum auctores ſimplicioribus cōſtituerunt, & ipſos magis fortè propendentes, vt progrederentur in parſimonia, prouocarunt ad multimodas opes contentione diſcordi excitata contra eos, & manifeſtè, quæ noxia erant, capeſſentes? Zelus enim ait viro ab amico eius, & in vrbanis, ſeu honeſtis, atque in vitioſis pariter ſuperare proximum præſumente. Nam talem compellit contentionis ardor vincere in quacumque re iurgantem; nec enim ſic addictum in diſcrimen iniuſtè potiorem eſſe, ac iuſtè vinci turpe, atque probrum eſſe iudicat. Magis autem ſciunt illud omnes experientia, quo pacto ad ea, quæ conducunt, diſcordia pigreſcat, & contentio ſit otioſa, & lenta. Sin verò aliquid inutile, aut inconſultò ab aliquibus fiat, aut præter ſententiam, in promptu æmulatio adeſt, & imitatio abſq; mora expeditur, quæ videtur defenſionem habere paratam, quod alios deducentes ſubſequantur, adſcribendo cauſam his, qui inchoarūt, non autem his, qui illecti fuerunt exemplo.

πέτραις καθισάμενοι, καὶ ῥέποντας ἴσως μᾶλλον αὐτοὺς ἐπὶ τὸ στοιχεῖν τῇ αὐταρκείᾳ, προσκαλούμενοι ἐπὶ τὸ πολύυλον ἔριδι τῇ πρὸς αὐτοὺς, καὶ τὰ προφανῶς αἱρουμένους ἀσύμφορα; ὁ ζῆλος γάρ φησι τῷ ἀνδρὶ ἀπὸ τοῦ ἑταίρου αὐτοῦ, καὶ ἐν ἀστείοις καὶ φαύλοις ὁμοίως ὑπερβάλλεσθαι τὸν πλησίον προαιρουμένου. τοιοῦτος γὰρ ἡ φιλονεικία νικᾶν τὸν ἐν ὁτῳδήποτε ζυγομαχοῦντα βιάζεται, οὐχ οὕτως ἐπὶ κίνδυνον τὸ κρατῆσαι ἀδίκως, ὡς τὸ ἡττηθῆναι δικαίως αἰσχρὸν, καὶ ἐπονείδιστον κρίνουσα. μᾶλλον δὲ καὶ ἴσασιν ἅπαντες τοῦτο τῇ πείρᾳ, ὅπως πρὸς μὲν τὰ συμφέροντα ἡ ἔρις ἀργῇ, καὶ ὀκνηρὸν τὸ φιλόνεικον· ἂν δέ τι τῶν ἀλυσιτελῶν, ἢ ἀπροαιρέτως παρά τινων, ἢ κατὰ γνώμην πραχθῇ, πρόχειρος ὁ ζῆλος, καὶ ἡ μίμησις ἀνυπέρθετος, ἀπολογίαν ἔχειν δοκοῦσα τὸ ἄλλοις ἡγησαμένοις ἠκολουθηκέναι τὴν αἰτίαν ἐπιγράφουσα τοῖς ἀρξαμένοις, οὐ τοῖς δελεασθεῖσι τῷ παραδείγματι.

CAPVT XXXIX.

Agg. 2. 13. ET hoc forſitan Propheta quidam demonſtrat interrogans antiquum populum, & ipſorum reſponſione confirmans veritatem lapſus: Si tangatur (dicens) caro ſancta pallio, aut pulmēto, ſanctificabitur ne pallium, aut pulmentum? Et reſponderūt: Minimè. Et dixit: Si attingat hæc pollutus in anima, an contaminabitur? Et dixerunt: Contaminabitur. Oſtendentes manifeſtè quod rerum vitioſarum potius quàm hone-

ΚΕΦΑΛ. λθ.

ΚΑὶ τοῦτο τάχα τις τῶν προφητῶν δείκνυσι πυνθανόμενος τοῦ πάλαι λαοῦ, καὶ τῇ ἀποκρίσει αὐτῶν βεβαιῶν τοῦ πταίσματος τὴν ἀλήθειαν, ἐὰν ἅψηται, λέγων, κρέας ἅγιον ἱματίου, ἢ ἑψήματος, ἁγιασθήσεται; οἱ δὲ ἀπεκρίθησαν, οὔ. καὶ εἶπεν· ἐὰν ἅψηται τούτων μεμιασμένος ἐπὶ ψυχῇ, εἰ μιανθήσεται; καὶ εἶπαν, μιανθήσεται· δηλοῦντες, ὡς μᾶλλον τῶν φαύλων, ἢ τῶν καλῶν οἱ ὁρῶντες ἀναμάττονται τοὺς τύπους, καὶ πρὸς τὴν μίμησιν τούτων, ἢ ἐκείνων ἔχουσι πλέον ἐπικλινῶς, συνηθείᾳ πονηρᾷ

μαθόντες περὶ τῶν ὠφελούντων δέξιοῦσθαι τὰ βλάπτοντα, καὶ πῶς οὐ δεδοίκασιν οἱ καταφρονηταὶ τὰς τοῖς σκανδαλιζομένοις φοβερὰς ἀπειλὰς διπλῆν ἑαυτοῖς ἀνοήτως τὴν ἐν τῷ μέλλοντι πραγματευόμενοι τιμωρίαν, ἐφ' οἷς τε προτίθεσθαι ἀντὶ τῶν ἀμεινόνων τοὺς χείρονας, καὶ ἐφ' οἷς ὑποθέσεις ἄλλοις κακοπραγίας γεγόνασι, τῇ πολλῇ περὶ τὰ μάταια προσπαθείᾳ τῶν ἐπιθυμιῶν περὶ αὐτὰ πρὸς ἔφεσιν πλειόνων τὰς πλεονεκτικὰς ἀναφλέγοντες ὀρέξεις. Καὶ Ἰουδαίων μὲν τινὲς μὴ ἀπαιτούμενοι ἀκτημοσύνην παρὰ τοῦ νόμου ἑκουσίως ταύτην ἠσπάσαντο. ἀμερίμνως δὲ θεὸν θρησκεύειν βουλόμενοι ἐν σκηναῖς κατοικήσαντες, καὶ παντὸς ἀποσχόμενοι τοῦ περισπᾶν τῶν κρειττόνων δυναμένου τὸν νοῦν, ὥς φασιν αὐτοὶ τοῖς ἐπερωτῶσιν ἐκείνους, καὶ μαθεῖν τὴν καινίζουσαν σπουδάζουσιν ἀγωγὴν τοῦ βίου· ἀμπελὼν, καὶ ἀγρὸς, καὶ οἶκος οὐκ ἐγένετο ἡμῖν, τὴν ἐπιμέλειαν τούτων εἰδότες ἐμποδίζειν τῇ πρὸς τὴν εὐσέβειαν ἐργασίᾳ. Καὶ Ἑλλήνων δὲ φιλόσοφοι οὐκ ὀλίγοι τοσαύτην ἐπεδείξαντο ἀκτημοσύνην, ὡς κυνῶν δίκην ἄστεγοι διάγειν, καὶ τροφὴν ποιεῖσθαι τὸ πρὸς καιρὸν, ὅπερ ἂν ἔτυχεν εὑρεθὲν, ὅπως αὐτοῖς ἡ τῶν ματαίων θεωρία τὴν κατάληψιν ἔχειν δοκῇ ἀκεραίαν μὴ ἐνοχλουμένοις ποθὲν φροντίσι πραγματικαῖς. Εἷς γοῦν αὐτῶν τις πλὴν σκύφου, ᾧ καὶ τροφὴν προσεπεφέρετο, καὶ πόμα, κεκτημένος ἄλλο μηδὲν ὅτε τοὺς ποιμενικοὺς ἐθεάσατο παῖδας κοίλαις ταῖς δραξὶ τῷ στόματι νάμα προσάγοντας, ἔφη ῥίψας τὸν σκύφον, ἔμαθον ὦ παῖδες ὃ μέχρι νῦν με λαθὸν, ἔμαθον δὲ τῆς ἀκτημοσύνης

honeſtarum ſpectatores recipiunt impreſſas formas, & ad iſtarum imitationem plus quam ad illarum vergunt propenſi, praua edocti conſuetudine apprehendere ea, quæ nocent præ his, quæ proſunt: & quomodo non veriti ſunt contemptores formidandas minas his, qui ſcandalum generant, propoſitas, duplicem ſibimet ipſis in futuro ſeculo punitionem inſipienter procurando; tū quòd prætulerunt melioribus peiora; tum quòd præbuerunt alijs maleficiēdi argumentum, affectu erga res vanas valdè propenſo inhiantium ſtupidè circa ipſas plurium appetitum violentas cupiditates rurſus inflammantes. Et Iudæorum quidem aliqui non abnuentes poſſeſſionum abdicationem præter legem ſpontè illam ſunt amplexi, abſque ſolicitudine Diuinum cultum exſequi volentes, in tentorijs ac tabernaculis inhabitantes, atque ſe auertentes ab omni re, quæ mentem diſtrahere poſſet ab optimis, vt aiebant ipſi interrogantibus illos, & cupientibus addiſcere vitæ conuerſationem rectiùs innouatam: Vinea vel ager, aut domus non erant nobis: cum horum curam probè ſcirent impedire operationes, quæ ad pietatem pertinent. Philoſophi quoque non pauci Gentilium huiuſcemodi paupertatem exhibuerunt, vt canum inſtar ſine tecto degerent, & pro alimento ſumerent, quod pro tempore, aut quod fortuitò inuentum occurrerat ita vt ipſis rerum vanarum inſpectio viderentur retinere comprehenſionem intactam, negotioſis curis nequaquam obturbantibus. Vnus igitur aliquis ipſorum præter ſcyphum, quo & potum, & cibum præferebat, aliud poſſidens nihil; cum paſtorum

pue-

pueros aliquando proſpexiſſet cauis manuum volis, laticem ori admouentes; Didici ò pueri, ait abiecto ſcypho, quod hucusque me latuit, didici perfectionem paupertatis: & quod ad ſummam deerat ſapientiæ amatorũ profeſſionem, à pueris ſibi demonſtratum ingenuè confeſſus fuit. Sic fuit & ipſi forſitan ſcopus & ipſum deponere, ſi poſſit id fieri, corpus, & cum eo exui ab omni cura ad vitam ſpectante, nudaque anima viuere ſine carnalibus ſtercoribus, præpoſito ad philoſophiam inexplebiliter deſiderio.

& accipe Crucem, & poſt me ſequere, his ipſum exonerans, vt anguſtam, & ſtrictam per viam facile iter faceret, quorum hi grauem, & oneroſam acquiſitionem ãplexãtur, difficilem ſibimetipſis, aut etiam impoſſibilē penitus ingreſſum in regnum Cęlorum reddentes foramini acus aſſimilatum à Veritate, & quod vix ſuſcipit animam nudatam ſollicitudinibus ſæculi, atque ſemotam ab omni perturbatione; cumque etiam hęc fortè à ſe dimoueat, & uim inferat, in introitu glorię, quæ in viā ſita eſt, eo quod anguſta ſit, & inuia ianua, conteratque ipſa ex obliquo introeuntia corpora, nedum grauiorum ponderum aceruis onerata, quomodo dicent, qui ſtercora, & ſtercoribus exſolutiora circumferunt, ac ſi eſſent res maximi pretij? Ecce nos dimiſimus omnia, & ſequuti ſumus te; qui nec vel quidquam dereliquerunt, & quæ non habebant, poſſederunt tamquam mercaturæ, non philoſophiæ materiam, vitam Monaſticam computantes? Eſt autem ipſa veræ mercaturæ maximę futu-

rorum ſcilicèt occaſio bonorum, non præſentium ſplendidorum, paupertate quidem, & egeſtate, ac alijs, quæ nunc dura videntur, comparans omnium, quæ illic ſunt, ſuauitatum fruitionē, ignobili verò, & ignoto fiduciam ad Deum, & gloriam præbens æternam eorum; quorum firmam ſpē in conſcientia factorum vos habentes etiam equidem, atque etiā contemnere ſtudete quæ iam preclarè ratiocinati contempſiſtis iure merito talia, qualia verè ſunt, & ſobrijs abiecta, licèt ſtudioſè affectanda, & expetenda viſa ſint ineptis, qui deceptæ imaginationi applicant, uelut vrbana, quæ valdè ſunt turpia, & amore capiuntur ſordium mundanarum, & quidem (exempli gratia) formoſæ mulieris, quæ tamen talis non eſt, ſed fucata, & excolorata flore hoccemodo apparente, & corripiente ad voluptatem eos, quibus, quæ dulcia ſunt, præ vtilibus placent, quique magis eligunt ea, quæ doloſa illecebra prouocant appetitus, quam ea, quæ conducunt.

κοσμικοὶ φανερῶς, τὴν ἐκεῖ πάντων ἀϊδίων προξενοῦσαν τὴν ἀπόλαυσιν, τῷ δὲ ἀφανεῖ, καὶ ἀσήμῳ παῤῥησίαν τὴν πρὸς Θεὸν, καὶ δόξαν παρέχουσαν αἰώνιον. ὧν τὴν ἐλπίδα βεβαίαν ἐπὶ συνειδότι τῶν πεπραγμένων ἔχοντες ὑμεῖς ἔτι μὲν, καὶ ἔτι καταφρονεῖν σπουδάζοντες, ὧν ἤδη καλῶς λογισάμενοι καταπεφρονήκατε δικαίως τούτων, ὡς ὄντων ἀληθῶς, καὶ ἐῤῥιμμένων τοῖς νήφουσι, κἂν εἰ σπουδαῖα, καὶ ἐπιθυμητὰ τοῖς ἄφροσιν ἔδοξεν, ὑπ᾽ ἀπατωμένῃ φαντασίᾳ προσαπτομένοις ὡς ἀστεῖα τὰ λίαν αἰσχρὰ, καὶ ἐρασθεῖσι τῆς ὕλης, καθάπερ ὄντως εὐμόρφου γυναικὸς, οὐκ οὔσης τοιαύτης, ἀλλὰ κεχρωσμένης ἄνθει φαινομένῳ τοιούτῳ, καὶ συναρπάζοντι πρὸς ἡδονὴν τοὺς περὶ τὸ ὠφέλιμον ἀβλεπτοῦντας τῇ ἡδονῇ, καὶ τοῦ συμφέροντος μᾶλλον αἱρουμένους τὰ λίχνῳ δελεάσματι τὰς ὁρμὰς προκαλούμενα.

CAPVT LIII.

INtellectus verò motiones diligenter curate, attendentes, quo pacto reuocatæ res in memoriam operantur, abſque affectu, vel cum affectu imaginationes ipſarum excipiendo; Hæ quippe (ſcilicèt motiones mentis) valdè incompoſitè irruentes lædere conſueuerunt; cū nō pauca, quæ in actionibus conſiſtunt, facilè cedant affectionibus, quibus cogitationes inuolutæ ſunt, cumq; his clanculum adſtipulentur, nullumq; ſignum perſpicaciæ in iudicando exterioribus exhibeant, ſuccumbunt ſæpius, & procidunt; ac interim antè caſus

ΚΕΦΑΛ. ϛγ'.

Τῶν δὲ τῆς διανοίας κινημάτων ἐπιμελήθητε, προσέχοντες πῶς τὰς ὑπομνήσεις τῶν πραγμάτων ἐργάζονται, προσπαθῶς, ἢ ἀπαθῶς τὰς φαντασίας τούτων δεχόμενα. πολλὰ γὰρ ἀτάκτως ὁρμώμενα βλάπτειν εἰώθασιν ῥᾳδίως, καὶ τῶν ἐν ταῖς πράξεσι πλείονα εὐκόλως ἐν τοῖς λογισμοῖς τοῖς πάθεσιν εἴκοντα, καὶ συντιθέμενα τούτοις ἀφανῶς, καὶ τῆς συνέσεως οὐδὲν σημεῖον τοῖς ἔξω παρέχοντα, ἡττώμενα, καὶ πίπτοντα πολλάκις, καὶ τῆς πτώσεως πρὸ τῆς ἐνεργείας πως λανθάνοντα ἑαυτοὺς οὐ πεφυκότας τῇ

effectum

ἔνδον ὁρᾶν· καὶ σεμνὸς μὲν ἐκ τῆς καταστολῆς τοῖς παροδοῖς φαίνεται ὁ τυχών· τὰ κρυπτὰ αἴσχη αὐτὸς ἐπιστάμενος μόνος καὶ ἐρυθριῶν ἐφ' οἷς τῷ φαινομένῳ τὸ ἀφανὲς ἐναντίως διάκειται τῇ νομιζομένῃ σκηνῇ ἀντιφθεγγομένης τῆς ἀληθείας, καὶ τὸ συνειδὸς καταδύεται παρασκευαζούσης εἰκότως, ὅτι μὴ συμφωνεῖ τῇ ὑπολήψει τὰ τῆς καρδίας ἐνθύμια τοιαῦτα, οἷα παρὰ τῶν ἰσορώντων δοξάζεται; ἀλλ' ἔοικε τάφῳ κεκονιαμένῳ τὸ σοβαρὸν τῆς διανοίας πεπληρωμένης ὡς ὄντως τύμβου ὀστέων νεκρῶν, καὶ πάσης ἀκαθαρσίας. τί γὰρ αὕτη μνήματος, ὅταν τὰ μὴ καθήκοντα λογίζηται διαφέρει; ὁμοίως ἀκάθαρτος οὖσα ἐκείνου, καὶ μᾶλλον ἀκάθαρτος. σῆμα μὲν γὰρ ἐπ' ὀλίγον ἔχει τὴν δυσωδίαν μυδῶντος ἔτι τοῦ σώματος. τοῦ δὲ ἰχῶρος ἀποστάζοντος τῶν ὀστέων, λοιπὸν τῆς δυσωδίας ἀπήλλακται, τῶν σαρκικῶν εἰς τὴν γῆν ἀναλυθεισῶν, καὶ κόνιν λεπτὴν ἐξ ὧν καὶ ἀνθοῦσαι τὴν σύστασιν εἶχον, πηλὸς οὖσα κεχρωσμένος αἵματι καὶ φλέγματι, τῷ μὲν λευκαινόμεναι, τῷ δὲ ἐρυθραινόμεναι, καὶ λάμπουσαι τῇ χρώσει ταύτῃ τὰς ἐπιπολαζούσας τῇ ἐπιφανείᾳ λίχνους ποιότητας. καρδία δὲ πεπληρωμένη ἐνθυμιῶν ἀπρεπῶν, διηνεκῆ τὴν ἀηδίαν κέκτηται, σεσηπότος σώματος ὄζουσα χαλεπώτερον, καὶ αὐτὴ μόνη τῆς οἰκείας αἰσχρότητος ἀπολαύουσα.

effectum latebant eos, qui non conſueuerunt interiora perſpicere: vndè honeſtus quidem, & grauis apparet præſẽtibus ex modeſtia in veſtitu quiuis ille ſit, latentia dedecora ſciens ipſe ſolus, & erubeſcens, eò quod apparenti contrarium ſit id, quod non apparet, Veritate contradicente oſtentationi æſtimatæ, & efficiente, vt meritò erubeſcat conſcientia, quia non conſonant exiſtimationi tales cogitationes cordis, quales ab his, qui viſunt, celebrantur: Quare ſimilis eſt ſepulcro dealbato faſtuoſus ſtatus intellectus, repleti, (perinde ac ſi reuerà tumulus foret,) oſſibus cadauerum, & omni ſpurcitia: Quid enim hic (ſcilicet intellectus) differt à monumento, quando cogitat, quæ *Mat. 23 v. 27.*
decentia minimè ſunt? eſt quippe tunc æquè impurus atque illud, imò & immundior. ſepulcrum namquè breui tẽpore fœtorem habet, dum corpus tumidum adhuc putreſcit, cum verò ſanies ab oſſibus diſtillarit, abſcedit, quod reliquum mali odoris eſt, carneâ ſubſtantiâ in terram reſolutâ, inquè puluerem exilem, è quibus & vigens conſiſtentiam habuit, quæ lutum erat coloratum ſanguine, ac pituitâ, hac quidem albeſcens, illo autem rubeſcens, atque iſta coloratione illuſtrabat qualitates delicatas, quæ in apparentia eminebant; cor verò cogitationibus repletum indecentibus continuam malcolentiam poſſidet, corrupto corpore duriùs olens, & ipſum ſolum propriæ capiens turpitudinis damnum.

ΚΕΦΑΛ. νδʹ.

ΟΥδὲν τῶν ἐν τῷ κρυπτῷ ἐκλελουμένων εἰδότων τῶν προσεχόντων

CAPVT LIV.

CVM ij, qui mentem apparenti adhibent ornamẽto

nihil

nihil ſciāt eorum, quæ clanculùm animo agitantur, quinimò cum ſtupore quandoque admirentur grauitatem, quæ aſpicitur, & eſt in aliqua exiſtimatione; Ingenium namque tranquillum, & oculus ſeuerus, & tetricus vultus nihil aliud clamāt, quàm plurimam in imo firmitatem ſolicitudinis meliorum ex his, quæ ſuprà dicta ſunt, quæ (ſolicitudo) his, qui ignorant animi agitationes intimis inhabitantes in receſſibus, præbet ſuſpicionem, cum putent, geſtibus animi conſonare diſpoſitionem. Id igitur (vt valdè conſentaneum eſt) perſuadeat nobis, vt his quæ ſunt exteriùs aſſentiantur ea, quæ interiùs exſtant, & vt ſecundum externam opinionem, ſimiliter mores componatis interius, ad effectum apparendi Deo in cogitationibus tales, quales hominibus eſſe videmur, ea ſcilicèt mente peruoluentes, quæ à multis etiam exiſtimari putamus: & quidem (uti ſcitis & ipſi horum experientiam habentes) non valdè difficile eſt his, qui peritè hoc facere ſibi proponunt, ſi cauſas perſcrutati, ipſas reprimant; faciendo ceſſare facilè quę ex his enaſcuntur turbulenta: Cum etenim voluptas, ac dolor ſubſequantur cupiditatē, & cupiditas ſequatur ſenſum, qui nō ceſſit, illis opportunum tempus nō conceſſit, veluti qui caput ſerpētis cō tritum diffregit in aditu, cum ipſo totum ſimul corporis tractū reiecit excluſum foris, quod vnà

τῷ φαινομένῳ ἀγάλματι, ἀλλὰ καὶ πεπηγότων, ἔσθ' ὅτε τοῦτο, τῆς ὁρωμένης, καὶ δοκούσης σεμνότητος. οὐδὲν γὰρ ἄλλο γαληνὸν ἦθος, καὶ βλοσυρὸν ὄμμα, καὶ πρόσωπον ἀμειδὲς, ἢ πολλὴν κέκραγε τὴν ἐν τῷ βάθει καθεστῶσαν τῆς ἐφ' οἷς εἴρηται φροντίδος κρειττόνων, τοῖς ἀγνοοῦσι τὰ τοῖς μυχοῖς ἐνδιαιτώμενα σκέμματα παρεχούσης ὑπόνοιαν τῷ σχήματι συνᾴδειν λογιζομένοις, καὶ τὴν διάθεσιν. τοῦτο γοῦν δυσωπείτω λίαν εὐλόγως ὑμᾶς τοῖς ἔξω συνδιατιθέμεναι τὰ ἔσω, καὶ πρὸς τὴν ἐκτὸς δόξαν ῥυθμίζειν ὅλους ὁμοίως, ἵνα οἷοι τοῖς ἀνθρώποις εἶναι δοκοῦμεν, τοιοῦτοι καὶ τῷ θεῷ τοῖς ἐνθυμίοις φαινώμεθα, ταῦτα λογιζόμενοι, ἃ καὶ λογίζεσθαι τοῖς πολλοῖς νομιζόμεθα. καὶ ἔστι γε, ὡς ἴστε καὶ αὐτοὶ πεῖραν ἔχοντες τούτων, οὐ πάνυ χαλεπὸν τοῖς ἐπιστημόνως τοῦτο πράττειν προαιρουμένοις, εἰ τὰς αἰτίας διερευνώμενοι, πάντας ἀναστέλλοιεν, τὰ ἐξ αὐτῶν φυόμενα παύοντες εὐχερῶς ὀχληρά, ἡδονῆς γὰρ καὶ λύπης ἀκολουθούσης ἐπιθυμίᾳ, καὶ ἐπιθυμίας ἑπομένης αἰσθήσει, ὁ ταύτῃ μὴ ἐνδεδωκὼς, καιρὸν οὐ παρέσχεν ἐκείναις, ὡς ὁ κεφαλὴν ὄφεως θλάσας παραθλιβομένην εἰσόδῳ μετ' αὐτῆς τὴν ἐπισυρόμενον ὁλκὸν ὅλον ἀπέκλεισεν ἔξω συνεισελθόντα πάντως ἂν εὐμαρῶς, εἴπερ ἡ προέχουσα τὴν τυχοῦσαν εὗρε παρείσδυσιν. καὶ ἔχει πρὸς τὸ δηλούμενον ἡ εἰκὼν πολλὴν τὴν συγγένειαν, ὁμοίως τῶν ἐφομαρτούντων συνεξωθουμένων τοῖς ἡγουμένοις. αἴσθησις μὲν γὰρ πρὸς τὰς ὁρωμένας μορφὰς τρέπει τὴν διάνοιαν, καὶ αὕτη πρὸς τὰ τέρποντα τὴν ἐπιθυμίαν κινεῖ, τῇ μνήμῃ τὰς φαντασίας τῶν προτεθεαμένων καθ' ἑκάστην ῥιπίζουσα, καὶ

cum ipſo introiuiſſet omninò, nulloq; negotio, ſi illud, quod proponebat caput inueniſſet ingreſſum quemcumq; ſors obtuliſſet; & hæc figura ad id, quod ſignificat multam habet cognationem, cum pari

prorſùs

τούτων ἀγαλματοφοροῦσα πεπαγιωμένα τὰ εἴδωλα ἕως ἢ λύπην ἢ ἀποτυχία ποιήσωσι, ἢ ἡδονὴν ἡ ἐπιτυχία διδάξει τῇ πείρᾳ σαφῶς ὅση τοῖς ἐγχρονίζουσι τούτοις ἡ βλάβη γίνεται.

prorſùs modo ſimul cum ductoribus ſuccumbant, qui ſequuntum unà cum ipſis: Senſus etenim iuxtà formas, quas reſpicit ſignum imprimit menti; & illa mouet cupiditatem ad ea, quæ oblectant, memoriâ quotidiè imaginationes eorum excitans, quæ antè uiſa fuere, & horum perſpicuas ſimilitudines, velùt ſtatuas portans, vſque quo, cum aut calamitas dolorem attulerit, aut adeptio voluptatem, luculenter ediſcat experientiâ, quanta prouenit noxa diù in hiſce permanentibus.

ΚΕΦΑΛ. νέ.

Ἀδικεῖ γὰρ ὁμοίως ἑκάτερον κἂν ἐπιτυχθῇ, κἂν ἀστοχήσῃ τὰ κακῶς ἐπιθυμηθέντα. καὶ χαρὰν ἀσύμφορον, καὶ λύπην οὐ καθήκουσαν ἐργαζόμενα. οὔτε γὰρ κατὰ θεὸν ἡ λύπη ἐστὶν ὥστε, κατὰ τὸν Παῦλον, μετάνοιαν ἀμεταμέλητον εἰς σωτηρίαν κατεργάζεσθαι, οὔτε χαρὰ ἐν κυρίῳ συνίσταται, ὡς ὁ αὐτὸς ἐπισημαίνεται Παῦλος. τοῖς μὲν γὰρ ἐπ᾽ ἀγαθῇ συνειδήσει εὐφραινομένοις παρακελεύεται λέγων· χαίρετε ἐν κυρίῳ πάντοτε. ἀλλὰ τίς οὖσα τυγχάνει ψυχικὴ δαιμονιώδης προσπάθεια, οὐδενὸς ἠρτημένη τῶν αἰωνίων καλῶν, ὕλης δὲ φθειρομένης καὶ τὴν ἐπιθυμίαν ἐλεγχούσης ἀνόητον; τί γὰρ εἴποιεν ἄν τινες; ἐπέλιπον αἱ καθήκουσαι φροντίδες, ἵνα τοῖς ματαίοις λογισμοῖς προσασχολήσωμεν τὴν διάνοιαν, πλοῦτον, καὶ δυναστείαν, καὶ δόξαν, καὶ τὴν παρὰ πολλοῖς νομιζομένην εὐκληρίαν φανταζόμενοι. διώρθωται τὰ ἤθη, κατεστέλλεται τὰ πάθη, οὐδὲν πλημμελῶς ἡ αἴσθησις ἐνεργεῖ, ἐξωμάλισται τὰ τῆς προκοπῆς πρὸς τὸ εὔκολον, ἕξις ἡμῖν ἡ ἄσκησις γέγονεν, εἰρήνην ἄγει ἡ καρδία βαθεῖα, πέπαυται τὰ τῆς μάχης ἡμῖν, ἡ πρὸς τὰς ἀρχάς, καὶ τὰς ἐξου-

CAPVT LV.

Affert enim vtrumquè ſimiliter damnum, ſiuè ex animi ſuccedant ſententia, ſiue à ſcopo aberrent malè cōcupita, quippe quæ vel gaudium inutile, vel dolorem inferunt inconuenientem; nec enim ſecundùm Deum hic dolor eſt, qui (iuxtà Paulum) pœnitētiam operari poſſit in ſalutem; neq; hoc gaudium in Domino ſtabilitur, vt ipſe animaduertit Paulus; illos enim, quos bona delectat conſcientia, hortatur, dicens: Gaudete in Domino ſemper: Verùm animalis Philipp. 4. v. 4.
eſt quædam affectio, dæmonibus potiùs conueniens, quæ nullam ex æternis dependentiam habet; cum corrumpantur materiales humanæ ſordes, & cupiditatem demonſtrent inutilem: ecquid enim aliqui dicerent? defecerunt (forſan) noſtri muneris curæ, ità vt cogitationibus vanis debeamus mentem occupare, imaginatione ſcilicèt peruoluētes diuitias, dominatum, gloriam, & quicquid multi proſperam fortunam exiſtimant? emendati ſunt (igitur) mores, concitati affectus ſubacti ſunt, nil ſenſus agit incompolitè, complanatæ ſunt viæ progreſſus ad facilitatem; diuturna

exer-

exercitatio quaſi habitus in nobis euaſit; cor profundum fruitur pace; pacata ſunt quæ nos ad pugnam ciebant; Certamen luctæ contra Principatus, & Poteſtates diſſolutum eſt; inducias cōpoſuit cum ſpiritu quæ contrà ipſum inhumaniter diſpoſita erat Caro: non amplius aduerſus ſpiritum ea militat, fuit omninò deuicta, ſeruienſquè veluti captiua, fatetur, ſe ſuccubuiſſe: concidiſtis gladios in vomeres, & lanceas
Iſa.2. v. 4. in falces, propter pacem multam
3.Reg.14 v.25. bellica opera feciſtis inſtrumenta
Pſal.149 v. 5. agriculturæ: requieſcimus, iuxta Diuinam Promiſſionem, vnuſquiſque ſub ficu ſua, & ſub vite ſua, delectati in manuum noſtrarum operibus, & in cubilibus gaudentes, nemine vllatenùs perturbante, non paſſione, non ſpiritu potentiæ contrariæ inflammante rurſùs ad ea negotia, quæ nobis nullo modo ſunt apta: ſi verò (vti dictum eſt) res noſtræ impaſſibiliter ſe habebant, tranquillitatequè fruebamur eorum, quæ ſolebant perturbare intellectum, & (ſecundum inſtitutum Veterum Sanctorum) eramus omni humana concupiſcentiâ ſuperiores, ad quid nobis futilium rerum cura erit vtilis, quæ vana eſt abſtractio, & quæ ſtudioſè appetuntur, non perficit? (nihil enim eorum, quæ non ſunt in noſtra poteſtate, propriâ efficitur induſtriâ, & ſi ad id comparandum ſupra modum animi contendamus alacritate) cum ea ſint prouidentiæ dona ad nos ſpectantia gubernantis, & non humani opera ſtudij.

σίας καταλέλυται πάλη. σπονδὰς ἔθετο πρὸς τὸ πνεῦμα ἡ κατ' αὐτοῦ δυσμενῶς διακειμένη σάρξ, οὐκ ἔτι στρατεύεται αὕτη κατὰ τοῦ πνεύματος. ὅλως νενίκηται, καὶ τὴν ἧτταν ὁμολογεῖ δουλεύουσα ὡς αἰχμάλωτος. συνεκόψατε τὰς μαχαίρας εἰς ἄροτρα, καὶ τὰς ζιβύνας εἰς δρέπανα, τὰ πολεμικὰ ἔργα ποιήσαντες διὰ πολλὴν εἰρήνην σκεύη γεωργικά, ἀναπαυόμεθα κατὰ τὴν θείαν ὑπόσχεσιν ἕκαστος ὑποκάτω συκῆς αὐτοῦ, καὶ ὑποκάτω ἀμπέλου αὐτοῦ εὐφραινόμενοι ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν ἡμῶν, καὶ ἐπὶ τῶν κοιτῶν ἀγαλλιώμενοι, οὐδενός, οὐδαμόθεν ὀχλοῦντος, οὐ πάθους, οὐ πνεύματος τῆς ἀντικειμένης δυνάμεως τῆς ἐπιθυμίας ἀναφλέγοντος πρὸς τὰ ἡμῖν οὐδαμῶς ἡρμοσμένα πράγματα. εἰ δὲ καί, ὡς εἴρηται, οὕτως εἶχε τὰ καθ' ἡμᾶς ἀπαθῶς, καὶ γαλήνην ἐχόμενοι τῶν ταράττειν εἰωθότων τὸν νοῦν, καὶ πάσης, κατὰ τοὺς πάλαι ἁγίους, ἦμεν ἀνώτεροι κοσμικῆς ἐπιθυμίας, ποῦ χρήσιμος ἡμῖν ἡ τῶν ματαίων φροντίς, καὶ περισπασμὸς οὕτως εἰκαῖος. καὶ τὰ σπουδαζόμενα οὐκ ἀνύουσα, (οὐδὲν γὰρ τῶν οὐκ ἐφ' ἡμῖν ἡμέτερα γίνεται ἐπιτεχεία κἂν ὑπερπαθῶμεν πρὸς τὴν κτῆσιν αὐτοῦ τῇ προθυμίᾳ) προνοίας τῆς τὰ καθ' ἡμᾶς οἰκονομούσης ὄντα δωρήματα, καὶ οὐκ ἀνθρωπίνης ἔργα σπουδῆς.

CAPVT LVI.

ET eàm ob rem ad eos, qui bene auſcultare norūt Dominus dicit: Quis ex vobis

ΚΕΦΑΛ. νϛʹ.

ΚΑὶ διὰ τοῦτο πρὸς τοὺς εἰδότας καλῶς ἀκούειν, ὁ κύριός φησι· τίς ἐξ ὑμῶν μεριμνῶν δύναται προσ-

cogitans

προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα, τῷ ἀνηνύτῳ τῆς μερίμνης ταύτης πᾶσαν μέριμναν δεικνύς, ἥτις μὴ τῇ ἡμετέρᾳ πέρας λαμβάνει σπουδῇ, ματαία καὶ ὄντως ἀνήνυτος, μετεωρίζουσα ἁπλῶς τὸν λογισμόν, καὶ τῆς ἀληθοῦς ἀποβουκολοῦσα φροντίδος, οὐδὲν δὲ τῶν ὀνειροπολουμένων περιποιῆσαι δυναμένη τινί, ὀνειρώττουσιν ἐν τοῖς φαιδροῖς, καὶ ὕπαρ κενὴν τὴν φαντασιῶν τὴν ἐλπίδα ἐλέγχουσαν· ἀεὶ τοῖς ματαίοις ἐνθυμίοις ἐνδιακαιρεύουσαν, καὶ ἔργῳ τὰ ἐνθύμια βλέπουσαν οὐδέποτε κατὰ τὴν τοῦ Ἡσαΐου παραβολὴν ἐν ᾗ φησιν· ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν, ὡς πίνων, καὶ ἐξαναστὰς ἔτι διψᾷ· ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπισε· τοιοῦτον γὰρ ἡ τῶν ματαίων ἐλπὶς ἡδονή τις ἐστὶ νυκτερινῆς εὐωχίας τῇ ἀπάτῃ τοῦ ὀνείρου εὐφραίνουσα, καὶ πεῖραν οὐ ποιοῦσα ποτὲ τῆς νομιζομένης εὐφροσύνης. τί οὖν τὰ οὐχ ἡμέτερα μεριμνῶμεν διαπαντὸς ὡς ἡμέτερα, καὶ τὰ ἀλλότρια ὡς οἰκεῖα σπουδάζομεν τὸν καιρὸν τῆς σκέψεως τῶν ἀναγκαίων προδαπανῶντες τοῖς κενοῖς ἐνθυμίοις; εἴπερ ἐλώφησαν ὡς ἡγούμεθα τὰ πάθη, καὶ τὰ τῆς πονηρίας ὑπεχώρησεν ἐπίβουλα πνεύματα, εὐχαριστεῖν ἐν προσευχαῖς μνήμῃ διηνεκεῖ τῷ πρὸς τὴν τοιαύτην κατάστασιν ἡμᾶς ἀγαγόντι δεσπότῃ Χριστῷ· μόλις γὰρ ἂν ἅπας ἡμῖν ὁ χρόνος ἀρκέσῃ πρὸς τοῦτο στενὸς ὤν, καὶ βραχὺς εἰς ἀμοιβὴν ὧν ἀπολαύσαμεν, καὶ ὧν ἀπολαύομεν εὐεργεσιῶν ὁσημέραι, τοῦ τῶν θλιβόντων ἡμᾶς πολλοὺς ὑψηλοτέρους ἡμᾶς καταστήσαντος· εἰ γὰρ ἑκάτερον τοῦ χρονικοῦ διαστήματος ὅρον, ἡμέραν λέγω καὶ νύκτα, ὁ μὲν Δαβὶδ προσεδρεύειν ἡμᾶς βούλεται τῇ μελέ-

cogitans poteſt adijcere ad ſtaturam ſuam palmum vnum; oſtendens, quod ſicuti cogitatio hæc inanis eſt, quæ nullum habet noſtro ſtudio finem, ſic omnis cura vana eſt, ac verè inefficax, quæ ſurſum extollit ratiocinationem, abducitquè à verâ ſolicitudine; ſed nec poteſt alicui quidquã eorũ acquirere, quæ ſomniante ipſe; quippe quæ ſomno quidem in delectabilibus verſatur, at verâ viſione vanam comperit ſpem imaginationum, continuò futilibus vacat cogitationibus, iſtaque cogitata numquam opere videt abſoluta (iuxtà Iſaiæ parabolam) in qua dicit: Et ſicut ſomniat ſitiens, quaſi bibat, & poſtquam fuerit expergefactus, laſſus adhùc ſitit, & anima eius vacua eſt; ſperauit in vanum. Sic enim vanorum ſpes voluptas quædam eſt nocturni conuiuij, deceptione ſomnij oblectans, & numquã præbens delectationis exiſtimatæ vllam experientiam; Cur igitur quæ noſtra non ſunt aſſiduè cogitamus, perinde ac noſtra, & aliena vti propria ſtudioſè proſequimur, tempus inſpectionis rerum neceſſariarũ vanis inſumentes in cogitationibus? oportet ergò, ſi ceſſarunt, (vti cenſemus) paſſiones, clamq; receſſerunt ſpiritus malitiæ, qui inſidiabantur, gratias in orationibus agere aſſiduâ memoriâ Domino Chriſto, qui nos ad hunc ſtatum perduxit; vix enim nobis totum tempus ſufficiet, cum ad hoc ſit anguſtum, & breue ad retributionem ſcilicet illorum, quæ recipimus, beneficiorum quotidiè; cum nos ijs rebus excelſiores effecerit, quæ permultos affligant. Nam ſi per vtrumque ſpatij temporarij terminum, diem (inquam) & noctem Dauid percupit, vt legis aſ-

Matt. 6. v. 27. Luc. 12. v. 25.

Iſai. 29. v. 8.

Pſalm. 1. v. 2.

ſiduè

ſiduè meditationi incũbamus, & Legiſlator, vt id ipſum faciamus: meditaberis in eã (aiens) domi ſedens, & in via procedens, in lecto accumbens, & exſurgens, nullum ad otium nobis derelinquẽtes tempus: & alius; vt benedicamus in omni tempore Dominum mandat; & Paulus iubet ſine intermiſſione orare: quantum tempus remanſit ad vacandum diſpectioni eorum, quæ noſtri non ſunt muneris, cum vnum quodque horum, quæ mandata ſunt nobis, vniuerſum requirat tempus, nullumque concedat alijs negotijs?

Deutero. 11, v. 19

Tob. 4. v. 20.

1. Theſ. 1. v. 2.

τῇ τοῦ νόμου, καὶ ὁ νομοθέτης αὐτὸ τοῦτο ποιεῖν· μελετήσεις ἐν αὐτοῖς (λέγων) καθήμενος ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ, κοιταζόμενος, καὶ διανιστάμενος, οὐδένα πρὸς ἀργίαν καταλιμπάνοντες ἡμῖν καιρὸν· καὶ ἄλλος εὐλογεῖν ἐν παντὶ καιρῷ προστάττει τὸν κύριον, καὶ Παῦλος κελεύει ἀδιαλείπτως προσεύχεσθαι, ποῖος καιρὸς ὑπολέλειπται πρὸς ἄδειαν σκέψεως τῶν οὐ καθηκόντων ἡμῖν, ἑκάστου τῶν ἐπιτεταγμένων ὅλον ἀπαιτοῦντος τὸν χρόνον, καὶ παραχωροῦντος τοῖς ἄλλοις οὐδέν;

CAPVT LVII.

Qvomodo enim ſine intermiſſione orabit, qui non meditatur in Lege Domini die, ac nocte? Quomodo verò perfectè Dominum benedicet ille, qui aggreditur vnũ aliquid eorum, quæ dicta ſunt, cum vix tempus ſufficiat nauandi operam accuratæ diligentiæ cuiuſuis eorum, quę virtuosè peraguntur? Idcirco Scriptura plurium hominum noſcens negligẽtiam, maioribus etiam noſtra poteſtate, nos arctauit præceptis, vt ſtudium extendat ad id, quod eſt poſſibile, & infirmitatis prętextus ſuccidat; cum, qui bonum operatur, moderatum, & æquum ſeſe potius præbeat, quod ea facere nequit, vt ſibi fuit iuſſum, quàm inflatũ, quod partem compleuerit præceptorum, ſperans ſe non adeò laudandum pro his, quæ ſibi viſus eſt proſperè patraſſe, quantum vituperãdum pro illis, quæ negligens omiſit: imperfectum etenim opus nõ præbet fiduciam operanti, imò efficit, vt erubeſcat, quaſi detrectarit ad finem eorum laborando

Siue gratia Dei. vide Notas.

ΚΕΦΑΛ. μζ΄.

Πῶς γὰρ ἀδιαλείπτως προσεύξεται ὁ μὴ μελετῶν ἐν νόμῳ κυρίου ἡμέρας, καὶ νυκτός; Πῶς δὲ δι᾽ ὅλου εὐλογήσει τὸν κύριον, ὁ ἕν τι τῶν εἰρημένων ποιῶν, μόλις τοῦ καιροῦ φθάνοντος ὑπουργῆσαι τῇ ἀκριβείᾳ ἑνὸς ἑκάστου τῶν κατ᾽ ἀρετὴν γινομένων; Διὰ γὰρ τοῦτο ἡ γραφὴ τὸ ῥάθυμον τῶν πολλῶν ἐπισταμένη, καὶ μείζοσι τῆς ἡμετέρας δυνάμεως ἡμᾶς ἐσένωσε προστάγμασιν, ἵνα τὴν σπουδὴν πρὸς τὸ δυνατὸν ἐπιτείνῃ καὶ ἡ τῆς ἀσθενείας ὑποτέμνηται πρόφασις, μᾶλλον μετριάζοντος τοῦ ἐργαζομένου τὸ ἀγαθὸν ἐφ᾽ οἷς ὡς ἐκελεύσθη οὐ φθάνει τοῦτο ποιεῖν, ἢ φυσιουμένου ὅτι μέρος τῶν ἐντολῶν ἐπλήρωσεν· οὐχ οὕτως ὑπὲρ ὧν ἔδοξε κατορθοῦν ἐπαινεθήσεσθαι, ὅσον ἀνθ᾽ ὧν ἐνέλειψεν ὡς ἀμελήσας μεμφθήσεσθαι προσδοκῶν· ἐπεὶ μηδὲν ἀτελὲς ἔργον παῤῥησίαν δίδωσι τῷ ἐργασαμένῳ, ἐρυθριᾶν δὲ παρασκευάζει ὡς ἀπονήσαντα ὧν ἐπετήδευσε πρὸς τὸ πέρας ἐλθεῖν. καὶ τινα

pertin-

μὲν τῶν τεχνητῶν ἔργων ὅρος ἔχει, καὶ πέρας, πρὸς ὃν ὁ σκοπὸς τοῖς ἀρχομένοις ὁρᾷ, καὶ κατορθοῦται τύπον ἕκαστον ἐν οὐ πολλῷ χρόνῳ ἐν ὕλαις ἐνεργούμενος, καὶ τὸ τέλος ἔχον ἑστὼς, καὶ περιμένον τὸν περικόπτοντα. ἡ δὲ ἀρετὴ μακρὸν ἔχει τὸ μῆκος, καὶ τάχα ἀπέραντον τὴν δύναμιν τοῦ μετερχομένου αὐτὴν κενοῦσα, καὶ ἔτι ἀφεστῶσα τῆς καταλήψεως, ἐρεθίζουσα τὸν πόθον τοῦ πλησίον εἶναι δοκεῖν, καὶ τοὺς προσπελάζοντας ὑποφθάνουσα τοσοῦτον, ὅσον καὶ κενεῖν τὴν προθυμίαν ὡς ἤδη ἐγγὺς καὶ τοῦ προσκόπτοντος κλέπτειν τὸν πόνον τῷ κατὰ μικρὸν λεληθότως ὑποχωρεῖν· καὶ τοῦτο ἐστὶν, ὡς ἔοικε, τὸ περὶ τοῦ πατριάρχου καλῶς εἰρημένον Ἀβραὰμ, ὅτι ἦλθεν εἰς τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεὸς, καὶ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ Ἀβραὰμ εἶδε τὸν τόπον ἀπὸ μακρόθεν. καὶ φθάσας ἐπ᾽ αὐτὸν, τῷ δοκεῖν, ἐπὶ τὸ παραμυθῆναι τὴν τοῦ πόνου δυσχέρειαν καὶ μαθὼν τῷ τέως ἀφεστάναι ὡς οὐδέπω κατείληφεν, ἵνα μὴ τὸ πρόθυμον ἀναπέσῃ ὡς ἠνυσμένου τοῦ προκειμένου, ἐπιτείνηται δὲ ἀεὶ πρὸς τὸ σπουδαιότερον ἐλπίδι τοῦ μετ᾽ οὐ πολὺ ἔσεσθαι πρὸς ὅπερ ἠπείγετο.

pertingere, quæ fuit ſtudioſè ſectatus; & quidem aliqua artificum opera terminum habent; atque finem, ad quem collineat aggredientium ſcopus, feliciqué ſucceſſu vnumquodque ipſorum non paruo perficitur tempore; quippe quod in materijs efficitur, finemque habet præſentem, & ſolùm expectat, à quo circumcirca reſecetur: Virtus autem prælongam quamdam habet prolixitatem, & forſan interminatam, quæ nempe ſectantis eam vires reddit inanes, longequè abeſt, quin comprehendatur; proritat deſiderium eius, qui propinquus eſſe videtur, & approximantes ita ſubterfugit, vt animi alacritatem vacuam reddat, vtpote quæ iam propè erat; laboremque progredientis ſuffuretur latentèr, ſenſim ſine ſenſu euadendo. Atque idipſum eſt (vt videtur) quod de Patriarcha Abraham præclarè fuit dictum, quod venit in locum, quem dixit ipſi Deus, & eleuatis oculis ſuis Abraham vidit locum à longè, appulitque ad ipſum (vt videbatur) ad aliquo ſolatio laboris tædium mitigandum, & ex quo interim longè aberat, cognouit ſe nondum comprehendiſſe; ne animi alacritas concideret, quaſi propoſitum eſſet perfectum, extenderetur verò aſsiduè ad maius ſtudium, ſperando, ſe non multò poſt ad id peruenturum ad quod citato gradu properabat.

Gen. cap. 22. v. 4.

ΚΕΥΦΑΛ. νη.

Ταῦτα γὰρ τῆς ἀρετῆς χαρακτηρίζει τὴν μέθοδον πρὸς τὴν ἐνδεχομένην προκοπὴν σοφιζομένης τὸ γνώριμον, οὔτε πολὺ μήκοθεν φαινομένην, ἵνα μὴ ὄκνον δόξῃ ποιεῖν τῷ πολλῷ διαστήματι, οὔτε παραμενούσης ἕως ἂν καταληφθῇ παρὰ τοῦ διώκοντος,

CAPVT LVIII.

Iſta namquè Virtutis figurant methodum, quæ (ſcilicet Virtus) familiarem ſuum edocet Sapientiam ad ſuſcipiendum progreſsum, neq; valdè procul apparet, ne ſegnitiem videatur inducere ob longinquum interual-

lum,

ſum, nec propè permanet, donec à perſequente comprehendatur, ne antè mortem ceſſare faciat animi propoſitum, totum verò per vitæ tempus ſtudium per omnia vigens protēdat, quippe quæ finem habet, quem aſſequi non poſſumus, cumquè frequentiſſimè appareat præteriens propè, incitat vires ad ipſum finem, qui pertingi poteſt, prouocans ad progreſſum, quem Natura impertitur, ac tandèm poſt multos labores valdè admodum abeſt quin comprehendat. Quis enim ipſam ita benè eſt aſſequutus, vt nihil ei defuerit ad perfectionem? Quis verò, omni quoquè ſtudio vſus, non procul ab illius terminis fuit derelictus? vtquè id manifeſtè demonſtretur, conſectaneum eſt veriſſimæ dilectionis dicere proprietates; quandoquidem ipſa eſt complementum Legis, iuſtèquè ſic dicitur à Diuina Scriptura; vt pote quæ omnes complectitur partes Legiſlationis bonorum, edocet benè facere contribuli, & non permittit, quod ei inferatur iniuria, nec aliquid in ipſum fiat contrarium, vult autem, vt malum condonetur. Quis igitur proximum adeò dilexit, vt alium ſeipſum in omnibus illum exiſtimarit? Quis de progreſſibus fratris in bono, vti de proprijs delectatur, neq; irrationabiliter hiſce vellicatur, & inuidioſè, putans ſe inglorium in his eſſe, in quibus famâ præcellitur à proximo? Quis alterius honorem in quibuſuis non iudicat euerſionem honoris proprij? Quis, dum alter anteponitur ſibi in aliqua (quæcumque illa fuerit) celebritate, non deiecto concidit animo, ſecundum tenere locum, dedecoris aliquid eſſe arbitratus? Quis non mordetur laudibus, quibus

ἵνα μὴ πρὸ τοῦ θανάτου παύσῃ τὴν προθυμίαν, πάσῃ δὲ τῇ ζωῇ τὴν σπουδὴν παρετείνῃ δι᾽ ὅλου ἀκμάζουσαν, ἀνέφικτον ἔχουσα τὸ τέλος, καὶ τῷ διὰ παντὸς παραφαίνεσθαι πλησίον πρὸς τὸ ἐφικτὸν προτρεπομένη τὴν δύναμιν, πρὸς ὅσον προκοπὴν ἐπιδίδωσιν ἡ φύσις προσκαλουμένη, καὶ μετὰ πολλοὺς πόνους ἱκανῶς ἀφεστῶσα τῆς καταλήψεως. τίς γὰρ ταύτην οὕτω κατώρθωσεν ὡς μηδὲν λείπειν αὐτῷ πρὸς τὴν τελειότητα; τίς δὲ, καὶ πάσῃ χρησάμενος σπουδῇ, τῶν ταύτης ὅρων οὐ καταλείφθη μακράν; καὶ ἵνα δειχθῇ τοῦτο προφανῶς, ἀληθεστάτης ἀγάπης ἀκόλουθον εἰπεῖν ἰδιώματα, ἐπειδὴ πλήρωμα νόμου, ἔστιν αὕτη, καὶ λέγεται δικαίως παρὰ τῆς θείας γραφῆς, πάντα περιλαμβάνουσα τὰ μέρη τῶν τῆς νομοθεσίας καλῶν, εὐεργετεῖν διδάσκουσα τὸ ὁμόφυλον, καὶ ἀδικεῖν οὐκ ἐπιτρέπουσα οὐδέ τι πράττειν εἰς αὐτὸ ἐναντίον, ἑκουσίως τε συγχωρεῖν τὸ κακόν. τίς οὖν τὸν πλησίον ἠγάπησεν οὕτως, ὡς ἄλλον ἑαυτὸν ἐν πᾶσιν ἐκεῖνον ἡγήσασθαι; τίς ταῖς ἐν τῷ ἀγαθῷ προκοπαῖς τοῦ ἀδελφοῦ ὡς οἰκείαις ἐπευφραίνεται, καὶ οὐ κνίζεται ταύταις ἀλόγως, καὶ πρὸς φθόνον ἀδοξεῖν αὐτὸς λογιζόμενος ἐν οἷς παρευδοκιμεῖται παρὰ τοῦ πέλας; τίς τὴν ἄλλου ἐφ᾽ οἷς ἂν τύχῃ τιμὴν, οὐ κρίνει κατάλυσιν τῆς ἰδίας τιμῆς; τίς ἐν τῷ προκριθέντι ἐν ὁτῳοῦν δήποτε τῶν εὐδοκίμων οὐ κατέπεσεν ἀθυμίᾳ, τὸ δευτερεύειν ἐν ἀτιμίας μέρει τιθέμενος; τίς τοῖς ἐπαίνοις τοῦ συμμετιόντος τὸ ἔργον οὐ δάκνεται, ὡς ἐπὶ ψόγοις οἰκείοις; τίς σφάλματι τινὸς ἐπεστύγνασεν ὡς ἂν ἐφ᾽ ἑαυτῷ σφαλέντι τοῦτο ἡγούμενος

afficitur

τίς ἀσχημονήσαντι ὡς ἑαυτῷ συνεπάθησε; τίς ἀδοξίᾳ τοῦ τυχόντος οὐκ ἐπεγέλασε; τίς πτώματι οὐκ ἐπεχάρη ἑτέρου, καὶ οὐκ ἐπήρθη ἐπὶ τῷ ὑποσκελίσματι τούτου, μέγα ὡς ἑστὼς ἐπὶ τῷ πεσόντι φρονήσας; τίς ἐλέγχῳ πλημμελήματος ἐρυθριῶντι συνηρυθρίασεν, οὐχὶ δὲ τὴν ἐκείνου διατροπὴν παρρησίαν αὐτοῦ ἡγήσατο ἐπὶ μεῖζον τὴν οἰκείαν δόξαν ἐπαίρεσθαι δοκῶν ἐν οἷς ἐλαττοῦσθαι τὴν ἑτέρου συμβαίνει; καὶ τίς κατὰ τὸν Παῦλον (συντόμως εἰπεῖν) χαίρει μετὰ χαιρόντων, καὶ κλαίει μετὰ κλαιόντων συνδιατιθέμενος οὕτως ἑκάστῳ ὡς αὐτὸς διάκειται, ἐν φαιδροῖς ἢ σκυθρωποῖς ἐξεταζόμενος πράγμασι.

afficitur ille, qui ad idem opus aſſequendum collaborat, ac ſi propria eſſent vituperia? Quis ob errorem alicuius contriſtatus fuit, exſtimans hoc tamquam à ſe ipſo perpetratum? Quis aberranti à ſcopo vti ſibi ipſi compaſſus eſt? Quis dedecus vulgaris hominis non irriſit? Quis de alterius caſu non eſt gauiſus, neque elatus eſt ob eius ex ſupplantatione lapſum, altè de ſe ſapiens, quod ipſe ſteterit, eo cadente? Quis cum erubeſcente, dum arguitur delicti, ſimul erubuit? & non è contra, illius confuſionem cenſuit ſui confidentiam, ratus, proprium decus ad maius fore attollendum, dum contingit, aliorum illud imminui? & Quis (vt breuiter perſtringam) ſecundùm Paulum, gaudet cum gaudentibus, flet cum flentibus, ita ſeſe accommodans vnicuique, prout ipſe ſeſe examinans in rebus hilaribus, vel tetricis eſt diſpoſitus? *Rom. 12. v. 15.*

ΚΕΦΑΛ. ιθʹ.

Τοῦτο γὰρ τῆς ἀγάπης ἐξαίρετον πλεονέκτημα, τὸ τὴν διάθεσιν τὴν ἁπάντων ἐργάζεσθαι μίαν, ἑκάστου χαίροντος, κατὰ τοῦ ἑτέρου, καὶ λυπουμένου ὁμοίως, μελῶν ἑνὸς σώματος δίκην συνδεδεμένων, καὶ τῇ ἁρμονίᾳ συμπαθῶς μεταδιδόντων ἀλλήλοις, καὶ δεχομένων παρ' ἀλλήλων τὰ πάθη. εἰ τοίνυν οὔτε πᾶς ὁ χρόνος ἀρκεῖ πρὸς τὴν τῆς ἀρετῆς ἐπιμέλειαν, καὶ πολλῆς τοῖς ἀγωνιζομένοις διὰ τοὺς ἀνταγωνιζομένους δαίμονας χρεία τῆς νήψεως, πῶς κεχηνότας, καὶ μετεωριζομένους, ἢ τὴν ὁδὸν δύσβατον οὖσαν, καὶ πολλὴν ἔστιν ἀνύσαι, ἢ τῶν ἀντιπάλων φυλάξασθαι τὰς ἐπιβουλὰς πολλῶν ὄντων, καὶ ἀοράτων, καὶ πάθεσιν

CAPVT LIX.

Iſta eſt quippe caritatis prærogatiua eximia efficere, vt nepe ſtatus, ſeu diſpoſitio omnium ſit veluti vna, vnoquoque gaudente cum altero, vel ſimilitèr dolente inſtar membrorum vnius corporis colligatorum, & commiſſura, ſeu cõpage inuicẽ ſibi cõpatiẽtẽr cõmunicantium, ac mutuas ſuſcipiẽtium paſſiones. Itaque ſi nec omne tempus ſufficit ad virtutis ſtudium accuratum, & opus eſt multâ vigilantiâ decertantibus aduerſus Dæmonas impugnãtes, quomodo, vel poterimus perficere viam, quæ multa eſt, cum ſimus oſcitantes, ac diſtracti; vel aduerſariorum cauere inſidias, qui multi ſunt, & inuiſibiles, noſtriſque paſſionibus & ſenſibus vt armis contra nos vtuntur, & ipſis nos feriunt, quibus vt propulſantibus

auxilijs natura nos armauit aduerſus illos; oculus ipſis inſeruit ad concupiſcentiã earũ rerũ, quæ ſæpiùs videntur, deſiderium pariens quorumuis materialiũ ſplẽdidorum; auditus ob nuntia triſtia dolorem conſueuit inferre, & ob ea, quæ ſunt veluti animo grata, voluptatem commouere; Iracundia e prętextu occurrente ſuccenditur efferueſcens, & tumultuosè concutiens corpus vniuerſum, perturbanſque ratiocinationem, & eius puritatem inquinans, ſicut pellucidam fontis aquam, ita vt non videat perſpicuè veſtigia eorum, quæ animo obuerſantur; vana gloria opus in publicum efferre compellit, magis placere volens hominibus, quam Deo, & labores inutiles reddens; nec enim id, quod perperàm factum, eſt merces vlla conſequitur, quando non ad placendum ei, qui poteſt præmia rependere, verùm ad ſpectatorum laudem ſcopus omninò reſpiciebat; ſuperbia ad tumidum faſtum attollit ſenſa, omnemque hominem contemnere docet, & ſimul deſpuere tamquam viles quoſcumque eiuſdem generis, in ſublime attollit mentem ad amentiam, & perſuadet, vt imaginemur æqualitatem cum Deo prouidentiam, & gubernationem melioris, ſeu Numinis non nouit; quando gratijs perfruitur, reputat ſeſe recipere, quod operibus debetur; Dei cooperationem in his, quæ facit, & rectè gerit, non vult agnoſcere, ſufficientem ſe ad omne bonum cenſet è ſemetipsâ eſſe; ſibi videtur omnia poſſe, nimia exiſtimatione ſui, cum nihil omninò valeat; bulla eſt nimiâ mole turgida ſua ex opinione ſtulta, quæ exſufflata, nihil

ἡμετέροις, καὶ αἰσθήσεσιν, ὅπλοις καθ' ἡμῶν κεχρημένον, καὶ τούτοις βάλλοντα ἡμᾶς, οἷς κατ' αὐτῶν ἀμυντηρίοις ἡ φύσις ἡμᾶς ὥπλισεν. ὀφθαλμὸς αὐτοῖς ὑπηρετεῖ πρὸς ἐπιθυμίαν τῶν ὁρωμένων πολλάκις, πάσης λαμπρᾶς ὕλης ἐργαζόμενος πόθον. ἀκοὴ λύπην ἐπὶ ταῖς σκυθρωπαῖς ἀγγελίαις. καὶ ἐπὶ τοῖς ὡς καταθυμίοις κινεῖν πέφυκεν ἡδονήν. θυμὸς δὲ τῆς τυχούσης ἀνάπτεται προφάσεως, βρέμων, καὶ κλονῶν ὅλον τὸ σῶμα, καὶ τὸν λογισμὸν ταράττων, καὶ θολῶν τὸ καθαρὸν τούτου καθάπερ πηγῆς διαυγὲς ὕδωρ πρὸς τὸ μὴ τρανῶς ὁρᾶσθαι τῶν ἐνθυμίων τοὺς τύπους. κενοδοξία δημοσιεύειν τὸ ἔργον βιάζεται, μᾶλλον ἀνθρώποις ἀρέσκειν θέλουσα, ἢ τῷ Θεῷ, καὶ τοὺς πόνους ἀχρειοῦσα (οὐ γὰρ ἀκολουθεῖ τῷ πλημμελῶς γινομένῳ ὁ μισθός, ἐπεὶ μὴ πρὸς ἀρέσκειαν τοῦ ἀμείβεσθαι δυναμένου, πρὸς ἔπαινον δὲ τῶν ὁρώντων ὁ σκοπὸς ἔβλεπεν ὅλως) ὑπερηφάνεια πρὸς ὄγκον ἐπαίρει τὸ φρόνημα, καταφρονεῖν παντὸς ἀνθρώπου διδάσκει, καὶ διαπτύειν ὡς εὐτελὲς ἅπαν ὁμοῦ τὸ ὁμόφυλον, μετεωρίζει τὸν λογισμὸν πρὸς ἀπόνοιαν, ἰσοθεΐαν πείθει φαντάζεσθαι, προνοίας καὶ κηδεμονίας τοῦ κρείττονος οὐκ ἐπίσταται. ὀφειλὴν ἔργων ἀπολαμβάνειν λογίζεται ὧν ἀπολαύει χαρίτων, συνεργίαν Θεοῦ ἐν οἷς πράττει καὶ κατορθοῖ εἰδέναι οὐ βούλεται, αὐτάρκης ἑαυτῇ πρὸς πᾶν ἀγαθὸν εἶναι νομίζει, πάντα τῇ οἰήσει ἰσχύειν δοκεῖ, οὐδὲν ἰσχύουσα ὅλως. πομφόλυξ ἐστὶν ὑπερογκωμένη ὑπολήψει ματαίᾳ, ἧς διαπνευσθείσης, οὐδὲν οὖσα ἐλέγχεται. πνεύματα πονηρὰ τὰ μὲν ἐχόμενα τρίβου, τίθησι σκάνδαλα τοῖς δοκοῦσιν εὐλόγοις, τῆς ἀληθείας ἀπάγοντα, ἐ-

περὰ καθάπερ πετεινοῖς ἐν τῷ ἀέρι διαπετάννυσι δίκτυα, τοὺς ὀλίγον τῆς γῆς ὑψωθέντας βρόχων τοῖς ὑπερέχουσιν εἰς ἀλαζονείαν ἀγρεύειν πειρώμενα.

nihil eſſe arguitur. mali quidem ſpiritus illi in ſemita commorantes ponunt offendicula his, qui ſibi videntur rationabiles, vt eos à veritate abducant, alii ſicuti volucribus, in aere retia expandunt, tentantes paulò à terrenis exaltatos laqueis ſupereminentibus ad iactantiam aucupari.

ΚΕΦΑΛ. ξ.

Ἀλλὰ τοὺς ἐπουρανίους καταλαβόντα τόπους ὥς φησιν ὁ Παῦλος τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις, τοὺς τὸ πολίτευμα ἔχοντας ἐν οὐρανῷ, ἐκεῖ τῆς ὑπερηφανίας ἐντὸς ἀρκύων πειρῶνται λαβεῖν. ᾧ πάθει τὸν πρῶτον ἀπονοηθέντα διάβολον κατέβαλον εἰς τὴν γῆν, τούτῳ τοὺς ἀναβαίνοντας τῷ βίῳ ἐκ τῆς ἄκρας περιωπῆς καταστρέψαι πραγματευόμενα. ὅσα δὲ πολεμεῖ. καὶ πυκτεύει. καὶ μάχεται, παγκρατιάζεται, καὶ παλαίει, καὶ συντρέχει τοῖς τρέχουσιν, οὐχ ἵνα μετ' αὐτῶν ἐπὶ τὸ βραβεῖον φθάσῃ τῆς κλήσεως, ἀλλ' ὅπως ὑποσκελίσαντα ἐμποδίσῃ τῷ δρόμῳ, πολλὰ ὄντα ὡς καὶ ὁ Παῦλος φησί, καὶ ποιῆσαι τῷ λόγῳ μῆκος δυνάμενα, χαλεπὸν ἀπαριθμήσασθαι καὶ οὐ ῥᾴδιον, οἷς οἱ μαχόμενοι καὶ ἐν οὐδαμῶς ἰσχύουσιν ἀσχολεῖν πρὸς ἑτέρα τὴν διάνοιαν τῆς τυχούσης ἀπαγωγῆς, τούτοις μὲν ἥττης, τοῖς δὲ ἐχθροῖς νίκης γινομένης αἰτίας. τούτοις οὖν προσέχειν ἀναγκαῖον, καὶ μὴ περισπᾶσθαι πρὸς τὰ συνεργοῦντα καθ' ἡμῶν τοῖς ἀντιπάλοις. ὃ γὰρ ἄν τις λογίσηται, τῶν μὴ συντελούντων πρὸς τὴν γυμνασίαν τῆς ἡμετέρας ἀθλήσεως, τοῦτο λαβὴν τοῖς ἐναντίοις ἐστί. μεσολα-

CAPVT LX.

SEd Cæleſtia loca inuadẽdo (cũ ſint, vt ait Paulus, ſpiritualia nequitiæ in Cæleſtibus) eos qui conuerſationem habent in Cælis, ibi intrà ſuperbiæ reticula capere conantur; qua paſſione dementatum primum Diabolum præcipitem deiecerunt in terram, hac eos, qui aſcendunt illùc vitæ iſtius genere, e ſummâ ſpeculâ vt deorsũ euerſos proijciant, cõtendunt. Quot verò belligerant, & pugnant, & decertant, & exercent ſe omni certamine, & luctantur, & concurrunt cum currentibus, non vt cum ipſis præmium obtineant vocationis, ſed vt eos ſupplantando impediant à curſu; cum multi exiſtant (vti & Paulus ait) & prolixũ ſermonem exigere poſſint, moleſtum eſt, nec illos facilè dinumerare, cum quibus pugnantes nequaquam valent occupare mentem in alijs rebus, quas talis requireret abductio; quę his quidem cauſa foret cladis, inimicis autem victoriæ. Ad hæc igitur attendere neceſſum eſt, neque diſtrahi ad ea, quæ contra nos aduerſarijs cooperantur; quod enim cenſet aliquis eſſe ex ijs, quæ nihil conferunt ad exercitationem noſtri certaminis, hoc ad prehenſionem hoſtibus eſt aptum, quo nos in medio curſu intercipiant, & extrà foſſam ſeu gradum deijciant, quod equidem

cap. 6. ad Eph. v. 12 & c. 3. ad Philipp. v. 20.

quamuis

Digitized by Google

quamuis non ſit lapſus, attamen inferiores ſunt partes, aliquantùm ſcilicèt concuti à prima firmitate, & ab ijs, quæ curare debuiſſemus extrudi, & deijci ad ea, de quibus nobis nulla debet eſſe ſollicitudo; Quandoquidem, ſi controuerſiam Veritas diſceptet, ſicut in materijs operatio, ita in voluntatibus inconueniens cogitatio eſt diminutio & caſus. Ideo cogitationes iuſtorum iudicia di-
Prou. 2. v. 5. rigunt; gubernant verò & impij dolos; primi quidem vbi proceſſerint adhibito iudicio in bono; ſecundi vero ad malũ facilè, quaſi gubernaculo admoto, directi ab eo, qui ſecundum ſubiecti materiam varijs modis dolum ſtruens apparat, & aliquatenùs quidem hùc, aliquatenùs alio, aſſiduè autem conſilia vertit, ad inſtar veli dirigentis curſum nauigijs pro mutationibus ad eos, quos
Prou. c. 3. v. 6. & 16. v. 9. Ad Philippen. 4. v. 8. ſolues è ſtatione ſibi propoſuerit, portus: ideo dicit, primus quidem: Cor hominis iuſta cogitet, vt à Deo greſſus eius dirigantur; alter verò ſi qua virtus, & ſi qua laus diſciplinæ, iſta cogitate.

βούλοιντο ἡμᾶς, καὶ ἔξω βαλλόντων τοῦ σκάμματος, ὅπερ καὶ αὐτὸ εἰ καὶ μὴ πτῶμα, ἀλλ' ὅμως ἐστὶ διὰ παρασαλευθῆναι τῆς βεβαιότητος, καὶ ἀφ' ὧν ἔδει φροντίζειν ἐξωσθῆναι ἐπὶ τὰ μηδαμῶς μεριμνᾶσθαι ὀφείλοντα· ἐπειδὴ, δικαζούσης ἀληθείας, ὡς ἐν ὕλαις ἡ ἐνέργεια, οὕτως ἐν βουλαῖς ὁ μὴ καθήκων λογισμὸς ἧττα, καὶ πτῶμα ἐστὶ, διὰ τοῦτο, λογισμοὶ δικαίων κρίματα. κυβερνῶσι δὲ, καὶ ἀσεβεῖς δόλους· οἱ μὲν βεβηκότες ἐν τῷ ἀγαθῷ κεκριμένως, οἱ δὲ πρὸς τὸ κακὸν ἀκόπως οἰακιζόμενοι παρὰ τοῦ πρὸς τὸ προκείμενον ποικίλαις μεθόδοις κυβερνῶντος τὸν δόλον. πῆ μὲν ὧδε, πῆ δὲ ἐκεῖσε, συνεχῶς τρέποντος τὰ βουλεύματα καθάπερ ἱστὸν μεταβολαῖς ἰθύνοντος τοῦ πλοίου τὸν δρόμον πρὸς οὓς ἐξορμῶν προέθετο λιμένας. διὰ τοῦτο ὁ μὲν φησὶ, καρδία ἀνδρὸς λογιζέσθω δίκαια, ἵνα ὑπὸ Θεοῦ διορθωθῇ τὰ διαβήματα αὐτοῦ. ὁ δὲ, εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε.

CAPVT LX.

HIS itaque cogitationibus docent vti debere illos, qui curſum intellectionum bene ordinatum tenere volunt; ſic Dauid nonnunquam equidem dice-
Pſal. 48. v. 5 & 18 v. 15. bat, Meditatio cordis mei prudẽtia; interdum verò meditabor in
Pſal. 118 v. 16. iuſtificationibus tuis ſemper, atq;
Pſa. 142 v. 15. rurſus; meditabor in omnibus operibus tuis, & in tuis ſtudijs, ſeu factis manuum tuarum aſſiduè contemplabor. hanc ſibi ipſi attribuens contemplationem, vt ne tempus haberet mentis aſſiduus

ΚΕΦΑΛ. ξα.

ΟΙ'ς δὴ λογισμοῖς κεχρῆσθαι διδάσκουσι τοὺς εὔτακτον ἔχειν βουλομένους τὸν ἐνθυμιῶν τὸν δρόμον. οὕτως ὁ Δαβὶδ ποτὲ μὲν ἔλεγεν ἡ μελέτη τῆς καρδίας μου σύνεσις. ποτὲ δὲ μελετήσω ἐν τοῖς δικαιώμασί σου διὰ παντὸς, καὶ πάλιν μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω. ταύτην τὴν ἀδολεσχίαν διδοὺς ἑαυτῷ ἵνα μὴ ἔχῃ καιρὸν τὸ τοῦ νοῦ ἀεικίνητον ῥεμβασμοῦ ἐπὶ τὰ μὴ καθήκοντα, προσεδρεύῃ δὲ τούτοις, ὧν ἡ ἀδολεσχία τέρψιν ἔχει, καὶ ὠφέλειαν πολλὴν, τῇ μὲν ὄψει

motus

τὴν αἴσθησιν, τὴν δὲ ψυχὴν τῇ θεωρίᾳ εὐφραίνοντα. οἷον γάρ ἐστιν ἀληθῶς τῇ μελέτῃ τῶν ἔργων τοῦ Θεοῦ ἐνδιατρίβειν ὅλως, καὶ ποτὲ μὲν πρὸς οὐρανὸν ἀνατείνειν τὸ ὄμμα ἡλίῳ μεθ' ἡμέραν, καὶ νύκτωρ ἄστροις προσέχοντας, ποτὲ δὲ τοῦτο κατάγειν εἰς γῆν, βλαστήματα ὁρῶντας παντοίων καρπῶν, καὶ ζώων παμπληθεῖς διαφοράς· ἀέρι δὲ πάλιν θεωμένους, καὶ θαλάττῃ μυρίων πτηνῶν, καὶ ἰχθύων ἐνδιαιτώμενα γένη, πρὶν γνῶναι τίς ἐξ ἑκάστου τούτων ὠφέλεια τέως θαυμάζειν τὴν τοῦ δημιουργοῦ σοφίαν, καὶ δοξάζειν τὸν Θεὸν ἐπὶ τῷ ποικίλῳ τῆς κτίσεως διδασκομένους, ὅταν δὲ καὶ τὸ μετ' ἐπιστήμης τοῖς ὁρωμένοις ἐπιβάλλειν προσγένηται, τότε παντελὴς εὐφροσύνη κατέχει τὸν νοῦν εὐωχούμενον τῇ φυσικῇ γνώσει τῶν γεγονότων. οὐδὲν γὰρ τῶν ὄντων ἐστίν, ὃ μὴ παιδεύει πάντως ἡμᾶς, ἠθικήν, καὶ θεολογικήν τινα θεωρίαν, ἐπειδὴ δὲ τὴν ἐν αὐτοῖς τοῦ λόγου ταῖς ἡδυπαθείαις ἀπεσβέσαμεν δύναμιν, οὐκ ἔτι παρ' αὐτῆς τὰ συμφέροντα τῶν πρακτέων ὑπομιμνησκόμενοι, ἔξωθεν ταῖς οἰκείαις ἐνεργείαις τὴν μνήμην κινούμεθα πρὸς τό, πῶς χρὴ ζῆν, καὶ βιοῦν, ὅπως εὐάρεστοι ὦμεν τῷ ποιήσαντι.

motus diuagandi ad ea, quæ minimè conueniunt, inſideat verò firmiter hiſce, quorum contemplatio parit oblectationem, plurimamque vtilitatem, quæ & viſu quidem ſenſum, ſpeculatione verò animam delectat. Quale nempe eſt verè, meditatione operum Dei per vniuerſum diverſari, & aliquãdo ad Cælum quidem protendere oculum, Soli per diem, & noctu ſtellis attendendo: nonnunquam verò & illum deijcere in terram germina reſpiciendo, fructuum omnigenarum, & animalium quamplurimas diuerſitates. Cum rurſus in aëre, mariquè ſpectemus diuerſantia mille volucrum, & piſcium genera, priuſquàm cognoſcamus quænam vtilitas ex vnoquoque iſtorum proueniat, intereà ſapientiam Conditoris admirari, & laudare Deum in varietate creaturarum edoceamur, & quando acceſſerit his, quæ videntur, hoc etiam, quod cũ virtute adijcitur, tunc mens in omnimoda conſtituitur lætitia, vtpotè quæ naturali cognitione è terra genitarum rerum oblectatur: nihil enim eſt eorum, quæ exiſtunt, quod moralem, & Theologicam aliquam ſpeculationem nos omnibus non erudiat modis: & quoniam voluptatibus nobis ipſis rationis ſuppreſſimus vires, & ab ipſa in noſtram non reuocantur memoriam, quæ conferunt facienda, neceſſum eſt, quod exterioribus proprijs operationibus commoueamus memoriam ad modum, quo deceat vitam degere, vt ſimus accepti Creatori.

ΚΕΦΑΛ ξβ'.

Διὰ τοῦτο ποτὲ μὲν τὸν μύρμηκα, ποτὲ δὲ τὴν μέλιτταν ἡ κηδεμονικὴ χάρις διδασκάλους ἐφίστησιν ἀφθόγγῳ φωνῇ τῷ ἔργῳ παραινοῦντας τὴν μίμησιν. καὶ φησίν· ἴθι πρὸς τὸν μύρ-

CAPVT LXII.

IDcircò interdùm quidem formicam, quandoquè verò apẽ gubernatrix gratia Doctores adhibuit, qui mutâ voce ad imitationem opere hortantur; & ait:

Prou. 6. v. 6. ait: Vade ad formicam ô piger, & æmulare vias eius, quæ in meſſe reponens alimenta pro hyeme, ſuggerit, vt pro futuro ſęculo vtiliter colligamus Viatica; aut: progredere (inquit) ad apem, & diſce quam operaria ſit, quippe quę flores decerpendo herbarum, & fauos mellis conficiendo ſapienter, edoces iſtam agnitionem, qua colligendo quiuis bonorum hominum prærogatiuas, ſibi ipſi dulcedines huiuſmodi theſaurizet ad ſuauem habendum victum futuræ vitæ, quam ſperat. Aliàs inobedientibus iubet, vt turturē, & hirundinem imitentur, dicens:
Hierem. 8. v. 7. Turtur & hirūdo paſſerculi agreſtes obſeruarunt tempora ſuorum aduentuum, populus autē meus non agnouit iudicia Domini: & infert. Quomodo dicitis ſapiētes ſumus, aut & lex Dei nobiſcum eſt? ſic improperans rationabilibus tum naturam ſcientia prǽditam, tum etiam legem morum magiſtrā, quòd irrationabilibus in cognoſcenda Conditoris volūtate ſunt inſenſibiliores. Rurſus ijs, qui in potentatibus non moderatos ſe præbent, ſed ineptè inſoleſcunt in proximos eiuſdem generis mare profundis inuerſim circumdatū profert in exēplum ad reprimēdum eorum intumeſcentem faſtum, dum aſſerit:
Hierem. 5. v. 22. Me igitur non timebitis (inquit Dominus) aut faciem meam non reuerebimini, qui ordinaui arenam terminum maris præceptum ſempiternum, & non ſupergredietur illum? populo autem iſti factum eſt cor inobediens, & incredulum: ſic metu inanimati ex præcepto elementi reddens eos cautos circa obſeruationem mandatorum, vt, quemadmodum fluctus marinus è pelago impulſus violentia ſpiritus, & paulatim erectus ad magnitudinem montium æmulatricem

μηκα ὦ ὀκνηρέ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ ὃς ἐν ἀμήτῳ τὴν ἐν χειμῶσιν ἀποθέμενος τροφὴν, χρησίμως τὰ τοῦ μέλλοντος αἰῶνος ὑποτίθεται συνάγειν ἐφόδια. ἢ πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτις ἐστὶν, ἄνθη βοτανῶν ἀποδρεπομένη καὶ κηρία μέλιτος ἐργαζομένη σοφῶς καὶ τοῦτον τὸν γνωρισμὸν παιδεύουσα τῶν ἀγαθῶν ἀνδρῶν ἀπανθιζόμενος τὰ πλεονεκτήματα, γλυκάσματα θησαυρίζει ἑαυτῷ πρὸς ἡδεῖαν βίον τῆς ἐλπιζομένης ζωῆς. ἄλλοτε τρυγόνα, καὶ χελιδόνα τοὺς ἀπειθεῖς παρακελεύεται ζηλοῦν, λέγων· τρυγὼν, καὶ χελιδὼν ἀγροῦ στρουθία ἐφύλαξαν καιροὺς εἰσόδων αὐτῶν, ὁ δὲ λαός μου οὐκ ἔγνω τὰ κρίματα κυρίου, καὶ ἐπιφέρει. πῶς ἐρεῖτε· σοφοί ἐσμεν, ἢ καὶ νόμος Θεοῦ μεθ' ἡμῶν ἐστὶ, καὶ τὸ τῆς φύσεως ἐπιστημονικὸν, καὶ τὸν παιδαγωγὸν τῶν ἠθῶν νόμον ὀνειδίζων τοῖς λογικοῖς, ὅτι τῶν ἀλόγων εἰς τὸ γνῶναι τὸ βούλημα τοῦ κτίσαντος εἰσὶν ἀναισθητότεροι. πάλιν τοῖς ἐν ταῖς δυναστείαις μὴ μετριάζουσιν, ἀλλ' ὑβρίζουσιν ἀπειροκάλως εἰς τὸ ὁμόφυλον, κυκλουμένην βυθοστροφίαν τῆς θαλάσσης παράδειγμα προστίθησι πρὸς τὸ καταστεῖλαι αὐτῶν (ἐν οἷς φησὶ) φλεγμαῖνον τὸ φρύαγμα· μὴ ἐμὲ οὖν φοβηθήσεσθε λέγει κύριος, ἢ καὶ ἀπὸ τοῦ προσώπου μου οὐκ εὐλαβηθήσεσθε, τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ πρόσταγμα αἰώνιον, καὶ οὐχ ὑπερβήσεται αὐτό; τῷ δὲ λαῷ τούτῳ ἐγενήθη καρδία ἀνήκοος, καὶ ἀπειθής· τῷ περὶ τὸ πρόσταγμα φόβῳ τοῦ ἀψύχου στοιχείου εὐλαβεῖς ποιῶν αὐτοὺς περὶ τὴν φυλακὴν τῶν ἐντολῶν, ἵνα ὡς τὸ πόντιον κῦμα ἐκ,

ſimul

πελάγους ὠθούμενος τῇ βίᾳ τοῦ πνεύματος, ἐκ τοῦ μικρὸν ἀνιστάμενος πρὸς τὸ μέγεθος ὀρέων ἐφάμιλλος ἅμα τῷ πλησιάσαι τῇ αἰγιαλείᾳ ψάμμῳ, εἰς τοὐπίσω πάλιν ἀνακλώμενος ὑποστρέφει τὸν ὅρον αἰδούμενος τοῦ πεδήσαντος, οὕτω πᾶσαν ἐπέχωσιν ἄδικον ὁρμὴν οἱ λογικοί, καὶ λόγῳ προστεταγμένοι πᾶσαν κολάζειν ἐνθύμησιν παράνομον, καὶ μάλιστα τύφον πεπαίνειν ἀλόγως σηκούμενον, μιμησάμενοι γοῦν τῶν ἀναισθήτων τοῦτο πράττοντες, ὅπερ καὶ νομοθεσίας ἐκτὸς ὤφειλον αὐτὸ λογιζόμενοι τὸ δίκαιον, πράττειν αὐθαιρέτῳ κρίσει, ὅπερ ἦν ἐλευθέρου δεῖγμα φρονήματος, αὐτοκελεύστῳ γνώμῃ κινηθέντος πρὸς ὅπερ ἔμελλεν ἄγειν ἀνάγκη τοῦ νόμου.

ſimul ac appropinquat arenæ littoreæ repercuſſus conuertitur denuò retrò reueritus eius metam, à quo quaſi cum compedibus fuit adſtrictus; ita omnem iniuſtum reprimant impetum qui ratione vtuntur, & illi, qui à ratione imperantur, prauam omnẽ cogitationem caſtigare, maximè faſtum premere irrationabiliter elatum, inſenſibilium ſaltèm imitatione id agentes, quod etiam præter legiſlationem debuiſſẽt (iuſtum fore ratione diiudicantes) ſpontaneo iudicio facere, quippe quod indicium eſſet libertate fruẽntis intellectus ex ſui ſibi iubente conſilio moti ad hoc, ad quod eum deductura erat legis neceſſitas.

ΚΕΦΑΛ. ξγ'.

ΚΑὶ τῶν φωστήρων δὲ διδάσκει τί χρήσιμον ὁρώμενος ἕκαστος. ἥλιος μὲν τῷ ἀπαυγάσματι συναΐδιον τῷ πατρὶ τὸν υἱὸν ὑποτιθέμενος νοεῖν (καὶ τούτου μάρτυρα τὸν Παῦλον, καλῶ λέγοντα, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, οὗτος γὰρ ὅπερ εἶδεν ἐνόησεν ὡς ἡ φύσις τοῦ ὁρωμένου ἐδίδαξε) τοῦτον τῇ κατασκευῇ τὸν λόγον ἐναποκείμενον ὀξυδορκεῖ τῆς ψυχῆς διαθρῆσαι τῷ ὄμματι, ὃν συμβολικῶς ἐναπέθετο ὁ δημιουργὸς ἐκ τῆς ἐνυπαρχούσης τῷ ἄστρῳ θεωρίας ἐπὶ τὴν πρὸς ἑαυτὸν τοῦ υἱοῦ συνάναρχον σχέσιν τῶν ὁρώντων ὁδηγῶν τὴν διάνοιαν. σελήνη δὲ αὐξουμένη, καὶ λήγουσα, τὸ εὐμετάβλητον τῶν ἡμετέρων πραγμάτων δηλοῖ, καὶ τοῦτο ταῖς ἀγχιστρόφοις τῶν σχημάτων μεταλλαγαῖς παραινεῖ, ὡς οὔτε εὐημερίᾳ δεῖ χαίρειν ὡς παραμόνῳ, οὔτε δυσημερίαν

CAPVT LXIII.

QVin & vnumquodque luminarium viſum docet quid vtile ſit; Sol quidem relucentia Filium Patri coæternum demonſtrat intelligendum & huiuſce rei teſtem Paulum aduoco dicentem: Qui cum ſit ſplendor gloriæ, & figura ſubſtantiæ eius, ille namq; quod vidit intellexit (vt natura viſi docuit) & perſpicaci animæ oculo in opificio repoſitum diſpiciendum hoc verbum, quod ſymbolicè depoſuit opifex, dirigens intellectum inſpicientium ex inſitâ ſtellæ ſpectatione ad coæternam filij naturalem conuenientiam cum ſeipſo. Luna verò creſcens, & deficiẽs rerum noſtrarum facilem oſtentat mutabilitatem, ſubitiſquè figurarũ mutationibus admonet hoc, quod ſcilicèt neque

Ad Hebreos c.1 v.13.

felicitate, propterea oporteat gaudere, quaſi permanſurâ, nec infelicitatem ducere moleſtam, perinde ac ſi futura eſſet diuturna: ocyùs enim iſtæ ſibi inuicē ſuccedunt, ita vt non afficiant ſenſum ſua prǽſētiâ, præ celeritate diſceſſus, cum altera inſideat alteri, & prǽeunti ſuccedat, quæ cōtinuò ſubſequitur ſecundùm continuas Lunæ transfigurationes, quæ ita ſibi inuicem cedunt, vt vitæ conſuetudo peragatur, & mutatio fiat luminis incremētum, harumquè differentia ſit difficilis obſeruatu, cum additio, vel ablatio exigua ſenſum meritò lateant: quandoquidem & multa eorum, quæ ſic augentur, & minuuntur incognitam in quouis caſu habent differentiam quotidianam, cū nemo facilè dignoſcere queat quantum eorum, quæ augentur ſtatura, quotidiè progrediens per totum, & progreſſus modum non manifeſtans adijciat, donec id edoceat tempus, quod continua viſio eius, quod fiebat non conſueuit edocere.

ἠγεῖσθαι λυπηρὰν ὡς ἐσομένην χρονίαν. ὀξέως γὰρ αὗται ἐπαμείβονται ἀλλήλαις ὡς μὴ ποιεῖν αἴσθησιν τῆς παρουσίας τῷ τάχει τῆς ὑποχωρήσεως, ἄλλης ἐφεδρευούσης ἄλλῃ, καὶ τὴν ἡγουμένην διαδεχομένης τῆς προσεχῶς ἑπομένης κατὰ τοὺς τῆς σελήνης συνεχεῖς μετασχηματισμούς, οἳ τοσοῦτον παραχωροῦσιν ἀλλήλοις, ὅσον καὶ τὴν συνήθειαν γενέσθαι τῆς βιώσεως, καὶ ἐπιδόσεως τροπὴν τοῦ φωτός, καὶ τὴν παραλλαγὴν τούτων, εἶναι δυσπαρατήρητον κατ' ὀλίγον προσθήκης, καὶ ὑφαιρέσεως λανθανούσης εἰκότως τὴν αἴσθησιν. ἐπεὶ καὶ πολλὰ τῶν οὕτω αὐξουμένων, ἢ μειουμένων, ἄδηλον ἔχει τὴν καθημερινὴν, ἐφ' ᾧπερ ἂν τύχῃ παραλλαγὴν, οὐδενὸς γνῶναι δυναμένου ῥᾳδίως ὅσον καθ' ἑκάστην ἡ τῶν αὐξομένων ἡλικία προστίθησι προκόπτουσα διόλου, καὶ τῆς προκοπῆς τὸ μέτρον οὐ ποιοῦσα φανερὸν, ἕως ἂν χρόνος τοῦτο διδάξῃ, ὃ μὴ διδάσκειν ἡ συνεχὴς πέφυκεν ὄψις τοῦ γινομένου.

CAPVT LXIV.

Nullus etenim cognouit umquàm ſecundùm ſingulas partes incrementum plantarum, & herbarum, animaliumuè, ac puerorum, ſed cum per aliquod tēpus non viderit quæ perficiuntur. poſtmodùm, cum rurſùs conſpexerit, agnoſcit additamentum, quod interim paulatim acceſſit, ſicque ediſcit, poſtquàm fuerit perfectum, quod, dum fieret ignorabat: ſimiliter etiam, dum aliquis ſaxum excauatum inſpicit ex indeficienter inſtillata gutta, plenè perſuadetur à profunditate longo temporis interiecto ſpatio confectâ, quod unaquæquè ſtilla

ΚΕΦΑΛ. ξδ'.

Οὐδεὶς οὖν πώποτε φυτῶν, καὶ ποῶν, ζώων τε, καὶ παίδων ἔγνω τὴν κατὰ μέρος πρὸς μῆκος ἐπίδοσιν. χρόνῳ δέ τινι μὴ θεασάμενος τὰ ὑψούμενα εἶτα αὖθις ἰδὼν τὴν ἐν τῷ μεταξὺ κατὰ μικρὸν γινομένην ἔγνω προσθήκην, ὅπερ ἠγνόησεν ἐν τῷ γίνεσθαι, τοῦτο ἐν τῷ γεγενῆσθαι μαθών. οὕτω τις, καὶ πέτραν κοιλανθεῖσαν ἀδιαλείπτως ἐπισταζούσῃ θεασάμενος ῥανίδι τῷ χρονίῳ βάθει, πληροφορεῖται μὲν ὡς ἑκάστη σταγὼν μέρος τι τοῦ ὀρύγματος

ἄνυσε, ὃ δὲ ὅσον οὐκ οἶδε, τῆς ὄψεως τὰ μὲν παχύτερα τῶν αἰσθητῶν γνωρίζούσης ποσῶς (σφάλλεται γὰρ καὶ ἐν τούτοις πολλάκις) τοῖς δὲ λεπτοτέροις οὐδὲ ἐπιβαλεῖν δυναμένης, ἀργοτέρας πως οὔσης, καὶ ἀσθενοῦς πρὸς τὴν τῶν τοιούτων σωμάτων ἀντίληψιν, ἀστέρων δὲ τοὺς ἀμυδροτέρους, καὶ φαιδροτέρους, εἴ τις ζηλώσεται οὔτε, ἀφανὴς ὤν, καὶ ἄσημος, βασκανεῖ τοῖς ὑπερέχουσιν ἀξίᾳ, καὶ πλούτῳ, οὔτε πάλιν, εὐδοκιμῶν ἐν τούτοις κατὰ τῶν εὐτελῶν ὡς καθαρμάτων ὀφρυωθήσεται, στέργοντας ἐκείνους τὴν οἰκείαν τάξιν ὁρῶν, καὶ ἀγαπῶντας μένειν ἐν οἷς ἐκληρώθησαν, ὡς ἠβουλήθη ὁ τὰ μέτρα τοῦ φωτὸς αὐτοῖς τάξας Θεός. καὶ φρονίμους ἡμᾶς κατὰ τὸν ὄφιν, καὶ ἀκεραίους κατὰ τὴν περιστερὰν εἶναι θέλων ὁ κύριος, πάντων ἡμᾶς τῶν μερῶν τῆς κτίσεως καθίστησι μαθητάς, οὐ φυλάξαντας τῆς κτίσεως τὴν εὐγένειαν, καὶ παρὰ τῶν ποτὲ δούλων εἰκότως παιδαγωγουμένους πρὸς τὸ εὔτακτον τῆς ἀφροσύνης ὅπως τὴν παρ᾽ αὐτοῖς μαθητείαν λαβόντες ὑπ᾽ ὄμματα τὴν ἐν ἑαυτοῖς κινήσωμεν ἐπιστήμην καθ᾽ ἣν γεγόναμεν. βιοῦν ἀμέμπτως δυνάμενοι ἐξ ἑαυτῶν, αἱρούμενοι τὰ καλά, καὶ οὐκ ἔξωθεν κατὰ τοὺς μεταιτοῦντας ἐρανιζόμενοι τοῦτο. ἀλλ᾽ ὑμᾶς ὦ μακαριώτατοι μετὰ τῶν ἄλλων ἁπάντων καλῶν, καὶ τῆς συμφωνίας, καὶ τῆς περὶ τὰ ἐπιβάλλοντα ἑκάστῃ καταστάσει ἐμπειρίας θαυμάζειν ἄξιον τοὺς ψαλτηρίου μὲν διαρμόστου δίκην ἐν διαφόροις φθόγγοις ἓν τῆς εὐσεβείας συνηχεῖτε μέλος, ἄλλος ἄλλο τι τῶν τῆς μετεχόμενοι εἶδος, καὶ οὐδεὶς ἀποστερῶν οὐδενὸς διὰ τὴν πρὸς ἀλλήλους ὑπακοήν, ἥτις τοὺς διῃρημένους τοῖς σώμασι συνάπτειν ὁμοψύχως ταῖς γνώ-

ſtilla partem quamdam effoſſionis perfecit, ſed quantitatem ſingillatim ignorat, cũ viſio craſſiora quidem ſenſibilia aliquantulùm dignoſcat (fallitur enim & in his ſæpiùs) ad tenuiora verò collimando nequeat felici tendere curſu, & inertior quodãmodò ſit, & infirma ad huiuſmodi corporum perceptionem. Stellas verò ſi quis obſcuriores, & ſplendidiores æmulabitur, dum obſcurus ſit, & ignobilis, non inuidebit ijs, qui dignitate, ac diuitijs ſupereminẽt, nec ex aduerſo, ſi ſit excellens in illis, contrà uiles, & (veluti purgaméta) abiectos grandi tumeſcet ſupercilio, conſpicatus, quod illæ contentæ ſunt propriâ ſede, ac loco, & amant permanere in his, in quibus quaſi ſorte fuerunt electæ, vt Déus voluit, qui menſuras luminis ipſis adaptauit. Quin, cum prudentes vti ſerpẽtes, & ſimplices vti colũbas nos eſſe velit Dominus, etiam omnium Orbis partium nos cõſtituit Diſcipulos, qui nõ ſeruare in hoc debemus nobilitatem conditionis, ſed meritò inſtrui ad bonum ordinem ex inſipientia ab iis, qui ſerui quondam extiterunt, vt ab illis doctrinam accipientes ſub oculis, in nobis ipſis ſcientiam, ad quam nati ſumus, excitemus; cum ſcilicèt poſſimus inculpatè viuere è nobis metipſis deligendo bona, nec veluti mendicantes, faciendo, vt id in nos exteri cõferant. Verùm! O beatiſſimi, præter alia omnia bona, & concordiam inter vos, & experientiam eorum, quæ pertinent ad vnumquemque rerum ſtatum; dignum eſt, vt omnes admiratione veſtrum etiam proſequantur modum, quo, ad inſtar benè aptati Pſalterij diuerſis vocibus vnum pietatis concinitis canticum

Mat. 10 v. 16.

ticum, quorum alius aliam huius ſpeciem ſectatur, & nullus ab ullo diſcrepat in cantu ob mutuam obedientiam, quippe quæ diſiunctos vtcumque corporibus coniungere vnanimiter voluntatibus aſſolet ad vnam operis metam, Muſici more, cuiuſque chordæ tonum acutum, aut grauem permiſcentis ad modulationem aptè componendam; illud etenim, quo vnaquæque chorda videtur diſſonare, dum inæqualiter tendatur, hoc maximè concentum efficit ſonorum, cum ex diuerſitate pulſationum vtilitas redundet ad cantici concinnitatem, & partes condiat ad iucunditatem, commutatis ſonituum ſuſurrationibus.

μαις πέφυκε πρὸς ἕνα τὸν τοῦ ἔργου σκοπόν. μουσικοῦ δίκην τὸν ἑκάστης χορδῆς ἰδίου ὀξὺν, ἢ βαρὺν τόνον κιρνῶντος πρὸς ἐναρμόνιον μελῳδίαν. τὸ γὰρ ἀπηχεῖν ἑκάστης δοκοῦν ἐν τῷ ἀνωμάλως τετάσθαι, τοῦτο μάλιστα τὴν συμφωνίαν ἐργάζεται, ταῖς διαφόροις περεπισμοῖς πρὸς τὸν ῥυθμὸν χρησίμου τοῦ ᾄσματος, καὶ τὸ μέρος ἀρτίου πρὸς τὸ λιγυρὸν τοῖς ἐναλλαγμένοις τῶν ἤχων ψιθυρισμοῖς.

CAPVT LXV.

SEd è contrario, qui de nouo in eodem adnumerati ſunt ordine, & etiammùm vlteriùs prouehuntur, quiue ad perfectionis portus appellere cōtēdūt, quomodo apud vos ſuū ipſorum ordinē ſeruare norunt, & hi quidem gulam, illi autem vanam gloriā, ſuperbiam verò alij, qui ſuperiores ſunt reprimere (cum ad perniciosas quandoquè conuertantur paſſiones) ſeſequè ſtudioſè exercere, tùm in ſeruandâ Temperantiâ, tùm in animi ſimplicitate, humilitatequè ſectandâ, nec ad gloriam hominum animum habere intentum? Ventris etenim repletio irrigationem inducit eorum, quæ ſub ventre ſunt, quæ ab exundantibus fluentis è ſatietate impetu deportatis, veluti ex amaris canalibus quodammodo irrigatur, quæq; prurigines venereas ex his efficiunt aſperrimas, & continentiæ certamen laborioſum titillationibus exhibent: ſed & vanam gloriam ſcientes eſſe oſtentationem inutilem, meritò ipſam fugiunt

ΚΕΦΑΛ. ξέ.

Πῶς δὲ πάλιν νεοσύντακτοι, ἢ προκόπτοντες ἔτι, καὶ τοῖς λιμέσιν ἐνορμιζόμενοι τῆς τελειότητος τηρεῖν τὴν ἑαυτῶν παρ' ὑμῖν οἴδασι τάξιν, οἱ μὲν γαστριμαργίαν, οἱ δὲ κενοδοξίαν, ὑπερηφανίαν δὲ οἱ ὑπερέχοντες (ἐκτρεπόμενοι εἰς ὀλέθρια πάθη) ἐγκράτειαν δὲ, καὶ τὸ μὴ πρὸς δόξαν τῶν ἀνθρώπων ὁρᾷν, ἢ τὸ ἄτυφον ἀσκεῖν σπουδαίως; ὅτι πλησμονὴ γαστρὸς, ἀρδείαν εἰσάγει τῶν ὑπογαστρίων, πικρᾶς ὥσπερ ὀχετοῖς τοῖς ἐκ τοῦ κόρου φερομένοις ποτιζομένων πλημμυροῦσι ῥείθροις, κνισμοὺς ἐκ τούτων ποιούντων τραχεῖς, καὶ τὸν τῆς σωφροσύνης ἀγῶνα, τοῖς γαργαλισμοῖς παρεχόντων ἐπίπονον. κενοδοξίαν δὲ πάλιν εἰδότες φαντασίαν ἀνόητον, εἰκότως φεύγουσι ταύτην· πονεῖν ὑπὲρ ἀρετῆς πείθονται καὶ ἀχρεοῦσθαι τοὺς πόνους, ἐπεὶ μὴ Θεῷ δεικνύναι τούτους βούλεται τῷ τῶν κρυπτῶν ἔργων ἐμφανῶς ὀρέγοντι τὴν ἀντίδοσιν, ἀνθρώ-

τοῖς δὲ δημοσιεύειν τὰ γινόμενα θέλουσαν τοῖς ἐπαίνου παρέχειν (εἰς μισθοῦ λόγον) ἱκανοῖς οὖσι πλέον οὐδὲν, καὶ τῆς αἰωνίου, καὶ πολλῆς ἀποστεροῦσι τιμῆς. ὁ γὰρ πρὸς τὸ θαυμασθῆναι παρὰ τῶν ἀνθρώπων ἀναδεξάμενος ὅντινα οὖν κάματον, οὐδὲν τῶν ἐπὶ σκηνῆς παραδοξοποιῶν διαφέρει, μισθῷ τῷ παρὰ τῶν περιεστηκότων ἀρκούμενος, καὶ παρὰ τοῦ Θεοῦ ἄλλον αἰτεῖν οὐκέτι εὔλογος ὤν· ὅτι μὴ τὸν παρὰ τούτου λαβεῖν ἐξ ἀρχῆς, ἀλλὰ τὸν παρ' ἐκείνων προέθετο. ἀλλὰ καὶ τὸ τῆς ὑπερηφανίας ἄλογον πάθος δικαίως βδελύττεται, τίνα γὰρ τις ἔχει κατὰ λόγον πρὸς ἀπόνοιαν πρόφασιν εὔλογον, ὅτι κατὰ τοῦ πλησίον ἐπαίρεται, καὶ κατὰ τούτου μέγα φρονεῖ; κατώρθωταί τι πλέον αὐτῷ τῶν ἄλλων, καὶ τῶν λοιπῶν ἐν τοῖς καλοῖς περιουσίαν ἄγειν πολλὴν αὐτὸς πάντως ἐσπούδασε; καὶ τῆς σπουδῆς λήψεται αὐτὸς τοὺς μισθούς. ἀμελέστερός τις ἕτερος, καὶ περὶ τὴν ἀρετὴν ῥᾴθυμος διάκειται; αὐτὸς ζημιοῦται, οὐκ ἐλαττοῖ τοὺς ἐκείνου μισθούς.

fugiunt, quæ ſuadet quidē, laborandū pro virtute, at labores reddit inutiles, quiā nō vult illos Deo manifeſtare, qui operum occultorum palàm remunerationem præbet, hominibus verò cupit publicare quæ fiunt, qui non ſūt apti ad maiores reddendas laudes, in ratione mercedis, quinimo æterno, plurimoque priuātur honore; ille namque, qui, ut admirationi ſit hominibus, ſuſcipit quemuis laborem, nihil penitùs differt ab his, qui in ſcena multa faciunt admiranda, cum ſit contentus mercede, quæ ſibi prouenit ex iis, qui talibus oblectantur, & à Deo nequaquàm aliam poſtulare rationabiliter valeat, quod ab initio non eam, quæ ex ipſo prouenit, ſed quæ ex illis tribuitur, ſibi, ſe aſſequuturum propoſuerit. Verum & paſſionē irrationalem ſuperbiæ iure execrantur: quemnam enim habet aliquis aduersùs quempiam rationi conſentaneum prætextum ad amentiam, vt aduerſus proximum extollatur, & ſuprà ipſum magnificè de ſe ſentiat? Patrauit ne ipſe feliciter aliquid pluſquam alii, & ad augendam multam cæterorum bonorum copiam omni contendit ſtudio? nanciſcetur etiam ipſe ſtudioſi operis mercedes: negligit quiſpiam alter, & circà virtutem ſegniter ſe haber? ipſe damno afficitur, nec illius mercedes imminuit.

ΚΕΦΑΛ. ξϛ.

Τί οὖν ὁ σοβαρὸς φυσᾶται, καὶ βρενθύεται, ὡς ὑπὲρ ἄλλων ἀθλῶν, κοινὸς ὥσπερ σωτὴρ τοῦ γένους διακείμενος; οὐκ εἰδὼς ἔλαττον βλάπτειν ἀμέλειαν ἤπερ βλάπτειν πέφυκεν οἴησις; καὶ πρὸς τὸ λειπόμενον τῆς προκοπῆς ἐμποδίζουσα τῇ προθυμίᾳ ὡς ἠνυσμένην τοῦ προκειμένου, καὶ ἐκ τοῦ διαπονεῖν τοὺς ἀναπεπτωκότας, με-

CAPVT LXVI.

Quid ergò, qui faſtuoſus eſt, inflatur, ac ſuperbit, ac ſi pluſquàm alii decertaret, ſeſe oſtentans, quaſi communis eſſet generis ſaluator? An ignorat quod minùs nocet negligentia, quàm nocere ſoleat arrogans de ſe exiſtimatio? quippe quæ impedimento eſt animi alacritati

eritati ad reliquum progreſſum, putans,ſe iam attigiſſe obiectum, magnaſquè ſibi pœnas conciliat, eo quòd illos, qui conciderunt animo contemnat, ac deſpuat. Humilitas autem in vobis non cōcedit vnquàm locum inuidiæ, nec tumori, qui membrorum cōſpirationem egregiè imitamini, ac uobis ipſis cuiuſq; decus vendicatis, quaſi vnius corporis: nec etenim perfectus aduerſus aliquem adhuc progredientem, ac ſi ſupereminerct, extollitur, dum & ipſe ſeſe talem extitiſſe ſciat, quando progrediebatur, ſibique perſuaſum habeat, quod etiam iſte ad eamdem perfectionis menſuram poſt non multum tēporis erit peruenturus; neque perfecto inuidet, aut, quòd talis ipſe euaſerit maligno percutitur animo ille, qui intereà in virtutis dignitate eo inferior eſt, dum & ipſe æmulationis ducatur ſtudio illi ſeſe in eodem viuendi inſtituto æquiparandi: & ſic alius alio multis menſuris humilior prorſùs erit, ſi progredi vitæ inſtituto voluerit, & non elati animi iactantiâ; & ſi quis rerum ſtatus expenderet, multo pollentes ſtudio vos reperiret, quorum alter altero in moribus modeſtior eſſe contendit, vti facilè videre eſt in alijs, quorum alter altero uult præſtantior videri, ob gloriæ, quæ in ſæculo verſatur, cupiditatem; Vos autem,vti Chriſtum didiciſtis, ſic in ipſo conuerſemini, mutuam ab illo inter vos

γάλλην ἑαυτοῦ προεξέτουσα τὴν κόλασιν. τὸ δὲ ταπεινὸν ἐν ὑμῖν οὐκ ἔδωκε χώραν, οὐ φθόνῳ, οὐ τύφῳ ποτὲ τὴν τῶν μελῶν κοινοπραγίαν μιμουμένοις καλῶς. καὶ τὴν ἑκάστου δόξαν οἰκειουμένοις ὡς ἑνὸς σώματος, οὔτε γὰρ ὁ τέλειος κατὰ τοῦ ἔτι προκόπτοντος ὡς ὑπερέχων ἐπαίρεται, καὶ αὐτὸς γεγενῆσθαι τοιοῦτος εἰδὼς ἡνίκα προέκοπτε, καὶ αὐτὸν ἥξειν μετ' οὐ πολὺ πρὸς τὸ αὐτὸ μέτρον τῆς τελειότητος πεπεισμένος· οὐδὲ τῷ τελείῳ βασκαίνει, ὁ τέως κατὰ τὴν τῆς ἀρετῆς ἀξίαν τούτου ἀπολειπόμενος, ζηλῶν ἐξισωθῆναι κατὰ τὸν βίον αὐτοῦ, καὶ οὐ ζηλοτυπεῖ ὅτι τοιοῦτος γέγονε. καὶ ἄλλος ἁπλῶς ἄλλου πολλῷ τῷ μέτρῳ ἐστὶ ταπεινότερος προκόπτειν τῇ πολιτείᾳ, καὶ οὕτω κόμπῳ βαλλόμενος τοῦ φρονήματος, καὶ πολλὴν τάχα ἄν τις ὁρῶν πρὸς τὰ πράγματα σπουδὴν ἔχοντας ὑμᾶς εὕροι, τίς μᾶλλον ἔσται, κατὰ τὸ ἦθος τινὸς μετριώτερος, ὡς ἐστὶν εὑρεῖν ἐν ἄλλοις, ἕκαστον ἑκάστου θέλοντα φαίνεσθαι προτιμότερον, διὰ τὴν ἐμπολιτευομένην τῷ βίῳ φιλοδοξίαν. ὑμεῖς δὲ ὡς ἐμάθετε τὸν Χριστὸν, οὕτως ἐν αὐτῷ πολιτεύεσθε τὴν πρὸς ἀλλήλους ὑπακοὴν ἐξ ἐκείνου μαθόντες, ὃς ὑπήκοος μέχρι θανάτου γέγονε τῷ πατρὶ, θανάτου δὲ σταυροῦ, τὸ μέτρον τῆς ὑπακοῆς ἕως τοῦδε τοῦ κινδύνου νομοθετῶν, καὶ τὰς ἄλλας μετὰ πάσης σπουδῆς μετέρχεσθε ἀρετὰς, ἐπειδὴ ταύτας αὐτὸς ποιῶν, καὶ διδάσκων, ἀξιόπιστος διδάσκαλος πᾶσιν ἀνθρώποις γεγένηται, ὃ δυνατὸν ὧν ἐπέταττεν ἔργῳ τῷ πρότερος αὐτὰ ποιεῖν δεικνὺς τοῖς μανθάνουσι. πολλὴν γοῦν ἔχετε, καὶ ὑπερβάλλουσαν τὴν ἐν ἀλλήλοις διάθεσιν, μα-

ad Philipp. 2. v. 8. obedientiam edocti, qui obediens fuit Patri vſquè ad mortem, mortem autem Crucis, lege præſtituens menſuram obedientię uſque ad tale periculum; Quin & alias cum omni affectu virtutes ſectemini, quandoqui-

θόντες εἰρηκέναι τοῖς ἀποστόλοις αὐτὸ τὸ σύμβολον τῶν αὐτοῦ μαθητῶν, ἐν οἷς φησιν. ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. εἰρηνεύετε γνησίως πρὸς ἅπαντας. εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. ἀγαπᾶτε τοὺς μισοῦντας ὑμᾶς καὶ προσεύχεσθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς, καὶ ἐπηρεαζόντων.

doquidem, cum has ipſe feciſſet, & edocuiſſet, omnibus hominibus Præceptor fide dignus euaſit, quiuè poſſibilitatem eorum, quæ præcipiebat, oſtendit ediſcentibus, ea primum ipſemet faciendo; multum igitur habeatis animi affectum ad inuicem, quippe qui non ignoratis, quod ille Apoſtolis ſit conteſtatus, hoc ſcilicet ſuorum Diſcipulorum eſſe ſignaculum, dum ait: In hoc noſcent omnes, quod mei eſtis Diſcipuli, ſi charitatem habeatis ad in- *Matt. 5. v 53. 44*
uicem. Pacem veram ſeruate cum omnibus, Pacem meam relinquo *Luc. 6. v. 27. & 35*
vobis, diligite eos qui oderunt vos, & orate pro his, qui vos per- *Io. 14. v. 27.*
ſequuntur, & iniuriis afficiunt. *Ad Romani 12. v. 8. Ad Hebr. 12. v. 14 1. Petr. 4 v. 8.*

ΚΕΦΑΛ. ξζʹ.

Αὐτὸς γὰρ ἐνετείλατο λέγων ταῦτα, γυμνάζων ἐν ταῖς θλίψεσιν ὑμᾶς ὡς ἀθλητὰς πρὸς καρτερίαν. ἠκούσατε εἰπόντος αὐτοῦ, μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶος εἰμὶ καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ ἔργῳ τὴν μίμησιν ἐπεδείξατε, ῥαπιζόμενοι τὴν δεξιὰν σιαγόνα στρέφετε καὶ τὴν ἄλλην, καὶ τὸν χιτῶνα ἀφαιρούμενοι, παραχωρεῖτε καὶ τὸ ἱμάτιον, ὕβριν, καὶ ζημίαν φέροντες μᾶλλον ἢ προχείρως ὁρμῶντες πρὸς ἄμυναν· κατώρθωται δὲ πλέον τῶν ἄλλων ὑμῖν τὸ μὴ κτήσασθαι ὧν ὁ κύριος ἀπεῖπε, στρατιώταις, καὶ ἀθληταῖς τὴν ἀγωγὴν τοῦ βίου ταύτην πρέπειν εἰδώς. ἀργὸς ὑμᾶς οὐδεὶς τῶν κυριακῶν παρέδραμε μακαρισμός, ἐν χερσὶ δὲ πάντες ἀεὶ ταῖς ὑμετέραις γεγόνασι μετὰ τῶν συνεζευγμένων ἀμοιβῶν, πτωχοὶ γεγόνατε τῷ πνεύματι, καὶ πραεῖς, καὶ εἰρηνοποιοί, καὶ ἐλεήμονες, καὶ καθαροὶ τῇ καρδίᾳ, ἀλλ' ὑμῶν ἐστιν ἡ

CAPVT LXVII.

IPſe etenim hoc dicens mandauit, voſque exercens in tribulationibus vti Athletas ad cõſtantiam. auſcultaſtis ipſum dicẽtem; diſcite à me, quia, mitis
ſum, & humilis corde, & opere *Mat. 11. v. 26.*
imitationem exhibuiſtis; alapa cæſi in dextera maxilla, obuertitis aliam, ac etiam ſpoliati tunica cõ-
ceditis & pallium, iniuriam, & ia- *Matt. 5. v. 39.*
ctauram potius tolerantes, quàm confeſtim cum impetu irruentes ad vindictam. Sed feliciori ſucceſſu vobis, quam aliis euenit hoc, quod ſcilicet nõ poſſideatis quidquam eorum, quæ inhibuit Dominus, qui tale vitæ inſtitutum militibus, & Athletis conueniens, aptatumquè fore ſciebat; Vos itaque nulla Beatitudo Dominica prætercurrit, quæ operi non fuerit demandata; omnes enim
in manibus veſtris ſunt ſemper, *Matt. 5. v. 3.*
cum retributionibus connexis; Pauperes euaſiſtis ſpiritu, & mites, pa- *Luc. 6. v. 20.*
cifici, & miſericordes, & mundi corde, ſed veſtrum eſt Regnum Cæ-

lorum

lorum, quo & nos vt digni efficiamur exorate, veſtrorum imitatores operum facti, quorum Præmium eſt omnibus vobiſcum cõdignis promiſſa fruitio Regni in Chriſto Ieſu Domino noſtro, cui gloria in ſæcula. Amen.

Βασιλεία τῶν οὐρανῶν, ἧς καὶ ἡμᾶς ἀξιωθῆναι προσεύχεσθε, ζηλωτὰς τῶν ὑμετέρων ἔργων γεγενημένους. ὧν δὴ γέρας ἡ πᾶσι μεθ' ὑμῶν τοῖς ἀξίοις ἐπηγγελμένη τῆς βασιλείας ἀπόλαυσις, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Digitized by Google

Τοῦ αὐτοῦ

ΜΑΚΑΡΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΝΕΙΛΟΥ

ΛΟΓΟΣ

Ἠθικὸς, καὶ πολυμερὴς ἐν ᾧ νουθεσίαι πνευματικαί.

ΚΕΦΑΛ. α.

Πολυμερὴς, καὶ πολύτροπος προέκειται τοῖς πιστοῖς ὁ ἀγὼν τῆς ἀθλήσεως ἐν τῷ παρόντι βίῳ, τοῖς διορατικῶς ἐν συνέσει διακρίνειν δυναμένοις, καὶ τὰ παρόντα χαρακτηρίζειν δεόντως, καὶ τὰ μέλλοντα θεωρεῖν συμφερόντως, πολλῆς δὲ δεῖται ἡ αὕτη ἀγωγὴ, ὥστε δυνηθῆναι νοῆσαι, προσοχῆς, καὶ φροντίδος τῷ νοῒ, πρὸς ἑκάτερα ἐκτεινόμενον, ὧδε κἀκεῖσε τῆς δεούσης δοκιμασίας, καὶ τῆς ὠφελουμένης θεωρίας μὴ σφαλῆναι, ἢ λήθῃ ἐμποδιζόμενον, ἢ ὀλιγοπιστίᾳ πολεμούμενον, ἢ ἀναξιότητι ἐπιβουλευόμενον. ὁ μὲν γὰρ Ἀδὰμ ἐν ἀρχῇ τῆς κτίσεως παρακούσας εὗρε καιρὸν ἐπανόδου τῇ τοῦ Χριστοῦ παρουσίᾳ ἐν σαρκί, ἡμεῖς δὲ πρὸς τῷ τέλει τοῦ κόσμου τυγχάνοντες, εἰ ἐκπεσούμεθα τῶν τοιούτων χαρισμάτων, καὶ τῆς βασιλείας τὴν ὑψηλοτέραν, καὶ ὑπερθαύμαστον ἀξίαν, ἀχρειώσαντες ταῖς παρακουστικαῖς πλημμελείαις, οὐχ ἕξομεν καιρὸν ἐπανόδου ἀλλ' ἢ γεέννης ἀπάντησιν, οἱ γὰρ μετὰ τὴν δευτέραν ἀνακαίνησιν τῆς ἀνθρωπότητος ἐμμένοντες τῇ παλαιότητι ἐπὶ δόξῃ κακίας, μάταιον ἐπιχει-

Eiuſdem

SANCTI PATRIS NOSTRI

NILI

TRACTATVS

Moralis, & multifarius, in quo Spirituales ſunt Admonitiones.

CAPVT I.

Mvltiforme, ac multiplex fidelibus proponitur certamen pugnæ in præſenti vita, ijs ſcilicèt, qui perſpicaciter in iudicando prudentiâ res diſcernere valent, & præſentia quidē conuenienter diſtinguere, futura verò perpendere vtiliter: Hæc autem Inſtitutio plurimâ indiget attentione, & curâ, vt Intellectus ad vtraque protenſus, poſſit hæc intelligere, neque hùc, & illùc vacillet, neceſſarij experimenti, debitæquè præmeditationis aut obliuione præpeditus, aut pauxillâ fide oppugnatus, aut propria contemptione petitus inſidijs. Adam quippe initio conditi Orbis, licèt non obtemperaſſet, nactus eſt tamen occaſionem redeundi, Chriſti in carne præſentiâ; nos uerò, qui in fine mundi verſamur, ſi è tantis excidamus gratijs, Regnique illius præcelſiorem, ac ſuprà modum admirabilē dignitatem inobedientiæ peccatis reddamus inutilem, tantum aberit à nobis opportunitas poſteà redeundi, vt potiùs emineat occurrendi gehennæ periculum: illi etenim, qui poſt ſecundam innouationem humanitatis, improbè ſentientes, uetuſtati inhærent, fruſtrà aggrediuntur Chriſti conſtitutiones ſectari, quorum damnatio iuſta eſt: qua piopter edocemur vetuſtatem exue- *Ad Eph. 1. v. 7.*

re, & induere nouitatem; ille quippe laudabilis eſt, qui heri quidē iracundo, ac turbato animo ſeſe habebat, hodiè verò eſt manſuetus, & quietus, quiquè paſſiones animi deuicit, & in virtute ſe exercuit; laudabilis ille, qui heri quidem delectatione mundanæ poteſtatis ducebatur, hodiè verò Euangelij obedietiæ ſubiectus eſt, omnique verbo, & operi, atquè animi conceptui modum ratione tēperatum aſſignauit, procuratquè ſolicitè virtutum acquiſitionem, & propriâ non abutitur authoritate ad Euangelicarum virtutum trāſgreſſionem, futurum verò ſæculum accuratè conſiderat, & præſens habet deſpectui, vt poſtquàm aduerſus iſtud pugnarit, ac vicerit, laudem in ſæculo venturo conſequatur; quique nouitate quotidianâ renouatur, ab iniquitatibus abſtinendo, virtutumque ſpecimen exhibendo; huiuſcemodi etenim eſt modus exuendi ſeſe, & induēdi. Quænam igitur eſt cauſa mortis, & quis vitæ modus? eſt quippe inobedientiæ peccatum, & iuſtitia obedientiæ; ſiquidem dum peccamus, rei euadimus inobediētiæ; ideòquè opus eſt præmeditatione reluctante, ac ſolicitudine exercitationi vacante; dum ſic etiam incurſus peccaminoſarum paſſionum vix ſubterfugiet quiſpiam.

ἐρδοσι τὴν τοῦ Χριστοῦ οἰκονομίαν, ὧν τὸ κρίμα ἔνδικόν ἐστι, διὰ τοῦτο διδασκόμεθα ἀπεκδύσασθαι τὴν παλαιότητα, καὶ ἐνδύσασθαι τὴν καινότητα. ἐκεῖνος μὲν γὰρ ἐπαινετός, ὁ χθὲς ὑπάρχων ὀργίλος, καὶ θυμώδης, σήμερον δὲ πρᾶος καὶ ἡσύχιος, ὁ καὶ τὰ πάθη νικήσας καὶ τὴν ἀρετὴν ἀσκήσας· ἐκεῖνος ἐπαινετός, ὁ χθὲς μὲν τῇ αὐθεντίᾳ ἀγόμενος, σήμερον δὲ τῇ ὑποταγῇ τοῦ εὐαγγελίου ὑποταγείς, καὶ ἐπὶ παντὶ ῥήματι, καὶ πράγματι, καὶ ἐνθυμήματι τάξιν τιθέμενος, καὶ τῶν ἀρετῶν τὴν περιποίησιν μεριμνῶν καὶ τῇ ἰδίᾳ αὐθεντίᾳ μὴ καταχρώμενος εἰς ἀθέτησιν τῶν εὐαγγελικῶν ἀρετῶν, μεριμνῶν δὲ τὸν μέλλοντα αἰῶνα, καὶ τοῦ παρόντος καταφρονῶν, ἵνα τούτῳ ἀνταγωνισάμενος, καὶ νικήσας ἐν τῷ μέλλοντι αἰῶνι ἐπαίνου τύχῃ καὶ ἀνακαινιζόμενος τῇ καινότητι καθ᾽ ἡμέραν τῇ ἀποχῇ τῶν πονηρῶν πραγμάτων, καὶ ἐπιδείξει τῶν ἀρετῶν. αὕτη γάρ ἐστιν ἡ ἀπέκδυσις, καὶ ἐπένδυσις· τίς οὖν ἡ αἰτία τοῦ θανάτου, καὶ τίς ὁ τρόπος τῆς ζωῆς; ἡ παρακοὴ τῆς ἁμαρτίας, καὶ ἡ ὑπακοὴ τῆς δικαιοσύνης, ὅταν οὖν ἁμαρτάνωμεν, ὑπόδικοι παρακοῆς γινόμεθα, καὶ διὰ τοῦτο χρεία τῆς ἀντιστατικῆς μελέτης, καὶ τῆς ἀσκητικῆς φροντίδος, καὶ μόλις γέ τις διαφεύξεται τὰς ἐπιδρομὰς τῶν ἁμαρτητικῶν παθῶν.

CAPVT II.

Qvamobrem Dominus antiquis derelinquit præcepta, recentibus autem hominibus Euangelica mandat documēta, ſcilicèt; non odiſſe, non iraſci, non concupiſcere, nec malū

ΚΕΦΑΛ. β′.

Διὰ τοῦτο τοῖς μὲν ἀρχαίοις ὁ κύριος προσκαταλιμπάνει τὰ προστάγματα, τοῖς δὲ νέοις ἐντέλλεται τὰ εὐαγγελικὰ διδάγματα, τὸ μὴ μισῆσαι, μήτε ὀργισθῆναι, μήτε ἐπιθυμῆσαι, μήτε ἀνταποδοῦναι, ἀλλὰ τοῖς συμβόλοις τῆς ἀγάπης πρὸς

repre-

πλειότητα ὁδηγηθῶσαι· αἱ ἐντολαὶ δὲ τοῦ κυρίου, βαρεῖαι οὐκ εἰσὶν ἀλλὰ μοχθηρὰ ποιοῦσι τῶν ταύτας φυλαττόντων αἱ ἀντικείμεναι τοῖς μέλεσιν ἡμῶν ἁμαρτητικαὶ δυνάμεις, οὐ σύμφυτοι οὖσαι τῇ φύσει, ἀλλ᾽ ἐπείσακτοι. καὶ διὰ τοῦτο ὁ κύριος ἐντέλλεται ἐκριζοῦν καὶ καταφυτεύειν, καὶ κατασκάπτειν, καὶ ἀνοικοδομεῖν· ἀλλὰ πολλῆς χρείαν ἔχει φρονήσεως ἡ τοιαύτη ἐργασία, καὶ προσοχῆς καὶ φροντίδος, τῆς συνήθους ἀγωγῆς παρεμποδιζούσης πρὸς τὴν τοιαύτην ἀσφάλειαν. διὰ τοῦτο χρεία ἀνδρείας καὶ ἀγῶνος, καὶ ἀθλητικῆς ἐνστάσεως διηνεκοῦς ἐπὶ τῆς διανοίας πλατυνομένης καὶ πρὸς πάσας τὰς ἐπιδρομὰς παρατεταγμένης καὶ μὴ ἐνδιδούσης. σὺ δὲ ὁ πιστός, μὴ ἀγνοήσῃς σου τὸ ἀξίωμα, μηδὲ συνέλκου τῇ ματαιότητι τῶν πολλῶν, ἀλλὰ τῷ σκιώδει βίῳ ἀντίθες σκιάν, καὶ οὕτως αὐτὸν πάρελθε ὡς σκιὰ παρατρέχουσα. τοῦ μέλλοντος αἰῶνος γνωστικὸς πολίτης γενοῦ τὴν πρὸς αὐτὸν φιλίαν ἤδη ἀσπαζόμενος, ἵνα ὅταν φθάσῃς ἐκεῖ, μὴ ὡς ξένος ἀγνοηθῇς, ἀλλ᾽ ὡς φίλος προσδεχθῇς, καὶ τιμηθῇς ὡς πολίτης. ἡ γὰρ σύστασις ταύτης παρέρχεται διὰ τὴν τρεπτότητα. ἀλλ᾽ ἔσται τὰ δεξιά, δεξιά, τὰ δὲ ἀριστερά, χάσματι ἀπεράντῳ διαιρούμενα. καὶ τότε τῶν δικαίων ἐκλάμψει ἡ πίστις, καὶ ὑψωθήσεται ἡ ἀγάπη καὶ ἐπαινεθήσεται ἡ ὑπομονή, καὶ στεφανωθήσεται ἡ ἀνδρεία, καὶ θαυμασθήσεται ἡ τοὺς νικητὰς στεφανώσασα, τοὺς καλῶς ἀγωνισαμένους ταῖς ἀσκητικαῖς, καὶ ἐπιπόνοις, καὶ τὸν δρόμον τὸν καλὸν τελέσαντας.

rependere: ſed argumentis charitatis dirigi ad perfectionẽ; nec verò mandata Domini grauia ſunt, ſed oppoſitæ noſtris membris peccaminoſæ potẽtiæ ea reddunt laborioſa vnicuique qui eorumdem obſeruationi incumbit; quæ quidem non vnà cum naturâ innatæ ſunt nobis, ſed aduentitiæ ſunt, & ſubintroductæ; idcircò Dominus iubet, vt eradicemus, & plantemus, defodiamus, ac reædificemus. At hoc negotium plurimam exigit prudentiam, attentionem, & curam, cum vitæ conuerſatio conſueta impedimentum afferat non mediocre, ne ſecuritas hæc obſeruetur; hincque opus eſt virili magnanimitate, & certamine, Athletarumque more contentione aſſiduâ, in intellectu, qui lato ſit animo, quique aduerſus omnes incurſiones paratus ſit pugnaciter, ac nullatenus cedat. Tu verò, qui fidelis es, ne dignitatem ignores tuam, nec multorum vanitate attraharis, ſed vmbroſæ vitæ oppone vmbram, & ſic ipſã petranſi vitam, quaſi ſit vmbra præteriens; fac, vt innoteſcens ciuis futuri ſæculi, nunc eius amplexans amicitiam, vt quandò illùc peruenies, non velut hoſpes ſis ignotus, ſed excipiaris tamquam amicus, vtque ciuis honore afficiaris, quià huius quidem vitæ ſtatus præterit ob volubilitatem, ſed poſteà dextera erunt dextera, ſiniſtra verò, ſeparata hiatu interminato; & tunc fides iuſtorum effulgebit, & charitas exaltabitur, & conſtantia collaudabitur, & coronabitur, eritquè admirationi fortitudo, quippe quæ adornauit coronis victores, qui laborioſis virtutibus, & exercitationi vacantes egregiè decertarunt, atque curſum perfectum compleuerunt.

CAPVT III.

Mat. 10 v. 37. HAEC eſt enim legitima pu-
gna, & Euangelica or-
Luc. 14. v. 26. dinatio, cum dicat Dominus:
Marc. 8. Qui amat Patrem, aut Matrem,
aut filium, aut ſororem pluſquàm
me, non eſt me dignus; ideòquè
rursùs aiebat Dominus omnibus,
Mat. 25. v. 35. qui ſua obſeruarũt mandata: Ve-
nite Benedicti Patris mei; eſuri-
ui enim iuſtitiam, & apud vos i-
pſam inueni; & ſitiui charitatem,
ipſâque abundaſtis, vos cir-
cumueſtire volui, & dignos exhi-
buiſtis vos metipſos; in carcere
delitescens eram, & inquirentes
reperire me potuiſtis; infirmitate,
ac humiliatione apparui, & vos
Dominatum agnouiſtis; Venite
benedicti Patris mei, acceſſiſtis è
terra longinqua, qui per multos
tranſijſtis prædones, & ab inſidijs
incolumes euaſiſtis, quià frequen-
tioribus virtutum iaculis vſi eſtis,
quibus tandèm obtinuiſtis victo-
riam: Venite benedicti Patris
mei, quia vigiles fuiſtis, liberum-
que arbitrium adieciſtis ad obe-
dientiam Angelicæ Legiſlationi
præſtandam, hanc libero arbi-
trio præferentes ſubiectionem.
Venite benedicti Patris mei, quià
conſpicabar vos vti roſas inter
ſpinas, qui præ meditationis
feruore videbamini rogus, ac ve-
luti lilia intuebar conſcientiæ pu-
ritate præfulgidos: Venite benedi-
cti Patris mei, quià ſimiles fuiſtis
lapidi Adamãtino, qui nec in igne
comburitur, nec in aqua tingi-
tur humore, factique eſtis velut
Amiantus, qui ignem quidem ſuſcipit, ſed non exuritur flammâ,
imò repræſentat ſubſtantiam ſplendidiorem, & illibatam; ſic & vos,
cum

ΚΕΦΑΛ. γʹ.

Αὕτη γάρ ἐστιν ἡ ἔννομος ἄθλησις, καὶ εὐαγγελικὴ διάταξις ἐν τῷ λέγειν τὸν κύριον, ὁ φιλῶν πατέρα ἢ μητέρα, ἢ υἱὸν, ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. καὶ διὰ τοῦτο πάλιν ὁ κύριος ἔλεγε τοῖς τηρήσασι τὰς ἐντολὰς αὐτοῦ. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, ἐπείνασα γὰρ τὴν δικαιοσύνην, καὶ εὗρον αὐτὴν παρ' ὑμῖν, καὶ ἐδίψησα τὴν ἀγάπην, καὶ ταύτην ἐπλεονάσατε. περιβαλέσθαι ἠθέλησα ὑμᾶς, καὶ ἀξίους ἑαυτοὺς ἀπεδείξατε. ἐν φυλακῇ ἤμην κρυπτόμενος, καὶ ἐρευνήσαντες, εὑρεῖν με ἠδυνήθητε, ἐν ἀσθενείᾳ, καὶ ταπεινότητι ὤφθην, καὶ ὑμεῖς τὴν δεσποτείαν ἐπέγνωτε. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, ἐκ γῆς μακρόθεν ἥκατε πολλοὺς λῃστὰς διελθόντες, καὶ ἀνεπιβούλευτοι διαφυλαχθέντες, ἐπειδὴ τὰ βέλη τῶν ἀρετῶν ἐπλεονάσατε, δι' ὧν ἐνικήσατε. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, ὅτι γρήγοροι γεγόνατε, καὶ τὴν αὐτεξουσιότητα εἰς ὑποταγὴν τῆς ἀγγελικῆς νομοθεσίας προσεβάλετε, τὴν ὑποταγὴν προτιμήσαντες τῆς αὐτεξουσιότητος. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, ὅτι ἐθεώρουν ὑμᾶς ὡς ῥόδα ἐν ἀκάνθαις πυρκαϊάζοντας τὴν θερμότητα τῆς μελέτης, καὶ λαμπροὺς ὡς τὰ κρίνα τῇ καθαρότητι τῆς συνειδήσεως. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, ὅτι ὡμοιώθητε τῷ λίθῳ τῷ ἀδαμαντίνῳ, τῷ μήτε ἐν πυρὶ φλεγομένῳ, μήτε ἐν ὕδατι βαπτιζομένῳ, καὶ γεγόνατε ὡς ὁ ἀμίαντος ὁ δεχόμενος τὸ πῦρ, καὶ μὴ φλογιζόμενος, καὶ λαμπροτέραν, καὶ ἁγνὴν τὴν ὑπόστασιν ἐπιδεικνύμενος, καὶ ὑμεῖς παρελθόν-

τες τὰ βέλη τοῦ πονηροῦ, οὐκ ἐφλέχθητε, ἀλλὰ τὴν δικαιοσύνην ἐπερισσεύσατε, καὶ τὰς εὐωδιαζούσας ἀρετὰς ἐπλεονάσατε. καὶ τὸν κόσμον οὐκ ἠγαπήσατε, ἀλλὰ τὴν βασιλείαν τῶν οὐρανῶν μᾶλλον ἐπεποθήσατε, δεῦτε μεθύσθητε ἀπὸ πιότητος τοῦ οἴκου μου, καὶ εὐφράνθητε ἐν χειμάρρῳ τῆς τρυφῆς.

cum per tela maligni tranſijſſetis, minimè inflammati fuiſtis, imò abundaſtis iuſtitiâ, ac benè redolētes virtutes copioſiores accumulaſtis, mundum etiam non dilexiſtis, ſed cupiditate potius Regni Cælorum flagraſtis: Venite, inebriemini ex vbertate domus meæ, iucundequè oblectemini in torrente delicioſæ voluptatis.

ΚΕΦΑΛ. δʹ.

Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, ὅτι ᾠκοδομήσατε τὴν οἰκίαν ὑμῶν ἐπὶ τὴν πέτραν, καὶ ἐπελθόντων τῶν ποταμῶν, καὶ τῶν ἀνέμων, καὶ τῶν ὑετῶν ἀσάλευτοι διεμείνατε, καὶ τοὺς πόδας ὑμῶν οὐκ ἐδώκατε εἰς σάλον, ἀλλ' ἐπὶ τῆς πέτρας ἐστήσατε αὐτοὺς, καὶ γεγόνατε δόκιμοι ἐν τῇ πίστει. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, ἀλλ' οὐχ ὑμεῖς ὡρίσθητε κληρονόμοι τῆς βασιλείας. ἐπεὶ οὔτε ὑμεῖς ἐπαινετοὶ, οὔτε ἡ κλῆσις τοῦ καλοῦντος δικαία, ἀλλ' αἱ ἀθλήσεις προωρίσθησαν, καὶ ἀρεταὶ τῶν διὰ τῶν ἄθλων προερχομένων προεθεωρήθησαν καὶ πάντες διελθεῖν ἐκλήθησαν, ἀλλ' οὐ πάντες ὑπήκουσαν, ὑμεῖς δὲ οἱ ὑπακούσαντες, καὶ τῆς παρακοῆς τὸ ἔγκλημα ἀπεκδύσασθε, καὶ τῆς ὑπακοῆς τὸν ἔπαινον ἐκομίσασθε τὰς ἀρετὰς ἐπιδειξάμενοι, καὶ τῆς βασιλείας ἄξιοι γενόμενοι· μακάριοι οἱ ταύτης καταξιούμενοι τῆς μαρτυρίας, ἐνώπιον ἀγγέλων, καὶ πάντων ἀνθρώπων· ἐπειδὴ γὰρ τὸν Θεὸν σφόδρα ἐφοβήθησαν, καὶ τὰς ἐντολὰς αὐτοῦ τελείως ἐφύλαξαν, καὶ τὴν δικαιοσύνην ἐπλεόνασαν, ὡς μείζω

CAPVT IV.

Venite benedicti Patris mei, *Luc. 6. v. 48.*
quiâ domum veſtram ædificaſtis ſuper petram, cumq; flu- *Pſa. 120 v. 3.*
mina, venti, & imbres ſuperue- *Pſal. 39. v. 3.*
niſſent, inconcuſſi permanſiſtis; quiquè pedes veſtros non dediſtis in commotionem, ſed ipſos ſuper petram ſtabiliuiſtis, & in fide probati euaſiſtis: Venite bene- *Mat. 25. v. 8.*
dicti Patris mei hæreditate poſſidete præparatum vobis Regnum à conſtitutione mundi; ſed non determinati fuiſtis vos, ut Regni eſſetis hæredes, alioquin, nec ipſi laudabiles exiſteretis, nec vocantis iuſta foret vocatio, ſed certamina fuerunt prædeterminata, & virtutes eorum, qui per certamina progrederentur, fuere perſpectæ anteà, & ſic omnes vocati ſunt, vt per certamina tranſirent, ſed non omnes obedierunt: vos autem, qui obedijſtis, & inobediētiæ crimen excuſſiſtis, laudem quoquè reportaſtis obedientiæ, & eas exhibendo virtutes, condigni fuiſtis habiti tali Regno. Beati; qui hocce teſtimonio in cōſpectu Angelorum omniumq; hominum digni iudicabuntur; dum etenim ij valdè timuerunt Deum, & eius

mandata perfectè cuſtodierunt, ampliorem que ſibi compararunt

iuſti-

iuſtitiã, qua menſura menſi ſunt, ea ſimiliter emenſa eſt ipſis a Domino, hucuſquè ergò ſermoni finem imponamus, gratias agentes, & benedicentes Domino in omnibus bonis ipſius donis, quibus nos indignos muneratur eius miſericordia. ipſi gloria, & honor in ſæcula. Amen.

ἐμέτρησαν ἀντεμετρήθη αὐτοῖς παρὰ κυρίου ὁμοίως. μέχρις οὖν τούτου τὸν λόγον ἐπιστήσωμεν, εὐχαριστοῦντες, καὶ εὐλογοῦντες τὸν κύριον ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς αὐτοῦ χαρίσμασιν, οἷς ἡμῖν δωρεῖται τοῖς ἀναξίοις ἡ αὐτοῦ φιλανθρωπία, αὐτῷ ἡ δόξα καὶ ἡ τιμὴ εἰς τοὺς αἰῶνας. ἀμήν.

ΕΠΙΚΤΗΤΟΥ ΕΓΧΕΙΡΙΔΙΟΝ

EPICTETI ENCHIRIDION

Seu Manuale à S.P.N. NILO conciſum, & interpolatum, eiuſq; Opuſculis inſertum.

ΚΕΦΑΛ. α'.

Τῶν ὄντων τὰ ἐφ' ἡμῖν, τὰ δὲ οὐκ μὲν ἐστί, Ἐφ' ἡμῖν μὲν ὑπόληψις, ὁρμὴ, ὄρεξις, ἔκκλισις, καὶ ἑνὶ λόγῳ ὅσα ἡμέτερα ἔργα.

CAPVT I.

Exiſtentium rerum quædam ſunt in nobis, quædam non ſunt. In nobis quidem ſunt exiſtimatio, impulſus, deſiderium, auerſatio, & vno verbo cætera, quæ noſtræ ſũt operationes.

ΚΕΦΑΛ β'

Καὶ τὰ μὲν ἐφ' ἡμῖν ἐστι, φύσει ἐλεύθερα, ἀκώλυτα, ἀπαραπόδιστα. τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ἀσθενῆ, δοῦλα, κωλυτὰ, ἀλλότρια.

CAPVT II.

Ac ea, quæ in nobis ſunt, naturaliter libera exiſtunt, prohiberi, & impediri minimè poſſunt; at quæ non ſunt in nobis, infirma, ſerua, impedita, & aliena exiſtunt.

ΚΕΦΑΛ γ'.

Μέμνησο οὖν ὅτι ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς, καὶ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ, πενθήσεις, ταραχθήσῃ, μέμψῃ καὶ Θεὸν, καὶ ἀνθρώπους, ἐὰν δὲ τὸ σὸν μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον, ὥς ἐστιν, ἀλλότριον, οὐδείς σε ἀναγκάσει, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐδὲ ἐγκαλέσεις οὐδενὶ, ἄκων πράξεις οὐδὲ ἕν. ἐχθρὸν οὐδένα ἕξεις, οὐδείς σε βλάψει, οὐδὲ βλαβερόν τι ποιήσει.

CAPVT III.

Memento igitur, quod, ſi quæ naturaliter ſerua ſũt, putaueris libera, & quæ aliena, propria; impediêris, lugebis, perturbaberis, de Deo, deque hominibus conqueréris; ſi verò tuum opinatus fueris ſolummodò eſſe tuum, alienum autem, vt eſt, alienum, nullus te vexabit vnquam, nullus te impediet, neq; aduersùs vllum querelam propones, litem vlli non intendes, nihil inuitus facies, neminem habebis inimicum, nullus te lædet, neq; noxam afferet aliquam.

CAP.

CAPVT IV.

TAlia igitur, tãtaq; appetens, memento rursùs, quod, dum mouêris mediocriter, non oportet ea capeſſere, ſed ad aliqua quidem omnimodo deferri motu, alia verò pro præſenti differre: quod ſi & hæc velis, cupiaſquè diteſcere ſimul, & imperare, forſitan nec ea ipſa aſſequeris, eò quod prima ſimul concupiſcas, verùm omnibus illis fruſtraberis, per quæ ſolùm felicitas, & libertas comparatur.

ΚΕΦΑΛ. δʹ.

Τηλικούτων οὖν ἐφιέμενος, μέμνησο ὅτι οὐ δεῖ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν, ἀλλὰ τὰ μὲν κεκινημένῳ παντελῶς, τὰ δὲ ὑπερτίθεσθαι πρὸς τὸ παρόν, ἐὰν δὲ καὶ ταῦτα θέλεις, καὶ πλουτεῖν, καὶ ἄρχειν, τυχὸν μὲν οὐδὲ αὐτῶν τούτων τεύξῃ διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι, πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ δι' ὧν μόνων ἐλευθερία καὶ εὐδαιμονία περιγίνεται.

CAPVT V.

STatim igitur aſperæ cuiqu imaginationi, curæ tibi ſit addere dicendo, quod quædam apparentia ſit, nullo verò modo exiſtat, vt in conſpectum venit, ac cernitur; eam deindè examina, & proba regulis, quas habes; hac verò primâ, & potiſſimùm, vtrùm ſit ex eis, quæ in nobis ſunt, aut ex eis, quæ in nobis non ſunt, ſiquè ſit quid eorum, quæ non in nobis, in promptu habes, quod nihil ad te ſpectat.

ΚΕΦΑΛ. εʹ.

Εὐθὺς οὖν πάσῃ φαντασίᾳ τραχείᾳ μελέτα ἐπιλέγειν, ὅτι φαντασία ἦ, καὶ οὐ πάντως τὸ φαινόμενον, ἔπειτα ἐξέταζε αὐτὴν, καὶ δοκίμαζε τοῖς κανόσιν, οἷς ἔχεις, πρώτῳ δὲ τούτῳ, καὶ μάλιστα, πότερον περὶ τὰ ἐφ' ἡμῖν ἐστιν ἢ περὶ τὰ οὐκ ἐφ' ἡμῖν, κἂν περ ᾖ τι τῶν οὐκ ἐφ' ἡμῖν προχειρὸν ἔστω τὸ ὅτι οὐδὲν πρὸς σε.

CAPVT VI.

REcordare, quod appetitionis promiſſio ſit aſſequutio eius, quod appetitur; auerſionis pollicitatio, non incidere in illud, quod quis auerſatur. is porrò, qui in deſiderando fruſtratur, impos eſt voti; qui verò in auerſando incidit, infelix: itaquè ſi auerſaris illa ſola, quæ ſunt præter naturam, ex eis, quæ in te ſunt, nullam in rem incides earũ,

ΚΕΦΑΛ ϛʹ.

Μέμνησο ὅτι ὀρέξεως ἐπαγγελία ἐπιτυχία οὗ ὀρέγεται, ἐκκλίσεως ἐπαγγελία τὸ μὴ περιπίπτειν ἐκείνῳ, ὃ ἐκκλίνεται. ὁ μὲν ἐν ὀρέξει ἀποτυγχάνων, ἀτυχής, ὁ δὲ ἐν ἐκκλίσει περιπίπτων δυστυχής ἐὰν οὖν μόνα ἐκκλίνῃς τὰ παρὰ φύσιν τῶν ἐπὶ σοί, οὐδενὶ ὧν ἐκκλίνεις περιπεσῇ, νόσον δ' ἂν ἐκκλίνῃς ἢ πενίαν, ἢ θάνατον, δυστυχήσεις.

quas auerſaris; ſin vero morbum, aut paupertatem, vel mortem auerſeris, calamitoſus eris.

ΚΕΦΑΛ. ζ'.

Ἆρον οὖν τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μετάθες ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν. τὴν ὄρεξιν δὲ παντελῶς ἐπὶ τοῦ παρόντος ἄνελε. ἐάν τε γὰρ ὀρέγῃ τινὸς τῶν οὐκ ἐφ' ἡμῖν, τινὸς ἀτυχεῖν ἀνάγκη. τῶν δὲ ἐφ' ἡμῖν ὅσον ὀρέγεσθαι καλὸν οὔπω σοι πάρεστι. μόνῳ δὲ τῷ ὁρμᾶν, ἢ ἀφορμᾶν χρῶ, κούφως ἀντιπερθέτως, καὶ μεθ' ὑπεξαιρέσεως, καὶ ἀνειμένως.

CAPVT VII.

Tolle igitur auerſionem ab omnibus, quæ ſunt præter naturam ex ijs, quæ in nobis ſunt; cupiditatem verò pro præſenti omnino auferas; ſi enim appetas aliquid eorum, quæ non ſunt in nobis, fruſtrari neceſſum eſt; Verùm quam bonum ſit appetere ea, quæ in nobis ſunt, adhùc tibi non eſt manifeſtum, ſed ſolùm motu, quo ad aliquid conuerteris, vel ex aliquo te proripis, vtere leuiter, ſine dilatione, & cum exceptione, atquè remiſsè.

ΚΕΦΑΛ. η'.

Ἐφ' ἑκάστου τῶν ψυχαγωγούντων, ἢ χρείας παρεχόντων, ἢ στεργομένων μέμνησο ἐπιλέγειν, (ὁποῖόν ἐστιν ἀπὸ τῶν σμικροτάτων ἀρξάμενος,) ἂν χύτραν στέργῃς, ὅτι χύτραν στέργεις· κατεαγείσης γὰρ οὐ ταραχθήσῃ, ἂν παιδίον σαυτοῦ καταφιλῇ, ἢ γυναῖκα, ὅτι ἄνθρωπον καταφιλεῖς, ἀποθανόντος γὰρ οὐ ταραχθήσῃ.

CAPVT VIII.

Vnicuiquè illorum, quę animum alliciunt, aut vtilitatem prębent, vel diliguntur, memento adijcere dicendo (cuiuſmodi eſt) exorſus à minimis, ſi diligas ollam, quod ollam diligis; nam eâ confractâ non perturbaberis; ſi filiolum tuum perames, aut vxorem, quod hominem peramas, cum namquè deceſſerit, non turbaberis.

ΚΕΦΑΛ. θ'.

Ὅταν ἅπτεσθαι τινὸς ἔργου μέλλῃς, ὑπομίμνησκε σεαυτὸν, ὁποῖόν ἐστι τὸ ἔργον, ἐὰν λουσόμενος ἀπίῃς, πρόβαλε σεαυτῷ τὰ γινόμενα ἐν βαλανείῳ, τοὺς ἀπορραίνοντας, τοὺς ἐνσειομένους, τοὺς λοιδοροῦντας, τοὺς κλέπτοντας, καὶ οὕτως ἀσφαλέστερον ἅψῃ τοῦ ἔργου αὖ ἐπιλέγῃς εὐθὺς, ὅτι λούσασθαι θέλω, καὶ τὴν ἐμαυτοῦ προαίρεσιν, κατὰ φύσιν ἔχουσαν τηρῆσαι, οὐ

CAPVT IX.

Qvando aggreſſurus es aliquod opus, ſu tuam reuoca mentem, quale ſit tale opus: ſi lauandus abieris, tibi ipſi propone, quæ fiunt in balneo; hos nimirum aſpergentes, illos infligentes, hos conuicia iacientes, illos furantes, & ſic opus aggredieris ſecuriùs, ſi ſtatim addideris dicendo, quod lauari

Digitized by Google

uari quidem volo, & ſeruare quoquè meum, quod naturæ cōgruit, propoſitum; non obſeruabo verò, ſi ad ea, quæ fiunt, indignabundus iraſcar.

τηρήσω δὲ, ἐὰν ἀγανακτῶ πρὸς τὰ γινόμενα.

CAPVT. X.

TVrbant homines non res ipſæ, at de rebus ipſis opiniones: mors videlicèt non eſt aliquid graue, alioquin & Socrati viſum eſſet, ſed opinio, quæ de morte concipitur, quod ea graue quid eſt; tunc etenim exiſtit quid graue: quando igitur impedimur, aut perturbamur, vel dolemus, nullatenùs accuſemus alium quemquam, ſed nos ipſos, hoc eſt, noſtras ipſas opiniones: hominis quippe indocti eſt actio, alterum criminari in his, quæ ipſe improbè patrat: incipientis, caſtigare id, de quo reprehenditur; eruditi, nequè alterum, nequè ſeipſum improbare.

ΚΕΦΑΛ. θ'.

ΤΑράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα. οἷον ὁ θάνατος οὐδὲν δεινὸν, ἐπεὶ καὶ Σωκράτει ἂν ἐφαίνετο, ἀλλὰ τὸ δόγμα τὸ περὶ τοῦ θανάτου διότι δεινὸν ἐκεῖ τὸ δεινόν ἐστιν. ὅταν οὖν ἐμποδιζώμεθα, ἢ ταραττώμεθα, ἢ λυπώμεθα, μηδέποτε ἄλλον μηδένα αἰτιώμεθα, ἀλλ' ἑαυτοὺς τοῦτ' ἔστι τὰ ἑαυτῶν δόγματα· ἀπαιδεύτου ἔργον τὸ ἄλλοις ἐγκαλεῖν ἐφ' οἷς αὐτὸς πράττει κακῶς· ἠργμένου παιδεύεσθαι τὸ ἑαυτῷ· πεπαιδευμένου τὸ μήτε ἄλλῳ μήτε ἑαυτῷ.

CAPVT XI.

NVllam ob commoditatem potiorem, quæ in alio fit, efferaris: Si etenim equus, dum ſuperbit, diceret, quod pulcher ſum, ferendum quidem eſſet: Tu autem cum elatus iactantiâ, dicis, quod equum pulchrum habeo, ſcias, quod ob equum bonum gloriabundus extolleris: quid igitur tuum eſt? vſus nimirùm imaginationum; cùm ergò in vſu imaginationum naturaliter te geſſeris, tùm extolleris rationabilitèr; tunc nempè de aliquo tuo bono effereris.

ΚΕΦΑΛ. ι'.

ΜΗδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἐπαιρόμενος, ἔλεγεν, ὅτι καλός εἰμι, οἰστὸν ἂν ἦν. σὺ δὲ ὅταν λέγῃς ἐπαιρόμενος, ὅτι ἵππον καλὸν ἔχω, ἴσθι ὅτι ἐπὶ ἵππῳ ἀγαθῷ ἐπαίρῃ. τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν, ὅταν οὖν ἐν χρήσει φαντασιῶν κατὰ φύσιν ἔχῃς, τηνικαῦτα ἐπαρθήσῃ. τότε γὰρ ἐπὶ σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ.

CAP.

ΚΕΦΑΛ. ιβ'.

Καθάπερ ἐν πλῷ τοῦ πλοίου καθορμισθέντος, εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ πάρεργον, καὶ κοχλίδιον ἀναλέξαι, καὶ βολβάριον, τετάσθαι δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι, μήποτε ὁ κυβερνήτης καλεῖ· κἂν καλέσῃ πάντα ἐκεῖνα ἀφιέναι, ἵνα μὴ δεδεμένος ἐμβληθῇς ὡς τὰ πρόβατα, οὕτω καὶ ἐν τῷ βίῳ ἐὰν διδῶται ἀντὶ κοχλιδίου, καὶ βολβαρίου, γυναικάριον, καὶ παιδίον, οὐδὲν κωλύσει. ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα, μηδὲ ἐπιστρεφόμενος· ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῇς ποτὲ τοῦ πλοίου μακρὰν μήποτε καλούμενος ἐλλίπῃς.

CAPVT XII.

Qvemadmodum in nauigatione ſubducto in ſtationem nauigio, ſi exeas aquatum, & ad bulbulum, cochleolaſque colligendas, quod eſt præter ſuſceptum viæ opus, mens oportet, vt ſit intenſa ad nauigiũ, & crebro conuerti, num gubernator vocet, & ſi vocauerit, omnia illa dimittere, ne vinctus deijciaris inſtar pecorum; ſic etiam in vita, ſi dentur viœ cochleolæ, & bulbuli, vxorcula, & puerulus, nihil impedient; ſi verò gubernator vocauerit, curre ad nauigium, dimittens omnia, neque conuertaris; quod ſi fueris ſenex, ne vnquam diſceſſeris à nauigio, ne fortè deſis, dum vocaris.

ΚΕΦΑΛ. ιγ'.

Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε τὰ γινόμενα γίνεσθαι ὡς γίνεται, καὶ εὐδαιμονήσεις. νόσος σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ, χόλωσις σκέλους ἐστὶν ἐμπόδιον, σὸν δὲ οὔ.

CAPVT XIII.

NE quæras, vt ea, quæ accidunt, eueniant, vti vis, ſed contentus ſis, vt quæ contingunt fiant, vt eueniunt, ſicque viues beatè: morbus, corporis eſt impedimentum, propoſiti verò nequaquàm, niſi velit ipſum: claudicatio, cruris eſt impedimẽtum, non verò tui.

ΚΕΦΑΛ. ιδ'.

Ἐφ' ἑκάστου τῶν προσπιπτόντων μέμνησο ἐπιστρέφων ἐπὶ σεαυτὸν ζητεῖν, τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. ἂν καλὸν ἴδῃς ἢ καλήν, εὑρήσεις δύναμιν, πρὸς ταῦτα ἐγκράτειαν. ἐὰν πόνος προσφέρηται, εὑρήσεις καρτερίαν, ἐὰν δὲ λοιδορίαν, εὑρήσεις ἀνεξικακίαν. καὶ οὕτως ἐθιζό-

CAPVT XIV.

IN vnoquoque occurrentium, conuerſus ad te ipſum, memento quærere quam virtutem habeas ad vſum ipſius; ſi formoſum videas, aut formoſam, comperies virtutem contra iſta temperantiam; ſi inferatur labor, inuenies conſtantiam; & ſi conuitium, reperies tolerantiam: eumque

que ſic aſſuefias, rerum viſiones animo repreſentatæ non te corripient.

μῆμόν σε, οὐ συναρπάσουσί σε αἱ φαντασίαι.

CAPVT XV.

NVmquàm dicas de vlla re, quod eam amiſeris, ſed quod reddideris: puerulus obijt, redditus fuit: vxor deceſſit, reſtituta eſt: prædium fuit ereptum, etiam verò reſtitutum fuit: at improbus eſt qui abſtulit; & quid tibi curæ, cum qui dedit repetat? Verùm vſquequò concedútur, horum, vt alienorum curam gere, eo modo, quo hoſpitij curam habent prætereuntes peregrini.

ΚΕΦΑΛ. ιε'.

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ἀπώλεσας αὐτό, ἀλλ' ὅτι ἀπέδωκας. τὸ παιδίον ἐπέθανεν, ἀπεδόθη, ἡ γυνὴ ἀπέθανεν, ἀπεδόθη, τὸ χωρίον ἀφῃρέθη οὐκοῦν, ἀπεδόθη, ἀλλὰ κακὸς ὁ ἀφελόμενος. τί δέ σοι μέλει, διότι ἀπῄτησεν ὁ δούς; μέχρι δ' ἂν διδῶται ὡς ἀλλοτρίων αὐτῶν ἐπιμελοῦ ὡς τοῦ πανδοχείου οἱ παριόντες.

CAPVT XVI.

SI velis proficere dimitte huiuſcemodi ratiocinationes, nimirùm ſi negligam mea, non habebo vnde nutriar, ſi non puniero puerum, malus erit: meliùs eſt enim fame mori, & expertem timoris, atq; moleſtiæ eſſe, quàm perturbatum viuere in rerum copiâ, puerumque malum exiſtere, quàm te miſerum.

ΚΕΦΑΛ. ιϛ'.

Εἰ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους ἐπιλογισμούς. ἂν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφήν, ἂν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται. κρεῖττον γὰρ ἐστὶ λιμῷ ἀποθανεῖν ἄφοβον, καὶ ἄλυπον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον, κρεῖττον καὶ τὸν παῖδα κακὸν εἶναι, ἢ σὲ κακοδαίμονα.

CAPVT XVII.

INcipe igitur à paruis: effunditur pauxillum olei, ſurripitur furto aſellus; adde dicendo: tanti venditur ſtatus hominis omni carentis paſſione, tantique tranquillitas animi imperturbati: nil etenim gratis comparatur. Quando accerſieris puerum, cogita, quod non poteſt quid facere eorum, quæ vis, niſi obedierit, ſed neque ità ipſi benè eſt; ita vt in ipſo ſit, quod tu non turberis.

ΚΕΦΑΛ. ιζ'

Ἄρξαι τοιγαροῦν ἀπὸ τῶν μικρῶν. ἐκχέεται τὸ ἐλάδιον, κλέπτεται τὸ ὀνάριον, ἐπίλεγε, τοσούτου πωλεῖται ἀπάθεια. τοσούτου ἀταραξία, προῖκα δὲ οὐδὲν περιγίνεται. ὅταν καλῇς τὸν παῖδα, ἐνθυμοῦ ὅτι οὐ δύναται ἢ ὑπακούσας μηδὲ ποιῆσαι. ὧν θέλεις, ἀλλ' οὐχ οὕτω ἐστὶν αὐτῷ καλῶς, ἵνα ἐν ἐκείνῳ ᾖ τί σε μὴ ταραχθῆναι.

CAP.

ΚΕΦΑΛ. ιη'.

Εἰ προκόψαι θέλεις, ὑπόμεινον ἕνεκα τῶν ἐκτὸς ἀνθρώπους δόξαι. ἢ ἠλίθιος εἶ, μηδὲν βούλου ἐπίστασθαι· κἂν δόξῃς τις εἶναι τισὶν, ἀπίστει σεαυτῷ. ἴσθι γὰρ ὅτι οὐ ῥᾴδιον, καὶ τὴν σεαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν φυλάξαι καὶ τὰ ἐκτὸς, ἀλλὰ τοῦ ἑτέρου ἐπιμελούμενον τοῦ ἑτέρου ἀμελῆσαι πᾶσα ἀνάγκη.

CAPVT XVIII.

Si cupis profectum facere, ſuſtine, quod homines, propter ea, quæ exterius videntur, in aliqua ſint exiſtimatione: aut, ſi tu vecors fueris, non cures aliquid ſcire: ſin verò quibuſdam aliquis eſſe videaris, ne tibi ipſi fidem præſtes: Scito enim, quod non facile eſt, tui ipſius propoſitum naturæ congruens, ſimulq; res exteriores obſeruare. Sed neceſſum omninò, vt dum vnius ſatagit, alterum negligas.

ΚΕΦΑΛ. ιθ'.

Ἂν θέλῃς τὰ τέκνα σου, καὶ τὴν γυναῖκα, καὶ τοὺς φίλους πάντως ζῆν, ἠλίθιος εἶ. τὰ γὰρ μὴ ἐπὶ σοί, θέλεις ἐπὶ σοὶ εἶναι, καὶ τὰ ἀλλότρια σὰ εἶναι, οὕτω καὶ τὸν παῖδα, ἐὰν θέλῃς μὴ ἁμαρτάνειν μωρὸς εἶ, θέλεις γὰρ τὴν κακίαν, μὴ εἶναι κακίαν, ἀλλ' ἄλλο τι, ἐὰν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι, τοῦτο οὖν ἄσκει, ὃ δύνασαι.

CAPVT XIX.

Si velis, vt omnibus modis tui filij, & vxor, & amici viuant, ſtultus es; ea etenim, quæ in te non ſunt, vis vt ſint, & quæ ſunt aliena, tua exiſtant: pari modo, ſi velis, quod puer minimè peccet, fatuus es; vis nempè, vitium non eſſe vitium, ſed aliquid aliud; ſin verò velis, eo, quod appetis, non fruſtrari, hoc quidem potes, exerce te igitur in eo, quod potes.

ΚΕΦΑΛ. κ'.

Κύριος ἕκαστος τίς ἐστιν, ὁ τῶν ὑπ' ἐκείνου θελομένων ἔχων ἐξουσίαν, εἰς τὸ περιποιῆσαι, ἢ ἀφελέσθαι· ὅστις οὖν ἐλεύθερος εἶναι βούλεται, μήτε θελέτω, μήτε φευγέτω τι τῶν ἐπ' ἄλλοις, εἰ δὲ μή, δουλεύειν ἀνάγκη.

CAPVT XX.

Vnuſquiſque, qui à ſe ipſo optatorum poteſtatem habet, dominus eſt, vt nimirùm eadem aſſequatur, vel adimat ex animo proprio. Quiſquis igitur liber eſſe vult, neque cupiat, nec auerſetur, quidquam eorum, quę in alijs ſunt, alioquin ſeruire neceſſum eſt.

ΚΕΦΑΛ κα'.

Μέμνησο, ὅτι ὡς ἐν συμποσίῳ σε δεῖ ἀναστρέφεσθαι περιφε-

CAPVT XXI.

Memento, quod oportet, vt, te circumferens, ſicut in conuiuio conuerſeris

ſeris: peruenit ne aliquid ad te? extendens manum modeſtè accipe: præterit, ne detineas: nondum venit, ne longè protendas appetitum, ſed expecta, donec acceſſerit ad te: ſic te geras erga filios, ſic erga coniugem, erga Magiſtratus, erga diuitias; eriſque tandem dignus Dei homo: quando verò oblata tibi non acceperis, tunc non ſolùm eris homo Dei, ſed etiam velut Angelus.

ἐράνῳ· τί γέγονε κατὰ σέ; ἐκτείνας τὴν χεῖρα κοσμίως μετάλαβε· παρέρχεται, μὴ κάτεχε· οὔπω ἥκει, μὴ ἐπίβαλλε πόῤῥω τὴν ὄρεξιν, ἀλλὰ περίμενε μέχρις ἂν γένηται κατὰ σέ· οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, πρὸς ἀρχὰς, πρὸς πλοῦτον, καὶ ἔσῃ ἄξιός ποτε τοῦ Θεοῦ ἄνθρωπος· ὅταν δὲ καὶ προσενεχθέντων σοι, μὴ λάβῃς, ἀλλὰ περιίδῃς, τότε οὐ μόνος ἄνθρωπος ἔσῃ Θεοῦ, ἀλλὰ καὶ ὡς ἄγγελος.

CAPVT XXII.

ΚΕΦΑΛ. κβʹ

CVM aliquem in luctu eiulantem conſpexeris, aut quod filius peregrè profectus fuerit, aut quòd res ſuas amiſerit, attende, ne te corripiat viſio animo repræſentata, perindè ac ſi ille verſaretur in malis exterioribus, ſed ſtatim tibi præſto ſit, quod nimirùm, non quod accidit illum affligat (alium enim minimè affligit) ſed opinio, quam habet de illis: verùm quo ad id, quod exigunt verba, ne te pigeat circa ipſum manere, ſique ita contingat cõgemiſcere ſimul; caueas tamen, ne interius etiam congemiſcas.

Ὅταν κλαίοντα ἴδῃς τινὰ ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου, ἢ ἀπολελωκότα τὰ ἑαυτοῦ, πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος αὐτοῦ τοῖς ἐκτός, ἀλλ' εὐθὺς ἔστω πρόχειρον, ὅτι τοῦτον θλίβει, οὐ τὸ συμβεβηκὸς (ἄλλον γὰρ οὐ θλίβει) ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτου, μέχρι μέντοι λόγου μὴ ὄκνει συμπεριφέρεσθαι αὐτῷ κἂν οὕτω τύχῃ, συνεπιστενάξαι, προσέχων μέντοι μὴ καὶ ἔσωθεν στενάξῃς.

CAPVT XXIII.

ΚΕΦΑΛ. κγʹ.

REcordare quod actor perſonatus es fabulæ, qualem voluerit magiſter, breuis, ſi breuem; longæ, ſi longam: ſi velit mendici vt agas perſonam, eam etiam ingenuè repræſentes; ſi claudi, ſi Principis, ſi priuati; tuum enim hoc eſt aſſignatam perſonam benè referre, ipſam verò deligere ad alium pertinet.

ΜΈμνησο ὅτι ὑποκριτὴς εἶ δράματος οἵου ἂν θέλῃ ὁ διδάσκαλος, ἂν βραχὺ βραχέος, ἂν μακρὸν μακροῦ· ἐάν σε πτωχὸν ὑποκρίναι θέλῃ ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ, ἂν χωλὸν ἂν ἄρχοντα, ἂν ἰδιώτην. σὸν γὰρ τοῦτο δεῖ τὸ δοθὲν πρόσωπον ὑποκρίνασθαι καλῶς. ἐκλέξασθαι δὲ αὐτὸ ἄλλου.

CAP.

ΚΕΦΑΛ. κδ'.

Κόραξ ὅταν μὴ αἴσιος κεκράγῃ μὴ συναρπαζέτω σε ἡ φαντασία τοῦ δαίμονος, ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγε τούτων ἐμοὶ οὐδὲν ἐπισημαίνεται, ἀλλ' ἢ τῷ σωματίῳ μου, ἢ τῷ κτησιδίῳ μου, καὶ τῷ δοξαρίῳ μου, ἢ τοῖς τέκνοις, ἢ τῇ γυναικί, ἐμοὶ δὲ πάντα αἴσια σημαίνεται, ἐὰν ἐγὼ θέλω, ὅτι γὰρ ἂν τούτων ἀποβαίνῃ ἐπ' ἐμοί ἐστιν αὐτὸ καλῶς θέσθαι.

CAPVT XXIV.

QVando coruus inauſpicatum crocitauerit, ne te imaginatio corripiat Dæmonis; verùm ſtatim diſtingue apud te ipſum, & dicito: nihil mihi portenditur, niſi fortè meo corpori, aut meo prædiolo, & gloriolæ meæ, aut filijs, aut vxori, mihi verò fauſta omnia ſignificantur, ſi ego voluero; quicquid enim iſtorum euenerit, in me eſt hoc benè ducere.

ΚΕΦΑΛ. κε'.

Ἀνίκητος εἶναι δύνασαι ἐὰν εἰς μηδένα ἀγῶνα καταβαίνῃς, ὃν οὐκ ἔστιν ἐπὶ σοὶ νικῆσαι.

CAPVT XXV.

INuictus eſſe potes, ſi nullum deſcendas in certamen, in quo vincere non in te eſt.

ΚΕΦΑΛ. κϛ'

Ὅρα μήποτε ἰδών τινα προτιμώμενον ἢ μεγαλυνόμενον, ἢ ἄλλως εὐδοκιμοῦντα μακαρίσῃς ὑπὸ τῆς φαντασίας συναρπασθείς. ἂν γὰρ ἐν τοῖς οὐκ ἐφ' ἡμῖν ἡ οὐσία τοῦ ἀγαθοῦ ᾖ, οὔτε φθόνος, οὔτε ζηλοτυπία χώραν ἔχει, οὐδὲ γὰρ στρατηγὸς ἢ πρύτανις, ἢ ὕπατος εἶναι θέλεις, ἀλλ' ἐλεύθερος. μία δὲ ὁδὸς πρὸς τοῦτο, καταφρόνησις τῶν οὐκ ἐφ' ἡμῖν.

CAPVT XXVI.

CAueas, ne quando videris aliquem honore prælatum, aut magnificatum, aut aliàs celebratum ſermone hominum, prædices beatum, ex imaginatione correptus; nam ſi boni eſſentia conſiſteret in his, quæ in nobis non ſunt, nec inuidia locum haberet, nec ægritudo ex eo quod alter iiſdem potiatur: Nec enim Dux militiæ, aut Rector, aut Cõſul eſſe vis, ſed liber; ad eam autem rem vnica via eſt, nempè contemptus earum rerum, quæ in nobis non ſunt.

ΚΕΦΑΛ. κζ'.

Μέμνησο ὅτι οὐχ ὁ λοιδορῶν, ἢ ὁ τύπτων ὑβρίζει, ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων ὡς ὑβριζόντων, ὅταν οὖν ἐρεθίσῃ σέ τις,

CAPVT XXVII.

MEMENTO, quod non is, qui probris inſectatur, aut qui verberat, iniuriam inferat, ſed opinio

nio, quæ de his habetur, velut iniuriam inferentibus; cum igitur aliquis te irritarit in aliquo, ſcito, quod opinio tua te irritauit: quapropter in primis enitere, ne corripiaris à re animo repræſentatâ; Si namque ſemel tempore vteris, ac morâ; facilè te ipſum ſuperabis.

ἴσθι ὅτι ἡ σή σε ὑπόληψις ἠρέθισε. Τοιγαροῦν ἐν πρώτοις πειρῶ ὑπὸ τῆς φαντασίας, μὴ συναρπασθῆναι, ἐὰν γὰρ ἅπαξ χρόνου καὶ διατριβῆς τύχῃς, ῥᾷον κρατήσεις σεαυτοῦ.

CAPVT XXVIII.

MOrs, & fuga, & alia omnia, quæ videntur grauia, antè oculos ſint tibi quotidie; maximè verò præ omnibus mors; & nihil vnquam cogitabis abiectum, nec rei cuiuſpiam nimiâ teneberis concupiſcentiâ.

ΚΕΦΑΛ. κη'.

ΘΑ'νατος καὶ φυγὴ καὶ πάντα ἄλλα τὰ δεινὰ φαινόμενα πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν, καὶ πάντων δὲ μάλιστα ὁ θάνατος, καὶ οὐδὲν οὐδέποτε, οὔτε ταπεινὸν ἐνθυμήσῃ, οὔτε ἄγαν ἐπιθυμήσεις τινός.

CAPVT XXIX.

SI Philoſophiam concupiſcis, præparatus inde eſto, expectans te deridendũ, multoſque te ſubſannaturos, & dicturos, quod repentè nobis Philoſophus ſuperuenit; & vndè nobis ſupercilium iſtud? Tu verò ſupercilium quidẽ ne habeas; ea verò, quæ optima tibi viſa fuerint ſic tene, perinde ac ſi à Deo in eo conſtitutus eſſes loco: ac memento, quod ſi in eodem perſeueres ſtatu; qui priùs te irridebant, ijdem te poſteà admirabuntur; ſi verò ab ipſis fueris ſuperatus, duplicem referes irriſionem.

ΚΕΦΑΛ. κθ'.

ΕΙ' φιλοσοφίας ἐπιθυμεῖς, παρασκεύαζου αὐτόθεν, ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων πολλῶν, καὶ ἐρούντων, ὅτι ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε, καὶ πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; σὺ δὲ ὀφρὺν μὲν μὴ ἔχε, τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου, ὡς ἀπὸ τοῦ Θεοῦ τεταγμένος εἰς ταύτην τὴν χώραν, μέμνησο δὲ ὅτι ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σου πρότερον οὗτοί σε ὕστερον θαυμάσονται. ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

CAPVT XXX.

SI quando tibi contigerit verti foras, vt velis alicui placere, ſcias, quod àberraſti ab inſtituto; contentus ergò ſis in omni re Philoſophus eſſe; ſi ve-

ΚΕΦΑΛ. λ'.

ΕΑ'ν ποτὲ γένηται ἔξω στραφῆναι πρὸς τὸ βούλεσθαι ἀρέσαι τινί, ἴσθι ὅτι ἀπώλεσας τὴν ἔνστασιν. ἀρκοῦ οὖν ἐν παντὶ τὸ εἶναι φιλόσοφος, εἰ δὲ δο-

δὸ

κἂν βούλει τὸ εἶναι, σαυτῷ φαίνου, καὶ ἱκανόν ἐστι.

ΚΕΦΑΛ. λα'.

Οὗτοι γε οἱ διαλογισμοὶ μή σε θλιβέτωσαν· ἄτιμος ἐγὼ διαβιώσομαι, καὶ οὐδεὶς οὐδαμοῦ. εἰ γὰρ ἡ ἀτιμία ἐστὶ κακὸν, ὥσπερ ἐστὶν, οὐ δύνασαι ἐν κακῷ εἶναι δι' ἄλλον, οὐ μᾶλλον ἢ ἐν αἰσχρῷ. μή τι οὖν σόν ἐστιν ἔργον τὸ ἀρχῆς τυχεῖν ἢ παραληφθῆναι εἰς ἑστίασιν; οὐδαμῶς. πῶς οὖν ἐν τούτοις ἐστὶν ἀτιμία; πῶς δὲ καὶ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν μόνοις εἶναι τινα δεῖ τοῖς ἐπὶ σοὶ, ἐν οἷς ἔξεστί σοι εἶναι πλείστου ἀξίῳ; ἀλλά σοι οἱ φίλοι ἀβοήθητοι ἔσονται; τί λέγεις τὸ ἀβοήθητοι; οὐχ ἕξουσι παρὰ σοῦ κερμάτιον ἢ ἀργύριον. οὐδὲ πολίτας ῥωμαίων αὐτοὺς ποιήσεις. τίς οὖν σοι εἶπεν, ὅτι ταῦτα τῶν ἐφ' ἡμῖν ἐστιν, οὐχὶ δὲ ἀλλότρια ἔργα; τίς δὲ δύναται δοῦναι ἑτέρῳ, ἃ μὴ ἔχει αὐτός; κτῆσαι οὖν φασὶν, ἵνα καὶ ὑμεῖς ἔχωμεν, ἢ δύναμαι κτήσασθαι τηρῶν ἐμαυτὸν αἰδήμονα, καὶ πιστὸν, καὶ μεγαλόφρονα, δείκνυετε τὴν ὁδὸν καὶ κτήσομαι, εἰ δέ με ἀξιοῦτε τὰ ἀγαθὰ τὰ ἐμαυτοῦ ἀπολέσαι, ἵνα ὑμεῖς τὰ μὴ ἀγαθὰ περιποιήσησθε, ὁρᾶτε ὑμεῖς πῶς ἄδικοι ἐστὲ, καὶ ἀγνώμονες. τί δὲ καὶ βούλεσθε μᾶλλον, ἀργύριον, ἢ φίλον πιστὸν, καὶ αἰδήμονα; εἰς τοῦτο οὖν μοι μᾶλλον συλλαμβάνετε, καὶ μὴ δι' ὧν ἀποβαλῶ αὐτὰ ταῦτα, ἐκεῖνά με πράσσειν ἀξιοῦτε. ἀλλὰ ἡ πατρὶς, φησὶν, ὅσον ἐπ' ἐμοὶ ἀβοήθητος ἔσται. πάλιν ποίαν καὶ ταύτην βοήθειαν; στοὰς οὐχ ἕξει διὰ σὲ, οὐδὲ βαλανεῖα. καὶ τί τοῦτο; οὐδὲ γὰρ ὑποδήματα ἔχει διὰ

rò cupias, quod hoc tuum eſſe in aliqua ſit exiſtimatione, tibi ipſi appareas, & hoc ſufficit.

CAPVT XXXI.

Ne te affligant cogitationes huiuſcemodi: nimirùm; inhonoratus ego vitam tranſigam, nec vllibi vllus habebor: ſi etenim ignominia malum eſt, vti eſt, non potes per alium verſari potiùs in malo, quam in dedecore, nunquid igitur tua eſt opera aſſequi primatum, aut cedere in conuiuio? nequaquam. quomodo igitur in iſtis ignominia eſt? quo pacto verò nec vllus eris vllibi, quippe qui alicuius exiſtimationis oportet vt ſis, ſolummodò in ijs, quæ in te ſunt, in quibus etiàm, vt digno tibi licet plurimi fieri? verùm amici tui nulla ope iuuari poterunt: quid ais ſine auxilio erunt? non à te minutum æs, vel argentum habebunt; ipſos nó inter Ciues Romanos adſcribes: Ecquis igitur tibi dixit, quod hęc in nobis ſunt & non opera aliena? Quis verò dare poteſt alteri, quæ non habet ipſe? Acquirito ergò (aiunt) vt & nos habeamus: ſi acquirere poſſum, conſeruans me ipſum verecundum, & fidelem, ac magnanimum, oſtendite mihi viam, & comparabo; ſi verò à me hoc rogatis, meorum ſcilicèt perditionem bonorum, vt vos quæ minimè bona ſunt lucri faciatis, videte vos ipſi quàm iniuſti, ac ignaui ſitis. quid verò mauultis, argentum, aut amicum fidelem, & verecundum? ad hoc itaque mihi magis opitulemini, & ea poſtulate vt faciam non verò illa, per quæ hæc eadem abijciam: Sed Patria (inquit) quantum in me eſt

erit abſq; adiumento: rurſum quale & hoc adiumentū? porticus per te non habebit, neque balnea? & quid hoc? quia nempe calceamenta non per ſutorem, neque arma per fabrum ærarium habet, ſufficiet autem ſi vnuſquiſque ſuum adimpleuerit opus: Si vero aliquem alium Ciuem ipſi efficeres fidelem, ac prudentē nihil tu illam adiuuares, profectò nihil, ſiquidem nullus ipſum iuuabit, quàm illa eadem Quemnam itaque (ait) obtinebo locum in Ciuitate? quemcumque potueris, cuſtodiens te ipſum fidelem, & verecundum. ſi verò volens vtilis eſſe illi, reijcias iſta, quodnam ipſi iuuamentum præſtabis, cum ipſe euaſeris impudens, ac infidelis?

τὸν σκυτέα, οὐδὲ ὅπλα διὰ τὸν χαλκέα. ἱκανὸν δὲ ἂν ἕκαστος ἐκπληρώσῃ τὸ ἑαυτοῦ ἔργον. εἰ δὲ ἄλλον τινὰ αὐτῇ κατεσκεύαζες πολίτην πιστὸν, καὶ αἰδήμονα, οὐδὲν αὐτὴν ὠφέλεις. ναί, οὐκοῦν οὐδεὶς αὐτὴν ἂν ὠφέλησεν, ἢ αὐτῇ τίνα οὖν φησιν ἕξω χώραν ἐν τῇ πόλει, ἣν ἐὰν δύνῃ φυλάττων ἅμα σε αὐτὸν πιστὸν καὶ αἰδήμονα. εἰ δὲ ἐκείνην ὠφελεῖν βουλόμενος ἀποβαλεῖς ταῦτα. τί δ' ὄφελος ἂν αὐτῇ γένοιο, ἀναιδὴς, καὶ ἄπιστος ἀποτελεσθείς

CAPVT XXXII.

PRælatus fuit ne tibi quis in conuiuio, aut in concione, aut in eo, quod aſſumptus fuerit ad conſilium? Si bona quidem hæc ſunt, gaudere te oportet, quod hęc ille fuerit aſſequutus; ſin autem mala, ne grauiter feras quod impos fueris voti: memento verò; quod non potes æqualibus (ſcilicèt honoribus) dignus fieri, ſi eadem non feceris, quæ fecit ille ad aſſequenda ſimilia in nobis non exiſtentia; qua enim æqualitate conueniet, qui ad fores ventitat alicuius eum non adeunte? Qui non aſſociatur eum aſſociante? qui non dilaudat cum laudante? iniuſtus igitur eris, ac inexplebilis, ſi non erogans ea, pro quibus illa diuenduntur, gratis ipſa conſequi volueris. At quanti væneunt lactucę? obolo, ſi ſic contigat; ſi quis ergò obolum erogans acceperit lactucas, tu verò non erogans, non acceperis, ne opineris, te minus habere illo, qui accepit; ſicut enim habet ille lactucas, ita tu retines obolum,

ΚΕΦΑΛ. λβ'.

Προετιμήθη τίς σου ἐν ἑστιάσει ἢ ἐν προσαγορεύσει, ἢ ἐν τῷ παραληφθῆναι εἰς συμβούλιον; εἰ μὲν ἀγαθὰ ταῦτά ἐστιν, χαίρειν σε δεῖ, ὅτι ἔτυχεν αὐτῶν ἐκεῖνος, εἰ δὲ κακὰ μὴ ἄχθου, ὅτι σὺ μὴ ἔτυχες. μέμνησο δὲ, διότι σὺ οὐ δύνασαι μὴ τὰ αὐτὰ ποιῶν πρὸς τὸ τυγχάνειν τῶν οὐκ ἐφ' ἡμῖν τῶν ἴσων ἀξιοῦσθαι. πῶς γὰρ ἴσον δύναται ἔχειν ὁ μὴ φοιτῶν ἐπὶ θύρας τινὸς τῷ φοιτῶντι. ὁ μὴ παραπέμπων τῷ παραπέμποντι, ὁ μὴ ἐπαινῶν τῷ ἐπαινοῦντι. ἄδικος οὖν ἔσῃ καὶ ἄπληστος. εἰ μὴ προϊέμενος ταῦτα ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται) προῖκα αὐτὰ βούλεσαι λαμβάνειν ἀλλὰ πόσου πιπράσκονται θρίδακες; ὀβολοῦ ἂν οὕτω τύχῃ, ἂν οὖν τις προέμενος τὸν ὀβολὸν λάβῃ θρίδακας, σὺ δὲ μὴ προέμενος μὴ λάβῃς, μὴ οἴου ἔλαττον ἔχειν τοῦ λαβόντος, ὡς γὰρ

ἐκεῖνος ἔχει θρίδακας, οὕτω σὺ τὸν ὀβολὸν, ὃν οὐκ ἔδωκας. οὕτω καὶ ἐνταῦθα, οὐ παρεκλήθης ἐφ' ἑστίασιν τινὸς, οὐ γὰρ ἔδωκας τῷ καλοῦντι ὅσου πωλεῖται τὸ δεῖπνον, ἐπαίνου δὲ αὐτοῦ πωλεῖ, θεραπείας πωλεῖ, δὸς τὸ διάφορον (εἴσοι λυσιτελές) ὅσου πωλεῖται, εἰ δὲ κἀκεῖνα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἄπληστος, εἶ καὶ ἀβέλτερος. οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις τὸ μὴ ἐπαινέσαι τοῦτον, ὃν οὐκ ἤθελες: τὸ μὴ ἀνασχέσθαι αὐτοῦ τῶν ἐπὶ τῆς εἰσόδου.

obolũ, quem non dediſti: res etiam ſic ſe habet in noſtro propoſito; Vocatus non es ad alicuius conuiuium; quià non dediſti vocanti quanti venditur prãdium;vendit autem pro ſui ipſius laudatione, pro famulatu, ac obſequio vendit; tantam præbe expenſam (ſi tibi expedit) quanti diuenditur; ſi verò & illa erogare nolis, & accipere iſta, inexplebilis es, atque vecors: nihil igitur habes vice prandij? habes hoc, quod nempè non dilaudaſti eum, quem noluiſti; eumdemque non toleraſti ob ea, quæ quaſi pro tributo requirebat.

ΚΕΦΑΛ λγ'.

Τὸ βούλημα τῆς φύσεως καταμαθεῖν ἐστιν. ἐξ ὧν οὐ διαφερόμεθα πρὸς ἀλλήλους οἷον ὅταν ἄλλο παιδάριον κατεάξῃ τὸ ποτήριον πρόχειρον εὐθὺς, ὅτι τῶν γινομένων. ἴσθι ἔτι ὅτι κἂν τὸ σὸν κατεαγῇ τοιοῦτον εἶναί σε δεῖ, ὁποῖος ὅτε καὶ τοῦ ἄλλου κατεάγη. οὕτω μετάθες καὶ ἐπὶ τὰ μείζονα, τέκνον ἄλλου τέθνηκεν, ἢ γυνή, οὐδείς ἐστιν ὅστις οὐκ ἂν εἴποι, διότι ἀνθρώπινον, ἀλλ' ὅταν τὸ αὐτοῦ τινὸς ἀποθάνῃ, εὐθὺς οἴμοι, καὶ τάλας ἐγώ. ἐχρῆν δὲ μεμνῆσθαι τί πάσχομεν περὶ ἄλλων ὡς αὐτὸ ἀκούσαντες.

CAPVT XXXIII.

Naturæ Voluntas eſt pernoſcenda ex his, in quibus inter nos minimè differimus. exempli gratia:quando alius puerulus effregerit poculum, ſtatim eſt in promptu; quod eſt ex his, quæ ſolent accidere; ſcias ergò quod ſi tuum etiam frangatur talem eſſe te oportet, qualis, dum alterius illud fractum fuerat, exiſtebas;ſimiliter transfer hoc ad maiora: filius alterius obijt, aut vxor; nemo eſt, qui non dicat, quod nempè humanum eſt :ſed quãdo alicuius proprius deceſſerit filius; confeſtim; hei mihi, & miſer ego; at meminiſſe oportebat,qua paſſione afficimur de alijs, quando id ipſum audierimus.

ΚΕΦΑΛ λδ'.

Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυγχάνειν οὐ τίθεται. οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται, εἰ μὲν τὸ σῶμά σου τις ἐπέτρεπε τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν; ὅτι δὲ σὺ τὴν γνώμην τὴν σαυτοῦ

CAPVT XXXIV.

Sicut meta non ponitur ad aberrandum, ita neque mali natura in mundo exiſtit: ſi corpus tuum quis committere obuiã venienti, vtiquè indignareris, quod autem tui ipſius animum vnicui-

vnicuique tu committas, ità vt ſi conuicia tibi dixerit, turbetur ille, non verecundaris? Eam ob rem cuiuſque operis conſidera antecedentia, eiuſdemque conſequentia, ſicque ad illud accede, alioquin primò alacriter ſuſcipies iter, quippe qui nihil ſubſequentium in mentem reuocaſti, ſed poſteà, cum dedecora quædam apparere cœperint, abſiſtes.

ἐπιτρέπεις τῷ τυχόντι, ἵνα ἐὰν λοιδορήσηται, παραχθῇ ἐκείνη, καὶ συγχυθῇ, οὐκ αἰσχύνῃ; τούτου ἕνεκα ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα αὐτοῦ, καὶ οὕτως ἔρχου ἐπ' αὐτό. εἰ δὲ μὴ, τὴν μὲν πρώτην προθύμως ἥξεις, ἅτε μηδὲ τῶν ἑξῆς ἐντεθυμημένος, ὕστερον δὲ ἀναφανέντων τινῶν αἰσχρῶν ἀποστήσῃ.

CAPVT XXXV.

Vis Olympico in certamine vincere? ita per Deum ego volo, præclarum etenim eſt; at conſidera antecedentia, & conſequentia & deinde accinge te operi: oportet ordinē ſeruare; neceſſarijs veſci: abſtinere à quocumque cibo, qui coquitur; exerceri ſecundum neceſſitatem horâ præſtitutâ, ſiuè in æſtu ſit, ſiuè in frigore; non frigidam bibere, vinum, non quodcumque ſimpliciter; te ipſum tradere ſuperiori, veluti medico; deindè ad certamen prodire: Accidit quandoque vt manus iaciatur, talus vertatur, multumque pulueris ſorbeatur; quandoque verò vapulare neceſſum; cumque his omnibus ſuperari. Hæc vbi perpenderis ſi adhuc velis, progredere ad certandum; alioquin puerulorum inſtar conuerſaberis, qui nunc quidem luctatores agunt iocantes, nunc verò gladiatores, nunc tubâ canunt, poſteà tragicè decantant, ſic tu quoque, modò quidem Athleta, modò gladiator deinde Rhetor, poſteà Philoſophus, toto autem animo nihil: Sed veluti Simia omne ſpectaculorum genus, ſi videris, imitaris & aliud ex alio tibi placet, nec enim côſideratè acceſſiſti ad quidpiam, aut id perluſtraſti, ſed temere,

ΚΕΦΑΛ. λε'.

Θέλεις ὀλύμπια νικῆσαι; κἀγὼ νὴ τοὺς θεούς· κομψὸν γάρ ἐστιν, ἀλλὰ σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα· καὶ οὕτως ἅπτου τοῦ ἔργου. δεῖ σε εὐτακτεῖν, ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει. μὴ ψυχρὸν πίνειν, μὴ οἶνον ὡς ἔτυχεν ἁπλῶς· ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ, εἶτα ἐν τῷ ἀγῶνι παρέρχεσθαι. ἔστι δὲ ὅτε χεῖρα βαλεῖν, σφυρὸν στρέψαι, πολλὴν ἁφὴν καταπιεῖν. ἔσθ' ὅτε μαστιγωθῆναι, καὶ μετὰ τούτων πάντων νικηθῆναι. ταῦτα ἐπισκεψάμενος ἂν ἔτι θέλῃς ἔρχου ἐπὶ τὸ ἀθλεῖν, εἰ δὲ μὴ ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ μονομάχους, νῦν δὲ σαλπίζει, εἶτα τραγῳδεῖ. οὕτω καὶ σὺ νῦν μὲν ἀθλητὴς, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος, ὅλῃ δὲ τῇ ψυχῇ οὐδὲν, ἀλλ' ὡς πίθηκος, πᾶσαν θέαν ἐὰν ἴδῃς μιμῇ, καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει; οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι, οὐδὲ περιοδεύσας, ἀλλ'

ἔχῃ, καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν) οὕτω θεασάμενοί τινες φιλόσοφον, καὶ ἀκούσαντες οὕτω τινὸς λέγοντος ὡς εὖ τις τῶν φιλοσόφων λέγει (καίτοι τίς οὕτω δύναται εἰπεῖν ὡς ἐκεῖνος) θέλουσι, καὶ αὐτοὶ φιλοσοφεῖν.

merè, ac frigidâ cupiditate) Pari modo cum quidam Philoſophum conſpicati fuerint, & audierint aliquem eo prorsùs modo loquentem, quo benè quis Philoſophorum effatur (& quidem quis ità, poteſt vt ille, effari?) tum & ipſi tenentur Philoſophandi voluntate.

ΚΕΦΑΛ. λϛ.

ΑΝθρωπε πρῶτον ἐπίσκεψαι ὁποῖόν ἐστι τὸ πρᾶγμα, εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε εἰ δύνασαι βαστάσαι. πένταθλος εἶναι βούλει, ἢ παλαιστὴς ἴδε σεαυτοῦ τοὺς βραχίονας τοὺς μηρούς, τὴν ὀσφὺν κατάμαθε, ἄλλος γὰρ πρὸς ἄλλο πέφυκε, δοκεῖς ὅτι ταῦτα ποιῶν ὡσαύτως δύνασαι ἐσθίειν, ὡσαύτως πίνειν, ὡσαύτως ὀργίζεσθαι, ὁμοίως δυσαρεστεῖν. ἀγρυπνῆσαι δεῖ, πονῆσαι, ἀπὸ τῶν οἰκείων ἀπελθεῖν, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ὑπὸ τῶν ἀπαντώντων καταγελασθῆναι, ἐν παντὶ ἧττον ἔχειν ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν δίκῃ, πραγματίῳ παντί. ταῦτα ἐπίσκεψαι, εἰ θέλεις ἀντικαταλλάξασθαι τούτων ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν. εἰ δὲ μή, μὴ προσάγαγε, μὴ ὡς τὰ παιδία. νῦν φιλόσοφος, ὕστερον δὲ τελώνης, εἶτα ῥήτωρ, εἶτα ἐπίτροπος καίσαρος. γένη ταῦτα οὐ συμφωνεῖ. ἕνα σε δεῖ ἄνθρωπον ὄντα, ἀγαθὸν, ἢ κακὸν εἶναι, ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ αὐτοῦ, ἢ τὰ ἐκτὸς, ἢ περὶ τὰ ἔσω φιλοτεχνεῖν, ἢ περὶ τὰ ἔξω, τουτέστιν, ἢ φιλοσόφου τάξιν ἐπέχειν, ἢ ἰδιώτου.

CAPVT XXXVI.

HOmo in primis perpende rem qualis ſit, & poſteà tui ipſius naturam pernoſce, An poſſis portare. Vis certare? in Quinquertio, vis in Palæſtrâ luctari: Vide tua brachia, crura illa proba; alius quippe ad aliud natus eſt: putas ne, quod iſta faciens æque poteris comedere, æque bibere, æque indignari, & æque moroſum te præbere? vigilare oportet, laborare, è domeſticis abſcedere, à puerulo contemni, ab omnibus illud, in omnibus inferiorem eſſe, in honore, in primatu, in iudicio, & in qualibet minimâ re. Iſta perpende, ſi velis pro hiſce omnibus commutare impaſſibilitatem, libertatem, imperturbabilitatem; ſin minùs, ne accedas; ne vti pueruli; nunc Philoſophus, deindè Publicanus, poſtâ Rhetor, deindè Cæſaris Procurator. Iſta genera non conſonant: cum vnus ſis homo, oportet, ut ſis bonus, aut malus: tu debes aut principatum animi perficere ſuis ipſius viribus, aut exteriora; vel interiorum, vel exteriorum ſtudio vacare; vel tandem Philoſophi locum tenere, vel Idiotæ.

CAP-

CAPV XXXVII.

Officia commenſurantur vt plurimùm habitâ ratione naturalium congruitatum. Pater eſt; ſuadet, vt eius geratur cura, vt ipſi cedatur in omnibus, vtque toleretur, ſi obiurgarit ac verberarit. Sed Pater malus eſt: nunquid igitur bono Patri adiunctus es à natura? non, ſed Patri. Frater iniuriam infert: tu itaque obſerua tuum erga ipſũ modum ratione temperatum, neque attendas id, quod ille agit, ſed quid pro te tuum requirit propoſitum, dum ea, quæ naturæ congruunt effeceris: te namque alius minimè lædet, niſi volueris; tunc enim læſus eris, quando exiſtimaueris te lædi: ſic igitur ad inuenies, quod debetur officium à ciue, à vicino, à Duce militari, ſi naturales congruitates aſſueſias perpendere.

ΚΕΦΑΛ. λζ΄.

Τὰ καθήκοντα ὡς ἐπίπαν ταῖς χέσεσι παραμετρεῖται. πατήρ ἐστιν, ὑπαγορεύεται ἐπιμελεῖσθαι, παραχωρεῖν ἁπάντων, ἀνέχεσθαι λοιδοροῦντος, παίοντος. ἀλλὰ κακὸς ὁ πατήρ ἐστι; μή τι οὖν πρὸς ἀγαθὸν πατέρα φύσει ᾠκειώθης; ἀλλὰ πρὸς πατέρα. ὁ ἀδελφὸς ἀδικεῖ; τήρει τοιγαροῦν τὴν τάξιν τὴν σαυτοῦ πρὸς αὐτόν. μὴ δὲ σκόπει τὸ τί ἐκεῖνος ποιεῖ, ἀλλὰ τί σοι ποιήσαντι κατὰ φύσιν ἕξει ἡ σὴ προαίρεσις. σὲ γὰρ ἄλλος οὐ βλάψει εἰ μὴ θέλεις. τότε δὲ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολάβῃς βλάπτεσθαι. οὕτως οὖν ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ στρατηγοῦ τὸ καθῆκον ἐξευρήσεις, ἂν τὰς χέσεις ἐθίζῃ θεωρεῖν.

CAPVT XXXVIII.

Circa Pietatem erga Deum, ſcias, quod maximè præcipuum illud eſt, rectè nimirum de ipſo ſentire, vt ipſe eſt, vtque benè, ac iuſtè vniuerſa gubernat; ſeque ipſum in eo ſubiicere, nempè in obediendo illi, eumque ſequendo, ac omnibus, quæ contingunt, cedendo, & lubenter ſectando, ac ſi optimâ cum deliberatione perficiantur: ſic enim neque de Deo conquereris vnquã, nec eum incuſabis, vti ab eodem neglectus: aliter verò hoc poſſibile non eſt, niſi abſtineas ijs, quæ non in nobis ſunt, conſtituaſquè bonum, & malum in hiſce ſolum, quæ ſunt in nobis: quod ſi quid illorum putaueris bonum, aut malum, neceſſum penitus erit, quando excideris ab his, quæ volueris, aut in ea

ΚΕΦΑΛ. λη΄.

Τῆς περὶ Θεὸν εὐσεβείας. ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνο ἐστὶν ὀρθὰς ὑπολήψεις περὶ αὐτοῦ ἔχειν ὡς αὐτοῦ, καὶ διοικοῦντος ὅλα καλῶς. καὶ δικαίως, καὶ αὐτὸν εἰς τοῦτο καταπεταχέναι εἰς τὸ πείθεσθαι αὐτῷ, καὶ ἕπεσθαι καὶ εἴκειν πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα ὡς ἐπὶ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις. οὕτω γὰρ οὔτε μέμψῃ τὸν Θεόν ποτέ, οὔτε ἐγκαλέσεις ὡς ἀμελούμενος. ἄλλως δὲ τοῦτο οὐχ οἷόν τε ἐὰν μὴ ἀποστῇς τῶν οὐκ ἐφ ἡμῖν, καὶ ἐν τοῖς ἐφ ἡμῖν μόνοις θῇς τὸ ἀγαθὸν, καὶ τὸ κακὸν, ὥσπερ

quæ

ὧν τὰν γένῃ· ἐκείνων ὑπολαβὼν ἀγαθὸν, ἢ κακὸν πᾶσα ἀνάγκη, ὅταν ἀποτυγχάνεις ὧν θέλεις, ἢ περιπίπτεις οἷς οὐκ ἐθέλεις, μέμφεσθαί σε, καὶ μισεῖν τοὺς αἰτίους. πέφυκε γὰρ πρὸς πᾶν ζῶον τὰ μὲν βλαβερὰ φαινόμενα, καὶ αἴτια αὐτῶν φεύγειν, καὶ ἐκτρέπεσθαι, τὰ δὲ ὠφέλιμα, καὶ τὰ αἴτια αὐτῶν μετιέναι, καὶ τεθαυμακέναι. ἀμήχανον οὖν βλάπτεσθαι τινὰ οἰόμενον χαίρειν τῷ δοκοῦντι βλάπτειν, ὥσπερ καὶ τὸ αὐτῇ τῇ βλάβῃ χαίρειν ἀδύνατον. ἔνθεν καὶ πατὴρ ὑπὸ τοῦ υἱοῦ λοιδορεῖται, ὅταν τῶν δοκούντων ἀγαθῶν εἶναι τῷ παιδὶ μὴ μεταδιδῷ, καὶ πολ[illegible] ἀφρόνων τοῦτο ἐποίησε τὸ ἀγαθὸν οἴεσθαι τὴν τυραννίδα. διὰ τοῦτο καὶ γεωργὸς λοιδορεῖ τὸν Θεόν. διὰ τοῦτο ὁ ναύτης, διὰ τοῦτο ὁ ἔμπορος, ἐπὶ τούτῳ οἱ τὰς γυναῖκας ἀπολύοντες, καὶ τὰ τέκνα. ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ καὶ τὸ εὐσεβὲς, ὥστε ὅστις τοῦ ὀρέγεσθαι ἐπιμελεῖται ὡς δεῖ καὶ ἐκκλίνειν, ἐν τούτῳ, καὶ εὐσεβείας ἐπιμελεῖται. προσήκει κατὰ ἀλήθειαν ἅπτεσθαι ἔργου, καθαρῶς, καὶ μὴ ἐπισεσυρμένως, μηδὲ ἀμελῶς, μηδέ γε αἰσχροκερδῶς, μηδὲ ὑπὲρ δύναμιν.

quæ nolueris, incideris, vt de ijs conqueraris, qui auctores fuere, eoſque odio habeas. Innatum eſt quippe omni animanti, vt ea, quæ nocitura videntur, eorumque cauſſas euitet, ac auerſetur, vtilia verò, eorumque cauſas aſſequi contendat, & admiretur. eſt igitur impoſſibile, quod aliquis lædatur à re, quæ videtur, quod lædit, ſi ipſe putat, quod lætificat; ſicut etiam fieri non poteſt, vt lætificetur ab eo, quod lædit. hinc etiam pater à filio contumeliā afficitur, quando ea, quæ bona videntur filio, non ipſi impertiatur. ſimiliter quibuſdam imprudentibus id in cauſa fuit, vt quod bona eſſet tyrannis exiſtimarent: ideò agricola quoquè Deum conuitio carpit; ideò nauta, ideò mercator; ideò & qui vxores dimittunt, ac filios. Ita vt is, cui appetere curæ ſit & declinare illa, quæ decet, in hoc etiam ſatagat curans Pietatem: opus igitur aggredi conuenit verè, ac purè, nec incōpoſitè, neque negligenter, neque ſordidum ob lucrum, nec ſuprà vires.

ΚΕΦΑΛ. λθ'.

Τάξον τινὰ ἤδη χαρακτῆρα σαυτῷ, καὶ τύπον, ὃν φυλάξεις ἐπί τε σαυτοῦ ὢν, καὶ ἀνθρώποις ἐντυγχάνων.

CAPVT XXXIX.

Conſtitue tibi ipſi quamdā modi formam & exemplar, quod obſerues, tùm quàndo tecum eris, tum quando cum hominibus loqueris.

ΚΕΦΑΛ. μ'.

Σιωπὴ τὸ πολὺ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα, καὶ δι᾽ ὀλίγων, σπανίως δέ ποτε καιροῦ παρακαλοῦντος ἐπὶ τὸ λέγειν ἤ-

CAPVT XL.

Silentium vt plurimum ſit; vel neceſſaria diſſerantur, & paucis verbis, ſi quando verò tēpeſtiua occaſio aduocarit, rarò ad

eſſan-

eſſandum procedamus, verum non de vlla re vulgari, non de gladiatorum ludis, non de equorum decurſionibus, non de Athletis, non de cibis, aut potibus, vel de quibus cumquè rebus vbilibet paſſim enarratis; potiſſimum verò non de homine reprehendente, vel dilaudante, vel comparante

ξομένων· ἀλλὰ περὶ μηδενὸς τῶν τυχόντων, μὴ περὶ μονομαχιῶν, μὴ περὶ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ βρωμάτων, ἢ πομάτων, ἢ τῶν ἑκασταχοῦ λεγομένων, μάλιστα δὲ μὴ περὶ ἀνθρώπων ψέγοντα, ἢ ἐπαινοῦντα, ἢ συγκρίνοντα.

CAPVT XLI.

SI ergo potueris transfer tuos ſermones, & eorum, qui tecum ſunt, ad id, quod decet, ſi verò apud extraneæ gentis homines fueris interceptus, tace.

ΚΕΦΑΛ. μα'.

ΕΑ'ν μὲν οὖν οἷός τε ᾖ, μετάγε σοῦ τοὺς λόγους, καὶ σοῦ τῶν συνόντων ἐπὶ τὸ προσῆκον. εἰ δὲ ἐν ἀλλοφύλοις ἀποληφθεὶς τύχοις, σιώπα.

CAPVT XLII.

RIſus ne multus ſit, neque diſſolutus, neque ob multa.

ΚΕΦΑΛ. μβ'.

ΓΕ'λως μὴ πολὺς ἔστω, μηδὲ ἀνειμένος, μηδὲ ἐπὶ πολλοῖς.

CAPVT XLIII.

IVſiurandum recuſa; ſi potes quidem, ad omnia, ſin ſecus, quantum fieri poteſt.

ΚΕΦΑΛ. μγ'.

ὌΡκον παραίτησαι, εἰ μὲν οἷόν τε εἰς ἅπαν, εἰ δὲ μὴ ἐκ τῶν ἐνόντων.

CAPVT XLIV

EPulas externas, & populares reiice, ſed, ſi tempus aliquando tulerit, à te adhibeatur attentio, ne forte ſubterlabaris in vulgarem conſuetudinem: ſcias enim, quod ſi ſodalis ſit pollutus, neceſſum eſt, eum, qui cum illo conuerſatur, ſimul pollui, quamuis ipſe purus extiterit.

ΚΕΦΑΛ. μδ'

Ἑστιάσεις τὰς ἔξω, καὶ ἰδιωτικὰς διακρούου. ἐὰν δέ ποτε γίνηται καιρὸς ἐντετάσθω σοι ἡ προσοχὴ μή ποτε ἄρα ὑπορρυῇς εἰς ἰδιωτισμόν. ἴσθι γὰρ ὅτι ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συνανατριβόμενον αὐτῷ συμμολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ὢν τύχῃ καθαρός.

ΚΕΦΑΛ. με'.

Τὰ περὶ τὸ σῶμα μέχρι τῆς χρείας ψιλῆς παραλάμβανε, οἷον τροφὰς, πόμα, ἀμπεχόνην, οἰκετίαν. τὰ δὲ πρὸς ἡδονὴν, ἢ δόξαν, ἢ τρυφὴν, ἅπαντα περίγραφε.

CAPVT XLV.

QVAE corporis ſunt ſume ad exilem tantùm vſum, velut alimenta, potionem, amictum, domicilium, famulitium; quæ verò ad voluptatem, aut gloriam, aut luxuriam ſunt, omnia dele.

ΚΕΦΑΛ. μς'.

Ἐάν τίς σοι ἀπαγγέλλῃ ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα, ἀλλ' ἀποκρίνου, διότι ἠγνόει τὰ ἄλλα τὰ προσόντα μοι κακά. ἐπεὶ οὐ κἂν ταῦτα μόνα ἔλεγεν.

CAPVT XLVI.

SI quis tibi renũtiauerit, quod quiſpiam de te malè dicit; ne excuſes ea, quæ de te dicta ſunt, ſed reſponde, quod ignorat alia, quæ mihi inſunt mala; alioquin non ſola hæc diceret.

ΚΕΦΑΛ. μζ'.

Οὐ καλὸν τὸ παριέναι εἰς θέατρον, εἰς ἀκρόασιν τινῶν, μὴ εἰκῆ, μήτε ῥᾳδίως πάριθι. παρὼν δὲ τὸ σεμνὸν, καὶ τὸ εὐσταθὲς, καὶ ἅμα ἀνεπαχθὲς φύλαττε.

CAPVT XLVII.

NOn eſt honeſtum in Theatrum prodire, neque ad aliquos audiendos temerè, aut facilè deuenias; ſin autem acceſſeris, cuſtodi grauitatem, & conſtantiam, ſimulque caue, ne alicui ſis oneroſus.

ΚΕΦΑΛ. μη'.

Ὅταν τινὶ μέλλῃς συμβάλλειν, μάλιστα τῶν ἐν ὑπεροχῇ δοκούντων, πρόβαλε σεαυτῷ τί ἂν ἐποίησέ τις τῶν ἐναρέτων, καὶ οὐκ ἀπορήσεις τοῦ χρήσασθαι προσηκόντως τῷ ἐμπεσόντι.

CAPVT XLVIII.

CVM futurum ſit vt occurras alicui eorum, maximè qui ob eminentiam ſunt in aliqua exiſtimatione, propone tibi ipſi quidnam fecerit aliquis ex viris virtute prædîtis, ſicque non indigebis modo, quo decenter te geras in re occurrente.

ΚΕΦΑΛ. μθ'.

Ὅταν φοιτᾷς πρός τινα τῶν μέγα δυναμένων, πρόβαλε σεαυτῷ, ὅτι οὐχ εὑρήσεις αὐτὸν ἔνδον,

CAPVT XLIX.

QVando ad aliquem ventitas ex ijs, qui magna præſtant poteſtate, tibi ipſi

propone, quod eum non inuenies intus; quod excludêris, quod tibi fores excutientur, quod is de te non curabit; ſiquè ipſos conuenire fuerit conſentaneum, accedens tolera, quæ fiunt, & nuſquam dicas ipſe ad te ipſum; ego non tanti æſtimor; id enim plebeium eſt, ac tritum iam, & vulgatum quoad exteriora.

ὅτι ἀποκλεισθήσῃ, ὅτι ἐντιναχθήσονταί σοι αἱ θύραι, ὅτι οὐ φροντιεῖ σου, κἂν σὺν αὐτοῖς ἐλθεῖν καθήκῃ, ἐλθὼν φέρε τὰ γενόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς ἑαυτόν, ὅτι οὐκ ἦν τοσούτου. ἰδιωτικὸν γὰρ, καὶ διαβεβλημένον πρὸς τὰ ἐκτός.

CAPVT L.

IN colloquijs familiaribus abſit, vt plerumque, ac immodicè aliqua è tuis operibus, ac periculis commemores; nec enim alijs eſt dulce, quæ tibi contigerunt audire frequenter, vt ſuaue eſt tibi tuorum periculorum meminiſſe.

ΚΕΦΑΛ. ν'.

ἘΝ ταῖς ὁμιλίαις ἀπέστω τὸ τῶν αὑτοῦ τινα ἔργων, καὶ κινδύνων ἐπὶ πολὺ, καὶ ἀμέτρως μεμνῆσθαι, οὐ γὰρ ὡς σοι ἡδύ ἐστι τὸ τῶν σῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι τῶν σοὶ συμβεβηκότων πυκνῶς ἀκούειν.

CAPVT LI.

SED etiam abſit, vt riſum commoueas: ille quippe modus in vulgarem conſuetudinem procliuis eſt; & valdè idoneus ad proximorum reuerentiam tibi debitam diminuendam.

ΚΕΦΑΛ. να'.

ἈΠέστω δὲ καὶ τὸ γέλωτα κινεῖν, ὀλισθηρὸς γὰρ ὁ τρόπος εἰς ἰδιωτικὸν, καὶ μάλα ἱκανὸς τὴν αἰδῶ τὴν πρὸς σὲ τῶν πλησίον ἀνιέναι.

CAPVT LII.

PEriculoſum eſt etiam in turpiloquium prolabi: quando itaque aliquid huiuſmodi contigerit, ſi aderit opportunitas, increpa apppropinquãtem, ſin autẽ, conticendo, ac erubeſcendo. vultumque tetricum gerendo oſtende, quod grauiter fers talem ſermonem.

ΚΕΦΑΛ νβ'.

ἘΠισφαλὲς δὲ καὶ τὸ εἰς αἰσχρολογίαν ἐμπεσεῖν, ὅταν οὖν συμβῇ τι τοιοῦτον ἐὰν μὲν εὔκαιρον ᾖ, καὶ ἐπιπλῆξαι τῷ προσελθόντι. εἰ δὲ μὴ, τῷ σὲ ἀποσιωπῆσαι, καὶ ἐρυθριάσαι, καὶ σκυθρωπάσαι, δῆλος γίνου δυσχεραίνων τῷ λόγῳ.

CAPVT LIII.

QVando cuiuſpiam Voluptatis imaginatio tibi ſuperuenerit, cuſtodi te

ΚΕΦΑΛ. νγ'.

ὍΤαν ἡδονῆς τινὸς φαντασίαν λάβῃς, καθάπερ ἐπὶ τῶν ἄλλων, φύλασσε σεαυτὸν μὴ συναρπα-

ipſum

ἀθῇς ὑπ' αὐτῆς, ἀλλὰ ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ ἀναβολήν τινα, παρὰ σεαυτοῦ λάβε, ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὅντε ἀπήλαυσας τῆς ἡδονῆς. καὶ καθ' ὃν ἀπολαύσας ὕστερον μετανοεῖς, καὶ αὐτὸς σεαυτῷ λοιδορεῖ, καὶ τούτοις ἀντίθες, ὅπως ἀποσχόμενος χαιρήσεις καὶ ἐπαινέσεις αὐτὸς σεαυτόν, ἐὰν δὲ ἄκαιρός σοι φανῇ ἅψασθαι τοῦ ἔργου, πρόσεχε μὴ ἡττήσῃ σε τὸ προσηνὲς αὐτοῦ, καὶ ἡδὺ, καὶ ἐπαγωγὸν, ἀλλ' ἀντίθει πόσον ἄμεινόν ἐστι τὸ συνειδέναι σεαυτῷ ταύτην τὴν νίκην νενικηκότι.

ipſum, vt in alijs, ne ab ea corripiaris, ſed res te expectet, & apud te ipſum quandam vtere dilatione; memento deindè vtriuſque temporis, tum eius, quo voluptatem iam percepiſti, tùm illius, quo, poſtquam voluptatem perceperis, demùm te pœnitebit, atque ipſe tibi exprobra, & iſtis oppone hoc, ſcilicèt quantoperè, ſi abſtinueris, gaudebis, & ipſe laudabis teipſū; at ſi opportunum videatur opus aggredi, ne, quod in eo iucundum eſt, & dulcedo, atque illecebra, te vincat, ſed oppone hoc, quanto nimirùm erit melius tibi ipſi conſcium eſſe, quod talem reportaſti Victoriam.

ΚΕΦΑΛ. νδ'

Ὅταν διαγνοὺς, ὅτι ποιητέον σοι ἐστὶ ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πράσσων αὐτὸ, κἂν ἀλλοῖόν τι οἱ πολλοὶ περὶ αὐτοῦ μέλλωσιν ὑπολαμβάνειν. εἰ μὲν γὰρ οὐκ ὀρθῶς ποιεῖς αὐτὸ τὸ ἔργον, φεῦγε, εἰ δὲ ὀρθῶς, τί φοβῇ τοὺς ἐπιπλήξοντας οὐκ ὀρθῶς.

CAPVT LIV.

Qvando facies aliquid, cum ſtatueris, quod tibi faciendum ſit, ne vnquam fugias videri, dum illud facis; etſi multi de ipſo exiſtimaturi ſint diuerſum quippiam; ſi enim tale opus minimè rectè facis, fuge; ſi verò rectè, ecquid times eos, qui te non rectè culpabunt?

ΚΕΦΑΛ. νε'.

Πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν, πρὸς τὸ συμπεπλεγμένον δὲ ἀπαξίαν, οὕτω καὶ τὸ τὴν μείζω μερίδα ἐκλέξασθαι πρὸς μὲν τὸ σῶμα ἐχέτω ἀξίαν, πρὸς δὲ κοινωνίαν ἐν ἑστιάσει οἵαν δεῖ φυλάξαι ἀπαξίαν ἔχει, ὅταν οὖν συνεσθίῃς ἑτέρῳ, μὴ μόνον τὴν πρὸς τὸ σῶμα ἀξίαν τῶν παρακειμένων ὅρα, ἀλλὰ καὶ τὴν πρὸς τὸν ἑστιάτορα, οἵαν δεῖ φυλαχθῆναι.

CAPVT LV.

Valdè dignum habeas id, quod à te diſiunctum eſt; tibi vero coniunctum in nullo pretio teneas. Sic electio maioris portionis reſpectu corporis habeat quidem meritum condignū, ſed reſpectu cōmunionis in conuiuio, quid ſcilicèt oportet ſeruare, minùs habet meritum, ſeu dignitatem. Quando igitur cum ſodali conuiuaris, non ſolùm reſpicias dignitatem, quæ ad corpus attinet, appoſitorum, ſed eam conſidera dignitatem, quam habere debet conuiuator, quid nimirùm oportet vt ſeruetur.

CAPVT LVI.

SI aliquam ſuprà vires ſuſceperis perſonam, & in hac indecorè te geſſiſti, tùm dereliquiſti id etiam, quod complere potuiſſes.

ΚΕΦΑΛ. νϛ'.

Ἐὰν ὑπὲρ δύναμιν ἀναλάβῃς τὶ πρόσωπον, καὶ ἐν τούτῳ ἠσχημόνησας καὶ ὃ ἠδύνασο ἐκπληρῶσαι, τοῦτο κατέλιπες.

CAPVT LVII.

Quemadmodum inter ambulandum attendis, ne inſilias clauo, aut ne tuum pedẽ diſtorqueas, ita attende, ne tui animi Principatum lædas; atque hoc ſi vnoquoque in opere obſeruabimus, ſecuriùs vnumquodque opus aggrediemur.

ΚΕΦΑΛ. νζ'.

Ἐν τῷ περιπατεῖν καθάπερ προσέχεις μὴ ἐπιβῇς ἥλῳ, ἢ στρέψῃς τὸν πόδα σου, οὕτω πρόσεχε μὴ καὶ τὸ ἡγεμονικὸν βλάβῃς τὸ σεαυτοῦ· καὶ τοῦτο ἐὰν ἐφ' ἑκάστου ἔργου παραφυλάξωμεν, ἀσφαλέστερον ἁψόμεθα ἑκάστου ἔργου.

CAPVT LVIII.

MEnſura poſſeſſionis eſt corpus vnius cuiuſque, ſicuti pes calceamenti; ſi igitur in hoc ſteteris, menſuram ſeruabis; ſin pertranſieris, iam veluti per præceps ferri neceſſum eſt, vt etiam in calceamento fit ſi pedem illud ſuperexceſſerit, ſiue deauratus ſit calceus, ſiuè purpureus, ſiuè interpunctus: eius enim, quod ſemel ſuprà menſuram eſt, terminus nullus eſt.

ΚΕΦΑΛ. νη'.

Μέτρον κτήσεως τὸ σῶμα ἑκάστου ὡς ὁ ποὺς ὑποδήματος. ἐὰν ἐπὶ τούτου στῇς, φυλάξεις τὸ μέτρον, ἐὰν δὲ ὑπερβῇς ὡς κατὰ κρημνοῦ λοιπὸν ἀνάγκη φέρεσθαι, καθάπερ, καὶ ἐπὶ τοῦ ὑποδήματος, ἐὰν ὑπερβῇ τὸν πόδα, γίνεται. εἴτε κατάχρυσον ὑπόδημα, εἴτε πορφυροῦν, εἴτε κεντητόν. τοῦ γὰρ ἅπαξ ὑπὲρ τὸ μέτρον ὅρος οὐδείς ἐστιν.

CAPVT LIX.

FOeminæ ſtatim inde ab annis quatuordecim vocantur à viris Dominæ, videntes igitur, quod nihil aliud ipſis ſupereſt, quàm ſolummodo cubare ſimul cum viris, incipiunt formam excolere, & in hoc ſpes omnes habere. dignum eſt itaquè, vt ſciant, quod non aliâ vllâ de

ΚΕΦΑΛ. νθ'.

Αἱ γυναῖκες εὐθὺς ἀπὸ τέσσαρες καὶ δέκα ἐτῶν ὑπὸ τῶν ἀνδρῶν κύριαι καλοῦνται. τοιγαροῦν ὁρῶσαι ὅτι ἄλλο μὲν οὐδὲν αὐταῖς πρόσεστι, μόνον δὲ συγκοιμᾶσθαι τοῖς ἀνδράσιν, ἄρχονται καλλωπίζεσθαι, κἀν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. προσέχειν οὖν ἄξιον ἵνα αἰσθάνωνται, ὅτι ἐπ' οὐδενὶ ἄλλῳ τιμῶνται, ἢ τῷ κόσμιαι φαίνεσθαι, καὶ αἰδήμονες ἐν σωφροσύνῃ.

causâ

cauſſâ honore afficiuntur, quàm eo quod apparent ornatæ, ac verecundæ in temperantiâ.

ΚΕΦΑΛ. ξ'.

Ἀφυΐας σημεῖον τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα, οἷον ἐπὶ πολὺ γυμνάζεσθαι, ἢ ἐπὶ πολὺ ἐσθίειν, ἢ ἐπὶ πολὺ πίνειν, ἢ ἐπὶ πολὺ ἀποπατεῖν. ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ ποιητέον, περὶ δὲ τὴν γνώμην ἔστω ἡ πᾶσα ἐπιστροφή.

CAPVT LX.

Hebetis ingenij ſignum eſt in his, quæ ad corpus pertinent penitùs verſari, velut exerceri vt plurimùm, aut multùm comed re, aut plus bibere, aut ventrem frequentiùs exonerare, ſed ea quidem peragenda ſunt obiter, omnis verò cura ſit circa mentem.

ΚΕΦΑΛ. ξα'.

Ὅταν τίς κακῶς τὶ ποιῇ, ἢ κακῶς σε λέγῃ, μέμνησο ὅτι καθήκειν αὐτῷ οἰόμενος ποιεῖ, ἢ λέγει. οὐχ οἷόν τε οὖν ἀκολουθεῖν αὐτὸν τῷ σοὶ φαινομένῳ, ἀλλὰ τῷ αὐτῷ, ὥστε εἰ κακῶς αὐτῷ φαίνεται, ἐκεῖνος βέβλαπται, ὅστις ὥσπερ καὶ ἐξηπάτηται. καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἐάν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βέβλαπται, ἀλλ' ὁ ἐξαπατηθείς. ἀπὸ τούτων ὁρμώμενος πρᾴως ἕξεις πρὸς τὸν λοιδοροῦντα. ἐπιφθέγγου γὰρ ἐφ' ἑκάστου, ὅτι ἔδοξεν αὐτῷ.

CAPVT LXI.

Qvando quiſpiam malè quid fecerit, aut maledixerit tibi, memento, quod facit, aut dicit, putans ſibi conueniens eſſe; fieri verò non poteſt, vt ipſe ſequatur quidquid tibi videtur, ſed quod ſibi; itaq; ſi malè ipſi videatur, ille læſus eſt, vtpotè qui fuit deceptus: ſi quis etenim veritatem cõnexam fuerit opinatus eſſe mendacium, nõ læſum eſt cõnexum (ſcilicèt veritatis) ſed is, qui fuit deceptus. Tu ergo incitatus ab his, manſueto eris animo ergà conuitiantem; vnde in re qualibet quidquid ipſi fuerit viſum reſponde.

ΚΕΦΑΛ ξβ'.

Πᾶν πρᾶγμα δύο ἔχει λαβάς, τὴν μὲν ἀφόρητον, τὴν δὲ φορητήν. ἐὰν οὖν ἀδελφός σε ἀδικῇ, ἐντεῦθεν αὐτὸ μὴ λάμβανε, ὅτι ἀδικεῖ. αὕτη γὰρ ἡ λαβή ἐστιν αὐτοῦ, οὐ φορητή. ἀλλὰ ἐκεῖθεν μᾶλλον ὅτι ἀδελφός, ὅτι σύντροφος, καὶ λήψῃ αὐτὸ καθὸ φορητόν ἐστιν.

CAPVT LXII.

Qvæcumque res duas habet anſas, hanc quidem, quæ geſtari poteſt, alteram verò, quæ portatilis non eſt; ſi ergò frater tibi inferat iniuriam, illinc ne prehendas hoc, quod nimirùm fecit iniuriam; hæc enim anſa eius eſt, quæ geſtari non poteſt; verùm inde potiùs, quòd frater, quod ſodalis, & hoc apprehendes, vtpote, quod eſt portatile.

CAPVT LXIII.

Hviuſcemodi ſermones ſunt inordinati: Ego te locupletior ſum, igitur ego te melior: illi verò magis ordinati: ego te locupletior, ergò mea poſſeſſio tuâ potior eſt; ego eloquentior te, mea ergò dictio tuâ præſtantior: Tù autem nec poſſeſſio es, neque dictio.

ΚΕΦΑΛ. ξγ΄

Οὗτοι οἱ λόγοι ἀσύντακτοι, ἐγώ σου πλουσιώτερος, ἐγὼ ἄρα σου κρείττων. ἐγώ σου λογιώτερος, ἐγώ σου ἄρα κρείττων, ἐκεῖνοι δὲ μᾶλλον συντακτικοί, ἐγώ σου πλουσιώτερος, ἡ ἐμὴ ἄρα κτῆσις κρείττων τῆς σῆς. ἐγώ σου λογιώτερος, ἡ ἐμὴ ἄρα λέξις τῆς σῆς κρείττων, σὺ δέ γε οὔτε κτῆσις εἶ οὔτε λέξις.

CAPVT LXIV.

Lauatur quis citò, ne dixeris, quod malè, ſed quod celeriter; bibit aliquis multum vini, ne dixeris, quod malè, verùm quod multum; priuſquàm enim rem dignoueris, vnde ſcis ſi malè? ſic non continget tibi aſſequi aliorum imaginationes cõprehenſioni ſubiectas, aut in eamdem aliorum ſententiam deſcendere.

ΚΕΦΑΛ. ξδ΄.

Λούεταί τις ταχέως, μὴ εἴπῃς ὅτι κακῶς, ἀλλ' ὅτι ταχέως· πίνει τις πολὺν οἶνον, μὴ εἴπῃς ὅτι κακῶς, ἀλλ' ὅτι πολύν. πρὶν γὰρ διαγνῶναι τὸ δόγμα, πόθεν οἶσθα εἰ κακῶς; οὕτως οὐ συμβήσεταί σοι ἄλλων μὲν φαντασίας καταληπτικὰς λαμβάνειν, ἄλλοις δὲ συγκατατίθεσθαι.

CAPVT LXV.

Nvllibi Philoſophum teipſum dixeris, nec apud imperitos plebeios multùm garrias de ſpeculationibus; velùt, in conuiuio ne dicas quomodo comedere oportet, ſed comede vt decet, memor enim eſto, quod ita ſuſtulerunt vndecumque oſtentationem Philoſophi; ita vt ad ipſos accederent qui Philoſophi ab ijs inſtitui volebant, at illi depellebant eos: ſic perferebant neglecti.

ΚΕΦΑΛ. ξε΄.

Μηδαμοῦ σεαυτὸν εἴπῃς φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων. οἷον ἐν συμποσίῳ, μὴ λέγε πῶς δεῖ ἐσθίειν, ἀλλ' ἔσθιε ὡς δεῖ, μέμνησο γὰρ ὅτι οὕτως ἀφῃρήκεισαν οἱ φιλόσοφοι πανταχόθεν τὸ ἐπιδεικτικὸν ὥστε ἤρχοντο πρὸς αὐτοὺς βουλόμενοι ὑπ' αὐτῶν φιλόσοφοι συσταθῆναι, κᾀκεῖνοι ἀπῆγαγον αὐτούς. οὕτως ἠνείχοντο παρορώμενοι.

CAPVT LXVI.

Itaquè quamuis apud plebeios ſermo inciderit de aliqua ſpecula-

ΚΕΦΑΛ. ξϛ΄.

Ὥστε κἂν περὶ θεωρήματός τινος ἐμπέσῃ λόγος ἐν ἰδιώταις, σιώπα τὸ πολύ. μέγας

γὰρ ὁ κίνδυνος εὐθὺς ἐμέσαι ἃ οὐκ ἔπεψας, καὶ ὅταν εἴπῃ σοι τὶς ὅτι οὐδὲν οἶδας, καὶ σὺ μὴ δηχθῇς. τότε ἴσθι ὅτι ἄρχῃ τοῦ ἔργου. ἐπεὶ καὶ τὰ πρόβατα οὐ χόρτον φέροντα τοῖς ποιμέσιν ἐπιδεικνύει πόσον ἔφαγεν, ἀλλὰ τὴν νομὴν ἔσω πέψαντα, ἔριον ἔξω φέρει; καὶ γάλακτι, καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλὰ τὰ ἀπ' αὐτῶν πεφθέντα ἔργα.

culatione, ſile vt plurimùm; magnum nempè periculum eſt ſtatim euomere quæ non concoxiſti; & quando tibi dicet quiſpiam, quod nihil ſcis, & tu non oſtenderis, ſcito tunc, quod Principium operis eſt; quandoquidem oues non oſtendunt paſtoribus quantum comederint, ſi h rbam proferant, ſed lanâ, ac lacte producunt foris pabulum, cum intùs concoxerint: Itaque tu quoque ne citò imperitis ſpeculationes exhibeas, ſed opera ab ijs (ſcilicèt ſpeculationibus) concocta.

ΚΕΦΑΛ. ξζ'.

Ὅταν εὐτελῶς εἶ ἡρμοσμένος τὰ κατὰ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ. μηδ' ἂν ὕδωρ πίνῃς, ἐκ πάσης ἀφορμῆς λέγε, ὅτι ὕδωρ πίνεις, κἂν ἀσκῆσαί ποτε πρὸς πόνον θελήσῃς σαυτῷ καὶ μὴ τοῖς ἔξω. μὴ τοὺς ἀνδριάντας περιλάμβανε, ἀλλὰ διψῶν ποτε σφοδρῶς, ἐπίσπασαι ψυχροῦ ὕδατος, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς.

CAPVT LXVII.

Quando tenuiter aptaueris ea, quæ ad corpus pertinent, ne glorieris ſuper hoc, & ſi ex quauis occaſione aquam bibas, ne dicas, quod aquam bibis, cumque ad labores exerceri volueris, tibi ipſi, & non his, qui ſunt exteriùs id notum fac; ne amplectaris ſtatuas, ſed quandoque vehementer ſitiens, hauri frigidam aquam, & expue, neminiq; dixeris.

ΚΕΦΑΛ. ξη'.

Ἰδιώτου στάσις, καὶ χαρακτήρ, οὐδεμίαν ποτὲ ἐξ ἑαυτοῦ προσδοκᾷ ὠφέλειαν, ἢ βλάβην, ἀλλ' ἀπὸ τῶν ἔξω. φιλοσόφου στάσις. καὶ χαρακτήρ πᾶσαν ὠφέλειαν, καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ.

CAPVT LXVIII.

Plebeij, ſiuè imperiti ſtatus, & nota nullam vnquam ex ſe ipſo expectat vtilitatem, aut noxam, ſed ab his, quæ ſunt extrà. Philoſophi conditio, & indicium omnem vtilitatem, & noxam à ſe ipſo expectat.

ΚΕΦΑΛ. ξθ'.

Σημεῖον προκόπτοντος οὐδένα ψέγει προχείρως, οὐδένα μέμφεται, οὐδενὶ ἐγκαλεῖ, κἄν τις αὐτὸν ἐπαινῇ, καταγελᾷ τοῦ ἐπαινοῦντος αὐτὸν παρ' ἑαυτῷ, κἂν

CAPVT LXIX.

Signum proficientis neminem reprehendit confeſtim, neminem laudat, de nemine conqueritur, accuſat neminem, & ſi quis ipſum dilaudet, deridet apud

apud ſe ipſum dilaudatorem, & ſi quis reprehendat, non ſe defendit; circumit verò quemadmodũ infirmi, qui cauent ne quid ſtabilium commoueant, antequam reſumant ſoliditatem.

ψέγῃ, οὐκ ἀπολογεῖται. περίεισι δὲ καθάπερ οἱ ἄῤῥωστοι, εὐλαβούμενός τι κινῆσαι τῶν καθισταμένων πρὶν πῆξιν λαβεῖν.

CAPVT LXX.

Qvod ſi quis de te quid dixerit ne aduertas, id enim nondum eſt tuum.

ΚΕΦΑΛ. ο'.

ΟΤΙ δ' ἂν ἐρῇ τις περὶ σοῦ, μὴ ἐπιστρέφου. τοῦτο γὰρ οὐκ ἔτι σόν ἐστιν.

CAPVT LXXI.

Qvouſquè tandem procraſtinas optimis quibuſquè dignum teipſum exhibere, ac nullatenùs ſermonem prætergredi exaltantem? accepiſti ſpeculationes, quomodo nimirùm oporteret eas intellectu aſſequi, eaſq; aſſequutus es: qualem adhùc Doctorem expectas, vt in illo tui ipſius correctionem reponas? non etiamnum adoleſcentulus es, ſed vir iam ætate perfectâ; itaquè ſi neglexeris, & piger ſis, & ſemper facias propoſitum ex propoſito, atquè alios dies ſuper alios præfinieris, poſt quos tibi ipſi attendas, latebis teipſum, nullo à te progreſſu facto, ſed vnus è plebe viuens, atque moriens exiſtes; nunc igitur aſſuefacito teipſum ita vitã degere, vt perfectus, vt proficiens, & quidquid optimum eſſe videtur ſit tibi lex inuiolabilis, & ſi laborioſum ſit; ſi quid ſuaue, ſi quid glorioſum, aut ignominioſum tibi proponatur, memento, quod nunc certamen eſt, & quod nunc inſtant Olympia, neque vllatenus differre licet, & quod per vnam cladem, & remiſſionem, & perit progreſſus, & ſaluatur. Paulus quoque

ΚΕΦΑΛ. οα'.

ΕΙΣ ποῖον ἔτι χρόνον ἀναβάλλῃ τὸ τῶν βελτίστων ἀξιοῦν ἑαυτὸν καὶ ἐν οὐδενὶ παραβαίνειν τὸν διαιροῦντα λόγον; παρείληφας τὰ θεωρήματα, οἷς ἔδει συμβάλλειν, συμβέβληκας, ποῖον διδάσκαλον προσδοκᾷς, ἵνα εἰς ἐκεῖνον τὴν ἐπανόρθωσιν τὴν σεαυτοῦ; οὐκ ἔτι εἶ μειράκιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος. ἐὰν νῦν ἀμελήσῃς, καὶ ῥᾳθυμήσῃς, καὶ ἀεὶ προθέσεις ἐκ προθέσεως ποιῇς καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλαις ὁρίζεις μεθ' ἃς προσέξεις σεαυτῷ, λήσεις σεαυτὸν οὐ προκόψας, ἀλλ' ἰδιώτης διατελέσεις, καὶ ζῶν, καὶ ἀποθνήσκων. ἤδη οὖν σεαυτὸν ἐκβιοῦν ἔθιζε ὡς τέλειον, ὡς προκόπτοντα, καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἔστω σοι νόμος ἀπαράβατος, κἂν ἐπίπονόν τι ᾖ, εἴτε ἡδὺ ἢ ἔνδοξον, ἢ ἄδοξον προσάγηταί σε. μέμνησο ὅτι νῦν ὁ ἀγὼν, καὶ ὅτι ἤδη πάρεστι τὰ ὀλύμπια, καὶ οὐκ ἔστιν ἀναβάλλεσθαι οὐκ ἔτι, καὶ ὅτι παρὰ μίαν ἧτταν, καὶ ἔνδοσιν, καὶ ἀπόλλυται προκοπή, καὶ σώζεται. καὶ Παῦλος οὕτω διετέλεσεν ἐπὶ πάντων προσάγων ἑαυτὸν μηδενὶ ἄλλῳ προσέχειν ἢ τῷ λόγῳ. σὺ δὲ καὶ εἰ μήπω Παῦλος εἶ, ὡς Παῦλος εἶναι βουλόμενος ὀφείλεις βιοῦν.

que ſic peregit in omnibus ſe ipſum incitans, vt nulli alij rei attendat, quàm verbo. Tu verò etſi nondum ſis Paulus, debes ita viuere, ac ſi volueris eſſe Paulus.

ΚΕΦΑΛ. οβʹ.

Ἀποκτεῖναι μέν τίς με δύναται· βλάψαι δὲ οὔ.

CAPVT LXXII.

Poteſt quidem quis me occidere, lædere autem minimè.

ΚΕΦΑΛ. ογʹ

Παρήγγειλε γὰρ ὁ κύριος μὴ δυναμένους βλάψαι μὴ φοβεῖσθαι λέγων, μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν, καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

CAPVT LXXIII.

Præcepit enim Dominus, vt eos, qui non poſſunt lædere, non timeamus, dicens: Ne timeatis ab his, qui occidunt corpus, animam verò non poſſunt occidere; timete verò magis eum, qui poteſt & animam, & corpus perdere in Gehenna. ipſi Gloria in ſæcula. Amen.

ΔΙΗΓΗΣΙΣ ΤΟΥ ΑΓΙΟΥ

ΝΕΙΛΟΥ

Περὶ Πάχων πόλεμον πορνικὸν πάσχοντος καὶ νικῶντος, ἕτεροι δὲ λέγουσιν εἶναι τοῦ Εὐαγρίου ὁμοίως καὶ ὁ μετ' αὐτὴν Δογματικὸς λόγος.

ΚΕΦΑΛ. α'

Συνέβη ποτὲ ὀχληθῆναί με ἐπιθυμίᾳ γυναικός, καὶ δυσφορεῖν, καὶ περὶ τοὺς λογισμοὺς καὶ περὶ τὰς φαντασίας τὰς νυκτερινὰς καὶ ἐγγὺς γενόμενος τοῦ ἐξελθεῖν τῆς ἐρήμου ἐλαύνοντός με τοῦ πάθους. τοῖς μὲν γείτοσιν ἐμοῖς οὐκ ἀνεθέμην τὸ πρᾶγμα οὔτε τῷ διδασκάλῳ Εὐλογίῳ, λεληθότως δὲ παραβαλὼν εἰς τὴν πανέρημον, συνετύγχανον ἐπὶ ἡμέρας δεκαπέντε τοῖς κατὰ τὴν σκήτιν γηράσασι πατράσιν ἐν τῇ ἐρήμῳ, ἐν οἷς ἦν καί τις Πάχων ὀνόματι, ἑβδομηκοστὸν ἔτος ἐλάσας καθήμενος ἐν τῇ σκήτει, εὑρὼν οὖν αὐτὸν ἀσκητικώτερον, καὶ ἀκεραιότερον, ἐθάῤῥησα ἀναθέσθαι μου τὰ τῆς διανοίας. καὶ λέγει μοι οὗτος μὴ ξενίσῃ σε τὸ πρᾶγμα ὃ πάσχεις αὐτὸ ἀπὸ ῥαθυμίας, μαρτυρεῖ γάρ σοι καὶ ὁ τόπος, καὶ διὰ τὴν σπάνιν τῶν χρειῶν, καὶ διὰ τὸ μὴ εἶναι συντυχίαν τῶν θηλειῶν ἀλλὰ μᾶλλον ἀπὸ σπουδῆς. τριπλοῦς γάρ ἐστιν ὁ πόλεμος ὁ πορνικός. ποτὲ μὲν ἡ σάρξ ἡμῖν ἐπιτίθεται εὐρωστοῦσα, ποτὲ δὲ τὰ πάθη διὰ τῶν λογισμῶν, ποτὲ δὲ καὶ αὐτὸς ὁ δαίμων τῇ βασκανίᾳ, ἐγὼ γὰρ παρατηρήσας εὕρηκα τοῦτο, ἰδοὺ ὡς ὁρᾷς με γέροντα ἄνθρωπον, τεσσαράκοντα ἔτος ἔχων ἐν ταύτῃ τῇ κέλλῃ φροντίζων

NARRATIO S. P. N.

NILI

De Pachon patiente bellum Meretricium, et vincente. Alij verò dicunt Euagrij eſſe, vt etiam eum, qui ſub ſequitur, ſermonem Dogmaticum.

Erat in manuscrip. Codice titulus τῷ ἁγίῳ Euagrio adscriptus, quem deleui. Vide Notas:

CAPVT I.

Contigit aliquando, vt fœminæ concupiſcētia moleſta mihi eſſet, ac tũ in cogitationibus, tùm in nocturnis viſionibus difficulter eā tolerarē; cumque, compellente me paſſione, propè forem, vt è ſolitudine abſcederem, vicinis meis neutiquam narraui rem, neque Magiſtro Eulogio, elàm verò pertranſiens ad locum omninò deſertum conueni per quindecim dies eos, qui circa Scetim cōſenuerant in ſolitudine Patres, quos inter, & quidam erat Pachon nomine, qui ad annum peruenerat Septuageſimum, reſidebatque in Scete; nactus igitur ipſum exercitatiorem, atque ſinceriorem, confidenter auſus ſum meæ mentis arcana exponere, ac narrare; Tùm hic mihi dicit, ne te perturbet negotium huiuſcemodi quaſi nouũ; nec enim id pateris è pigritia, atteſtatur quippe hoc tibi locus ipſe, tùm propter inopiam rerum neceſſariarum, tùm etiamquia fœminarum non eſt hîc conuerſatio, ſed potiùs à ſtudio; triplex eſt etenim bellum meretricium, nam interdùm caro robuſtè valens nobis inſidiatur, nonnunquam verò paſſiones per cogitationes, aliquando & Dæmon ipſe ex inuidia, ego enim obſeruando hoc adinueni. Ecce ut me vides Senem hominem, cum

 degam

degam annum quadrageſimum in hac cellâ ſollicitus de eis, quæ ad meam ſpectant ſalutem, & licèt ad iſtam pertigerim ætatem, haſtenùs tentor; affirmauitq; mihi iureiurando dicens, quod per XII. annos poſt L. neque noctù, nec interdiù mihi pepercerunt inſidiatores; cum ergò cogitaſſem, quod, quià à me Deus abeſſet, potentiâ opprimebar tyrannica, elegi potiùs abſurdè mori, quàm ob corporis paſſionem turpiter agere; quapropter egreſſus, circumienſque ſolitudinem inueni ſpeluncam Hyenæ, in quâ ſpeluncâ poſui me nudum, vt exeuntes feræ me deuorarent; itaque veſpere facto, ſecundum quod ſcriptum eſt: Poſuiſti tenebras, & facta eſt

Pſ. 103. v. 20. nox, in ipſa pertranſibunt omnes beſtiæ agri; exeuntes feræ, tamq; mas, quàm fœmina olfecerunt me à capite uſque ad pedes, & circumcirca linxerunt, cumque me deuorandum expectarem, receſſerunt à me, ſicque per totam noctem proſtratus, tamen deuoratus non fui; arbitrans itaque, quod pepercerat mihi Deus; rurſus ad cellam meam reuertor, cumque per paucos dies Dæmon toleraſſet, inuaſit me vehementiùs, quàm priùs, vt parùm abſuerit, quin blaſphemarem: transformatus igitur in Puellam AEthiopiſſam (quam vidi quondam in adoleſcentiâ per æſtatem, dum meteret) inſedit meis genibus, & adeò me commouit, vt me cum ipsâ coiuiſſe putarem; præ furore igitur alapam ipſi dedi, & inuiſibilis effecta euanuit; per biennium verò fœtorem manus meæ ſuſtinere non poteram; abiecto ergò animo, & inhonoratus exiui in locum omninò deſertum vagabundus, cumque paruam aſpidem inueniſſem, ipſamq; accepiſſem, genitalibus meis membris

τῆς ἐμαυτοῦ σωτηρίας, καὶ ταύτην ἔχων τὴν ἡλικίαν, μέχρι τούτου πειράζομαι, καὶ διόμνυτο ὅτι ἐπὶ δώδεκα ἔτη μετὰ τὸ πεντηκοστὸν ἔτος, οὐ νύκτα μοι συνεχώρησαν, οὐχ ἡμέραν ἐπιτιθέμενοι. ἐπινοήσας οὖν, ὅτι ἀπέστη μου ὁ Θεός, διὸ καὶ καταδυναστεύομαι, ᾑρετισάμην ἀποθανεῖν ἀλόγως, ἢ πάθει σώματος ἐνασχημονῆσαι, καὶ ἐξελθὼν, καὶ περιελθὼν τὴν ἔρημον, εὗρον σπήλαιον ὑαίνης, εἰς ὃ σπήλαιον ἔθηκα ἐμαυτὸν ἐν ἡμέρᾳ γυμνὸν, ἵνα ἐξελθόντα φάγῃ με τὰ θηρία. ὡς οὖν ἐγένετο ἑσπέρα κατὰ τὸ γεγραμμένον· ἔθου σκότος, καὶ ἐγένετο νύξ, ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ ἀγροῦ, ἐξελθόντες οἱ θῆρες ὅτι ἄρσην, καὶ ἡ θήλεια ὠσφράνθησάν μου ἀπὸ κεφαλῆς ἕως ποδῶν περιλείξαντες, καὶ ὡς προσεδόκων βρωθῆναι, ἀνεχώρησαν ἀπ' ἐμοῦ. πεσὼν οὖν διὰ πάσης νυκτὸς οὐκ ἐβρώθην. λογισάμενος οὖν ὅτι ἐφείσατό μου ὁ Θεός, αὖθις ὑποστρέφω εἰς τὴν κέλλαν, καρτερήσας οὖν ὁ δαίμων ἡμέρας ὀλίγας ἐπέθετό μοι σφοδρότερον τοῦ προτέρου ὡς παρὰ μικρὸν βλασφημῆσαι. μετασχηματισθεὶς οὖν εἰς αἰθιόπισσαν κόρην, (ἣν ἑώρακα ποτὲ ἐν νεότητι εἰς τὸ θέρος καλαμωμένην) ἐπεκάθητό μου τοῖς γόνασι, καὶ ἐπὶ τοσοῦτον με ἐκίνησεν, ὡς νομίσαι με συγγενέσθαι. ἀπὸ μανίας οὖν ἔδωκα αὐτῇ κόσσον, καὶ γέγονεν ἄφαντος. ἐπὶ διετίαν οὖν τῆς δυσωδίας τῆς χειρός μου ἀνέχεσθαι οὐκ ἠδυνάμην, μικροψυχήσας οὖν, καὶ ἀποδοκήσας, ἐξῆλθον εἰς τὴν πανέρημον ἀλώμενος. καὶ εὑρὼν ἀσπίδα μικρὰν, καὶ λαβὼν αὐτὴν προσφέρω τοῖς γεννητικοῖς μου μορίοις ἵνα κἂν οὕτω δηχθεὶς ἀποθάνω, καὶ περιστρέψας τοῦ θηρίου

τὴν κεφαλὴν τοῖς μορίοις τοῦ σώματος, ὡ ἅψαμοι τοῦ πείρας μου, οὐκ ἐδήχθην. ἤκουσα οὖν φωνῆς ἐλθούσης ἐν τῇ διανοίᾳ μου, ἄπελθε Παχὼν ἀγωνίζου, διὰ γὰρ τοῦτο ἀφῆκά σε καταδυναστευθῆναι, ἵνα μὴ μέγα φρονήσῃς ὡς δυνάμενος, ἀλλ' ἐπιγνοὺς σου τὴν ἀσθένειαν μὴ θαρσήσῃς τῇ πολιτείᾳ σου. ἀλλὰ προσδράμῃς τῇ τοῦ Θεοῦ δυναστείᾳ, οὕτω πληροφορηθεὶς ἀνέκαμψα καὶ μετὰ θάρσους καθίσας, καὶ μηκέτι φροντίσας τοῦ πολέμου, εἰρήνευσα τὰς ἐπιλοίπους ἡμέρας, ὁ δὲ γνοὺς μου τὴν καταφρόνησιν, οὐκέτι ἤγγισεν.

bris admoui, vt ſaltèm ita demorſus emorerer; cum verò beſtiæ obuertiſsẽ caput ad corporis mẽbra, vtpote quæ cauſſa mihi tentationis erant, commorſus non fui, atqui vocem menti meæ ſuperuenientem audiui: Abeas Pachon, decerta, idcircò etenim potentiâ tentationis opprimi te permiſi, ne quid magnum ſapias, ac ſi quid poſſes, verùm tuam dignoſcens imbecillitatem, non confidas audacitèr in tuo vitæ inſtituto, quin potiùs ad Dei poteſtatem recurras. Sic plenâ fide perſuaſus, reuerſus ſum. Sicque animo fiducia pleno reſidens, ac neutiquam de bello ſollicitus, reliquos dies pace fruens exegi; ex alia verò parte ille (ſcilicèt Dæmon) cum mei dignouiſſet contemptum non ampliùs appropinquauit.

Admiranda quidem, ſed non imitanda Pachoni
Facta, meas Lector conſule caute Notas.

EIVSDEM

Epiſtola Dogmatica de Sancta Trinitate ad eos, qui Monaſticam Vitam degunt in Patriâ, dum eſſet Conſtantinopoli cum Beato Gregorio Nazianzi Epiſcopo.

CAPVT I.

SAepè ſæpiùs miratus ſui, cur tandem ad nos affecti ſitis, & vnde vos adeò demittitis humiles noſtræ paruæ, atque tenui exilitati, quæ nihil æquè habet amabile, noſque verbis adhortamini, amicitiam,Patriamquè ſubindè commemorantes, tentando quaſi paternis viſceribus, nos, veluti quoſdam transfugas ad vos ipſos rurſus reducere: ego verò me fateor eſſe quidem transfugam, nec denegarem, cauſſam verò mox ediſcetis, cum iamdudum id cupiueritis; fortè (cum maximè fuiſſem tùm ex improuiſo turbatus, velut ij, qui percelluntur repentinis ex inopinato ſtrepitibus)non reſtiti, ſed elongaui fugiens,per q; multum tempus ſeorſim à vobis ſtationem habui; prætereà me quoque ſuccutit deſideriũ quoddam Diuinorum Dogmatum, & Philoſophiæ, quæ circa illa verſatur: quo pacto namque poſſem (dicebam ego) cohabitanti mecum vitio dominari? ecquis verò
Gen.c.31 mihi foret Laban, qui me liberaret ab Eſau, & ad Supremam Philoſophiam manuduceret? cum verò pro viribus eum aſſecuti ſimus ſcopum, Deo dante, dum Vas electionis, profundumque puteum, Chriſti, Gregorium (inquam Nazianzenũ)adinueniſſemus, pauculum nobis

ΤΟΥ ΑΥΤΟΥ.

Ἡνίκα ἦν ἐν Κωνσταντίνου πόλει μετὰ τοῦ μακαρίου Γρηγορίου Ἐπισκόπου Ναζιανζοῦ ἐπιστολὴ δογματικὴ περὶ τῆς ἁγίας τριάδος, πρὸς τοὺς ἐν τῇ πατρίδι μονάζοντας.

ΚΕΦΑΛ. α´

ΠΟλλάκις ἐθαύμασα τί δήποτε πρὸς ἡμᾶς πεπόνθατε, καὶ πόθεν τοσοῦτον ἠγάπησθε τῆς ἡμετέρας βραχύτητος τῆς μικρᾶς καὶ ὀλίγης, καὶ οὐδὲν ἴσως ἐχούσης ἐράσμιον, καὶ λόγοις ἡμᾶς προτρέπεσθε φιλίας τε, καὶ πατρίδος ὑπομιμνήσκοντες, ὥσπερ φυγάδας τινὰς πατρικοῖς σπλάγχνοις πρὸς ἑαυτοὺς πάλιν ἐπιστρέφειν πειρώμενοι, ἐγὼ δὲ τὸ μὲν φυγὰς γεγονέναι ὁμολογῶ, καὶ οὐκ ἂν ἀρνηθείην, τὴν δ᾽ αἰτίαν μάθοιτ᾽ ἂν ἤδη πάλαι ποθοῦντες, ἴσως, μάλιστα μὲν τῷ ἀδοκήτῳ τότε πληγεὶς, καθάπερ οἱ τοῖς αἰφνιδίοις ψόφοις ἀθρόως καταπλαγέντες, οὐκ ἀντέσχον, ἀλλ᾽ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην χρόνον ἱκανὸν ἀφ᾽ ὑμῶν, ἔπειτα δὲ, καὶ πόθος τις ὑπεισῄει με τῶν θείων δογμάτων, καὶ τῆς περὶ ἐκεῖνα φιλοσοφίας. πῶς γὰρ ἂν δυναίμην (ἔφην ἐγὼ) κρατῆσαι τῆς συνοικούσης ἡμῖν κακίας; τίς δὲ μοι γένοιτο Λάβαν ἀπαλλάττων με τοῦ Ἡσαῦ, καὶ πρὸς τὴν ἀκροτάτην φιλοσοφίαν παιδαγωγῶν; ἀλλ᾽ ἐπειδὴ σὺν Θεῷ τοῦ σκοποῦ κατὰ δύναμιν τετυχήκαμεν εὑρόντες σκεῦος ἐκλογῆς, καὶ φρέαρ βαθὺ λέγω δὴ τὸν τοῦ Χριστοῦ Γρηγόριον, ὀλίγον ἡμῖν ὀλίγον συγχωρήσατε χρόνον αἰτούμεθα, οὐ τὴν ἐν ταῖς πόλεσι δια-

περιβλὴν ἀσπαζόμενοι, οὐ γὰρ λέληθεν ἡμᾶς ὁ πονηρὸς διὰ τῶν τοιούτων τὴν ἀπάτην τῶν ἀνθρώπων προμηχανώμενος· ἀλλὰ τὴν συντυχίαν τὴν πρὸς σὺν ἁγίοις ἐπωφελῆ μάλιστα κρίναντες. ὅτ' ἂν γὰρ τῷ λέγειν τι περὶ τῶν θείων δογμάτων καὶ ἀκούειν πυκνότερον, ἕξιν δυσαπόβλητον τῶν θεωρημάτων λαμβάνομεν. καὶ τὰ μὲν καθ' ἡμᾶς, τοῦτον ἔχει τὸν τρόπον.

nobis,pauculum condonate temporis,poſtulamus; quippe qui nó conuerſationem in Vrbibus exoptamus, nec enim nos latet malignus, qui per eas hominum deceptionem excogitat, ac molitur, ſed congreſſum cum Sanctis perutilem potiſſimum diiudicamus; cum etenim quidpiam de Diuinis Dogmatibus colloquamur, & audiamus frequentiùs, habitum ſpeculationum, qui difficulter abijci poteſt, comparamus. Itaque hoc ſe habent modo ad nos ſpectantia.

ΚΕΦΑΛ. β'

Ὑμεῖς δὲ ὦ θεῖαί μοι, καὶ προσφιλέσταται τῶν πασῶν κεφαλαὶ φυλάττεσθε τοὺς τῶν φιλισταίων ποιμένας, μήτις λαθὼν ἐμφράξῃ ὑμῶν τὰ φρέατα, καὶ τὸ καθαρὸν τῆς γνώσεως τῆς περὶ τὴν πίστιν ἐπιθολώσῃ· τοῦτο γάρ ἐστιν αὐτοῖς ἐπιμελὲς, μὴ ἐκ τῶν θείων γραφῶν διδάσκειν τὰς ἀκεραιοτέρους ψυχάς· ἀλλ' ἐκ τῆς ἔξωθεν σοφίας, παρακρούεσθαι τὴν ἀλήθειαν; ὁ γὰρ ἀρξάμενον, καὶ γενητὸν ἐπεισάγων ὑμῶν τῇ πίστει, καὶ τὸν ἀεὶ ὄντα, μὴ ὄντα ποτὲ δογματίζων, καὶ τὸν φύσει, καὶ ἀεὶ Υἱὸν, γενόμενον, καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἀΐδιον, οὐκ ἄντικρυς ἐστὶ φιλισταῖος βασκαίνων τοῖς τοῦ πατριάρχου ὑμῶν προβάτοις, ἵνα μὴ πίνωσιν ἐκ τοῦ καθαροῦ, καὶ ἁλλομένου εἰς ζωὴν αἰώνιον ὕδατος; ἀλλὰ τὸ τοῦ προφήτου λόγιον πρὸς ἑαυτοὺς ἐπισπῶνται· τὸ ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους· δεῖ τὸν ὁμολογεῖν Θεὸν τὸν πατέρα καὶ Θεὸν τὸν Υἱὸν, καὶ Θεὸν τὸ πνεῦμα τὸ ἅγιον, ὡς οἵ τε θεῖοι λόγοι, καὶ οἱ τούτους ὑψηλότερον νενοηκότες ἐδίδαξαν.

CAPVT II.

VOS verò, ò Diuina, mihique dilectiſſima præ omnibus capita, caueatis à Philiſtæis Paſtoribus, ne quis,non animaduertétibus vobis, veſtros obſtruat puteos, ac puritatem doctrinæ, quæ circa Fidem habetur, ipſe perturbet; hoc etenim ijs curæ eſt, nimirùm non è Diuinis ſcripturis animas edocere ſimpliciores, ſed exteriori Sapientia repellere Veritatem: quandoquidem qui noſtram in Fidem introducit infectum, & factum (in Diuinis) ac dogmaticè prædicat, eum, qui ſemper eſt, aliquando non extitiſſe, ac naturâ, ſemperque exiſtentem Filium, factum fuiſſe, & Spiritum Sanctum non Sempiternum, nonne Philiſtæus eſt exaduerſo inuidens Patriarchæ noſtri ouibus, ne bibant ex aqua pura, & in Vitam æternam ſaliente? Sed & Prophetæ illius oraculum ad ſe metipſos attrahunt: Me dereliquerunt fonté aquæ viuentis, & foderunt ſibi ciſternas. Oportet confiteri Deum Patrem, Deum Filium, & Deum Spiritum Sanctum, vti Diuini Sermones, & qui ſublimiùs ipſos intellexerunt edocuere; Ad eos autem, qui

Ioan. 9. v. 13.

Hierem. 2. v. 13.

qui nobis obtrectant Trideum, illud dicatur, quod nos vnum Deum non numero, ſed naturâ confitemur; omne quippe, quod vnum numero dicitur, id non vnum verè, neque ſimplex eſt naturâ; Deum autem ſimplicem eſſe, neque compoſitum apud omnes eſt in confeſſo; Non igitur vnus numero Deus intelligitur. Quod verò dico, huiuſcemodi eſt. Vnum numero mundum effamur, ſed non vnum naturâ, nec eumdem ſimplicem quemdam eſſe, diuidimus enim ipſum in ea, è quibus conſtat elementa, in ignem, & aërem, & aquam, & terram: rursùs homo vnus numero nominatur, vnum quippe hominem ſæpè dicimus, at hic non eſt ſimplex quidam, vt potè conſtans è corpore, & anima: ſimiliter verò, & Angelum vnum numero eloquimur, at non vnũ naturâ, neque ſimplicem; ſubſtantiam enim cum Sanctificatione, Angeli ſubſiſtentiam intelligimus eſſe. Si ergò omne quod numero eſt vnum, non eſt vnum natura, nos verò dicimus Deum naturâ vnum, quomodo inducunt nobis numerum, cum nos exterminemus ipſum à Beatâ illa, & intellectuali Naturâ? Numerus enim eſt quanti, quantum verò naturæ corporeæ coniungitur; numerus igitur eſt corporeæ naturæ, corporum autem Dominum noſtrum conditorem credidimus eſſe: Ideò quoque omnis numerus illa ſignificat, quæ ſortita ſunt, materialemque habent, & circumſcriptam naturam; Singularitas verò, atque vnitas ſignificatiua eſt ſimplicis, ac incomprehenſibilis Eſſentiæ, qui ergò numerum, aut creaturam confitetur

ξαν, πρὸς δὲ τοὺς ἐπηρεάζοντας ἡμῖν τὸ τρίθεον, ἐκεῖνο λεγέσθω, ὅτι περ ἡμεῖς ἕνα Θεὸν, οὐ τῷ ἀριθμῷ, ἀλλὰ τῇ φύσει ὁμολογοῦμεν. πᾶν γὰρ ὃ ἓν ἀριθμῷ λέγεται, τοῦτο οὐχ ἓν ὄντως, οὐδὲ ἁπλοῦν τῇ φύσει ἐστὶν, ὁ δὲ Θεὸς ἁπλοῦς, καὶ ἀσύνθετος παρὰ πᾶσιν ὁμολογεῖται. οὐκ ἄρα εἷς ἀριθμῷ νοεῖται ὁ Θεός, ὃ δὲ λέγω τοιοῦτόν ἐστιν. ἕνα ἀριθμῷ τὸν κόσμον φαμὲν, ἀλλ' οὐχ ἕνα τῇ φύσει, οὐδὲ ἁπλοῦν τινα τοῦτον· τέμνομεν γὰρ αὐτὸν εἰς τὰ ἐξ ὧν συνέστηκε στοιχεῖα, εἰς πῦρ, καὶ ἀέρα, ὕδωρ, καὶ γῆν. πάλιν ὁ ἄνθρωπος εἷς ἀριθμῷ ὀνομάζεται· ἕνα γὰρ ἄνθρωπον πολλάκις λέγομεν, οὐχ ἁπλοῦς δέ τις οὗτός ἐστιν, ἐκ σώματος, καὶ ψυχῆς συνεστώς, ὁμοίως δὲ καὶ ἄγγελον ἕνα ἀριθμῷ ἐροῦμεν ἀλλ' οὐχ ἕνα τῇ φύσει, οὐδ' ἁπλοῦν. οὐσίαν γὰρ μετ' ἁγιασμοῦ τὴν τοῦ ἀγγέλου ὑπόστασιν ἐννοοῦμεν, εἰ τοίνυν πᾶν τὸ ἓν ἀριθμῷ, ἓν τῇ φύσει οὐκ ἐστὶν, ἡμεῖς δὲ λέγομεν ἕνα τῇ φύσει Θεὸν, πῶς ἐπιφέρουσιν ἡμῖν τὸν ἀριθμὸν, ἡμῶν πάντη ἐξοριζόντων αὐτὸν τῆς μακαρίας ἐκείνης, καὶ νοητῆς φύσεως; ὁ γὰρ ἀριθμός ἐστι τοῦ ποσοῦ, τὸ δὲ ποσὸν τῇ σωματικῇ φύσει συνέζευκται, ὁ ἄρα ἀριθμὸς, τῆς σωματικῆς φύσεώς ἐστι. σωμάτων δὲ τὸν κύριον ἡμῶν δημιουργὸν πεπιστεύκαμεν εἶναι, διὸ καὶ πᾶς ἀριθμὸς ἐκεῖνα σημαίνει τὰ ἔνυλον, καὶ περιγραπτὴν ἔχειν λαχόντα φύσιν, ἡ δὲ μονὰς, καὶ ἑνὰς, τῆς ἁπλῆς, καὶ ἀπεριλήπτου οὐσίας ἐπισημαντική. ὁ τοίνυν ἀριθμὸν, ἢ κτίσμα ὁμολογῶν τὸν υἱὸν τοῦ Θεοῦ, ἢ πνεῦμα τὸ ἅγιον, λανθάνει ἔνυλον, καὶ περιγραπτὴν φύσιν εἰσάγων, περιγραπτὸν δὲ λέγω, οὐ μόνον τὸν περιεχόμενον ὑπὸ τόπου, ἀλλ' ὅπερ καὶ τῇ προγνώσει ἐμπεριείληφεν ὁ μέλλων αὐτὸ ἀπὸ τοῦ μὴ ὄντος, εἰς τὸ εἶναι παράγειν, ὃ καὶ ἐπιστήμῃ περιλαβεῖν ἐστι δυνατόν.

Filium Dei, aut Spiritum Sanctum, non animaduertens inducit materialem, atque circumſcriptam naturam; circumſcriptum verò dico non ſolummodò comprehenſum loco, verùm etiam quod intrà ſuam prænotionem comprehendit, qui illud in ens à non ente ſit deducturus, quod etiam ſcientiâ comprehendi poteſt.

ΚΕΦΑΛ. γʹ.

Πᾶν οὖν ἅγιον, ὃ περιγραπτὴν ἔχει τὴν φύσιν, ἐπίκτητον ἔχει τὴν ἁγιότητα, κἂν ἀνεπίδεκτον ᾖ κακίας. ὁ δὲ Υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, πηγή ἐστιν ἁγιασμοῦ, ἀφ' ἧς πᾶσα ἡ κτίσις κατὰ ἀναλογίαν τῆς ἀρετῆς ἁγιάζεται. καίτοι ἡμεῖς κατὰ τὸν ἀληθῆ λόγον οὔτε ὅμοιον, οὔτε ἀνόμοιον λέγομεν τὸν Υἱὸν τῷ πατρί· ἑκάτερον γὰρ αὐτοῦ ἐπίσης ἀδύνατον, ὅμοιον γὰρ καὶ ἀνόμοιον κατὰ μόνας τὰς ποιότητας λέγεται, ποιότητος δὲ τὸ θεῖον ἐλεύθερον. ταυτότητα δὲ τῆς φύσεως ὁμολογοῦντες, καὶ τὸ ὁμοούσιον ἐνδεχόμεθα, καὶ τὸ σύνθετον φεύγομεν τοῦ κατ' οὐσίαν Θεοῦ, καὶ πατρὸς τὸν κατ' οὐσίαν Θεὸν καὶ Υἱὸν γεγεννηκότος. ἐκ γὰρ τούτου τὸ ὁμοούσιον δείκνυται. ὁ γὰρ κατ' οὐσίαν Θεὸς τῷ κατ' οὐσίαν Θεῷ ὁμοούσιός ἐστιν, ἐπειδὴ λέγεται Θεὸς, καὶ ὁ ἄνθρωπος· ὡς τὸ ἐγὼ εἶπον θεοί ἐστε, καὶ ὁ δαίμων Θεὸς, ὡς τὸ οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια, ἀλλ' οἱ μὲν κατὰ χάριν ὀνομάζονται, οἱ δὲ κατὰ ψεῦδος. ὁ δὲ Θεὸς κατ' οὐσίαν μόνος ἐστὶ Θεός. μόνος δὲ ὅταν εἴπω τὴν οὐσίαν τοῦ Θεοῦ, τὴν ἁγίαν, καὶ ἄκτιστον δηλῶ τριάδα. τὸ γὰρ μόνος, λέγεται καὶ ἐπί τινος ἀνθρώπου· καὶ ἐπὶ φύσεως ἁπλῶς τῆς καθόλου, ἐπὶ τινὸς μὲν οἷον φέρε εἰπεῖν Παύλου. ὅτι μόνος ἡρπάγη ἕως τρίτου οὐρανοῦ, καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆ-

CAPVT III.

Omne igitur Sanctum, quod habet naturã circumſcriptam, Sanctitatem poſſidet aliunde acquiſitam, quamuis malitiæ ſuſcipiendæ minimè ſit capax; Filius verò, & Spiritus Sanctus fons eſt Sanctificationis, à quo creatura omnis per virtutis proportionem ſanctificatur. Nos itaque ſecundùm verum Sermonem, neque ſimilem, neque diſſimilem Filium Patri dicimus, etenim vtrumque ipſorum eſt æquè impoſſibile, ſimile quippe, ac diſſimile ſecundum ſolas qualitates dicitur; quod autem Diuinum eſt, à qualitate liberum exiſtit; identitatem verò naturæ confitentes Dei, & Patris ſecundùm ſubſtantiam, qui ſecundùm Subſtantiam Deum, & Filium genuit, ſicut conſubſtantiale ſuſcipimus, ita compoſitum euitamus, ex hoc quippe conſubſtantiale oſtenditur; nam qui ſecundùm ſubſtantiam Deus eſt, Deo ſecundùm ſubſtantiam eſt conſubſtantialis; quandoquidem homo quoque nuncupatur Deus, ſecundùm illud: Ego dixi Dij eſtis, Dæmon etiã dicatur Deus, ſecundùm iſtud: Dij gentium Dæmonia, & ij quidem ex gratia nominantur, hi verò per mendacium. Deus autem, qui ſecundùm ſubſtantiam exiſtit, ſolus eſt Deus; cum verò ſubſtantiam Dei Sanctam, & increatam per (ſolus) vocem, ſignifico Trinitatem; etenim (ſolus) dicitur tum de particulari homine, tùm de naturâ ſimplicitèr

Pſ. 81. v. 6.
Pſal. 95. v. 5.

vniuerſali; & quidem de particulari, exempli cauſa, ſi diceremus
2. Corin. 12. v.4. de Paulo, quod ſolus raptus fuit vſque ad tertium Cælum; & audiuit arcana verba, quæ non licet homini loqui; de natura verò vni-
Pſ. 102. v.15. uerſali, vt quando dicebat Dauid: Homo ſicut fœnum dies eius.

σαι, ἐπὶ φύσεως δὲ τῆς καθόλου, ὡς ὅταν λέγῃ ὁ Δαβίδ. ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ.

CAPVT IV.

IBI enim non talem hominē, ſed vniuerſalem deſignat naturam; omnis quippe homo temporarius, ac mortalis eſt: Sic & illa intelligimus de naturâ dicta;
1. Tim. c.6.v.16 iſtud ſcilicèt: Qui ſolus habet
Ad Rom cap. 16. v. 27. Immortalitatem: & : Soli Sapienti Deo. & illud: Nullus bonus,
Luc. 18. v. 19. niſi vnus Deus: hic enim (vnus)
Iſaia 44 v.24. idem ſignificat ac ſolus. Similiter & id: Qui ſolus extendit Cæ-
Matt. 4. v.10. lum: & rursùs: Dominum Deum
Iſaia 45 v.21. tuum adorabis, & illi ſoli ſeruies. Etiam verò & iſtud: Non eſt Deus præter me, denotat idem, ac ſolum, quod enim vnus, & ſolus de Deo prædicetur in Scriptura non ad differentiam Filij, aut Spiritus Sancti dicitur, verùm propter eos, qui non ſunt Dij, falsò verò Dij denominantur, vt illud: Dominus ſolus deduxit ipſos, & non erat eum ipſis Deus
1. Reg. 7.v.4. alienus; & iſtud: Abſtulerunt filij Iſrael Baalim, & Lucos Aſta-
1. Corin. c.8. v.9. roth, & ſeruierunt ſoli Domino: & rursùm Paulus: Siquidem ſunt Dij multi, nobis attamen vnus Deus eſt Pater, ex quo ſunt omnia, & vnus Dominus Ieſus Chriſtus, per quem omnia. Verùm hîc etiam quærimus; quomodo, cum dixiſſet Vnus Deus, non fuit contentus eâ voce (teſtati quippe ſumus, quod (ſolus,) & (vnus) in Diuinis naturam ſignificent) ſed etiam addit (Pater;) & Chriſtum commemorauit? intelligo igitur, quod Paulus, qui Vas erat electionis, arbitratus fuerit, non ſat eſſe

ΚΕΦΑΛ. δ'.

Ἐν ταῦθα γὰρ οὐ τὸν δεῖνα ἄνθρωπον, ἀλλὰ τὴν καθόλου φύσιν δηλοῖ. πᾶς γὰρ ἄνθρωπος πρόσκαιρος, καὶ θνητός. οὕτω κἀκεῖνα νοοῦμεν ἐπὶ τῆς φύσεως εἰρημένα, τὸ ὁ μόνος ἔχων ἀθανασίαν, καὶ μόνῳ σοφῷ Θεῷ, καὶ τὸ οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός. τὸ γὰρ εἷς ἐν ταῦθα τῷ μόνος ταυτὸ δηλοῖ, καὶ τὸ ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ πάλιν Κυρίῳ τῷ Θεῷ σου προσκυνήσεις. καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ τὸ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ, τῷ μόνος ταυτὸν δηλοῖ, τὸ γὰρ εἷς καὶ μόνος, ἐπὶ τοῦ Θεοῦ ἐν τῇ γραφῇ, οὐ πρὸς ἀντιδιαστολὴν τοῦ Υἱοῦ, ἢ τοῦ ἁγίου πνεύματος λέγεται. ἀλλὰ πρὸς τοὺς μὴ ὄντας θεοὺς, ὀνομαζομένους δὲ ψευδῶς, ὡς κύριος μόνος ἦγεν αὐτοὺς, καὶ οὐκ ἦν μετ' αὐτῶν Θεὸς ἀλλότριος, καὶ τὸ περιεῖλον οἱ Υἱοὶ Ἰσραὴλ τὰ Βααλὶμ, καὶ τὰ Ἄλση Ἀσταρὼθ, καὶ ἐδούλευσαν Κυρίῳ, καὶ πάλιν ὁ Παῦλος ὥσπερ εἰσὶ Θεοὶ πολλοὶ, καὶ κύριοι, ἀλλ' ἡμῖν, εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα. ἀλλὰ καὶ ζητοῦμεν ἐνταῦθα πῶς εἷς Θεὸς εἰρηκὼς, οὐκ ἠρκέσθη τῇ φωνῇ (ἔφαμεν γὰρ ὅτι τὸ μόνος, καὶ τὸ εἷς, ἐπὶ Θεοῦ δηλοῖ τὴν φύσιν) ἀλλὰ καὶ πατέρα προσέθηκε, καὶ Χριστοῦ ἐμνημόνευσεν; ὑπονοῶ τοίνυν, ὅτι οὐκ

Παρεκελεύσατο νῦν ὁ Παῦλος τὸ σκεῦος τῆς ἐκλογῆς, κηρύσσειν μόνον Θεὸν τὸν πατέρα, καὶ Θεὸν τὸν Υἱὸν καὶ Θεὸν τὸ πνεῦμα τὸ ἅγιον· ὅπερ διὰ τῆς εἷς Θεὸς ἐδήλωσε ῥήσεως, ἐὰν μὴ καὶ διὰ τῆς προσθήκης, τῆς τοῦ πατρὸς, τὸν Υἱὸν ἐξ οὗ τὰ πάντα δηλώσῃ, καὶ διὰ τῆς τοῦ κυρίου, τὸν λόγον δι' οὗ τὰ πάντα σημάνῃ· καὶ πάλιν διὰ τῆς Ἰησοῦ Χριστοῦ συμπαραλήψεως, τὴν ἐνανθρώπησιν ἀπαγγείλῃ, καὶ τὸ πάθος παραδηλώσῃ, καὶ τὴν ἀνάστασιν φανερώσῃ, τὸ γὰρ Ἰησοῦς Χριστὸς, τὰς τοιαύτας ἐννοίας ἡμῖν συνεμφαίνει, διὸ καὶ πρὸ τοῦ πάθους παραιτεῖται ὁ κύριος Ἰησοῦς Χριστὸς καταγγέλλεσθαι, καὶ διαστέλλεται τοῖς μαθηταῖς ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν Ἰησοῦς ὁ Χριστὸς· προέκειτο γὰρ αὐτῷ πληρώσαντι τὴν οἰκονομίαν, μετὰ τὴν ἀνάληψιν ἐπιτρέψαι αὐτοῖς κηρύσσειν αὐτὸν Ἰησοῦν τὸν Χριστὸν, τοιοῦτόν ἐστι, καὶ τὸ ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν, καὶ τὸ πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε· πανταχοῦ τὴν ἔννοιαν ἡμῶν ἀσφαλιζομένου τοῦ πνεύματος τοῦ ἁγίου, ἵνα μὴ θατέρῳ προσβαίνοντες, θατέρου ἐκπίπτωμεν, καὶ τῇ θεολογίᾳ προσέχοντες, τῆς οἰκονομίας καταφρονῶμεν· καὶ γένηται ἡμῖν κατὰ τὸ ἐλλεῖπον ἡ ἀσέβεια.

eſſe, ſolummodò Patrem prædicare Deum, & Filium Deum, & Spiritum Sanctum Deum; quod nimirùm per dictionem (vnus Deus) demonſtrauit, niſi, & per additionem dictionis (Pater) Filium, ex quo ſunt omnia, oſtenderet; & etiam per dictionem (Dominus) Verbum, per quod ſunt omnia, declararet; & rurſus per Ieſu Chriſti comprehenſionem annuntiaret Aſſumptionẽ humanitatis, & Paſſionem proponeret, & Reſurrectionem manifeſtaret: etenim (Ieſus Chriſtus) haſce nobis commonſtrat intelligentias; Ideò ante Paſſionẽ recuſat Dominus Ieſus Chriſtus annuntiari, & prohibet Diſcipulis, vt nemini dicerent, quod ipſe eſt Ieſus Chriſtus; cum enim poſt Reſurrectionem noſtræ Salutis Myſterium perfeciſſet, deliberauerat, iiſdem mandare, vt prædicarent, quod ipſe erat Ieſus Chriſtus. Tale eſt & illud: Vt cognoſcant te ſolum verum Deum, & quem miſiſti Ieſum Chriſtum: id quoque, Creditis in Deum, & in me credite: quo quo modo Spiritu Sancto noſtrũ intellectum muniente, vt ne ad alterum aſcendentes, altero excidamus, ac Theologiæ attendentes deſpiciamus noſtræ Salutis Myſterium, & per Fidei defectum in nobis impietas generetur.

Mat. 16. v. 20.

Ioan 17. v. 3.

Ioan. 14. v. 1.

ΚΕΦΑΛ. ε'

ΤΑ δὲ ῥήματα τῆς θείας γραφῆς, ἅπερ λαμβάνοντες οἱ ἀντικείμενοι, καὶ διαστρέφοντες πρὸς τὴν ἰδίαν συνείδησιν, εἰς καθαίρεσιν τῆς δόξης τοῦ μονογενοῦς ἡμῖν προφέρουσιν, οὕτως ἐξετάσωμεν, κατὰ τὸ δυνατὸν ἡμῖν ἀναπτύσσοντες αὐτῶν τὴν διάνοιαν, καὶ προσ-

CAPVT V.

AT verba Sacræ Scripturæ, quæ accipientes Aduerſarij, & peruertentes ad proprium ſenſum, & ad deſtructionẽ Gloriæ Vnigeniti, nobis proferunt, ita examinemus, explanantes, quoad nos poterimus, verborum

ipſorum intelligentiam. Ac in primis proponatur nobis hoc: Io. 6. v. 58. Ego viuo propter Patrem: iſtud eſt enim vnum è iaculis, quod in Cælum emittitur ab his, qui vtuntur impiè. Quod autem hîc dicitur, non, vt arbitror, nominat vitam præternam (omne nempè, quod viuit propter aliud, nó poteſt ipſü eſſe vita, vt neque, quod ab alio calefit, ipſü eſt calor, cú Dominus noſter dixerit: Ego sú Vita) ſed vitam inquã præſenté, quæ eſt in carne, atque in tempore iſto facta, quam vixit propter Patrem: voluntate namque ipſius peregrinatus eſt, vitam hominum degens; & non dixit: ego vixi propter Patrem, verùm Ego viuo propter Patrem; dilucidè præſens tempus præſignans; at fortè denotat etiam vitam, qua vixit Dominus, Dei Verbum habens in ſe ipſo; quod autem hoc ſit, quod ſignificatur, ſcimus ex eo, quod infertur: ait quippè, Qui manducat me, viuet propter me; manducamus autem ipſius Carnem, & bibimus ipſius Sanguinem, participes effecti Aſſumptionis humanitatis, ac vitæ ſenſibilis Verbi, & Sapiétiæ, Carnem quippe, ac Sanguinem nuncupauit omnem ſuum myſticum aduentum, & connotauit doctrinam, quæ conſtat ex actiuâ, & naturali, atque Theologica vita, per quam nutritur Anima, ac interim præparatur ad contemplationem entium; & hoc eſt, quod ex tali dicto pariter ſignificatur.

τὴν ἡμῶν πρόθεσιν, τὸ, ἐγὼ ζῶ διὰ τὸν πατέρα. τοῦτο γάρ ἐστιν ἓν τῶν βελῶν τῶν εἰς οὐρανὸν πεμπομένων, ὑπὸ τῶν ἀσεβῶς κεχρημένων. ἐνταῦθα δὲ τὸ ζῆν, οὐ τὴν προαιώνιον, ὡς οἶμαι, ζωὴν ὀνομάζει. πᾶν γὰρ τὸ δι' ἕτερον ζῶν, αὐτοζωὴ εἶναι οὐ δύναται, ὡς οὐδὲ τὸ ὑφ' ἑτέρου θερμανθὲν, αὐτοθερμότης ἐστίν. ὁ δὲ κύριος ἡμῶν εἴρηκεν, ἐγώ εἰμι ἡ ζωή. ἀλλὰ λέγω τὴν ζωὴν ταύτην τὴν ἐν σαρκὶ, καὶ ἐν τῷ χρόνῳ τούτῳ γεγεννημένην, ἣν ἔζησε διὰ τὸν πατέρα, βουλήσει γὰρ αὐτοῦ ἐπιδεδήμηκε τῷ βίῳ τῶν ἀνθρώπων. καὶ οὐκ εἶπεν ἐγὼ ἔζησα διὰ τὸν πατέρα· ἀλλ' ἐγὼ ζῶ διὰ τὸν πατέρα, σαφῶς τὸν παρόντα σημαίνων χρόνον. δύναται δὲ καὶ ζωὴν λέγειν, ἣν ζῇ ὁ κύριος τὸν λόγον τοῦ Θεοῦ ἔχων ἐν ἑαυτῷ, καὶ ὅτι τοῦτό ἐστι τὸ λεγόμενον, ἐκ τοῦ ἐπιφερομένου οἰόμεθα. καὶ ὁ τρώγων με, φησὶ, ζήσεται δι' ἐμέ, τρωγόμενοι δὲ αὐτοῦ τὴν σάρκα, καὶ πίνοντες αὐτοῦ τὸ αἷμα, κοινωνοὶ γινόμεθα τῆς ἐνανθρωπήσεως, καὶ τῆς αἰσθητῆς ζωῆς τοῦ λόγου, καὶ τῆς σοφίας, σάρκα γὰρ καὶ αἷμα, πᾶσαν αὐτοῦ τὴν μυστικὴν ἐπιδημίαν ὠνόμασε, καὶ τὴν ἐκ πρακτικῆς, καὶ φυσικῆς, καὶ θεολογικῆς συνεστῶσαν διδασκαλίαν δεδήλωκε, δι' ἧς τρέφεται ἡ ψυχὴ, καὶ πρὸς τὴν τῶν ὄντως ὄντων θεωρίαν παρασκευάζεται. καὶ τοῦτό ἐστι τὸ ἐκ τοῦ ῥητοῦ ἴσως δηλούμενον.

CAPVT VI.

Io. 14. v. 28. ET rurſus: Pater meus maior me eſt: vſæ quippè ſunt ex iſto dicto ingratæ creaturæ genimina maligni; ego verò etiam

ΚΕΦΑΛ. ϛ'

ΚΑὶ πάλιν ὁ πατήρ μου μείζων μου ἐστὶ, κέχρηνται γὰρ καὶ τούτῳ τῷ ῥητῷ τὰ ἀχάριστα κτίσματα, τὰ τοῦ πονηροῦ γεννήματα. ἐγὼ δὲ καὶ ἐν

ταύτης τῆς φωνῆς τὸ ὁμοούσιον εἶναι τὸν Υἱὸν τῷ πατρὶ δηλοῦσθαι πεπιστεύκαμεν· τὰς δὲ συγκρίσεις οἶδα κυρίως ἐπὶ τῶν τῆς αὐτῆς φύσεως γινομένας, ἄγγελον γὰρ ἀγγέλου λέγομεν μείζονα, καὶ ἄνθρωπον ἀνθρώπου δικαιότερον, καὶ πτηνὸν πτηνοῦ ταχύτερον. εἰ τοίνυν αἱ συγκρίσεις ἐπὶ τῶν ὁμοειδῶν γίνονται, μείζων δὲ κατὰ σύγκρισιν ὁ πατὴρ εἴρηται τοῦ Υἱοῦ, ὁμοούσιος ὁ Υἱὸς τῷ πατρί. ἔστι δέ τις καὶ ἄλλη ἔννοια ἐναποκειμένη τῷ ῥητῷ· τί γὰρ θαυμαστὸν εἰ μείζω αὐτοῦ τὸν πατέρα ὡμολόγησε, λόγος ὢν, καὶ σὰρξ γενόμενος, ὁπότε καὶ ἀγγέλων ὤφθη κατὰ τὴν δόξαν ἐλάττων καὶ ἀνθρώπων κατὰ τὸ εἶδος. ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, καὶ πάλιν τὸν δὲ βραχύ τι παρ' αὐτοὺς ἀγγέλους ἠλαττωμένον, καὶ τὸ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ καὶ τὸ εἶδος αὐτοῦ ἐκλεῖπον, παρὰ πάντας ἀνθρώπους. τούτων δὲ πάντων ἠνέσχετο, διὰ τὴν πολλὴν αὐτοῦ περὶ τὸ ἴδιον πλάσμα φιλανθρωπίαν, ἵνα τὸ ἀπολωλὸς πρόβατον ἀνασώσηται, καὶ τοῖς ἐνενήκοντα ἐννέα συγκαταμίξῃ, καὶ τὸν καταβάντα ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, καὶ διὰ τοῦτο περιπεσόντα λῃσταῖς εἰς τὴν οἰκείαν ὑγιαίνοντα πάλιν ἐπαναγάγῃ πατρίδα. ἢ καὶ τὴν φάτνην αὐτοῦ ὀνειδίσει ὁ αἱρετικὸς, δι' ἧς ἄλογος ὢν, ἐτράφη ὑπὸ τοῦ λόγου, καὶ τὴν πενίαν προσθήσει ὅτι κλινιδίου οὐκ εὐπόρησεν ὁ τοῦ τέκτονος υἱός; διὰ τοῦτο τοῦ πατρὸς ἐλάττων ὁ Υἱὸς, διὰ σὲ γέγονε νεκρὸς ἵνα σὲ τοῦ νεκρώματος ἀπαλλάξῃ, καὶ ζωῆς μέτοχον ἐπουρανίου ποιήσῃ. ὥσπερ ἂν εἴτις καὶ τὸν ἰατρὸν αἰτιῷτο, ὅτι συγκύπτων ἐπὶ τὰ πάθη τῆς δυσωδείας συναπολαύει, ἵνα τοὺς πεπονθότας ἰάσηται.

ex iſtâ voce conſubſtantialem Patri Filium eſſe demonſtrari credidi, noui quippe comparationes propriè fieri de his, quæ ſunt eiuſdem naturæ; Angelum enim Angelo dicimus maiorem, & hominem homine iuſtiorem, & volucrem volucre velociorem: Si igitur comparationes fiunt de his, quæ ſunt eiuſdem ſpeciei, & ſecundùm comparationem Pater dicitur Filio maior, ergò Filius eſt Patri conſubſtantialis. Verùm ineſt etiam dicto quædam alia intelligentia. Quid enim mirandum, ſi Patrem maiorem ſe confeſſus eſt, cum ſit Verbum, & caro factum, quandoquidem & Angelis viſus eſt quoad gloriam minor, & hominibus quoad formam. Minuiſti eum paulò mi- *Pſal. 8. v. 6.*
nùs ab Angelis: & rursùs: qui *Hebr. 2. v. 9.*
modico, quàm Angeli minoratus eſt &: Vidimus eum, & non *Iſai. 53. v. 2.*
habebat ſpeciem, neque decorem; ſed & ſpecies eius defectuoſa fuit præ omnibus hominibus. Hæc autem omnia ſuſtinuit propter ſuam multam ergà propriã Creaturam beneuolentiam; vt ouem, quæ perierat, redimeret, ac ſaluaret, eamque nonaginta nouem cõmiſceret; eumq; qui ab Hieruſalem deſcendebat ad Hiericho, & proptereà inciderat in latrones, rursùm ſaluatum in propriam reduceret Patriam. An etiam Præſepe ipſi exprobrabit hæreticus, in quo irrationabiliter exiſtẽs à Verbo nutritus fuit? quin Paupertatem adijciet, quod fabri filius lectuli copiam non habuerit? Idcircò Patre minor Filius, nimirum propter te; mortuus eſt, vt à morte te liberaret, ac vitæ Cæleſtis participem efficeret, veluti ſi quis etiam medicum accuſaret, quod inclinans ſe pronum ad vlcera, fœtidũ odorem participet, vt curet ægrotantes.

CAPVT VII.

Mar. 13 v. 32. Mat. 24 v. 36. PRopter te horam quoque ignorat Iudicii; enimuerò nihil veram Sapientiam latet; omnia quippè per ipſam facta ſunt, & nullus hominum, quòd fecit vnquam ignorat; at hoc diſponit propter infirmitatem tuam, ne præ anguſtia termini præſtituti hi, qui peccauerunt, concidant puſillanimitate, ac ſi pœnitentiæ non ſuperfuerit tempus, nec è contrà, qui belligerant aduerſus oppoſitam, ac vehementem potentiam ob temporis prolixitatem deſerant ordinem; vtroſque igitur per ſimulatam ignorantiam gubernat, ac regit, alteri quidem, vt certamen præclarum decertet, recidẽs, & abbreuians tempus, alteri verò propter peccatum tempus recondens pœnitentiæ: etenim cũ in Euangelijs ſe ipſum adnumerarit ignorantibus (propter plu-
Act. 1. v. 7. rimorum, vt dixi imbecillitatem) in Actibus Apoſtolorum, vt perfectis, cum exceptione ſui ipſius, poſtremo diſſerens, ait: Non eſt veſtrum noſſe tempora, vel momenta, quæ Pater in propriâ poſuit poteſtate. Hæc igitur craſſiori filo dicta ſint ſecundùm priùs propoſitum, nunc autem altiùs indaganda dicti eſt intelligentia, ac pulſanda Sapientia, ſi quomodo poſſimus excitare è
Luc. c. 11 v. 5. ſomno Patremfamilias Spirituales panes largientem ab ipſo petentibus; quandoquidem amici, & fratres ſunt, quos conuiuio ſtudemus excipere. Sancti Diſcipuli Saluatoris Noſtri ſuprà omnem contemplationem progreſſi, quoad fieri poteſt hominibus, & à Verbo purgati, finem exquirunt, ac poſtre-

ΚΕΦΑΛ. ζ'.

ΔΙὰ σὲ καὶ τὴν ὥραν τῆς κρίσεως ἀγνοεῖ, καίτοι οὐδὲν λανθάνει τὴν ὄντως σοφίαν, πάντα γὰρ δι' αὐτῆς ἐγένετο, οὐδεὶς δὲ οὐδὲ ἀνθρώπων πώποτε ὃ πεποίηκεν ἀγνοεῖ, ἀλλὰ τοῦτο οἰκονομεῖ διὰ τὴν σὴν ἀσθένειαν. ἵνα μὴ τῷ στενῷ τῆς προθεσμίας οἱ ἁμαρτήσαντες, τῇ ἀθυμίᾳ συγκαταπέσωσιν, ὡς οὐχ ὑπολελειμμένου καιροῦ μετανοίας, μηδ' αὖ πάλιν οἱ πολεμοῦντες μακρᾷ τῇ ἀντικειμένῃ δυνάμει διὰ τὸ μῆκος τοῦ χρόνου λειποτακτήσωσιν, ἑκατέρους τοίνυν διὰ τῆς προσποιήτου ἀγνοίας οἰκονομεῖ. τῷ μὲν διὰ τὸν καλὸν ἀγῶνα συντέμνων τὸν χρόνον, τῷ δὲ διὰ τῆς ἁμαρτίας καιρὸν μετανοίας ταμιευόμενος. καίτοι ἐν τοῖς εὐαγγελίοις ἑαυτὸν συγκαταριθμήσας τοῖς ἀγνοοῦσι (διὰ τὴν τῶν πολλῶν, ὡς ἔφην, ἀσθένειαν) ἐν ταῖς πράξεσι τῶν ἀποστόλων λοιπὸν ὡς παντελείοις κατ' ἰδίαν διαλεγόμενος καθυπεξαιρέσει ἑαυτοῦ φησίν. οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους, ἢ καιρούς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, καὶ ταῦτα μὲν κατὰ τὴν προτέραν ἐπιβολὴν εἴρηται παχύτερον. ἤδη δὲ ἐξεταστέον ὑψηλότερον τὴν διάνοιαν τοῦ ῥητοῦ, καὶ κρουστέον τῆς γνώσεως, εἴπως δυνηθείημεν ἐξεγεῖραι τὸν οἰκοδεσπότην, τὸν τοὺς πνευματικοὺς ἄρτους διδόντα τοῖς αἰτοῦσιν αὐτόν, ἐπειδὴ φίλοι καὶ ἀδελφοί εἰσιν, οὓς ξενίσαι σπουδάζομεν. οἱ ἅγιοι μαθηταὶ τοῦ σωτῆρος ἡμῶν ἐπέκεινα θεωρίας ὡς ἐν ἀνθρώποις ἐλθόντες, καὶ καθαρθέντες ὑπὸ τοῦ λόγου τὸ τέλος ἐπιζητοῦσι, καὶ τὴν ἐσχάτην μακαριότητα γνῶναι ποθοῦσιν, ὅπερ ἀγνοεῖν καὶ τοὺς ἀγγέλους αὐτοῦ, καὶ ἑαυτὸν ὁ κύριος ἀπεφήνατο. ἡμέραν μέν, λέγων, πᾶσαν τὴν ἀκριβῆ κατα-

ληψιν τῶν ἐπινοιῶν τοῦ Θεοῦ, ὥραν δὲ τὴν τῆς ἑνάδος, καὶ μονάδος θεωρίαν, ὧν τὴν εἴδησιν μόνῳ προσένειμε τῷ πατρί.

poſtremam beatitudinem noſſe concupiſcunt, quod ignorare tú ſuos Angelos, tùm ſeipſum Dominus reſponderat, diem quidem nuncupans omnem diligentem comprehenſionem cogitationum Dei, horam verò Speculationem Vnitatis, & Singularitatis, quorum ſcientiam ſoli Patri attribuit.

ΚΕΦΑΛ. η΄.

Υπονοῶ τοίνυν, ὅτι ἐκεῖνο λέγεται περὶ ἑαυτοῦ εἰδέναι ὁ Θεὸς, ὅπερ ἐστὶ, κἀκεῖνο μὴ εἰδέναι, ὅπερ οὐκ ἔστι. δικαιοσύνην μὲν γὰρ, καὶ σοφίαν λέγεται εἰδέναι Θεὸς, αὐτοδικαιοσύνη, καὶ σοφία ὑπάρχων, ἀδικίαν, καὶ πονηρίαν ἀγνοεῖ. οὐ γάρ ἐστιν ἀδικία, καὶ πονηρία ὁ κτίσας ἡμᾶς Θεός. εἰ τοίνυν ἐκεῖνο λέγεται περὶ ἑαυτοῦ εἰδέναι Θεὸς, ὅπερ ἐστὶ, κἀκεῖνο μὴ εἰδέναι ὅπερ οὐκ ἔστιν. οὐκ ἔστι δὲ ὁ κύριος ἡμῶν Χριστὸς τὴν τῆς ἐνανθρωπήσεως ἐπίνοιαν, καὶ παχυτέραν διδασκαλίαν τὸ ἔσχατον ὀρεκτὸν, οὐκ ἄρα οἶδεν ὁ σωτὴρ ἡμῶν τὸ τέλος, καὶ τὴν ἐσχάτην μακαριότητα, ἀλλ' οὐδὲ οἱ ἄγγελοι, φησὶν, ἴσασι, τουτέστιν, οὐδὲ ἡ ἐν αὐτοῖς θεωρία, καὶ οἱ λόγοι τῶν διακόνων, εἰσὶ τὸ ἔσχατον ὀρεκτόν. παχεῖα γὰρ καὶ τούτων ἡ γνῶσις συγκρίσει τοῦ προσώπου πρὸς πρόσωπον, μόνος δὲ ὁ πατὴρ (φησὶν) ἐπίσταται, ἐπειδὴ αὐτός ἐστι τὸ τέλος καὶ ἡ ἐσχάτη μακαριότης ὅταν γὰρ Θεὸν μηκέτι ἐν τοῖς κατόπτροις, μηδὲ διὰ τῶν ἀλλοτρίων, ἐπιγινώσκωμεν ἀλλ' αὐτῷ ὡς μόνῳ καὶ ἑνὶ προσέλθωμεν, τότε καὶ τὸ ἔσχατον τέλος εἰσόμεθα, Χριστοῦ γὰρ βασιλείαν φασὶν εἶναι πᾶσαν τὴν ἔνυλον γνῶσιν, τοῦ δὲ Θεοῦ, καὶ πατρὸς τὴν ἄϋλον, καὶ ὡς ἂν εἴποι τις αὐτῆς γυμνῆς τῆς θεότητος θεωρίαν.

CAPVT VIII.

Itaque intelligo, quod dicitur de ſe ipſo Deus illud ſcire, quod ipſe exiſtit; illud verò neſcire, quod ipſe non eſt; Iuſtitiam enim, & Sapientiam dicitur ſcire Deus, cum idem ipſa ex ſe ipſo exiſtat Iuſtitia, & Sapientia; Iniuſtitiam verò, ac malitiam neſcire; nec enim eſt iniuſtitia, ac malitia, qui nos creauit Deus; etenim ſi illud dicitur de ſe ipſo ſcire Deus, quod ipſe eſt, illud neſcire, quod ipſe non exiſtit, non eſt autem Dominus noſter vltimum deſiderabile, ſecundùm intelligentiam humanitatis Aſſumptæ, craſſioremque doctrinam, ergò nec nouit Saluator noſter finem, ac poſtremam beatitudinem; ſed nec Angeli (ait) ſciunt; hoc eſt, nec quæ in ipſis eſt ſpeculatio, & ratiocinationes miniſtrorum, ſunt vltimum deſiderabile, craſſa enim horum eſt etiam cognitio, comparatione eius, quæ facie ad faciem videbitur; ſolus autem Pater (inquit) ſcit; quoniam ipſe eſt finis, & vltima beatitudo; quando namque Deum, nec in ſpeculis, neq; per aliena dignoſcimus, ſed ad ipſum vti ſolum, ac vnum attingimus, tunc etiam vltimum finem ſciemus: Chriſti nempè Regnum dicunt eſſe omnem cognitionem materialem, Dei verò, & Patris, immaterialem, & perinde, ac ſi quis diceret, ipſius nudæ Deitatis diſpectionem.

CAP.

CAPVT IX.

ESt autem Dominus noſter, & ipſe finis, & vltima beatitudo ſecundùm intelli-
Ioan.6. v.40. gentiam Verbi. Quid enim ait in Euangelio? Et ego reſuſcitabo eum in Nouiſſimo die;Reſurrectionem dicens tranſitionem à materiali cognitione ad immaterialem contemplationem, Nouiſſimum autē Diem ipſum vocans; poſt quem non eſt alter; tunc enim mens noſtra expergiſcitur, & ad beatam excitatur celſitudinem, quando contemplabitur Vnitatem, & Singularitatem Verbi: Sed quoniam intellectus noſter impinguatus nūc colligatus eſt humo, ac luto commiſcetur, atque ſimplici ſpeculatione non poteſt perſpicaciùs intueri, per cognatas ſui corporis diſciplinas directus, operationes Cōditoris mente comprehendit, & eas ab effectibus intereà dignoſcit, vt, ſic paulatim adſurgens, valeat aliquando ad ipſam quoque nudam peruenire Deitatem; & ſecundùm iſtam, arbitror, intelligentiam, dictum etiam fuiſ-
Ioan.14. v.25. ſe illud: Pater maior me eſt: &
Matt. 20.v.23. hoc: Non eſt meum dare, ſed
Mar.10. v.40. quibus paratum eſt à Patre. Iſtud eſt enim & Chriſtum tradere Re-
1.Cor.15 v.24. gnum Deo, & Patri: cum ſit Primitiæ, & non finis, iuxtà craſſiorem, vt dixi, Doctrinam, quæ quaſi reſpectu noſtrum, & non reſpectu ipſius Filij conſideratur. Quod autem iſtud ita ſe habeat; rursùs Diſcipulis interrogantibus in Actibus Apoſtolorū illud: Quando reſtitues Regnum Iſrael? ait: Non eſt veſtrum noſſe tempora, vel
Act.1. v.7. momenta, quæ Pater poſuit in ſuâ poteſtate; ideſt: non ad eos, qui carne ſunt deuincti, ac ſanguine, notitia Regni huiuſcemodi ſpectat; hanc

ΚΕΦΑΛ. θʹ.

Ἔστι δὲ καὶ ὁ κύριος ἡμῶν, καὶ αὐτὸς τὸ τέλος, καὶ ἡ ἐσχάτη μακαριότης, κατὰ τὴν τοῦ λόγου ἐπίνοιαν. τί γάρ, φησιν, ἐν τῷ εὐαγγελίῳ; κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, ἀνάστασιν λέγων, τὴν ἀπὸ τῆς ἐνύλου γνώσεως ἐπὶ τὴν ἄϋλον θεωρίαν μετάβασιν. ἐσχάτην δὲ ἡμέραν ταύτην εἰπών, μεθ' ἣν οὐκ ἔστιν ἑτέρα, τὸ τηνικαῦτα γὰρ ὁ νοῦς ἡμῶν ἐξανίσταται, καὶ πρὸς ὕψος μακάριον διεγείρεται, ὁπηνίκα ἂν θεωρήσοι τὴν ἑνάδα, καὶ μονάδα τοῦ λόγου, ἀλλ' ἐπειδὴ νῦν παχυνθεὶς ἡμῶν ὁ νοῦς τῷ χοῒ συνεδέθη, καὶ τῷ πηλῷ συμφύρεται, καὶ ψιλῇ τῇ θεωρίᾳ ἐνατενίζειν ἀδυνατεῖ, διὰ τῶν συγγενῶν τοῦ σώματος αὐτοῦ κοσμίων ποδηγούμενος, τὰς ἐνεργείας τοῦ κτίστου κατανοεῖ, καὶ ταύτας ἀπὸ τῶν ἀποτελεσμάτων πως ἐπιγινώσκει, ἵνα οὕτω κατὰ μικρὸν αὐξηθεὶς ἰσχύσῃ ποτέ, καὶ αὐτῇ γυμνῇ προσελθεῖν τῇ θεότητι, κατὰ ταύτης δὲ οἶμαι τὴν ἐπίνοιαν εἰρῆσθαι, καὶ τό, ὁ πατήρ μου μείζων μού ἐστι, καὶ τὸ οὐκ ἔστιν ἐμὸν δοῦναι ἀλλ' οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός. τοῦτο γάρ ἐστι καὶ τὸ παραδοῦναι τὴν Βασιλείαν τὸν Χριστὸν τῷ Θεῷ, καὶ πατρὶ ἀπαρχὴν ὄντα καὶ οὐ τέλος κατὰ τὴν παχυτέραν ὡς ἔφην διδασκαλίαν, ἥτις ὡς πρὸς ἡμᾶς, καὶ οὐ πρὸς αὐτὸν τὸν Υἱὸν θεωρεῖται. ὅτι δὲ τοῦτο οὕτως ἔχει, πάλιν ἐρωτήσασι τοῖς μαθηταῖς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, τό, πότε ἀποκαθιστάνεις τὴν Βασιλείαν τῷ Ἰσραήλ; φησίν, οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους, ἢ καιρούς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, τουτέστιν οὐ τῶν συν-

δεδεμένων σαρκὶ, καὶ αἵματι τῆς τοιαύτης Βασιλείας ἡ γνῶσις, ταύτην γὰρ τὴν θεωρίαν ὁ πατὴρ ἐναπέθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, ἐξουσίαν λέγων τοὺς ἐξουσιαζομένους, ἰδίους δὲ τὸν μὴ μετέχει ἄγνοια τῶν κατωτέρω πραγμάτων. χρόνους δὲ καὶ καιροὺς μή μοι νόει αἰσθητῶς, ἀλλὰ διαστήματα τινὰ γνώσεως, ὑπὸ τοῦ νοητοῦ ἡλίου γινόμενα.

hanc enim contemplationem repoſuit in poteſtate propriâ Pater, poteſtatem dicens eos, qui ſunt ſub poteſtate, proprios verò eos, qui non ſunt participes ignorantiæ rerum inferiorum; tempora verò, & momenta ne ſenſibiliter intelligas, verum ſpatia quædam interpoſita cognitionis facta à Sole intellectuali.

ΚΕΦΑΛ ι.

ΔΕῖ γὰρ τὴν προσευχὴν ἐκείνην ἐπὶ πέρας ἀχθῆναι τοῦ δεσπότου ἡμῶν. Ἰησοῦς γάρ ἐστιν ὁ προσευξάμενος, δὸς αὐτοῖς, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι, καθὼς κἀγὼ, καὶ σὺ ἓν ἐσμὲν πάτερ· εἷς γὰρ ὢν ὁ Θεὸς ἐν ἑκάστῳ γινόμενος, ἑνοῖ τοὺς πάντας, καὶ ἀπόλλυται ὁ ἀριθμὸς τῇ τῆς μονάδος ἐπιδημίᾳ. κἀγὼ μὲν οὕτως ἐπέβαλον τῷ ῥητῷ κατὰ τὴν δευτέραν ἐπιχείρησιν. εἰ δέ τις βέλτιον λέγοι, ἢ διορθοῖ εὐσεβῶς τὰ ἡμέτερα, καὶ λεγέτω, καὶ διορθούσθω. καὶ κύριος ἀνταποδώσει ὑπὲρ ἡμῶν. οὐδεὶς γὰρ παρ' ἡμῶν αὐλίζεται φθόνος, ὅτι μηδὲ φιλονεικίας ἕνεκεν, ἢ κενοδοξίας, ἐπὶ τὴν δὲ τὴν ἐξέτασιν τῶν ῥημάτων κεχωρήκαμεν, ἀλλ' ὠφελείας ἕνεκεν τῆς τῶν ἀδελφῶν ὑπὲρ τοῦ μὴ δοκεῖν παραχρῆσθαι τὰ ὀστράκινα σκεύη, τὰ τὸν θησαυρὸν ἔχοντα τοῦ Θεοῦ ὑπὸ τῶν λιθοκαρδίων, καὶ ἀπεριτμήτων ἀνθρώπων τῶν ἐκ τῆς μωρίας ὅπλοις ὡπλισμένων σοφίας. πάλιν διὰ τοῦ σοφοῦ Σολομῶντος ἐν παροιμίαις, κτίζεται, κύριος γάρ φησιν ἔκτισέ με. καὶ ἀρχὴ ὁδῶν εὐαγγελικῶν ὀνομάζεται, ἀγουσῶν ἡμᾶς εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν, οὐ κατὰ τὴν οὐσίαν τεθεὶς, ἀλλὰ κατὰ τὴν οἰκονομίαν ὁδὸς γεγονώς. τὸ γὰρ γεγο-

CAPVT X.

OPortet igitur Orationem illam Domini Noſtri ad finem perduci: Ieſus nempè eſt, qui orat: Da ipſis, vt & ipſi ſint vnum in nobis, quemadmodum ego, & tu vnum ſumus! Pater: Vnus enim cum ſit Deus in vnoquoque exiſtens vnit omnes, ſicq; deperit numerus vnitate ſuperueniente; & ego quidem ita ſum aggreſſus iuxtà poſteriorē argumētationem. Si quis verò meliùs diceret, aut piè corrigeret noſtra; & dicantur, & corrigantur, ac Dominus viciſſim retribuet pro nobis; nulla quippe apud nos excubat inuidia, quia neque ob contentionem, aut vanam gloriā dictorum diſcuſſionem percepimus; verum vtilitatis fratrum cauſsâ, ne Vaſa fictilia, quæ theſaurum in ſe Dei continent, reijci videantur ab hominibus, qui lapideo ſunt corde, quiuè incircumciſi viuunt; & ex fatuitate armis Sapientiæ ſunt armati: rursùs per Sapientem Salomonem in Prouerbijs creatur: ait namque: Dominus creauit me, ac principium viarum Euangelicarum nominatur deducentium nos in Regnum Cælorum, non ſecundùm eſſentiam poſitus, at ſecun dùm prouidentiam effectus ipſe via; fieri namque,

Ioan. 10. v. 30.

2. Corin. c. 4. v. 7. Ezec. 11. v. 19. & 36. v. 26. Act. 7. v. 50.

Prouer. 8 v. 22.

atque creari idipſum ſignificat: quo modo enim Via fuit; ita & Porta, & Paſtor, & Angelus, & Ouis, & è diuerſo, Summus Sacerdos, & Apoſtolus; alijs ſecundùm aliam intelligentiam nominibus poſitis. Ecquid diceret iterùm Hæreticus de Deo ſubijci
2 Cor. 5. v. 21. recuſante, & pro nobis facto peccatum? Nam ſcriptum eſt: Quã-
1. Cor. 15. v. 28. do ipſi omnia fuerint ſubiecta, tùc & ipſe filius ſubiectus erit ei, qui ſubiecit ſibi omnia. Nonne times, ò homo Deum, qui refractarius per te nominatur? tuam namq; ſubiectionem ſui propriam facit, dumque tu Virtuti reniteris, ſeipſum nominat refractarium.

γένεσθαι, καὶ τὸ κτισθῆναι ταυτὸν δηλοῖ. πῶς γὰρ ὁδὸς γέγονεν, οὕτω καὶ θύρα, καὶ ποιμὴν, καὶ ἄγγελος, καὶ πρόβατον. καὶ πάλιν ἀρχιερεὺς, καὶ ἀπόστολος. ἄλλων κατ' ἄλλην ἐπίνοιαν τῶν ὀνομάτων κειμένων. τί δ' ἂν εἴποι πάλιν ὁ αἱρετικὸς περὶ τοῦ ἀνυποτάκτου Θεοῦ, καὶ τοῦ δι' ἡμᾶς ἁμαρτία γεγενημένου; γέγραπται γὰρ, ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα. οὐ φοβῇ ἄνθρωπε ἀνυπότακτον τὸν. Θεὸν ὀνομαζόμενον διὰ σέ; τὴν γὰρ σὴν ὑποταγὴν ἰδίαν ποιεῖται, καὶ ἐν τῷ ἀντιτείνειν σε πρὸς τὴν ἀρετὴν ἀνυπότακτον ἑαυτὸν ὀνομάζει.

CAPVT XI.

SIC etiam ſeipſum dixit quondam eſſe perſequutioni ob-
Act. 9. v. 4. noxium; ait namquè: Saule quid me perſequeris? quando Damaſcũ adcurrebat Diſcipulos Chriſti vinculis alligare volens, & rurſùs vocitat ſe nudum, vno quopiam fratrum denudato; ait enim:
Mat. 25. v. 36. Nudus eram, & veſtiſtis me; & alio poſito in carcere teſtatur, ſe ipſum in Cuſtodia coercitũ. Ipſe
Iſaia 53. v. 4. infirmitates noſtras tulit, & ægri-
Matt. 8. v. 17. tudines portauit; infirmitatum
1. Io. 3. v. 5. autem vna eſt non ſubiectio, ſinè inobedientia, iſtam quoque ſub-
1. Pet. 2. v. 29. iecit: idircò & quæ contingunt nobis calamitoſa Dominus propria ſua facit, ob communionem, quam nobiſcum habet, ſuſcipiens noſtras paſſiones: Verùm qui Deo repugnant, ad ſubuerſionem audientium hoc etiam accipiunt, nimirùm: Nihil poteſt facere filius à ſe ipſo; at mihi iſtud quoque dictum maximè deſignat, eiuſdem na-

ΚΕΦΑΛ. ια'.

ΟΥτω ποτὲ καὶ ἑαυτὸν ἔφη εἶναι τὸν διωκόμενον. σαῦλε γάρ φησι σαῦλε τί με διώκεις; ἡνίκα ἐπὶ δαμασκὸν ἔτρεχε τοῖς μαθηταῖς τοῦ Χριστοῦ συνδῆσαι βουλόμενος. καὶ πάλιν γυμνὸν ἑαυτὸν ὀνομάζει ἑνὸς τῶν ἀδελφῶν γυμνητεύοντος. γυμνὸς γάρ φησιν ἤμην, καὶ περιεβάλετέ με. καὶ ἄλλου ἐν φυλακῇ ὄντος, ἑαυτόν φησιν εἶναι τὸν καθειργμένον, αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἦρε, καὶ τὰς νόσους ἐβάστασεν, εἰ δὲ τὰς νόσους, καὶ τὰς ἀσθενείας ἡμῶν ἐβάστασε, μία δὲ τῶν ἀσθενειῶν ἐστὶ καὶ ἡ ἀνυποταξία, καὶ ταύτην ὑπέταξε, διὸ καὶ τὰ συμβαίνοντα ἡμῖν περιστατικὰ ἰδιοποιεῖται ὁ κύριος ἐκ τῆς πρὸς ἡμᾶς κοινωνίας τὰ ἡμέτερα πάθη ἀναδεχόμενος. ἀλλὰ καὶ τὸ, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, λαμβάνουσιν οἱ θεομάχοι ἐπὶ καταστροφῇ τῶν ἀκου-

ὄντων. ἐμοὶ δὲ καὶ τοῦτο τὸ ῥητὸν μάλιστα καταγγέλλει τῆς αὐτῆς φύσεως εἶναι τὸν Υἱὸν τῷ πατρί· εἰ γὰρ ἕκαστον τῶν λογικῶν κτισμάτων δύναταί τι ποιεῖν ἀφ' ἑαυτοῦ, αὐτεξούσιον ὄν, καὶ ἴσην ἔχον τὴν ἐπὶ τὸ κρεῖττόν τε καὶ χεῖρον ῥοπήν, ὁ δὲ Υἱὸς οὐ δύναταί τι ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν. οὐ κτίσμα ὁ Υἱός, εἰ δὲ μὴ κτίσμα, ὁμοούσιος τῷ πατρί, καὶ πάλιν οὐδὲν τῶν κτισμάτων ὁμοίως ἐνεργεῖ τῷ Θεῷ· ὁ δὲ Υἱὸς ἅπερ ἂν βλέπῃ τὸν πατέρα ποιοῦντα, ταῦτα καὶ αὐτὸς ὁμοίως ποιεῖ, οὐκ ἄρα κτίσμα ὁ Υἱός. καὶ ἄλλως οὐδὲν τῶν κτισμάτων πάντα ὅσα βούλεται δύναται, ὁ δὲ Υἱὸς ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς πάντα ὅσα ἠθέλησεν ἐποίησεν, οὐκ ἄρα κτίσμα ὁ Υἱός, καὶ πάλιν πάντα τὰ κτίσματα τῶν ἐναντίων ἐστὶ δεκτικά. ὁ δὲ Υἱὸς αὐτοδικαιοσύνη, καὶ ἄϋλός ἐστιν, οὐκ ἄρα κτίσμα ὁ Υἱός. εἰ δὲ μὴ τοῦτο, ὁμοούσιος τῷ πατρί, καὶ αὕτη μὲν αὐτάρκης ἡμῖν ἡ ἐξέτασις κατὰ τὴν δύναμιν ἡμετέραν τῶν προτεθέντων ῥητῶν. ἤδη δὲ λοιπὸν, καὶ πρὸς τοὺς ἀντιπίπτοντας τῷ πνεύματι τῷ ἁγίῳ τῷ λόγῳ χωρήσομεν καθαιροῦντες αὐτῶν πᾶν ὕψωμα διανοίας, ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ.

turæ Filium cum Patre; Si enim vnaquæq; rationalis Creatura poteſt aliquid facere à ſe ipſâ, cum ſit liberi arbitrij, ac parem habeat ad bonum; & malum propenſionem; Filius autem minimè poteſt aliquid à ſe ipſo facere; ergò Filius non eſt Creatura, at ſi non Creatura, ergo conſubſtantialis eſt Patri; & rurſus: Nulla Creatura ſimiliter operatur cum Deo; Filius verò quæcumque videt Patrem facientem, ea & ipſe ſimiliter faciet, non igitur Creatura eſt Filius: & aliàs: Nulla Creatura omnia quæcumque vult poteſt; Filius autem in Cælo, & in Terra omnia, quæcumque voluit fecit. Ergo non eſt Creatura Filius; *Pſal. 134 v. 6.* Ac denuò: Omnes Creaturæ contrariorum ſunt capaces, ipſe autem Filius Iuſtitia eſt, atq; immaterialis. Non ergò Creatura eſt Filius; Si verò nec iſtud (ſcilicèt non eſt Creatura) ergò conſubſtantialis eſt Patri: Verum hæc à nobis propoſitarum ſententiarum diſquiſitio ſecúdùm noſtras vires ſatis, ſuperque ſufficiat; Cæterum cõtra aduerſantes Spiritui Sancto mox procedemus ſermone, omnem mentis ipſorum elationem deſtruentes, quæ ſeſe effert aduerſus Dei Sapientiam. *2. Corin. 10. v. 5.*

ΚΕΦΑΛ. ιϛ.

Κτίσμα λέγεις τὸ πνεῦμα τὸ ἅγιον; πᾶν δὲ κτίσμα, δοῦλόν ἐστι τοῦ κτίσαντος, τὰ γὰρ σύμπαντα δοῦλα σά, εἰ δὲ δοῦλον, καὶ ἐπίκτητον ἔχει τὴν ἁγιότητα, οὐκ ἀνεπίδεκτόν ἐστι κακίας, τὸ δὲ πνεῦμα τὸ ἅγιον κατ' οὐσίαν ἅγιον ὄν, πηγὴ ἁγιασμοῦ προσαγορεύεται, οὐκ ἄρα κτίσμα τὸ ἅγιον πνεῦμα,

CAPVT XII.

Creaturam dicis Spiritum Sanctum? atqui omnis Creatura ſerua eſt eius, qui creauit ipſam; omnia quippe ſeruiunt tibi. *Pſ. 118. v. 92.* Si verò ſerua eſt, & aliundè acquiſitam habet Sanctitatem, nõ eſt incapax admittere malitiam; cum autem Spiritus Sanctus ſecundùm eſſentiam Sanctus ſit, fons Sanctitatis appellatur; non igitur Creatura eſt Spiritus Sanctus;

Si verò non eſt Creatura, ergò conſubſtantialis eſt Patri. Quomodo verò ſeruum vocas, dicito mihi, eum, qui per Baptiſmum te liberat à ſeruitute (ait quippe) Lex Spiritus Vitæ liberauit me à lege peccati. Sed nec audeas ipſius eſſentiam mutabilem dicere, reſpiciens ad naturam oppoſitæ poteſtatis, quæ veluti ſulgur è Cælo decidit, exciditque à vera Vita, eo quod habuerit aliunde acquiſitam Sanctitatem, ac malum cōſilium mutatio ſubſequuta fuerit; ſiquidem cum delapſus fuiſſet ab vnitate, atque Angelicam abiecisſet dignitatem, ex immutatione Diabolus nuncupatus eſt, reſtinctâ quidē primâ ipſius, ac beatâ habitudine, ſuccenſâ verò hac potentiâ oppoſita. Deindè ſi Creaturam dicit Spiritum Sanctum terminatam ipſius naturam introducit, quomodo igitur conſiſtet illud: Spiritus Domini repleuit Orbem terrarum, & hoc: Quo ibo à Spiritu tuo? Sed neque ſimplicem, (vt videtur) ipſum naturâ confitetur, numero enim vnum ipſum denominat, omne autem, quod vnum eſt numero, id non eſt ſimplex, vt dixi; Si verò non ſimplex eſt Spiritus Sanctus, ex eſſentia, & Sanctificatione conſtat, at hoc tale compoſitum eſt, iam quis ita demens, vt compoſitum dicat Spiritum Sanctum, & non ſimplicem, ac ſecundùm rationem ſimplicitatis conſubſtantialem Patri, & Filio? Verùm ſi oporteat adhærere rationi, et maiora diſpicere, ex hoc maximè Diuinam Virtutem Spiritus Sancti contemplabimur.

Ad Roman. 8. v. 2.

Sap. 1. v. 9.
Psal. 138 v. 7.

εἰ δὲ μὴ κτίσμα, ὁμοούσιον ἐστὶ τῷ πατρί, πῶς δὲ δοῦλον ἀποκαλεῖς, εἰπέ μοι, τὸν διὰ τοῦ βαπτίσματος ἐλευθεροῦντά σε τῆς δουλείας. ὁ γὰρ νόμος, φησί, τοῦ πνεύματος τῆς ζωῆς, ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας, ἀλλ' οὐ δὲ τρεπτὴν αὐτοῦ τολμήσεις ποτὲ τὴν οὐσίαν εἰπεῖν, ἀφορῶν εἰς τὴν φύσιν τῆς ἀντικειμένης δυνάμεως. ἥτις ὡς ἀστραπὴ πέπτωκεν ἐκ τοῦ οὐρανοῦ, καὶ ἐξέπεσε τῆς ὄντως ζωῆς. διὰ τὸ ἐπίκτητον ἐσχηκέναι τὴν ἁγιότητα. καὶ ἐπηκολουθηκέναι τῇ κακῇ βουλῇ τὴν ἀλλοίωσιν. τοιγαροῦν καὶ ἐκπεσὼν τῆς μονάδος, καὶ τὸ ἀγγελικὸν ἀπορρίψας ἀξίωμα, ἀπὸ τοῦ τρόπου ὠνομάσθη διάβολος. ἀποσβεσθείσης μὲν αὐτοῦ τῆς προτέρας, καὶ μακαρίας ἕξεως, τῆς δὲ ἀντικειμένης ταύτης δυνάμεως ἀναφθείσης· ἔπειτα εἰ κτίσμα λέγει τὸ Πνεῦμα τὸ Ἅγιον, πῃ περατουμένην τὴν φύσιν αὐτοῦ εἰσάγει, πῶς οὖν σταθήσεται τὸ Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην, καὶ τό, ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, ἀλλ' οὐδὲ ἁπλοῦν, ὡς ἔοικεν, αὐτὸ τῇ φύσει ὁμολογεῖ. ἀριθμῷ γὰρ ἓν αὐτὸ ὀνομάζει, πᾶν δὲ τὸ ἓν ἀριθμῷ, τοῦτο οὐχ ἁπλοῦν, ὡς ἔφην, ἐστίν, εἰ δὲ μὴ ἁπλοῦν ἐστὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ἐξ οὐσίας, καὶ ἁγιασμοῦ συνέστηκε. τὸ δὲ τοιοῦτον σύνθετον, καὶ τίς οὕτως ἀνόητος, ὡς σύνθετον εἰπεῖν τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ μὴ ἁπλοῦν, καὶ κατὰ τὸν τῆς ἁπλότητος λόγον, ὁμοούσιον πατρί, καὶ Υἱῷ; εἰ δὲ δεῖ προσεσμένειν τῷ λόγῳ, καὶ ἐποπτεῦσαι τὰ μείζονα, ἐκ τούτου μάλιστα τὴν θεϊκὴν δύναμιν τοῦ Ἁγίου Πνεύματος θεωρήσομεν.

CAP.

ΚΕΦΑΛ. ιγʹ.

Τρεῖς κτίσεις ὀνομαζομένας εὑρίσκομεν ἐν τῇ θείᾳ γραφῇ, μίαν μὲν, καὶ πρώτην τὴν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγήν, δευτέραν δὲ τὴν ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον ἀλλοίωσιν· καὶ τρίτην τὴν ἐξανάστασιν τῶν νεκρῶν, ἐν ταύταις εὑρίσκεις συνεργὸν πατρί, καὶ Υἱῷ τὸ Πνεῦμα τὸ Ἅγιον. οὐρανῶν γὰρ οὐσίωσις. καὶ τί φησιν ὁ Δαβίδ; τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν, καὶ πάλιν ἄνθρωπος διὰ Βαπτίσματος κτίζεται. εἴ τις γὰρ ἐν χριστῷ καινὴ κτίσις, καὶ τί φησὶ τοῖς μαθηταῖς ὁ σωτήρ; ἀπελθόντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· ὁρᾷς κἀνταῦθα συμπαρὸν τὸ Πνεῦμα τὸ Ἅγιον πατρί, καὶ Υἱῷ. τί δ' ἂν εἴποι, καὶ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν, ὅταν ἐκλείψωμεν, καὶ εἰς τὸν χοῦν ἡμῶν ἐπιστρέψωμεν (γῆ γὰρ ἐσμὲν, καὶ εἰς γῆν ἀπελευσόμεθα) καὶ ἀποστελεῖ τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ κτίσει ἡμᾶς, καὶ ἀνακαινίσει τὸ πρόσωπον τῆς γῆς; ἣν γὰρ Παῦλος ὁ Ἅγιος ἐξανάστασιν εἴρηκε, ταύτην Δαβὶδ ἀνακαινισμὸν προσηγόρευσεν. ἀκούσωμεν δὲ πάλιν τοῦ ἁρπαγέντος ἕως τρίτου οὐρανοῦ, τί φησιν. οὐκ οἴδατε ὅτι ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστε; πᾶς δὲ ναὸς, Θεοῦ ναός; εἰ δὲ ναός ἐσμεν τοῦ Πνεύματος τοῦ Ἁγίου, Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον. λέγεται δὲ καὶ ναὸς ὁ Σολομῶντος, ἀλλ' ὡς κατασκευάσαντος· εἰ δὲ οὕτως ἐσμὲν ναοὶ τοῦ ἁγίου πνεύματος, Θεὸς τὸ πνεῦμα τὸ ἅγιον, ὁ γὰρ πάντα κατασκευάσας, Θεός, εἰ δὲ ὡς προσκυν-

CAPVT XIII.

TRes creationes nominatas inuenimus in Diuina Scriptura, vnam quidem, & primam, à non eſſe ad eſſe productionem, ſecundam verò, à deteriori ad melius immutationem, ac tertiā, mortuorum reſurrectionem. In his comperies cooperatorem Patri, & Filio Spiritum Sanctum. Cælorum enim Subſtantificatio eſt: & quid ait Dauid? Verbo Domini Cæli firmati ſunt, & Spiritu oris eius omnis Virtus eorum: & rurſus Homo per Baptiſmum creatur. Si quis enim in Chriſto noua Creatura. Et quid ait Diſcipulis Saluator? Euntes docete omnes gentes, Baptizantes ipſos in nomine Patris, & Filij, & Spiritus Sancti. Vides hîc etiam Spiritum Sanctum coëxiſtentem Patri, & Filio? Quid autem dicat & de Reſurrectione mortuorū, quando deficiemus, & in humum noſtram conuertemur (terra nāque ſumus, & in terram reuertemur) & emittet Spiritum Sanctū; & creabit nos, & renouabit faciem Terræ? quam enim Paulus Reſurrectionem dixit, ipſam Dauid renouationem appellauit; ac denuò eumdem, qui ad tertium vſque Cælum raptus eſt, audiamus quid dicit: Neſcitis quod Templum eſtis Spiritus Sancti, qui in vobis habitat? omne verò Templum, Dei Templum eſt, ſi autem Templum ſumus Spiritus Sancti, Spiritus Sanctus Deus eſt: dicitur verò Templum illud etiā Salomonis, ſed vt conſtructoris, ſique ita ſumus Spiritus Sancti Templa, Deus eſt Spiritus Sanctus, Deus quippè eſt, qui omnia ædificauit, ſi verò Templa ſumus Spiritus Sancti, vt adorati, & in-

Pſal. 32. v.6.

Ad Gal. c.6.v.15.

Matth. 28.v.19.

Gen. 3. v.19.

Pſ 103. v.30.

1. Cor. 6. v.19.

& inhabitantis in nobis, confitere, ipſum eſſe Deum: Matt. 4. v. 10. Deuter. 6. v. 13. Dominum enim Deum tuum adorabis, & ipſi ſoli ſeruies.

CAPVT XIV.

AT ſi vocem hanc (Deus) auerſentur, ediſcant, cuius ſignificatiuum eſt iſtud nomẽ; Interpretari enim valet quis hoc nomen (Deus) nimirum componere, & peruidere: Si ergò Deus dicitur à peruidendo, & componendo, Spiritus autem Sanctus 1. Cor. 2. v. 11. omnia, quæ Dei ſunt cognoſcit, vti noſtra dignoſcit Spiritus, qui eſt in nobis; ergò Deus eſt Spiritus Sanctus. Ac iterùm: Si gla- Ad Eph. 6. v. 17. dius Spiritus eſt Verbum Dei, Deus profectò Spiritus Sanctus eſt; illius namque gladius eſt, cuius & Verbum vocatur, & dextera Patris Filius nominatur: Dex- Pſ. 117. v. 16 Exod. 15 v. 6. tera enim Domini fecit virtutẽ, & dextera manus Domini vulnerauit inimicos, digitus autem Dei Spiritus Sanctus, iuxtà dictum Luc. 11 v. 20. hoc: Si ego in digito Dei eijcio Dæmonia; quod in alio Euange- Mat. 12. v. 28. lio ſcriptum eſt: Si ego in Spiritu Dei eijcio Dæmonia. Ergò eiuſdem naturæ cum Patre, & Filio eſt Spiritus Sanctus. Ac de adorandâ quidem, & Sanctâ Trinitate tanta nobis in præſentiarũ dicta ſunto; nec enim poſſibile modò eſt latiorem de illa ſermonem diſcutere: vos autem, qui ab humilitate noſtrâ ſemina recepiſtis, ſpicam maturam vobis ipſis excolite, ac amplificate; quandoquidem, vti noſtis, vſuras etiam ex huiuſcemodi inſuper exigimus. At in Deo confido, quod fructus referetis, & ad triginta, & ad ſexaginta, & centum ob vitæ veſtræ puritatem; Beati nempè, qui

ὑμνουμένου, καὶ ἐνοικοῦντος ἐν ἡμῖν, ὁμολογήσατε αὐτὸ εἶναι Θεόν· κυρίῳ γὰρ τῷ Θεῷ σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις.

ΚΕΦΑΛ. ιδʹ.

ΕΙ δὲ τὴν Θεὸς φωνὴν παραιτοῖτο μανθανέτωσαν τίνος ἐστὶ σημαντικὸν τὸ ὄνομα τοῦτο. διὰ γὰρ τὸ τεθεικέναι τὰ πάντα, καὶ θεᾶσθαι Θεὸς ἑρμηνεύεται. εἰ τοίνυν Θεὸς εἴρηται διὰ τὸ θεᾶσθαι, ἢ τεθεικέναι τὰ πάντα, τὸ δὲ Πνεῦμα τὸ Ἅγιον πάντα γινώσκει τὰ τοῦ Θεοῦ, ὡς τὸ πνεῦμα τὸ ἐν ἡμῖν τὰ ἡμέτερα· Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ πάλιν, εἰ ἡ μάχαιρα τοῦ Πνεύματος, ῥῆμά ἐστι τοῦ Θεοῦ. Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον, ἐκείνου γάρ ἐστιν ἡ μάχαιρα, οὗ καὶ ῥῆμα καλεῖται. καὶ ἡ δεξιὰ τοῦ πατρὸς ὁ Υἱὸς ὀνομάζεται. δεξιὰ γὰρ Κυρίου ἐποίησε δύναμιν, καὶ ἡ δεξιὰ χεὶρ Κυρίου ἔθραυσεν ἐχθρούς. δάκτυλος δὲ Θεοῦ τὸ Πνεῦμα τὸ Ἅγιον κατὰ τὸ ῥητόν, τὸ εἰ ἐγὼ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ὅπερ ἐν ἑτέρῳ εὐαγγελίῳ γέγραπται, εἰ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια. τῆς αὐτῆς φύσεως πατρί, καὶ Υἱῷ τὸ Πνεῦμα τὸ Ἅγιον. καὶ περὶ μὲν τῆς προσκυνητῆς, καὶ ἁγίας τριάδος, τοσαῦτα ἡμῖν ἐπὶ τοῦ παρόντος εἰρήσθω. οὐ γὰρ νῦν δυνατόν, πλατύτερον ἐξετάσαι τὸν περὶ αὐτῆς λόγον. ὑμεῖς δὲ λαβόντες παρὰ τῆς ἡμετέρας ταπεινώσεως σπέρματα, στάχυν ὥριμον ἑαυτοῖς γεωργήσατε, ἐπεὶ καὶ τόκους, ὡς ἴστε, τῶν τοιούτων προσαπαιτούμεθα. πιστεύω δὲ τῷ Θεῷ ὅτι καρποφορήσετε, καὶ τριάκοντα, καὶ ἑξήκοντα, καὶ ἑκατὸν διὰ τὴν καθαρότητα τοῦ βίου ὑμῶν, μακάριοι γὰρ οἱ καθαροὶ

τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται, καὶ μηδὲν τι ἄλλο, ἀδελφοί, τὴν βασιλείαν τῶν οὐρανῶν εἶναι νομίσητε, ἢ τὴν τῶν ὄντων ἀληθῆ κατανόησιν, ἣν καὶ μακαριότητα ὀνομάζουσιν αἱ θεῖαι γραφαί. εἰ γὰρ ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστι, περὶ δὲ τὸν ἐντὸς ἡμῶν ἄνθρωπον, οὐδὲν ἕτερον, ἡ θεωρία συνίσταται. θεωρία ἂν εἴη ἡ βασιλεία τῶν οὐρανῶν. ὧν γὰρ νῦν τὰς σκιὰς καθορώμεθα ὡς ἐν κατόπτρῳ, ὕστερον ἀπαλλαγέντες τοῦ γεώδους σώματος τούτου, καὶ ἄφθαρτον ἐπενδυσάμενοι, καὶ ἀθάνατον, τούτων τὰ ἀρχέτυπα καθοψόμεθα, ὀψόμεθα δὲ εἰ τὸν ἑαυτῶν βίον πρὸς τὸ εὐθὺ κυβερνοίημεν. καὶ τῆς ὀρθῆς πίστεως, ποιοίμεθα πρόνοιαν, ὧν χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον, εἰς γὰρ κακότεχνον ψυχήν φησιν, οὐκ εἰσελεύσεται σοφία. οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίαις, καὶ μηδεὶς ὑποκρουέτω μοι λέγων ὅτι τὰ ἐν ποσὶν ἀγνοῶν, περὶ τῆς ἀσωμάτου, καὶ πάντη ἀΰλου οὐσίας ἡμῖν φιλοσοφεῖς.

pè, qui mundo ſunt corde, quoniam ipſi Deum videbunt. Et neutiquam aliud, fratres, Regnum Cælorum fore exiſtimetis, quàm entium veram intelligentiam, quam & Diuinæ Scripturæ Beatitudinē nominant. Si enim Regnum Cælorum intra vos eſt, ac de noſtro interiori homine nihil aliud, quàm contemplatio commendetur; ergò contemplatio eſſet Regnum Cælorum; quorum enim iam vmbras aſpicimus, velut in ſpeculo, terreno demùm iſto corpore liberati, ac incorruptibili, immortalique induti, primigenia ipſorum contuebimur exemplaria, at videbimus, ſi vitam noſtram iuxtà rectitudinem gubernarimus, ac de ſincerâ fide ſolliciti ſimus, ſine quibus nemo Dominum videbit: in maleuolam quippè animam (inquit) non introibit Sapientia, neque habitabit in corpore, quod obnoxium eſt peccatis: nec quiſpiam me reijciat, dicens: tu præſentia ignorans, de incorporeâ, ac penitùs immateriali eſſentia nobis philoſopharis.

Matt. 5. v. 8.

Sap. 1. v. 4.

ΚΕΦΑΛ. ιε'

Καὶ γὰρ ἄτοπον κρίνω, τὰς μὲν αἰσθήσεις ἐὰν ἀκωλύτως τῶν ἰδίων ἐμπίπλασθαι ὑλῶν, τὸν δὲ νοῦν μόνον εἴργεσθαι τῆς οἰκείας ἐργασίας, ὡς γὰρ ἡ αἴσθησις τῶν αἰσθητῶν, οὕτως ὁ νοῦς τῶν νοητῶν ἐπιβολεύς ἐστιν. ἅμα δὲ καὶ τοῦτο λεκτέον ὅτι τὰ φυσικὰ κριτήρια ἀδίδακτα πεποίηκεν ὁ ἀπ' ἀρχῆς κτίσας ἡμᾶς Θεός, οὐδεὶς γὰρ διδάσκει τὰς ὄψεις χρωμάτων, ἢ σχημάτων ἀντιλαμβάνεσθαι, οὐδ' ἀκοὴν ψόφων τε, καὶ φωνῶν, οὐδ' ὄσφρησιν ὀδμῶν εὐωδούντων, καὶ δυσωδῶν, οὐδὲ γεῦσιν χυμῶν, καὶ χυ-

CAPVT XV.

Etenim inconueniens iudico, ſenſus quidem, ſi nulla res prohibeat, proprijs impleri mundanis ſordibus, mentem verò ſolummodò à propria, & domeſtica coerceri operatione; vt enim ſenſus ſenſibilium, ita mens intelligibilium ſuſceptibilis eſt, ſimul autem & iſtud dicendum, quod naturales ſenſus, qui principio creauit nos Deus fecit indoctos; nullus enim docet viſiones, apprehendere colores, aut figuras, neque auditionem, ſonitus, ac voces, nec olfactum, odores benè, vel malè olentes, neque

guſtum

guſtum, ſapores, ac ſuccos, neque tactum, mollia, & aſperſa, aut calida, & frigida, nec aliquis docebit vmquam mentem applicare ſe intelligibilibus, & quemadmodùm ſi quid iſti ſenſus paterentur, ſolâ indigent attentione, & facilè propriam rursùs explent operationem, ita, & mens carne circumdata, ac imaginationibus impleta, quæ ab iſta proueniunt fide, indiget, & inſtitutione rectâ; quæ adaptant pedes eius tãquam Cerui, & eam ad excelſa deducunt. Hoc ipſum & Sapiens Salomon adhortans inſinuat, & interdùm quidem nobis inuerecundam, operariam formicam proponit, & per ipſam nobis practicam viam præſcribit, interdùm verò profert Sapientis Apis inſtrumentum effingens ceram, & per ipſam ſubobſcurè ſignificat naturalem contemplationem, in qua & de Sancta Trinitate impenditur ſermo; ſiquidem è creaturarũ pulchritudine per proportionem diſpicitur Artifex rerum genitarum. Verùm peractis gratijs Patri, & Filio, & Spiritui Sancto finem imponamus ſcriptioni, cum etiam teſtetur Prouerbium, quod optimum quid eſt omnis modus ac menſura.

Pſal. 17. v. 34.

λῶν, οὐδ᾽ ἁφὴν μαλακῶν, καὶ σκληρῶν, ἢ θερμῶν, καὶ ψυχρῶν, οὐδὲ τὸν νοῦν ἐπιβάλλειν τοῖς νοητοῖς διδάξοι τὶς ἄν, καὶ ὥσπερ ἐπὶ πάθοις αὗται ἐπιμελείας μόνον προσδέονται, καὶ τὴν οἰκείαν ἐργασίαν εὐκόλως ἀποπληροῦσιν, οὕτω καὶ ὁ νοῦς σαρκὶ συνδεθεὶς, καὶ τῶν ἐκ ταύτης φαντασιῶν πληρωθεὶς, πίστεως δεῖται, καὶ πολιτείας ὀρθῆς, αἵτινες καταρτίζουσιν αὐτοῦ τοὺς πόδας ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ αὐτὸν ἱστῶσι. Ὃ τοιοῦτον, καὶ ὁ σοφὸς παρεγγυᾷ σολομῶν, καὶ ποτὲ μὲν ἡμῖν προσφέρει τὸν ἀνεπαίσχυντον ἐργάτην τὸν μύρμηκα. καὶ δι᾽ αὐτοῦ τὴν πρακτικὴν ὁδὸν ἡμῖν ἐπιγράφει, ποτὲ δὲ τὸ τῆς σοφῆς μελίττης κηρόπλαστον ὄργανον, καὶ δι᾽ αὐτῆς τὴν φυσικὴν θεωρίαν αἰνίττεται, ἐν ᾗ καὶ ὁ περὶ τῆς ἁγίας τριάδος ἐκκρέμαται λόγος· εἴπερ ἐκ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται. ἀλλ᾽ εὐχαριστήσαντες, πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ πνεύματι, πέρας ἐπιθῶμεν τῷ γράμματι, ἐπειδὴ πᾶν μέτρον ἄριστον, καὶ ἡ παροιμία φησί.

ΤΟΥ ΑΥΤΟΥ

Ὅτι διαφέρουσι τῶν ἐν πόλεσιν ᾠκισμένων, οἱ ἐν ἐρήμοις ἡσυχάζοντες, κἂν πολλοῖς τῶν ἀπείρων τὸ ἐναντίον δοκῇ.

ΚΕΦΑΛ. α'.

Τέχνης μὲν ἁπάσης τὰ τεχνητὰ κρίνοντες ἄπειροι, σφόδρα σφάλλονται περὶ τὴν κρίσιν εἰκότως· λόγοις δὲ δικάζοντες, οἱ τούτων ἀμύητοι, πλημμελῆ κατ' αὐτῶν τὴν κρίσιν ἐκφέρουσιν, οὐκ εἰδότες ἑκάστου τὴν ἀκριβῆ παρατήρησιν· ὅτι μὴ ταῖς κατὰ μέρος αὐτοῖς γυμνασίαις εἰς ἕξιν ἡ ἐπιστήμη προέκοψεν. οὐ τοίνυν θαυμάζειν ἄξιον, εἰ τῶν ἐν ὄρεσι καὶ σπηλαίοις ἡσυχαζόντων μοναχῶν καταγινώσκουσιν οἱ πῶς ἀρετὴ κατορθοῦται, μὴ μαθόντες τῇ πείρᾳ, τοὺς ἐν μέσῳ στρεφομένους ἀνθρώπων, καὶ διάγοντας ἐν πόλεσι λέγοντες, τῶν ἀνακεχωρηκότων μᾶλλον εἶναι δοκιμωτέρους. καὶ τοσούτῳ πλέον, ὅσῳ καὶ τῶν σκιαμαχούντων ἀθλητῶν, οἱ κατὰ χεῖρα τοῖς ἀντιπάλοις συμπλεκόμενοι εἰσι γενναιότεροι. οὐκ ἐπιστάμενοι γὰρ τὰς εἰς πτῶμα λαβάς, οὐδὲ ὅσα τῶν ἀμμάτων ἧτταν ποιεῖ, τὰς κατ' ἐνέργειαν ἁμαρτίας μόνας, πτώματα κρίνουσι. τὰς κατ' ἔννοιαν ἥττας καὶ νίκας οὐ λογιζόμενοι, ἐπεὶ μηδ' ὄψις αὐτὰς πέφυκεν ὁρᾶν, ἀπορρήτους οὔσας, καὶ μόνῳ τῷ ἀγωνοθέτῃ Θεῷ καὶ τῇ συνειδήσει τοῦ ἀγωνιζομένου γινωσκομένας. οἷς καὶ χρησίμη μάλιστα ἡ γνῶσις ἐστι, τῷ μὲν ὡς ἀθλοῦντι βραβείων, καὶ στεφάνων

EIVSDEM

De Monachorum Præſtantia, ſeu, Quod ijs, qui habitant in Vrbibus præſtantiores ſint Quieſcentes, ac ſilentes in Eremis, etſi multis inexpertis contrarium videatur.

CAPVT I.

Inexperti, qui diiudicant Artis cuiuſcumque artificia, meritò falluntur valdè circa iudicium, rationibus verò diſceptantes, qui ipſis initiati non ſunt, abſonum ſuper his ferunt iudicium, cuiuſq; rei diligentem obſeruationem ignorantes, eo quod ipſorum ſcientia ſingulis exercitijs ad habitum progreſſum non fecerit. haud igitur eſt admiratione dignum, ſi Monachos vitam degentes in montibus, & Speluncis condemnant ij, qui experientiâ nō edidicere quomodo comparetur Virtus, teſtantes, Anachoretis eos lōgè probatiores eſſe, qui verſanrur in Vrbibus, eoq; magis, quo Athletis inaniter, & in vmbra pugnantibus hi, qui manū conferunt cum aduerſarijs ſunt generoſiores; etenim ignorantes prehenſiones, quæ trahunt ad lapſum, nec quot illaqueamenta inferant cladem, ſola peccata actualia arbitrantur eſſe lapſus, minimè ſupputantes, quæ ex mente contingunt, clades, ac victorias; quandoquidem viſus ipſas diſpicere non cōſueuit, cum ſint occultæ, & ſoli præmiorum diſtributori Deo, atque certantis conſcientiæ cognitæ, quibus etiam maximè vtilis eſt cognitio, vni quidem vti decertanti, præmio-

præmiorum, & coronarum gratiâ, alteri verò tamquam certaminis præſidi, ac laborum condignas diſtributuro mercedes. Mihi videntur huiuſcemodi iudices, animam quidem latentibus bonis exornatam minimè dilaudare, corpus autem demirari eſfulgens aſpectabili forma, & variegatam veſtem celebrare præ bona corporis habitudine Viri, qui eſt ipsâ indutus; decipiunt enim ſenſum viſibilibus, naturæ rerum animum adhibere nole ntes.

ἕνεκεν. τῷ δὲ ὡς ἀθλοθέτῃ καὶ διανέμειν μέλλοντι τὰς ἀμοιβὰς τῶν πόνων ἀξίας. ἐμοὶ δοκοῦσιν οἱ τοιοῦτοι κριταὶ ψυχὴν μὲν τοῖς λανθάνουσι καλλωπιζομένην καλοῖς ἐπαινεῖν ἥκιστα. σῶμα δὲ θαυμάζειν λάμπον τῇ ὥρᾳ τῆς ὄψεως. καὶ ποικίλην εὐφημεῖν ἐσθῆτα, περὶ τῆς εὐεξίας τοῦ ταύτην περικειμένου· ὅτι τοῖς ὁρωμένοις ἀπατῶνται τὴν αἴσθησιν, τῇ φύσει τῶν πραγμάτων ἐπιστῆσαι τὸν νοῦν οὐ βουλόμενοι.

CAPVT II.

SIcut etenim, quod intra poculum eſt ad voluptatem bibêtis oportet omninò purum eſſe, ita cor præ corpore habere nullo modo inquinatum decet, ad placendum Deo, qui tale vult ipſum videre, quia nempe hanc eius puritatem ſequitur & puritas corporis; neutiquam verò eſt neceſſariò eodem modo componitur animæ diſpoſitio, ac corporis tentorium: Accidit quippe, (vt ait Dominus Ieſus) aliquê ſepulchrum eſſe dealbatum, plenû oſſibus demortuis, & omni immunditiâ, non habentem veritatem interiorem conſonantem ei, quod apparet: ſed ad comparationem non hunc vocat ratio eorum, quæ dicta ſunt, accerſit autem eum, qui ſecundùm practicam vitam par eſt ipſis, quique ſeſe in Virtutibus Moralibus exercuit perindè ac illi ipſi; etenim huiuſcemodi virum côperiemus multo ſpatio ipſis inferiorem, diſtantemque ab inſtituto ſcientifico tantum, quantum à medicina rectæ methodi differt ea, quæ ſolùm ad manum operatur, quæ nec cauſſas morborum ſcit, neq; paſſionum

ΚΕΦΑΛ. Β'.

Ὥσπερ γὰρ τὸ ἔσω τοῦ ποτηρίου πρὸς τέρψιν τοῦ πίνοντος δεῖ πάντως καθαρὸν εἶναι, οὕτω τὴν καρδίαν πρὸ τοῦ σώματος ἔχειν ἀμόλυντον χρὴ πρὸς τὸ ἀρέσκειν τῷ τοιαύτην ὁρᾶν αὐτὴν βουλομένῳ Θεῷ. ὅτι τῇ ταύτης ἀκολουθεῖ καθαρότητι, καὶ ἡ τοῦ σώματος καθαρότης, οὐκέτι δὲ καὶ τῇ σκηνῇ τοῦ σώματος ἀναγκαίως συνδιάκειται τῆς ψυχῆς ἡ διάθεσις. ἔστι γὰρ ὥς φησιν ὁ κύριος Ἰησοῦς, καὶ τάφον εἶναι τινὰ κεκονιαμένον μεστὸν ὀστέων νεκρῶν, καὶ πάσης ἀκαθαρσίας, τῷ φαινομένῳ συνᾴδουσαν οὐκ ἔχοντα τὴν ἔνδον ἀλήθειαν, ἀλλ᾽ οὐ τοῦτον εἰς σύγκρισιν ὁ λόγος τῶν εἰρημένων καλεῖ. τὸν δὲ κατὰ τὴν πρακτικὴν ἴσον ἐκείνοις, καὶ τὰς ἠθικὰς ἀρετὰς ἠσκημένον ὁμοίως αὐτοῖς. καὶ τοῦτον γὰρ εὑρήσομεν ἀπολιμπανόμενον αὐτῶν πολλῷ διαστήματι, καὶ τῆς ἐπιστημονικῆς ἀφεστῶτα ἀγωγῆς τοσοῦτον, ὅσον τῆς εὐμεθόδου ἰατρικῆς ἡ κατὰ χεῖρα μόνον ἐνεργουμένη διέστηκεν, οὔτε νοσημάτων αἰτίας ἐπισταμένη, οὔτε παθῶν ὅπως, ἢ ὅθεν τίκτονται διαφορὰς περιεργαζο-

μνήμη, μόνος δὲ περὶ τὸν κάμνοντα ἱσταμένη, καὶ τοῦτο θεραπεύουσα, ὃ πάλιν ὑποστρέφειν οἶδεν ὀξέως, τῆς ὅθεν ἤρξατο αἰτίας οὐκ ἀνῃρημένης. ὡς γὰρ διατάσεις, καὶ φλεγμοναὶ σπλάγχνων, καὶ δυσκρασίαι χυμῶν, τοὺς μυρίους, καὶ τοῖς ὀνόμασι, καὶ ταῖς διαθέσεσιν ἀποτίκτουσι πυρετούς, ἐφημερινούς, ἑβδομαϊκούς, καὶ δισεβδόμους, ἐπικαίρους, ἢ χρονίους, ἑκτικούς, καὶ ἐφημέρους, τοὺς μὲν ἐπὶ ξανθῇ, τοὺς δὲ ἐπὶ μελαίνῃ χολῇ, ἄλλους ἐπὶ φλέγματι σεσηπότι. καὶ ἄλλους ἐφ' αἵματος πλεονασμῷ συνισταμένους, τοὺς μὲν ἡσυχῇ, καὶ ἀμυντί προσιόντας; τοὺς δὲ πρὸ πολλοῦ κεκραγότας τὴν παρουσίαν μαλακισμῷ, καὶ ξηρότητι, καὶ ὕπνῳ συνεχῶς διακοπτομένῳ τὴν νόσον σημαίνοντας.

ſionum, quomodò, aut vndè naſcantur, differentias curioſè perſcrutatur, tantummodò verò ſtat in morbo, & illum curat, quem nouit celeriter iterùm rediturum, cum non ſublàta fuerit cauſsa, è qua ſumpſit initium; ſicut namque diſtenſiones, & inflammationes præcordiorum, & intemperies humorũ pariunt mille nominibus, & diſpoſitionibus diuerſas febres; has vno die intermittentes, alias ſeptem diebus, & & bis ſeptem, capitales, vel diuturnas, hecticaſque, & diurnas, has quidem è flauâ, illas autem è nigra bile, alias è pituitâ putridâ, & alias è ſanguinis abundantiâ conflatas; has quidem tacitè, & imperceptibiliter aduenientes. iſtas verò multò anteà inclamantes aduentum. languore, atque ſiccitate, ac ſomno continuè interrupto ægritudinem ſignificantes.

ΚΕΦΑΛ γ'

ΟὝτως αἰσθήσεως ἄτακτος ὁρμὴ ποιεῖν εἴωθε λογισμὸν ἐμπαθῆ, ἐπιθυμίαν αἰσχρῶν. αὐτὴ τέρψιν, εἶτα πάλιν συναίρεσιν, ἧς ὀπαδὸς ἡ κατ' ἐνέργειαν ἁμαρτία ἐστίν, ἣν προοιμιαζομένην ἐκ πρώτης δεῖ παύειν αἰτίας, τὴν ὄψιν ἀποστρεφομένους, τὴν κινοῦσαν εἱρμῷ τὰ εἰρημένα, πρὶν αὐτὴν προσγενέσθαι, καὶ ποιῆσαι δυσχερῆ τὴν ἀνάδυσιν, τὸ γὰρ μὴ τυπωθὲν διὰ τῆς ὁράσεως, ἴσως οὐ δίδωσιν ἔργον, καὶ μελέτην τῇ διανοίᾳ κακήν, τὸ δὲ μὴ μελετηθὲν, εἰς ἔργον οὐ προέρχεται, οὐδὲ ἔχει χώραν ἐξωθῆναι τεκμηρίῳ τινί. οὐ προφέρεται λοιδορίας γλῶσσα, ἔνδον κατευνασθέντος θυμοῦ. οὐχ ὁρᾷ πορνικὸς ὀφθαλμός, λογισμοῦ τούτων ἡνιοχοῦν-

CAPVT III.

ITA ſenſus impulſio inordinata conſueuit generare cogitationem paſſioni obnoxiam, cócupiſcentiã turpem, ipſa delectationem, & rurſus conſenſum, cuius ſequax eſt actuale peccatum, quod, quando deſumit initium, oportet ex illo principio reprimere, auertendo ſenſum viſus ſerie quadam commouẽtem, quæ dicta ſunt, priuſquam illud accedat, ac difficulter indè retrocedere poſſit; quod enim non imprimitur per viſionem, forſitan minimè infert difficultatem intellectui, nec malam ei porrigit meditationem, quod autem non fuit meditatum, non procedit ad opus, nec locum habet, vt foras expellatur aliquo indicio: non profert conuicium lingua, quando ira conſopita ſit intus; non videt oculus

oculus meretricius, ſi ratio illum refrænet, ac moderetur, & non decentem aſpectum inhibeat; nō ſuſcipit auditus ſermonem turpem, dum mens huiuſcemodi ſenſum cuſtodiat: nullum membrum prauè operatur, interiùs vigilante gubernatore, qui regat interiores cogitationes, quique fortiter retineat initium loci, è quo prodeũt paſſiones ad inferẽdum bellum: talis autem ſobrius eſt, ac vigil, quippequi renunciatis exterioribus intuetur velut in aere ſudo, nemine ſuperadijciente quidquam, pura conſilia.

τος, καὶ τῆς μὴ καθηκούσης εἴργοντος θέας. οὐ δέχεται λόγον αἰσχρὸν ἀκοὴ, τοῦ νοῦ ταύτην φρουροῦντος τὴν αἴσθησιν. οὐδὲν τῶν μελῶν πλημμελῶς ἐνεργεῖ, νήφοντος ἔσω τοῦ κυβερνῶντος τὰ ἐνθυμήματα, καὶ τὴν βαλβίδα κατέχοντος αὐτὴν τοῦ ὁρμητηρίου τῶν παθῶν ἰσχυρῶς. νήφει δὲ καὶ, καὶ ἐγρήγορεν οὗτος ἀποταξάμενος τοῖς ἐκτὸς, καὶ βλέπων ὡς ἐν αἰθρίᾳ, οὐδενὸς ἐπιπροσθοῦντος, καθαρὰ τὰ βουλεύματα.

CAPVT IV.

Qvomodo igitur qui actualiter non peccat, eo, qui nec mentaliter errat, eſt præſtantior? inquit; quia ipſe irritatus non flectitur rebus; ideò eo probatior eſt, qui in concupiſcentiâ non titillatur amore à viſibilibus ad eadem aſſequenda: ſi talis rerum mundanarũ nihil noſcit, non habet pugnam aduerſus ipſas; at ſi per earumdem viſum ad notitiam peruenerit, memoriam tenet mouentem materias, vt mouent viſibilia, eidemq; lucta inſtat, quę dirimi nō poteſt, paſſionibus opportunitatem ſibi aſſumentibus in quiete moleſtandi, pluſquam viſus, eum, cuius mẽs nulla re exteriore diſtrahitur; etenim, qui eſt in congreſſibus, & conuerſationibus, habet quoque viſum pigriorem ad ea, quæ ſcandalo ſunt; cum idem ſenſus multas in facies ſit diſpertitus; & cogitationem, quæ noctu vix poteſt diurnos congreſſus percurrere, pariter habet inertiorem: alter verò contrà vnam omninò formam decertat, eo quod aliquando vel res viſa placuerit, vel imago

ΚΕΦΑΛ. Δ'

Πῶς οὖν ὁ κατὰ πρᾶξιν μὴ πταίων τοῦ κατ᾽ ἔννοιαν μὴ σφαλλομένου ἐστὶ προτιμότερος; ἐπειδὴ, φησιν, αὐτὸς ἐρεθιζόμενος οὐ κάμπτεται τοῖς πράγμασι, καὶ δοκιμώτερος ἐστὶ τοῦ μὴ τοῖς ὁρωμένοις τὸ ἐπιθυμητικὸν κνιζομένου πρὸς ἔφεσιν. εἰ μὲν μηδὲν οὗτος ἔγνω τῶν τοῦ κόσμου πραγμάτων, οὐκ ἔχει πρὸς αὐτὰ μάχην· εἰ δὲ τῇ ὄψει τούτων ἐν γνώσει γεγένηται, ἔχει τὴν μνήμην κινοῦσαν τὰς ὕλας, ὡς κινεῖ τὰ ὁρώμενα. καὶ ἡ πάλη συνέστηκεν αὐτῷ ἀδιάσπαστος, τῶν παθῶν ἄδειαν ἐχόντων ἐν τῇ ἡσυχίᾳ πλέον τῆς ὄψεως ὀχλεῖν τῷ περὶ μηδὲν τῶν ἔξω περισπωμένῳ τὴν ἔννοιαν. ὁ μὲν γὰρ ἐν συντυχίαις ὢν καὶ συνδιαιτήσεσι καὶ τὴν ὄψιν ἀργοτέραν ἔχει πρὸς τὰ σκανδαλίζοντα, πολλοῖς ἐπιμεριζομένην προσώποις, καὶ τὸν λογισμὸν μάλις φθάνοντα νύκτωρ τὰς μεθημερινὰς διεξέρχεσθαι συντυχίας. ὁ δὲ μιᾷ μάχεται διόλου μορφῇ εἴτε ὄψεως ἀρεσάσης ποτὲ, εἴτε λυπήσαντος εἰδώλου, τῆς μὲν ἔτι γαργαλιζούσης τὴν ἐπιθυμίαν, τοῦ δὲ τὸν

θυμὸν ἀναφλέγοντος, καὶ πᾶσαν ἔχει σπουδὴν τοῦ διενοχλοῦντος ἐξῶσαι τὴν ἔννοιαν, καὶ τὴν ὑπόμνησιν ἀφανίσαι τῶν κινούντων τὰ πάθη. περιέσται δὲ πάντως τῷ χρόνῳ οὗτος, καθ' ἑκάστην ἐλαττοῦν τοῦ μαχομένου τὴν δύναμιν, καὶ τὴν οἰκείαν αὔξων τῇ γυμνασίᾳ, προκόπτουσαν ἐπὶ τὸ ἀκμαιότερον ὁσημέραι, καὶ ἐθιζομένην τῶν ἀντιπάλων κρατεῖν. οὕτω καὶ ἡ συνήθεια εἰς ἕξιν μετέρχεται, καὶ ἡ ἕξις μεταβαίνει εἰς φύσιν. καὶ τὸ κτῆμα τῷ κτησαμένῳ τηρεῖ ἀμετάπτωτον. ἀλλὰ τοῖς ἀπείροις τῆς τέχνης δυνατὰ φαίνεται τὰ λίαν ἀδύνατα· ὡς γὰρ ἐπὶ ῥείθρου τρέχοντος τὴν κάτω κειμένην ψάμμον ἰδεῖν, ἀναστέλλοντος δὲ τοῦ ἐπιρρέοντος, ἀνάγκη γυμνὴν ταύτην θεάσασθαι. οὕτω τῆς ὄψεως ἐπικλυζούσης ἄλλαις μορφαῖς τὴν διάνοιαν, οὔτε μάχην οὐδὲ πρὸς ὡρισμένον ἀναδέξασθαι πρόσωπον, ἢ πάθος. οὔτε τὸν λογισμὸν καθαρθῆναί ποτε, τῶν θύραθεν ἐπεισερχομένων ἀφανιζόντων τοὺς προλαβόντας χαρακτῆρας, καὶ τοὺς οἰκείους πρὸς ὀλίγον ἐνσημαινομένων τύπους. καὶ τούτους γὰρ ἐπαλείφουσιν ἐπιόντες ἕτεροι, καὶ τῇ σφοδρότητι ταύτῃ θόρυβος ἀΐδιος κατέχει τὰ ἔνδον, οὔτε γνωσθῆναι τὰ ὀχλοῦντα συγχωρεῖ τῇ ἐπαλληλίᾳ τῶν ἀμειβομένων φαντασιῶν. ἄρτι γὰρ τὰ πρὸ μικροῦ ἐμπεσόντα, κατέχει τὸν λογισμόν, καὶ μετ' ὀλίγον τὰ νῦν καὶ τοῖς αὖθις ἀεὶ παραχωρεῖ τὰ φθάσαντα, τοῦ τε σχολάζοντος, ἱκανὴν μέν, καὶ ἐκ τῶν ματαίων ἐνθυμιῶν ὑπομένοντα βλάβην. ἵνα καὶ δοκῇ μηδὲν πάσχειν αὐτόν, ὧν διατίθησιν ἐκεῖνα, ἐμπαθεῖς τὰς φαντασίας τῶν προσ-

imago quæpiam dolore affecerit, primâ quidem adhuc titillante cupiditatem, alterâ verò iracundiam inflammante, omneque impendit ſtudium in rei moleſtantis depellendâ cogitatione, ac exterminandâ reminiſcentiâ eorum, quæ cõcitant paſſiones. Hic autẽ cum tempore omninò ſuperior erit, quippè qui vim oppugnantis imminuit quotidiè, & propriam adauget exercitio, in dies progredientem ad maiorem vigorem, ſeſeq; aſſuefacientem vt aduerſarios ſuperet, ſic & conſuetudo tranſit in habitum, & habitus transgreditur in naturam, & quod acquiſitum poſſidetur immutabile poſſidenti conſeruat. Verùm huiuſce artis inexpertis poſſibilia videntur, quæ ſunt valdè impoſſibilia; ſicut enim quamdiù fluentum decurrit, ſubiectam arenam videre nequimus, fluxu verò repreſſo, neceſſum eſt eam nudam aſpectare: Ita viſu mentem alijs formis inundante, ac ſubmergente, nec pugnam aduerſus determinatam perſonam, aut paſſionem ſuſcipere datur, nec vnquam emendari cogitationem poſſibile; cum ea, quæ è foris introeunt, deleant veſtigia, quę præceſſerunt, & proprias paulatim imprimant figuras: Verum & has conterunt inſilientes aliæ, ac ob talẽ inſultũ tumultus perpetuus occupat interiora, qui nõ permittit, ea, quæ perturbant dignoſci ob viciſſitudinem alternatim ſibi ſuccedentium imaginationum; modo enim ea, quæ paulò antè in mentem venerant, cogitationem peruadunt, & poſt parum præſentia, ac ſubſequentibus aſſiduè cedunt, quæ ipſum occuparunt otiantem, qui & damnum ſatis multum ſuſtinet à vanis cogitationibus; tia, vt videatur nihil ipſum pati eorum, quæ illa (ſcilicet occurren-

tia)

tia) diſponũt, reddentia imaginationes rerũ affectibus percitas, & cogitationũ magis neceſſariarũ, ac vtilium ſpecies occludentia.

γμάτων ποιούμενα, καὶ τῶν ἀναγκαιοτέρων, καὶ ὠφελίμων ἀποκλείοντα λογισμῶν.

CAPVT V.

SI quis verò, & damna intelligeret, quæ ab exterioribus proueniunt, tum Oculorũ inſpicientium ea, quæ minimè fas eſt, tùm Auditus turpibus vndequaq; circumtuſi vocibus, tùm Iræ adhæc perturbatæ, tùm Concupiſcẽtiæ illecebris captæ; tùm Voluptatis proritatæ, tùm Gloriæ quaſi flabello euentilatæ, tùm Triſtitiæ ſuperuenientis; reperiret omninò ſeipſum velut ex pugilatu pugnis contuſum, ac plagis oneratum, tuncque beatos prædicantem eos, qui nihil horum vident, aut patiuntur, dum in quiete perſiſtunt. Quænam etenim vtilitas ipsâ rerum experientiâ excitare paſſiones ad pugnam, & hac exercitatione ipſis præbere licentiam, vt in re difficiliore atterantur: dum ad ſtatum imperturbabilem illas deducere quodammodo cõſueuit quies, & cuiuſq; vim paulatim diminuere ſolet bonũ otium, vt (è diuerſo) exercitatio ad robuſtiorẽ ſtatũ ipsã excitat? etenim Iracũdia ſilens mitior euadit, Cõcupiſcẽtia quieſcens aſſueſit paulatim manſuetius prorumpere, & omnis paſſio ſimpliciter ad moderationem procedit quotidie, minimè commota, ac demùm euadit quieta penitùs, præ temporis ſpatio propriæ obliuione capta operationis, ac deinceps nudæ remanent memoriæ, cum receſſerit affectio perturbatione commota.

ΚΕΦΑΛ. ε'

ΕΙ δὲ τις ἴδοι, καὶ τὰς ἔξωθεν ἐπηρείας, ὀφθαλμοῦ, ἃ μὴ θέμις ὁρώντων, ἀκοῆς αἰσχραῖς πάντοθεν περικτυπουμένης φωναῖς, θυμοῦ πρὸς τούτοις παροξυνομένου, ἐπιθυμίας δελεαζομένης, ἡδονῆς ἐρεθιζομένης, δόξης ῥιπιζομένης, λύπης ἐπισυμβαινούσης, εὕροι πάντως αὐτὸν ὡς ἐκ πυγμῆς κατακεκονδυλισμένον, καὶ τραυμάτων καταγέμοντα καὶ τότε μακαρίζοντα τοὺς μηδὲν τούτων ἐν τῷ ἡσυχάζειν ὁρῶντας, ἢ πάσχοντας. τί γὰρ ὄφελος αὐτῇ τῇ πείρᾳ τῶν πραγμάτων κινεῖν πρὸς μάχην τὰ πάθη, τῇ γυμνασίᾳ ταύτῃ παρέχειν ἄδειαν αὐτοῖς ἐπιτρίβεσθαι ἐπὶ τὸ χαλεπώτερον, ἐξὸν ἡσυχίᾳ πρὸς κατάστασιν ἀτάραχον ἄγειν αὐτὰ ἐπειδήπως πέφυκεν, ἑκάστου τὴν δύναμιν ἐλαττοῦν κατὰ μικρὸν ἡ ἀργία, ὡς ἡ γυμνασία ταύτην ἐγείρει ἐπὶ τὸ ῥωμαλεώτερον; καὶ θυμὸς γὰρ ἠρεμῶν ἐπιεικέστερος γίνεται, καὶ ἐπιθυμία ἡσυχάζουσα πρᾳότερον ὁρμᾶν κατ᾽ ὀλίγον ἐθίζεται. καὶ πᾶν πάθος ἁπλῶς ἐπὶ τὸ μετριώτερον ὁσημέραι μὴ κινούμενον πρόεισι, καὶ παύεται παντελῶς ὕστερον τῆς οἰκείας ἐνεργείας τῷ χρόνῳ λήθην ποιούμενον, καὶ μένουσιν αἱ μνῆμαι λοιπὸν τῶν πραγμάτων ψιλαὶ τῆς ἐμπαθοῦς ὑποχωρησάσης διαθέσεως.

ΚΕΦΑΛ. ϛʹ.

Καὶ ὥσπερ καὶ τῶν ἄγαν ἡδέων ὄψων, καὶ ποτῶν, οὔτε ἡ ὄψις οὔτε ἡ μνήμη κινεῖ τοῦ μὴ ἐφιεμένου τὴν ὄρεξιν· οὕτως οὐδὲν τῶν αἰσθητῶν, οὔτε ὁρώμενον, οὔτε ἀκουόμενον, οὔτε τὴν ἐνθύμησιν ἐπεισερχόμενον τῷ ἠρεμεῖν τὸ παθητικὸν ἐθίσαντι δελεάζει πρὸς πάθος· τῆς ἕξεως οὐκ ἔτι κινεῖσθαι συγχωρούσης τὸν ἀπομαθόντα τῇ πολλῇ ἡσυχίᾳ τὴν κίνησιν, πῶς οὖν τὸν ἀπείρως, καὶ ἐπικινδύνως τὴν ἄσκησιν μετερχόμενον, τοῦ ἐμμεθόδως, καὶ ἀσφαλῶς τὴν ἄσκησιν μετιόντος δοκιμώτερον ἐστιν εἰπεῖν; τίς μᾶλλον πόλεμον κατορθοῖ, καὶ πολεμίους εὐκόλως χειροῦται, ὁ μανικῶς κατὰ τῶν ἀντιτεταγμένων χωρῶν, καὶ ἀντιπρόσωπος τῇ φάλαγγι τῶν ἐχθρῶν προσπίπτων, ἢ στρατηγικώτερος ὁ τούτοις ἐπιτιθέμενος, καὶ λόχοις, καὶ ἐνέδραις αὐτοὺς εὐχερῶς καταβάλλων, καὶ φρονήσει τρόπαιον ἐγείρων, ἢ ὁ μετὰ πολλοῦ πόνου, καὶ φόνου τοῖς συσταδὴν μαχομένοις ἀνθιστάμενος; τίς σωφροσύνην δοκεῖ, καὶ σωφρονεῖ κατὰ τὸν νοῦν ἀληθῶς, ὁ θηρίων θυμοῖς, καὶ φλεγομένῃ καμίνῳ καὶ μαινομένῃ θαλάσσῃ ἐπεισερχόμενος, ἢ ὁ τὴν βλάβην αὐτῶν φυλαττόμενος, καὶ ἔξω τῶν κινδύνων ἑστώς;

CAPVT VI.

ET quemadmodùm valdè ſuauium obſoniorum, & potuum, nec viſus, nec recordatio mouet appetitum eius, qui nullâ tenetur cupiditate; ita nihil ſenſibilium, nec quod videtur, nec quod auditur, nec quod in cogitationem ingreditur illecebris capit, ad ſuccumbendum paſſioni, illum, qui aſſueuit facere, vt quieſcat pars animi paſſionibus obnoxia, habitu neutiquam permittente commoueri eum, qui per multam quietem dedidicit commotionem. Quo igitur pacto aggredientem inexpertè, ac periculoſè exercitationẽ (ſcilicet Monaſticam) eò probatiorem licet dicere, qui eamdem artificioſâ viâ, & ſecurè init? quis bellum rectiùs gerit, & hoſtes faciliùs ſuperat, is qui furioſè aduerſùs oppoſitos prodit, & obuerſâ facie in aciem irruit inimicorum, vel qui maiori peritiâ exercitum ducendi eos inuadit, & inſidijs, & obſidionibus ipſos debellat, prudentiq; animo trophæum erigit, qui multo cum labore, ac ſanguine ijs, qui cominùs certant ſtatariâ pugnâ reſiſtit? Quis temperantiam æſtimat, ac in mente verè temperatus eſt; ille, qui in ferarum iracundias, & caminum inflammatum, & mare furibundum irrepit, vel qui noxam iſtorum cauet, ac extrà pericula eſt?

ΚΕΦΑΛ. ζʹ.

Ὡς γὰρ σῶμα γινόμενον ἐν τούτοις πάσχει τὰ τοῦ σώματος ἀναγκαίως, οὕτως αἴσθησις ἐπιρρεμβομένη τοῖς αἰσθητοῖς ὕλας κατὰ τῆς ψυχῆς τοῖς πάθεσι δίδωσι πρὸς τὸ βλάψαι ταύτην τῶν εἰρημένων οὐκ ἔλαττον. ἀρκεῖ

CAPVT VII.

SIcut enim corpus, quod in his verſatur perpetitur, quæ neceſſariò idem corpus tangunt; ita ſenſus, qui ſenſibilibus inambulat, materias aduerſus animam præbet paſſionibus, vt ipſi noceant

ceant, non minùs quàm ea, quæ diximus. Natura ſat eſt ad certamen nihil è foris ipſi inducamus ad opitulationem pugnæ, quæ contra noſmetipſos fit; habet quippè proprium ignem Concupiſcentia, ne habeat cremia, ſeù virgulta arida, & non adaugebit flammam. Forſitan hoc ſubobſcurè per enigma deſignat legis Oraculum. Si egreſſus ignis
Exo. 22. v. 6. (inquit) inuenerit Spinas, & incenderit aream; perſoluet, qui ſuccenderit ignem: aream ſiuè frugum aceruum dicens paſſiones, ignem vero, naturæ motiones, ſpinas autem ſenſibilia: ne ipſa interponantur, & ignis non poterit aream attingere, quippe qui non inueniet materiam, per quam ad ipſam aream ſibi faciat iter inflammatus: omninò enim aut extinguetur totus præ pabuli penuriâ, & in cinerem deſinet, deſignantem tyrannidis, atque paſſionis, quæ quondam viguit extremam debilitatem; aut conſumptus in ſcintillâ permanebit, nihil intereà nocens, imò viſus edocens, quod poteſt aliquando nocere exardeſcens in flammam, ſi abundauerit materiâ ad potentiam, quam habet, idoneâ; nec enim ſtatim ligna apprehendit ſcintilla, nec aſſulas appoſitas accendit, paleis autem opus habet & ſtipulâ, & fœno, ad hoc vt craſſiorem quoque vincat materiam; vt nos plenè ediſcamus, quod parua, & exilia peccata nos ad maiora perducunt, & indifferentia, quæ in illis eſt, ad moleſtiora.

πρὸς μάχην ἡ φύσις, μηδὲν ἔξωθεν αὐτῇ πρὸς τὴν καθ' ἡμῶν αὐτῶν ἐπεισαγάγωμεν συμμαχίαν. ἔχει γὰρ ἴδιον ἡ ἐπιθυμία πῦρ, μὴ ἐχέτω φρύγανα, καὶ οὐκ αὐξήσει τὴν φλόγα. τάχα τοῦτο δι' αἰνίγματος τὸ νομικὸν ὑποσημαίνεται λόγιον. ἐὰν ἐξελθὸν, φησὶ, πῦρ, εὕρῃ ἀκάνθας καὶ προσεμπρήσῃ ἅλωνα, ἀποτίσει ὁ τὸ πῦρ ἐκκαύσας, ἅλωνα λέγων τὰ πάθη, πῦρ τὰς τῆς φύσεως ὁρμὰς, ἀκάνθας τὰ αἰσθητά. μὴ μεσιτευέτωσαν αὗται, καὶ τῆς ἅλωνος ἅψασθαι πῦρ χώραν οὐκ ἔχει μὴ εὑρίσκον ὕλην, δι' ἧς ἐπ' αὐτὴν ὁδεύσει φλεγόμενον. πάντως γὰρ ἢ σβεσθήσεται παντελῶς ἀπορίᾳ τροφῆς, καὶ τελευτήσει εἰς τέφραν τὴν σημαίνουσαν τῆς ποτὲ τυραννίδος, καὶ πάθους ἐσχάτην ἀσθένειαν, ἢ σμυχόμενον ἐν σπινθῆρι διαμενεῖ, μηδὲν βλάπτον, τῇ δὲ ὄψει διδάσκον, ὡς δύναται βλάψαι ποτὲ λάμψαν εἰς φλόγα, ἐὰν ὕλης εὐπορήσῃ πρὸς τὴν παροῦσαν δύναμιν ἐπιτηδείας, οὐ γὰρ εὐθὺς ξύλων περιδράττεται σπινθὴρ οὐδὲ σχίδακας παρατεθείσας ἀνάπτει, ἀχύρων δὲ χρῄζει, καὶ καλάμης, καὶ χόρτου πρὸς τὸ καὶ τῆς ἁδροτέρας ὕλης περιγενέσθαι. ἵνα ἡμεῖς μάθωμεν ἀκριβῶς, ὅτι τὰ μικρὰ, καὶ εὐτελῆ τῶν ἁμαρτημάτων ἡμᾶς προσάγει τοῖς μείζοσι, καὶ ἡ ἐν ἐκείνοις ἀδιαφορία ὁδὸς ἐπὶ τὰ χαλεπώτερα γίνεται.

CAPVT VIII.

QVapropter non oportet viam ipſis præbere conſuetudinis, neque permittere, vt nedum per tranſennā

ΚΕΦΑΛ. η'.

Καὶ δεῖ μὴ ἔθους αὐτοῖς παρέχειν ἀγωγὴν, μηδὲ ἐπιτρέπειν παρακύπτειν ἀναιδῶς, ἐπιτιμᾶν δὲ προοιμιαζομένοις μέλλουσαν παρεκ-

aſpiciant

εἴαν μὲν τὴν κεφαλὴν ἔτι σαίνουσαν, πρὶν τῆς πτέρνης ἐπιλάβηται, θλίβειν τοῦ ὄφεως, καὶ σπέρμα ὀλοθρεύειν ἐκ Βαβυλῶνος, καὶ τὰ νήπια ταύτης ἐδαφίζειν πρὸς τὴν πέτραν, ὧν ἡ τοῦ ἄρθρου προσθήκη, μίαν οὖσαν σημαίνει, καὶ γὰρ τῇ κεφαλῇ παραδυείσῃ ἅπας ὁ ὁλκὸς συνεισέρχεται, καὶ τὸ σπέρμα τῶν ζιζανίων ῥιζόθεν ἐμποδίζειν τῇ βλάστῃ τῶν ἡμέρων πέφυκε φυτῶν, καὶ ἀδρυνθέντα τὰ νήπια οὐκ ἀνεκτὴν, ἀμφήριστον δὲ, καὶ ἐναγώνιον εἴωθε τὴν μάχην ποιεῖν. καὶ σημαίνεται διὰ τούτων τὰ πάθη ὡς ἐν ἀρχῇ μὲν ἐστὶν εὐάλωτα. ἔθει δὲ κρατυνθέντα εἰς ἀκμὴν πρόεισι, καὶ δυσκαταγώνιστα γίνεται, μετὰ τὸ κάματον παρέχειν ἐν τῇ πάλῃ πολύν. ἔτι δὲ καὶ εὐχέρειαν ἡμῶν καὶ ἄνοιαν κατηγοροῦντα δεινὴν, καθ' ἑαυτῶν πολεμίους ηὐξήσαμεν, οὓς καθελεῖν ἀσθενεῖς ὄντας ἦν ἐν ἡμῖν εὐπετῶς. οὕτω γὰρ καιρὸν ἔχειν ἂν ἡ διάνοια μετὰ τὴν τῶν ἀντιπάλων φθορὰν εἰρήνην ἄγουσα πρὸς θεωρίαν τραπῆναι. καὶ τὰς οἰκείας γεωργῆσαι δυνάμεις· τοῦτο γὰρ ὁ μέν τις τῶν προφητῶν φησι. συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας εἰς δρέπανα, παρελθοῦσαν τὰ πολεμικὰ, καὶ τοῖς τῆς εἰρήνης εὐκαιροῦσαν ἔργοις, σημαίνων κατάστασιν.

adſpiciant impudenter, verùm futuram audaciam iis, dum primò exordiuntur, increpare, & ſerpentis caput ſtatim ac mouetur, conterere, priuſquam calcaneum apprehendat, atque ſemen à Babylone penitùs abolere, ipſiuſq; infantes allidere ad petram, quam articuli additio ſignificat vnam exiſtere; etenim capite ſubintrante totus tractus ſimul ingreditur; & ſemen loliorum, ſeu zizaniorum radicitus defixum, plantarū ſatiuarum germina impedire cōſueuit; & infantes ad maturitatem prouecti intolerabilem, & vtrinque controuerſam, Athleticamque pugnam ciere adſolent; perque hæc omnia deſignantur paſſiones, quod nimirum in principio quidem facilè expugnantur, conſuetudine verò aſſumentes robur procedunt ad vigorem, fiuntq; expugnatu difficiles, poſtquam plurimum præbuérint laborem in certamine; quæ præterea leuitatem noſtram, & grauem accuſant dementiā, eo quod cōtra noſmetipſos accumulauérimus hoſtes, quos, cum eſſent debiles, noſtra erat in poteſtate interimere perfacilè: ſic quippe occaſionem haberet intellectus poſt ſtragem aduerſariorum pace fruens ad contemplationem ſeſe conuertendi, atque proprias excolendi facultates. Hoc enim vnus quidem Prophetarum dicit: Concident gladios ſuos in vomeres, & haſtas in falces, ſignificans ſtatum prætermittentem res bellicas, & in Pacis operibus otium ſuum impendentem.

Gen. 3. v. 15. *Pſ. 136. v. 9.* *Mic. 4. v. 3.*

ΚΕΦΑΛ. θʹ.

Ὁ δὲ· οἱ ὀφθαλμοί σου ὄψονται τοὺς πλανῶντάς σε, καὶ τὰ ὦτά σου ἀκούσονται τῶν ὀπίσω σε πλανησάντων. μετὰ τὸ παύσασθαι τὴν τῆς μάχης σύγχυσιν ὁρᾶσθαι λέγων, καὶ γνώ-

CAPVT IX.

Alter verò (ſcilicet Prophetarum) inquit: Oculi tui videbunt eos, qui te deceperunt, & aures tuæ audient eos, qui te retrò deceperunt: dicens, conſi-

Iſai. c. 30. v. 20.

derandos, ac luculenter dignoſcendos dolos, & ſtudia inimicorum, poſtquam deſierit pugnæ confuſio: quin & Magnus Moyſes, quæ in Deſerto euenerant Iſraelitis in exitu ex Aegypto ſtudioſè commemorat in ſecundo libro, adhortans eos, vt præteritas pugnas, ac manuum conſertiones exercerẽt memoriā, admirabileſque Victorias facerent materiam maximæ gratiarum actionis: Non ita nouit, nec otium habet vnquam qui in bellis verſatur, quiuè videtur noſſe, & aliorū gerere Præfecturam; enimuerò præclarum quidem, & multis perutile ſubit opus, at vix ſecundum tenet locum poſt eum, qui proprium curat ſtatum, ac interiora emendat; quippe qui corporeum præbet indigentibus auxilium, animam verò ſuam dimittit ſemper neglectam. Ego noui, quod tùm agricolæ omni tempore vacant proprio aruo, tùm nautæ propriam ſemper inſtaurant nauim, tùm viatores, & mercatores, & artifices, & mercenarij id ſtudioſè factitant, quod ſibi ipſis ad vtilitatem conducere arbitrantur, nec vllus ea, quæ ſūt alterius, pluris, vel æquè facienda, atque ſua iudicare ſuſtinet; ſed & nauticus vir nauigans in mari dirigit ad ſuam nauigationem nauigium, & qui terram excolit ſuis horis curam impendit congruam aruo proprio, & qui artem conſectatur eam, quæcumque ſit, exercet, quæ facit, ad proprium lucrum, & prorsùs vnuſquiſque futile, atque vanum exiſtimans ſollicitum eſſe de his, quæ ſpectanr ad illos, qui eiuſdem ſunt artis, curam plurimam gerit, ac ſollicitudinem, quo pacto res proprias diſponat.

Num. 25 & 27. Deut. 3. v. 21. & 4. v. 3.

σκεψαμένους σαφῶς τοὺς τῶν ἐχθρῶν δόλους, καὶ τὰ ἐπιτηδεύματα. καὶ μωϋσῆς δὲ ὁ μέγας τὰ συμβάντα κατὰ τὴν ἀπ' αἰγύπτου ἔξοδον τοῖς Ἰσραηλίταις ἐν τῇ ἐρήμῳ ἐν δευτέρᾳ βίβλῳ σπουδαίως ὑπομιμνήσκει, τὰς παρελθούσας μάχας, καὶ συμπλοκὰς, γυμνάζειν τῇ μνήμῃ παραινῶν καὶ τὰς παραδόξους νίκας ποιεῖσθαι μεγίστης εὐχαριστίας ὑπόθεσιν. οὐκ οἶδε ταῦτα οὐδὲ σχολὴν ἔχει ποτὲ γνῶναι ὁ ἐν πολέμοις διατρίβων, καὶ ὁ προστασίαν ἄλλοις νέμειν δοκῶν. καλὸν μὲν γὰρ, καὶ πολλοῖς χρήσιμον μέτεισιν ἔργον, τοῦ δὲ τῆς οἰκείας ἐπιμελουμένου, καὶ διορθουμένου τὰ ἔνδον, μόλις τὰ δευτερεῖα φέρει. σωματικὴν παρέχων τοῖς δεομένοις βοήθειαν, καὶ ψυχὴν ἐῶν τὴν ἑαυτοῦ διὰ παντὸς ἀτημέλητον. οἶδα καὶ γεωργοὺς ἐγὼ παντὶ καιρῷ τῷ ἰδίῳ γεωργίῳ σχολάζοντας, καὶ πλωτῆρας ἀεὶ τὴν οἰκείαν ἐπισκευάζοντας ναῦν. καὶ ὁδίτας, καὶ ἐμπόρους, καὶ τεχνίτας, καὶ μισθωτοὺς. τοῦτο σπουδάζοντας, ὃ συντελεῖν αὐτοῖς εἰς ὠφέλειαν νομίζουσι. καὶ οὐδεὶς τὰ ἑτέρου προτιμότερα, ἢ καὶ ἰσότιμα τῶν ἑαυτοῦ κρίνειν ἀνέχεται. ἀλλὰ καὶ ὁ ναυτικὸς θαλαττεύων, πρὸς τὸν ἴδιον πλοῦν ἰθύνει τὸ σκάφος, καὶ ὁ γηπόνος τὴν κατάλληλον ταῖς ὥραις ἐπιμέλειαν τῷ οἰκείῳ γεωργίῳ προσάγει, καὶ τέχνην ὁ μετερχόμενος, ἣν ἵνα δὴ τοῦ ἰδίου γίνεται κέρδους. καὶ ἕκαστος ἁπλῶς εἰκαῖον, καὶ μάταιον μεριμνᾶν τὰ τῶν ὁμοτέχνων ἡγούμενος, φροντίδα πολλὴν ἔχει, καὶ μέριμναν, ὅπως εὖ τὰ οἰκεῖα διάθηται.

CAP.

ΚΕΦΑΛ. ί.

Καὶ πῶς ὃν ἑαυτοῖς ἐν τῇ ἀρετῇ χρησιμεύοντα ἀποδοχῆς ἤτοι μᾶλλον τινὲς κρίνουσιν ἄξιον; μοι δοκοῦσι ἐπαινεῖν πάντως, καὶ ὃν ἐμπιπραμένης αὐτοῦ τῆς οἰκίας, καὶ τῆς ἔνδον ὑπάρξεως φλεγομένης ἁπάσης, φίλοις ἐπὶ μνηστείαν, ἢ πρεσβείαν συνελθεῖν προτρεπομένοις πειθόμενον, ὅτι τοῦ παῦσαι τοῦ οἴκου ὃν ἐμπρησμὸν, τὴν τῶν φίλων χρείαν προτιμοτέραν ἡγήσατο τούτῳ σεμνύνοντες αὐτὸν, ὃν κρίνοντες ὀρθῶς ὡς φρενοβλαβῆ, καὶ παραπλῆγα διαβάλλειν ὤφειλον, ἐμπρησμοῦ δὲ χεῖρον τὰ τῆς διανοίας ἑκάστῳ διάκειται τῶν αἰσθήσεων, εἰ μὴ τις τὰς προσόδους παραιτοῖτο προφίμους ὕλας εἰσφερούσας τῷ καιομένῳ πυρὶ, καὶ ταύτας ἐπισωρευούσας ὡς φρύγανα τῇ τῆς φύσεως ἀναπτομένας φλογί. τῆς μνήμης ὥσπερ φυσητῆρι τῇ μελέτῃ ῥιπιζούσης αὐτὴν, καὶ ποιούσης λαβροτέραν τοῦ πυρπολουμένου καὶ δυσσβεστον. καὶ τοῦτο ἔοικε περὶ τινων ὁ Θεὸς τῷ προφήτῃ δυσχεραίνων προσφωνεῖν, ἐν οἷς ἀγανακτῶν φησίν. οὐχ ὁρᾷς ἃ αὐτοὶ ποιοῦσιν ἐν ταῖς πόλεσιν Ιουδα, καὶ ἔξωθεν Ἱερουσαλήμ; οἱ Υἱοὶ αὐτῶν συλλέγουσι ξύλα. καὶ οἱ πατέρες αὐτῶν καίουσι πῦρ, καὶ γυναῖκες αὐτῶν ψαίουσι τοῦ ποιῆσαι χαυῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ. τὴν μὲν ὅρασιν δίκην φρυγάνων τὰς ἐρεθιστικὰς λέγων συνάγειν μορφὰς, τὴν δὲ ἐπιθυμίαν ἐν ταύταις σφοδρὸν ἀνάπτειν πῦρ καὶ τὴν μνήμην τρίβειν, καὶ μαλάττειν ταῦτα διηνεκῶς, οὕτω γὰρ ἡ ὄψις διὰ τῶν μέσων ὁδεύσασα προέρχεται εἰς τὴν κατ' ἐνέργειαν ἁμαρτίαν κοινοπραγίᾳ τῶν εἰρημένων πλεκομένη μορίων. καὶ ἡ συνάγειν δὲ καλάμην εἰς ἄχυρα,

CAPVT X.

ET quomodo aliqui eum, qui in Virtute ſibi ipſis vtilis eſt, probatiorem, ſeù maiori commendatione dignum habent? Iſti mihi videntur omninò dilaudare & illum, qui, domo ſua ſuccensâ, & ſubſtantiâ, quæ intus erat, totâ inflammatâ, hortantibus amicis, vt conueniat ad ſpõſalia, ſeù ad Legationem, perſuaderi ſe patitur, quia potiorem amicorum indigentiam duxit, quã ceſſare facere ſui domus incendiũ; hoc ipſum honore afficientes, quẽ debuiſſent, rectum ferentes iudicium, vti mentecaptum, atque inſanum criminari; incendio autem vnicuique peiora ſunt, quæ circa mentem verſantur, niſi quis renuat ſenſuum progreſſus, qui materias altrices inferunt igni ardenti, & ipſas vti ſicca virgulta coaceruant, quæ flammâ naturæ ſuccenduntur, dum memoria meditatione, veluti flabello ipſã (ſcilicet flammam) euentilet, ac voraciorem efficiat rei eius igne, quę vaſtatur incẽdijs, & difficilẽ, quæ poſſit extingui: hocque de quibuſdam videtur Deus Prophetæ indignatus proclamare, de quibus conquerens ait: Non vides quæ ipſi faciunt in ciuitatibus Iuda, & extrà Hieruſalem? filij eorum colligunt ligna, & Patres ipſorum ignem accendunt, & vxores ipſorum conſpergunt adipem, vt faciant placentas Militię Cæli; dicens, quod viſus quidem velut cremia irritatorias congregat ſpecies, concupiſcentia verò in ipſis vehementem ignem ſuccendit, & quod memoria terit, ac pertractat iſta continuè; ſic namque viſus per media ſibi viam ſternens progreditur ad actuale peccatum, dictarum partium conſpiratione ad finem perdu-

Hierem. 7 v. 18.

ctus: quin & congregare ſtipulam ad paleas, ſpectat ad fictionem laterum eorum, qui in Aegypto vagabantur, & non ad quieſcentes in ſilentio.

τῆς ἐν αἰγύπτῳ πλινθείας τῶν ῥεμβομένων, καὶ οὐ τῶν ἡσυχαζόντων ἐστί.

CAPVT XI.

NAM congregat etiam inuitus, qui multitudinibus indifferenter commiſcetur, materias operantes peccatum, & otioſum paſſionis lutum in cubum efformat, quod ſecundum ſe ipsū eſt informe, quodque meditatione ſuſcipit impreſſionem perſpicuam eorum, quæ in ſimulacra fuerunt per ſenſum efficta: Paſſio quippe ſolùm nouit mouere naturalem impetum, & eò debiliùs, quò minus ipſi cooperantur exteriores materiæ; quando verò libidinoſas, & deceptrices formas ſuſceperit, determinatis impreſſionibus ſenſibilium detinet cogitationem deuinctam: eiuſmodi ſunt ira, & cupiditas, voluptas, ac mœſtitia, quæ ſunt facultates quieſcentes, & ſpeciem non habentes, antequàm ipſis ſuppetat materiæ copia excitantis ad pertinentem effectum; ſin autem quilibet ſenſus, ſiue eius, qui dolet animo, ſiue eius, qui concupiſcentiā delectatur, & aliorum huiuſcemodi congruam intulerit formam, hæc opus ſuceſſit ipſis ſenſibus, & aſſiduam præbet meditationem, dum aſpiciunt impreſſiones rerum, quæ irritant, quæque reminiſcentiam paſſioni obnoxiam, ac valdè moleſtam efficiunt. Eam ob rem præclarum quiddam eſt quies, ac ſilentium, quia non inſpicitur, quod lædit, quod verò non eſt viſum, intellectus non excipit; quod autem non fit in ipſo, non commouet imaginatione memoriam, & quod non commouet memoriam, non irritat paſſionem, paſſione

ΚΕΦΑΛ. ια'.

Συνάγει γὰρ καὶ ἄκων ὁ πλήθεσι συμφυρόμενος ἀδιαφόρως, τὰς ποιητικὰς ὕλας τῆς ἁμαρτίας, καὶ τὸν ἀργὸν τοῦ πάθους εἰς κύβον σχηματίζει πηλόν, ἄμορφον ὄντα καθ᾽ ἑαυτόν, καὶ τρανὸν τύπον τῇ μελέτῃ τῶν δι᾽ αἰσθήσεως εἰδωλογραφουμένων δεχόμενον. τὸ μὲν γὰρ πάθος τὴν φυσικὴν ὁρμὴν κινεῖν οἶδε μόνον, καὶ ταύτην ἀσθενέστερον μὴ συνεργουμένην ταῖς ἔξωθεν ὕλαις. ὅταν δὲ μορφὰς λίχνους, καὶ ἀπατηλὰς προσλάβῃ ὡρισμένοις τῶν αἰσθητῶν χαρακτῆρσι κατέχει τὸν λογισμὸν πεπεδημένον, οἷον θυμός, καὶ ἐπιθυμία, ἡδονή τε, καὶ λύπη, δυνάμεις εἰσὶν ἠρεμοῦσαι, καὶ εἶδος οὐκ ἔχουσαι πρὶν εὐπορήσουσιν ὕλης διεγειρούσης πρὸς τὴν ἐπιβάλλουσαν ἐνέργειαν; ἐὰν δὲ λυπήσαντος μὲν τῷ θυμῷ, τέρψαντος δὲ τῇ ἐπιθυμίᾳ, καὶ τῶν ἄλλων ἑκάστῳ ἡ αἴσθησις τὴν κατάλληλον εἰσενέγκῃ μορφὴν ἔργον δίδωσιν αὐταῖς, καὶ μελέτην ἀΐδιον, ὁρώσαις τύπους τῶν ἐρεθιζόντων καὶ τὴν ὑπόμνησιν ἐμπαθῆ ποιούντων καὶ λίαν ἀργαλέον. διὰ τοῦτο καλὸν ἡ ἡσυχία, ὅτι τὸ βλάπτον οὐχ ὁρᾶται, τὸ δὲ οὐκ ὀφθὲν οὐ δέχεται διάνοια. τὸ δὲ μὴ γινόμενον ἐν ταύτῃ, οὐ κινεῖ τῇ φαντασίᾳ τὴν μνήμην, τὸ δὲ μὴ κινοῦν τὴν μνήμην οὐκ ἐρεθίζει τὸ πάθος, πάθους δὲ κοιμωμένου γαλήνην ἔχει βαθεῖαν, καὶ εἰρήνην τὰ ἔνδον· διὰ τοῦτο Μωϋσῆς ὁ πάνσοφος, καὶ τὸ

φροντίδα τοῦ λαοῦ τῶν Ἰουδαίων, καὶ ἐπιμέλειαν, ἔχων, ἔξωθεν τῆς παρεμβολῆς, καὶ ἄποθεν τὰ πολλὰ τὴν ἑαυτοῦ σκηνὴν ἐπήγνυτο, φεύγων ὡς οἷόν τε ἦν τὴν οὐ καθήκουσαν ὄχλησιν καὶ διδοὺς ἠρεμίαν τῷ λογισμῷ πρὸς τὸ σκέψασθαι, καὶ γνῶναι τὰ τῇ ψυχῇ χρησίμων.

paſſione minimè commotâ, interiora tranquillitate profunda, ac pace fruuntur. Ideò Moyſes omni ſapientiâ præditus, licèt populi Iudæorum curam, & ſollicitudinem gereret, extra caſtrametationem, & ſeiunctim Tabernaculum ſuum ſæpenumerò defigebat, fugiens, quoad poterat, tumultuationem indebitam, & præbens cogitationi quietem, ad perpendenda, & dignoſcenda, quæ erant Animæ vtilia.

ΚΕΦΑΛ. ιβ'.

Διὰ τοῦτο Ἰησοῦς ὁ τοῦ Ναυῆ οὐκ ἐξεπορεύετο ἔξω τῆς σκηνῆς, τὰς ἀκαίρους τῆς ὄψεως ἐκτρεπόμενος ἐπηρείας. διὰ τοῦτο Ἠλίας μὲν, καὶ Ἐλισσαῖος καταλιπόντες τὴν Ἰουδαίαν, ᾤκουν τὸν Κάρμηλον. Ἰωάννης δὲ τὰ Ἱεροσόλυμα φυγὼν ἐνδιητᾶτο τῇ ἐρήμῳ Ἰορδάνου. Ἱερεμίας δὲ κατεχόμενος ἀνάγκῃ τῆς προφητείας, καὶ τὴν μετὰ τοῦ παρανόμου πλήθους οὐ φέρων διαγωγὴν ἔλεγεν ὀδυρόμενος, τίς δώσει μοι σταθμὸν ἔσχατον ἐν τῇ ἐρήμῳ, καὶ καταλείψω τὸν λαὸν τοῦτον, καὶ ἀπελεύσομαι ἀπ' αὐτῶν. θηρίοις συνοικεῖν τοῖς οὐκ ἀδικοῦσι ψυχὴν αἱρούμενος μᾶλλον, ἢ τὴν ἐκ τῶν ὁμογενῶν ἕρπουσαν ἀναμάττεσθαι βλάβην. καὶ, τὸ δὴ μεῖζον ἁπάντων, διὰ τοῦτο ὁ κύριος Ἰησοῦς, ὁ βλάβης πάσης ἀνώτερος, τοῦ πλήθους ὑποχωρῶν, εἴποτε καιροῦ ἀδείας ἐπιλάβοιτο, ταῖς ἐρήμοις ἐνδιέτριβε, τὸ χρήσιμον τῆς ἡσυχίας τοῖς ὁρᾶν δυναμένοις ἔργῳ παραδηλῶν, ὅπως δῆλον, καὶ ἀναντίρρητον γένηται πάντοθεν, ὅτι τῶν τὸν ἀγελαῖον, καὶ μιγάδα ἐπανῃρημένων βίον, κἂν ὦσι σεμνότητι διαφέροντες, ὁ τὸν μοναστικὸν, καὶ ἀναχ

CAPVT XII.

IDcircò Ieſus, qui Naue cognominatus eſt, non progrediebatur extrà tentorium, declinans importunos inſultus viſionis; Ideò Helias, ac Eliſſæus Iudæam derelinquentes Carmelum inhabitabant; Ioannes verò Hieroſolyma effugiens degebat in Iordanis ſolitudine. Hieremias autem neceſſitate detentus Prophetiæ, nec tolerans illud Vitæ genus cum impiâ multitudine; dicebat lugens. Quis dabit mihi diuerſorium Viatorum vltimum in ſolitudine? & derelinquam populum iſtum, & recedam ab eis: eligens potiùs cohabitare feris, quæ nullam inferunt animæ iniuriam, quàm eam attingere noxam, quæ à cognatis proſerpit. Verùm quod maius eſt præ omnibus; ea de cauſſa Dominus Ieſus, qui omni noxa ſuperior eſt, ſecedens à multitudine, ſi quando temporis opportuni vacationem captaret, diuerſabatur in ſolitudinibus, his, qui diiudicare valebant, opere demonſtrans vtilitatem quietis; vt manifeſtum, & extrà controuerſiam vndique fieret, quod his, qui viuendi modum triuialem, & promiſcuum conſectantur, licèt grauitate præſtent, tamen ij, qui vitam amplectuntur Monaſti-

Hierem. 9.v.2.

Monaſticam, & ſeceſſu remotam, ſunt anteferendi, quippe qui ſopiunt quiete paſſiones, quas illi aſpectu affricant aſſiduò ad aſperius, & nullo modo tale nocumẽtum perſentiunt, cum tempus paulatim illud aſſuetum ipſis reddiderit, veluti febrem Hecticam, ſiue habitualem, quæ nunquam deſinit, ſed robur latenter abſumit. Sic etiam delicatus aliquis, nudus primùm ſuper terram incedens non fert obuenientem aſperitatem abſque dolore, cum autem calloſus euaſerit, dolorem non ſentit vllum, quamuis ſpinæ, ſurculi, & claui præacuti interſint, nullo ad viuam vſque carnem perueniente, quia caro, quæ indurata eſt, ſenſibilitatem depoſuit non minùs, quàm mortua.

χωρημένος, ἐπαινησόμενοι βίος εἰσὶ προτιμότεροι, κατευνάζοντες ἡσυχίᾳ τὰ πάθη, ἅπερ τῇ διηνεκεῖ θέᾳ ἐπιτρίβουσιν ἐκεῖνοι πρὸς τὸ χαλεπώτερον, οὐκ ἔτι τῆς βλάβης αἰσθανόμενοι, ἐπειδὴ χρόνος αὐτὴν ἔθιμον αὐτοῖς κατ' ὀλίγον ἐποίησε. καθάπερ ἑκτικὸν πυρετὸν οὐκ ἀνιόντα λοιπὸν, καὶ τὴν δύναμιν λεληθότως ὑπαναλίσκοντα, οὕτω καὶ τις ἁπαλὸς πρῶτον γυμνὸς ἐπιβαίνων τῆς γῆς οὐδὲ τὴν τυχοῦσαν ἀλύπως φέρει τραχύτητα; τυλωθεὶς δὲ οὐκ οἶδεν ὀδύνην. κἂν ἄκανθαι, καὶ σκόλοπες, καὶ ἧλοι ἐμπαρῶσιν ὀξεῖς, οὐδενὸς ἕως τῆς ζώσης φθάνοντος σαρκὸς, ὅτι τῆς νεκρᾶς οὐκ ἔλαττον, ἡ σκληρυνθεῖσα τὴν αἴσθησιν ἀπέθετο.

CAPVT XIII.

QVare ergò putant non lædi eos, qui prælongâ læſionem patiendi cõſuetudine non amplius lædentium nocumentum perſentiunt? quale namque tempus habet intellectus dignoſcendi, quod noxam affert, viſione totaliter diſtrahente ad ea, quæ videntur, quippe qui eget vacatione ad id ſupputandũ? modò ſuſcipit haſce formas, & paulò poſt alias, & ſubſequenter alteras, ac deinceps quaſque occurrentes, & omnibus aut pluribus oblectata, cuiuſnam delectationem ducet læſionem eſſe, & quandonam vacabit ipſius detergere inquinationem, cum nec vnquam videre, quod inquinatus eſt, poſſit? Nonne & in conuerſationibus per diem mœroris obliuiſcitur, qui mœret, & languoris, qui ægrotat, & doloris, qui conuulſus

ΚΕΦΑΛ. ιγ'.

ΤΙ' οὖν οὐκ ἀδικεῖσθαι νομίζουσιν οἱ τῇ πολλῇ τοῦ ἀδικεῖσθαι συνηθείᾳ οὐκέτι τῆς τῶν ἀδικούντων βλάβης αἰσθανόμενοι; ποῦ γὰρ καιρὸν ἔχει ἡ διάνοια τῆς ὄψεως διόλου περισπώσης αὐτὴν περὶ τὰ ὁρώμενα, γνῶναι τὸ λυποῦν ἀδείας χρήζουσα πολλῆς πρὸς τὸ λογίσασθαι τοῦτο; ἄρτι ταύτας δέχεται τὰς μορφὰς, καὶ μετ' ὀλίγον ἄλλας, καὶ αὖθις ἑτέρας καὶ ἑξῆς τὰς παρατυχούσας καὶ πάσαις ἢ ταῖς πλείοσι τερπομένη ποίας τὴν τέρψιν βλάβην ἡγήσεται, καὶ σχολάσει ταύτης ἀποψήσασθαι τὸν μολισμὸν, οὐδ' ὅτι μεμόλυνται ἰδεῖν δυναμένη ποτέ; ἢ οὐχὶ καὶ τῆς λύπης ὁ λυπούμενος, καὶ ὁ νοσῶν τῆς ἀνίας καὶ τῆς ὀδύνης ὁ σπώμενος ἐν ταῖς συντυχίαις δι' ἡμέρας ἐπιλανθάνεται, μονωθεὶς δὲ νύκτωρ ἕκαστος ἐν αἰσθήσει τοῦ οἰκείου γίνεται πάθους; τῆς ἡσυχίας σχολὴν παρεχούσης αὐτοῖς κινεῖσθαι, καὶ τὸ

Digitized by Google

τότε μὴ ὀχλοῦν παρασκευαζούσης ὀχλεῖν, καὶ ὡς τῷ ἀδηφάγῳ διόλου ἐσθίοντι οὐκ ἔχει κόρον ἡ ὄρεξις ἀεὶ κινεῖσθαι πρὸς ἔφεσιν διακορὴς οὖσα,, καὶ πλήσμιος, οὕτως ἀργά πως τὰ πάθη εἶναι δοκεῖ, τῇ τῶν αἰσθήσεων περὶ τὰ αἰσθητὰ ἀσχολίᾳ, τῆς οἰκείας ὁρμῆς κωλυόμενα. ἐχέτω δὲ τῆς ἔξωθεν ὀχλήσεως ἄδειαν, καὶ ὡς πεῖναν, ἔνθα μετὰ κόρον ποιεῖ. οὕτω τὰ πάθη ἀνεθεισῶν τῶν αἰσθήσεων ἐπανίστανται τῷ ἠρεμήσαντι λίαν ἀκμάζοντα, καὶ πολὺν ἀποκινοῦντα τῶν ἐν ἔθει γινομένων τὸν θόρυβον, ἐκείνας εἰς μάχην αὐτοῦ τὰς μορφὰς ἐφοπλίζοντα, τῇ θέᾳ παρατρέχειν ἐνόμιζεν ἀβλαβῶς οὐκ ἔχων καιρὸν ὑπομνησθῆναι τῆς βλάβης αὐτῶν ἃ τότε ταύτης αἰσθανόμενος ὅτε σχολὴν ἄγει γνῶναι, καὶ ἰδεῖν τὴν δυναστείαν αὐτῆς αἰχμαλωτιζόμενος πρὸς ἐνθυμήσεις ἀτόπους, καὶ λογίζεσθαι βιαζόμενος λογισμοὺς αἰσχύνης πεπληρωμένους. καὶ τότε πλάνην ὁμολογῶν ἀναφανδὸν, τὴν παρελθοῦσαν ζωήν. καὶ μακαρίζων τοὺς μὴ γνόντας τῇ ὄψει, ὥσπερ ἔγνω αὐτὸς, καὶ οἰκτιζόμενος εἰκότως ἑαυτὸν, ὅτι καθ᾽ ἑαυτοῦ τοῖς ἐχθροῖς αὐτὸς δέδωκεν ὅπλα. καὶ πολεμεῖται δικαίως, ἀνοίᾳ πολλῇ παρασχὼν ἰσχὺν τοῖς πολεμίοις.

uulſus eſt illo, cũ verò noctu ſolus vnuſquiſq; remanſerit, propriam ſentit paſſionem? quiete nimirùm otium ipſis præbente, quo commoueantur, & efficiente, vt id, quod tunc non perturbabat, moleſtet: & ſicut appetitus, cum ſit ſatur, & expletus aſſiduo motu ad appetendum, ſaturitatem non habet in helluone ſemper edente, ſic otioſæ quodammodo eſſe videntur paſſiones præ ſenſuum ad ſenſibilia occupatione, dum proprio arceantur impulſu: habeant verò ab externâ perturbatione vacationem, vtque poſt ſatietatem penuria famem parit, ita paſſiones ſenſibus remiſſis, inſurgunt in quieſcentem valdè vigentes, multumque ipſi mouent tumultum ex his, quæ iam ex conſuetudine inſunt, illas ad prælium formas in ipſum armando, quas aſpectu percurrere ſe putabat abſque vlla noxa, cum non ſuppeteret ei tempus reminiſcendi detrimenti, quod illæ infligunt, qui tunc id perſentit, quando vacat cognoſcere, & animaduertere poteſtatem ipſius, vtpote captiuus abductus ad recordationes abſurdas, coactuſque cogitationes peruoluere turpitudine plenas; quique tunc manifeſtè fatetur, præteritam vitam fuiſſe fallaciã, & beatos prædicat eos, qui non cognouerunt viſu, ſicut ipſe nouit, & meritò miſeratur ſui ipſius, eo quod inimicis ſuis ipſe aduerſus ſe præbuerit arma, & iuſtè oppugnatur, quòd multâ cum dementiâ vires hoſtibus ſubminiſtrârit.

ΚΕΦΑΛ. ιδ´.

Τότε γὰρ τὰ διὰ τῆς ὁράσεως, τὰ διὰ τῆς ἀκοῆς, τὰ διὰ τῶν ἄλλων αἰσθήσεων ἐμπεσόντα σπερματικῶς, ἀκανθῶν δίκην ὑποβλαστάνειν ἄρχεται, καὶ κατὰ μικρὸν ἁδρυνόμενα

CAPVT XIV.

Tvnc enim quæ per viſum, quæ per auditum, quæ per alios ſenſus quaſi ſeminali modo inciderunt, inſtar ſpinarum ſubgerminare incipiunt, & pedetentim

detentim adoleſcētia acuminibus laborioſè pungunt, quinimò æquè ac Hydra (de qua fabulati ſunt carminum contextores) alia ſuper alia ſuſtollunt capita, mille morſibus inſelicem excruciantia: etenim adſtat quæ viſa eſt hilaris ſpecies, & ornatus magnificus, & riſus diffuſus, & habitus fictus, & deliciæ, ac mollities ſtudioſè affectatæ ad captandum, & nutus vagabundus, & obtutus praui ingenij, & motus concitatus, & vocis concinna modulatio, & ſonus effœminatior; non ſolùm verò hæc; verùm & mores non fucati, & ſimpliciter grauitas, atq; integritas, & verbum ad miſerationem excitans, & ploratus ad compatiendum commouens, & lachryma afflictæ Animæ plurimum in fine mouent certamen, & ipſius fortè curæ miſerabilis, quæque damnum percepit, memoria conciliat periculum, vtpotè, quæ euaſerit, in neceſſitate poſita, ſupplex, & poſtremò decertans, miſerationem, ac miſericordiam in egeſtate commoueat, & amatorios excitet ſtimulos. Quid ergo melius, miſereri ſui ipſius, & euadere ſcandala, ſeù offendicula, aut aliorum ſcilicet miſerendo, implicari laqueis

κεντεῖ ἐπιπόνως τοῖς νύγμασι, μᾶλλον δὲ τῆς μυθολογουμένης παρὰ τοῖς ῥαψῳδοῖς ὕδρας ἐν ἴσῳ ἄλλας ἐπ' ἄλλαις ἐπανίσχει κεφαλὰς, μυρίοις δήγμασιν ὀδυνῶντα τὸν ἄθλιον. καὶ γὰρ ἡ ὄψις ἡ ὁραθεῖσα φαιδρὰ παρίσταται, καὶ κόσμος πολυτελὴς, καὶ γέλως κεχυμένος, καὶ σχῆμα πεπλασμένον, καὶ βλακεία, καὶ θρύψις ἐπιτετηδευμένη πρὸς ἅλωσιν, καὶ νεῦμα πλαζόμενον, καὶ βλέμμα κακόηθες, καὶ κίνημα σεσοβημένον, καὶ φωνῆς ἐμμέλεια, καὶ φθέγμα θηλύτερον, οὐ μόνον δὲ, ἀλλὰ καὶ ἦθος ἄπλαστον, καὶ σεμνότης ἁπλῶς καὶ ἀφέλεια, καὶ ῥῆμα ἐλεεινὸν, καὶ οἰμωγὴ συμπαθὴς, καὶ δάκρυον ὀδυνωμένης ψυχῆς, πλὴν ταὐτὸν κινοῦσιν ἀγῶνα πολὺν, καὶ αὐτῆς ἴσως τῆς οἰκτειρηθείσης, καὶ ἀπολαυσάσης κηδεμονίας, ἡ μνήμη προξενεῖ κίνδυνον, ἱκέτιδος ἐν ἀνάγκῃ γινομένης, καὶ πολεμούσης ὕστερον οἶκτον κινησάσης ἐν τῇ χρείᾳ, καὶ ἔλεον, καὶ παισάσης οἴστρους ἐρωτικούς. τί οὖν βέλτιον, ἑαυτὸν ἐλεεῖν, καὶ περιΐστασθαι τὰ σκάνδαλα, ἢ τὸ δῆθεν ἄλλους ἐλεεῖν, βρόχοις δυσεκλύτοις ἐμπλέκεσθαι; τῷ βοηθεῖν ἐθέλειν ἑτέροις, καλὸν τῷ κρημνιζομένῳ χεῖρα διδόναι, εἰ δεῖ μὴ συναπολέσθαι αὐτῷ κινδυνεύοντι. εἰ δὲ τῷ δοκεῖν συμπάσχειν τὸ πάσχειν ἀκολουθεῖ, τὸ οἰκεῖον συμφέρον σπουδαστέον, ὅτι μὴ οὕτως ἄλλος ἄλλῳ πλησίον ὡς ἕκαστος ἑαυτῷ.

indiſſolubilibus, ac volendo alios adiuuare in mala incidere ineuitabilia? Bonum eſt illi manum porrigere, qui ſe præcipitem agit, ſi poſſibile ſit non ſimul cum ipſo periclitante perire; ſin autem operi, quod videtur compaſſionis, ſubſequatur pati, propriæ ſtudendum eſt vtilitati, quia non ita propinquus eſt alter alteri, vt quiſque ſibi ipſi.

CAPVT XV.

EAm ob rem, cum fulmineo igne Pentapolis inflammaretur, Angelus dixit iuſto, & ho-

ΚΕΦΑΛ. ιε'

ΔΙὰ τοῦτο τῷ κεραυνείῳ πυρὶ τῆς πενταπόλεως φλεγομένης. ὁ ἄγγελος ἔλεγε τῷ δικαίῳ, καὶ φιλοξενίας ἐπι-

ſpitalita-

μελουμένῳ Λώτ, σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν, εἰς τὸ ὄρος σώζου μήποτε συμπαραληφθῇς, περὶ τῶν ἀπολλυμένων τῆς ἑαυτοῦ φρόντιζε σωτηρίας. τὸ γὰρ μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω μηδένα λόγον τῶν ἀπολλυμένων ἐδίδασκεν ἔχειν, ἐπεὶ μὴ πάντως ὅσιος ἦν συναπολέσθαι θελῆσαι τοῖς ἀπολλυμένοις, μηδὲ ἐν ἴσῳ θέλειν θελῆσαι τῶν ἄλλων καὶ τὴν ἑαυτοῦ κηδεμονίαν, ἐν οἷς τὸ συμπαθές, οὐδὲν ὠφελοῦν τοὺς τιμωρουμένους, ἀδικεῖ τοὺς συμπάσχοντας τὰ μέγιστα. εἰς αὐτὴν βλάπτον τὴν πᾶσιν ἀνθρώποις ὁμοῦ ποθουμένην σωτηρίαν. τὸ μὲν γὰρ φιλάνθρωπον, καὶ Θεῷ φίλον, καὶ πρέπον ἡμῖν, καὶ δεῖ τὰ χρηστὰ, καὶ συμβουλεύειν, καὶ σπουδάζειν, καὶ ἐπεύχεσθαι ἕκαστον ἑκάστῳ. ἐπαινετὸν γὰρ ὄντως ἡ τοιαύτη διάθεσις. ἔλαττον δὲ τῶν ἄλλων ἐν τοῖς ἀναγκαίοις σπουδάζειν ἑαυτοῦ, οὐ μόνος οὐκ ἀπόδεκτον, ἀλλὰ καὶ πλείστης καταγνώσεως ἄξιος. πῶς οὖν ὁ πολλὴν ἐπιμέλειαν ποιούμενος τῆς ἑαυτοῦ καταστάσεως, καὶ τὸ ἦθος ἐν ἡσυχίᾳ παιδαγωγῶν πρὸς τὸ εὔτακτον, καὶ ἐπ' ἀδείας τὰ πολλὰ προσομιλῶν τῷ Θεῷ, τοῦ μηδέποτε καιρὸν ἔχοντος, τοῖς ἰδίοις ἐπιστημήνασθαι λογισμοῖς, ἢ τοῖς ἐμφωλεύουσι, καὶ διὰ τὴν ἔξωθεν ἀσχολίαν οὐ γινωσκομένοις πάθεσιν, οὐκ ἔστι μᾶλλον (ὡς νηφαλιώτερον διάγων) πρὸς τὴν τοῦ Θεοῦ εὐαρέστησιν ἐπιτηδειότερος;

ſpitalitatis ſtudioſo Loth: Saluās ſalua tuam ipſius Animam, in montem ſaluare, ne fortè ſimul comprehendaris, potiùs tuam, quàm eorum, qui pereunt, ſalutem cura; quod enim ipſi dictum eſt, vt non reſpiceret retro, nullam rationem habere pereuntium edocebat; quia certè iuſtum non erat velle ſimul perire cum pereuntibus, nec æquè ac aliorum ſui ipſius habere curam; dum cōpaſſio in ijs maximum damnum affert compatientibus, in quibus nihil valet adiuuare punitos, quippe quæ læſionem infert ipſi ſaluti, quæ ſimul ab omnibus hominibus peroptatur: hæc namque argumentum eſt erga homines beneuolentiæ, Deoque grata, ac nobis conueniens, & oportet, quemquam cuiq; bona quælibet, tùm conſulere, tùm ſtudioſè quærere, tùm exoptare; huiuſmodi, quippe animi affectio verè laudabilis eſt; at in neceſſarijs minùs ſtudere ſibi ipſi quàm alijs non ſolùm admittendum non eſt, verùm etiam plurima dignum eſt condemnatione. Quo pacto ergò qui ſui ſtatus multam gerit curā, & mores ſuos moderatur ac frænat ad modeſtiam, diſciplinamq; ſeruandam, quique in vacatione multoties cum Deo colloquitur, non eſt magis, magiſq; idoneus vt ſit gratus Deo (vtpote qui vitam degit maiori cum vigilantia) eo, qui nunquam tempus habet proprijs cogitationibus, vel deliteſcentibus paſſionibus propter externas occupationes non agnitis, pro malè geſtis acclamandi?

Gen. 19. v. 19.

ΚΕΦΑΛ. ιϛʹ.

Ἢ καὶ τὴν Μαρίαν οὐκ ἐροῦμεν τῆς Μάρθας ἀμείνονα; ἣν προτιμῶν διὰ τὸ ἀπερίσπαστον τῆς περὶ τὴν

CAPVT XVI.

An non dicemus, Mariam eſſe Marthâ meliorē? quā ob talem ſine vlla diſtractione

quietem, præferens Dominus illi, quæ circa miniſterium corporeum diſtracta erat, & curam gerebat famulatus, qui ad carnis requiem eſt, dicit, non ipſi, ſed ei, quæ arbitrabatur, ſe magnum aliquid actitare, & idcircò admonitione indigebat, corrigẽs deceptam intelligentiam, ac inquiẽs: *Lucæ 10. v.41.* Martha, Martha ſolicita es, & turbaris ergà plurima, porrò vnum eſt neceſſarium: Maria optimam Partem elegit, quæ non auferetur ab eâ. etſi tumultus eius eſſet ſtudio plenus inſeruiendi ipſi Domino, non tamen laudata fuit ob illam animi propenſionẽ; conqueſtus eſt autem, quod, cum dereliquiſſet adſidere (vt faciebat Maria) verbo, & animæ vtilitati, intenta erat, quo pacto nihil neceſſarium deeſſet, ad magnificum conuiuii apparatum, & quomodo conſuetæ, ac ſumptuoſæ hoſpitalitatis menſa ſplendida poneretur: geminaſſe enim nominis vocationem volentem criminari tale ſtudium, quaſi minimè congruum, & dixiſſe, Martha, Martha, lamentantis forſitan, caputque concutientis ſignum erat; quippe qui ſciebat, quod decepto â tumultu, velut eſſet quid neceſſarium, vtilius foret ad pietatem aſſequendam id, quod negligebatur, eo, quod ſedulò agebatur.

σωματικὴν λειτουργίαν περισπωμένης, καὶ φροντιζούσης διακονίας, σαρκὸς ἐχούσης ἀνάπαυσιν, φησὶν ὁ κύριος, οὐκ αὐτῇ, ἀλλὰ τῇ νομιζούσῃ μέγα τι ποιεῖν, καὶ διὰ τοῦτο χρῃζούσῃ παραινέσεως· διορθούμενος τὴν ἐσφαλμένην ὑπόνοιαν λέγων, Μάρθα, Μάρθα μεριμνᾷς, καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δὲ ἐστι χρεία, Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. καίτοι ὁ θόρυβος αὐτῆς εἶχε σπουδὴν, τῆς θεραπείας αὐτοῦ, ἀλλ' οὐκ ἐπῃνέθη τῆς προθυμίας ἐκείνης. ἐμέμφθη δὲ, ὅτι, καταλιποῦσα τὸ προσεδρεύειν, καθάπερ ἡ Μαρία, τῷ λόγῳ καὶ τῇ τῆς ψυχῆς ὠφελείᾳ, μεριμνᾷ, πῶς μηδὲν μὲν τῆς χρείας λείψῃ πρὸς τὸ τῆς ἑστιάσεως φιλότιμον, λαμπρὰ δὲ τῆς συνήθους, καὶ πολυτελοῦς παρατεθῇ τῆς φιλοξενίας ἡ τράπεζα. τὸ γὰρ διπλασιάσαι τὴν τοῦ ὀνόματος κλῆσιν μέλλοντα τὴν σπουδὴν διαβάλλειν ὡς οὐ καθήκουσαν, καὶ εἰπεῖν, μάρθα, μάρθα, σχετλιάζοντος ἦν τάχα, καὶ τὴν κεφαλὴν ἐπισείοντος τῷ πεπλανημένῳ ὡς ἀναγκαίῳ θορύβῳ χρησιμώτερον εἰδὼς εἰς κατόρθωσιν εὐσεβείας τοῦ σπουδαζομένου τὸ ἀμελούμενον.

CAPVT XVII.

SIC & Leuitæ cunctò præpoſiti fuere Populo, vtpotè qui erant liberi ab omni occupatione vitæ ſæcularis negotijs addictâ, & purâ mente abſque vlla diſtractione Diuinam colebant Maieſtatem, quiquè magnam Precem ſecundùm legem fundebant, vt ſeipſos attentione, ac puritate-

ΚΕΦΑΛ. ιζʹ.

ΟΥ̓́τω καὶ Λευῖται παντὸς τοῦ λαοῦ προεκρίθησαν, ἐλεύθεροι πάσης ὄντες βιωτικῆς ἀσχολίας, καὶ καθαρῷ τῷ λογισμῷ τὸ θεῖον διὰ τὸ ἀπερίσπαστον θεραπεύοντες, καὶ οἱ τὴν μεγάλην εὐχὴν κατὰ νόμον εὐξάμενοι· ὥστε ἀφαγνίσαι προσοχῇ, καὶ καθαρότητι ἑαυτοὺς τῷ θεῷ τὰς ἔξωθεν ὀχλήσεις παραιτησάμενοι, περιβόλαιον ἐν-

τὸς τοῦ τότε ἁγίου ναοῦ, τὰ τῆς σπουδαζομένης ἁγνείας ἠσκοῦντο τὴν ἡσυχίαν, πεπεισμένοι ποιεῖν αὐτοῖς τὴν ἁγνείαν ἀκάματον. καὶ μάρτυρες τῆς ἔξω βλάβης, Ἄβελ ὁ τοῦ πρωτοπλάστου υἱὸς, καὶ Δῖνα ἡ τοῦ πατριάρχου θυγάτηρ Ἰακώβ, ὁ μὲν εἰς τὸ πεδίον δολοφονηθεὶς παρὰ τοῦ Κάϊν, ἡ δὲ φθαρεῖσα παρὰ τοῦ Ἐμὼρ ἀκαίρως ἐπὶ θεωρίαν ἐξελθοῦσα τῶν ἐγχωρίων γυναικῶν, οὐκ ἂν τοῦτο παθόντες ἦσαν εἰ κατέμενον ἠρεμοῦντες οἴκοι τὴν πᾶσιν ἀκίνδυνον, καὶ τελείοις, ἀτελέσι δὲ μάλιστα ἡσυχίαν ἑλόμενοι, ὅτι τοῖς μὲν φυλάττει τὴν ἠσκημένην ἕξιν ἀσάλευτον, τοὺς δὲ τῇ ἀσκήσει ταύτῃ προσάγει προκόπτοντας. καὶ ὁ Ἱερεμίας δὲ παρεγγυῶν μὴ ἐκπορεύεσθαι εἰς ἀγρὸν ὅτι ῥομφαία τῶν ἐχθρῶν παροικεῖ κυκλόθεν, καὶ ὁ Πέτρος βοῶν, ὁ ἐχθρὸς ἡμῶν διάβολος περιέρχεται, καὶ ἐμπεριπατεῖ τὴν σύμπασαν τὴν ἔξω βλάβην μαρτύρονται. ὁ δὲ τὸν ὀλοθρευτὴν ἀποκρύπτεσθαι παραινῶν, καὶ ὁ λέγων ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ἕως ἂν παρέλθῃ ἡ ὀργὴ κυρίου. καὶ ὁ οἰκῶν οἰκίαν Ἰακώβ, καὶ ὁ προστάσσων τὸν υἱὸν τοῦ φονευτοῦ παραγινόμενον ἀποθλίβειν εἰς τὴν θύραν, τὴν ἔνδον κηρύττουσιν ἀσφάλειαν, δεικνῦντες διαῤῥήδην, ὅτι τοῖς μὲν ἐπηρέαστος ὁμολογουμένως, τοῖς δὲ ἀναμφιβόλως ἀκίνδυνός ἐστιν ἡ διαγωγή.

puritate Deo expiarent; & externas perturbationes auerſantes, intra ſepta Templi tunc Sancti exercebantur in his, quæ ad caſtitatis ſtudium pertinebant, perſuaſi, quod quies progigneret ipſis minimè laborioſam caſtimoniam. Et Teſtes externi detrimenti ſunt. Abel filius primò creati hominis, & Dina Iacob Patriarchæ filia; ille quidem in campo dolo interfectus à Cain; illa vero ab Emor corrupta, cum intempeſtiuè ad ſpectãdum mulieres indigenas regionis foret egreſſa; non equidẽ id illi paſſi fuiſſent, ſi domi permanſiſſent quieti, eligentes potiùs ſilentium ſolitudinis, quod minimè periculoſũ eſt omnibus, & perfectis, & imperfectis; primis enim habitum exercitatum inconcuſſum conſeruat, alteros verò exercitationi admouet progredientes. Quin & Hieremias adhortans, non procedere in agrum, quia gladius inimicorum in circuitu habitat, & Petrus clamans, Aduerſarius noſter Diabolus circumquaque ambulat, omnem atteſtantur noxam externam; ille verò, qui admonet, vt exterminator deliteſcat & qui dicit: Claude ianuam tuam, & abſcondere modicum ad momentum, donec pertranſeat indignatio Domini; & qui habitat in Domo Iacob, & præcipit, vt filium homicidæ accedentem allidamus ad ianuam, prædicant internam ſecuritatem, clarè demonſtrantes, quod ijs quidem ille Vitæ modus ex confeſſo damnis obnoxius eſt, alijs verò abſque ambiguitate fit extra omne periculum.

Num. 1. v.53. — Geneſ. 4. v. 8. & 34.v.5.2 — Hierem. c.6.v.25 — 1. Pet.5. v.8. — Iſai. 26. v. 20. — Iſa.c.26 v.20. — 4. Reg. c.6.v.32

ΚΕΦΑΛ. ιη'.

Καὶ οὕτω, καὶ οὐκ ἄλλως ἔχειν φιλεῖ ἡ ἀλήθεια, οἱ μὲν γὰρ τὸν ἀνακεχωρημένον βιοῦντες

CAPVT XVIII.

SIC itaque, nec aliter ſe habere adſolet Veritas: qui etenim vitam degunt à communi

 viâ

viâ remotam, tùm ſingulari pugnant certamine, tùm inermi cum aduerſario manus conferunt; arma namque paſſionum ſunt negotia; qui verò multitudinibus in Vrbe commiſcentur, tùm multis ex partibus multos habent omnimodè inſidiantes, tùm omnes hos munitos omnibus inſtrumentis bellicis, & quando potuerint vulnerare, let hales plagas inferentes; Vnde ſtultum eſt pauidam vitam, & certamini obnoxiam ſtudioſè ſibi ipſi moliri, cum adſit facultas, eamdem periculo carentem, & metus expertem tranſigere, inque neceſſariâ, quæ conceſſa eſt, collocari ſecuritate. Quis enim, dum ſeceſſerit ab inſidiatoribus, & procul ſe ipſum ab eorum cõmiſtione ſepararit, deinceps non ſecuro eſt animo, ac ſine ſolicitudine exiſtit, nullá ampliùs ex parte vllam reformidans noxam? Quis autem cum iſtis cohabitans non eſt in metu continuo, omni ex parte, omnique tempore expectans inſidias, cum omnes moliantur ipſas aſſiduè, vri ſolent maleuoli in maleuolos? Quo pacto igitur vitæ inſtituto pacifico, minimèque perturbato melius eſt id, quod cum iniuriam inferentibus habetur? Et quomodo via, quæ latronibus, & barbaris eſt infeſta, viſa fuit, aut videtur aliquibus potiùs eligenda, quàm ea, quæ abſque vllo metu peruia eſt? Illa quidem, & iugulatores habet cruentos; & veſtiũ exſpoliatores, & in eâ omninò oportet, aut interfici, aut veſte deſpoliari: iſta verò ab omni huiuſcemodi ſuſpicione aliena, Viatoribus præbet peregrinandi facultatem ſine vllo damno, & dolore, qui conſeruanr, quod poſſident nullatenus eripiendum, & hilariter, lætoq; animo peragunt viam.

σιος, καὶ μονομαχοῦσι καὶ ἀνόπλῳ συμπλέκονται τῷ πολεμίῳ· ὅπλα γὰρ παθῶν ἐστι τὰ πράγματα, οἱ δὲ πλήθεσιν ἐν πόλει συναναμιγνύμενοι, καὶ πολλοὺς ἔχουσι πολλαχόθεν τοὺς ἐπιτιθεμένους δόλους, καὶ πάντας πεφραγμένους πανταχῇ πολεμικῇ, καὶ καιρίας, ὅταν πλῆξαι δυνηθῶσιν, ἐπιφέροντας τὰς πληγάς. καὶ ἔστιν ἀνοήτου κομιδῇ τὸ δειλὴν, καὶ ἐναγώνιον κατασκευάζειν ἑαυτῷ τὴν ζωὴν, ἐξουσίας παρούσης, ἀδεῆ ταύτην ἔχειν, καὶ ἄφοβον, καὶ ποιεῖν τὴν ἐνδεχομένην ἀσφάλειαν τὴν ἀναγκαίαν. τίς γὰρ ἀποστὰς ἐπιβούλων, καὶ χωρίσας ἑαυτὸν μακρὰν τῆς τούτων ἐπιμιξίας οὐ θαρρεῖ λοιπὸν, καὶ ἔστιν ἀμέριμνος, οὐδὲ μίαν οὐδαμόθεν ὑφορώμενος βλάβην ἔτι; τίς δὲ τούτοις συνδιαιτώμενος οὐκ ἔστιν ἐν διηνεκεῖ φόβῳ πάντοτε προσδοκῶν πανταχόθεν ἐπιβουλὴν τῷ πάντας ταύτην διὰ σπουδῆς ἔχειν ἀεὶ, ὡς κατὰ δυσμενεῖς δυσμενεῖς, πῶς οὖν τῆς εἰρηνικῆς καὶ ἀταράχου διαγωγῆς ἡ μετὰ τῶν ἀδικούντων ἐστὶν ἀμείνων; καὶ πῶς λῃστὰς ἔχουσα, καὶ βαρβάρους ὁδὸς τῆς ἀδεῶς ὁδευομένης ἔδοξεν, ἢ δοκεῖ τισὶν αἱρετωτέρα; ἡ μὲν καὶ μιαιφόνους ἔχει, καὶ λωποδύτας, καὶ πάντως ἐστὶν ἢ φονευθῆναι, ἢ κἂν περιδυθῆναι τὸ ἱμάτιον, ἡ δὲ πάσης ὑπονοίας ἀπηλλαγμένη τοιαύτης ἀζήμιος τοῖς ὁδίταις, καὶ ἄλυπον τὴν ὁδοιπορίαν ποιεῖ, καὶ τὴν κτῆσιν διασώζουσιν ἀσύλητον, καὶ φαιδροὺς τὴν ὁδὸν καὶ γεγηθότας διανύουσιν.

CAP.

ΚΕΦΑΛ. ιθʹ.

Ἄλλοι τὰς τραχείας, καὶ δυσβάτους ἐκκλίνοντες ἀτραπούς, κἂν ὦσιν ἐπίτομοι, τὰς ὁμαλὰς, καὶ λεωφόρους μεταδιώκουσι πλεῖον ἐχούσας τὸ μῆκος, καὶ δεομένας πρὸς τὸ ἀνυσθῆναι πλείονος χρόνου· καὶ πῶς ἡ προσάντης, καὶ δυσπόρευτος, ἡ μακρὰ, καὶ ἐπικίνδυνος, ἡ θηροβολουμένη, καὶ λῃστοτρόφος, καὶ βρόχους ἔχουσα, καὶ σκάνδαλα, καὶ ἐνέδρας, καὶ ἐπηρείας πολλὰς τῆς ἀνεκτῆς, καὶ συντόμου, καὶ πεδινῆς, κρίνεται προτιμοτέρα; ὄψις ἐκεῖ γυναικὸς ἐρεθίζει, πλοῦτος, καὶ δυναστεία, καὶ δόξα κινεῖ τὸ ζηλότυπον, ἄλλα τὸν θυμὸν ἐπικνίζει· ἄλλα τὴν ἐπιθυμίαν ἀνάπτει, καὶ ἕτερα διαχέουσι, καὶ ἕτερα ποιεῖ ταπεινότητα, ἄλλα κατήφειαν, καὶ σύγχυσιν, ἄλλα χαρὰν καὶ εὐπάθειαν ἐργάζεται. ἄλλα τέρψιν, καὶ ἕτερα δυσαρέστησιν, καὶ καθ' ἑκάστην ἐν τοῖς ὁρωμένοις, καὶ ἀκουομένοις οὕτω τυφόμενα, καὶ ῥιπιζόμενα τὰ πάθη, πῶς εἰς λαμπρὰν οὐκ ἀναστήσεται ὁπωσδήποτε φλόγα, καὶ τῇ συνεχεῖ γυμνασίᾳ φθάσει πρὸς δυσκατάλυτον ἕξιν, καὶ τὴν μεταβολὴν, ἢ ἐπίπονον, ἢ τάχα ποιήσει καὶ ἀδύνατον; δεσμοῦ γὰρ οὐκ ἔλαττον κατέχουσα ἡ συνήθεια, τὴν ἀναχώρησιν οὐκ ἐφίησιν· ὀλίγον ἐνδιδοῦσα τῇ ὁρμῇ, καὶ αὖθις ἕλκουσα πρὸς ἑαυτὴν τὸν ἀποφοιτῆσαι πειρώμενον. ὁ δὲ τῶν βιωτικῶν κεχωρισμένος πραγμάτων, καὶ τὰς αἰσθήσεις ἀποστήσας τῶν αἰσθητῶν, καὶ καθ' ἑαυτὸν ἠρεμῶν, ἂν μὲν ἔχῃ μνήμας ἐμπαθεῖς, ταχέως ἀφανίσει ταύτας, τοῦ πάντα παλαιοῦντος χρόνου, λήθην καὶ τούτων κατὰ μικρὸν ἐργαζομένου, ἐὰν δὲ μηδὲν

CAPVT XIX.

ALij, tramites aſperos, & tranſitu difficiles, declinãtes, quamuis ſint conciſi, ac breuiores, inquirunt ſemitas planas, ac publicas, quæ longiores multò ſunt, indigentque diuturniori tempore, vt conficiantur. Et qua ratione via, quæ ardua eſt, & vix pertranſiri poteſt, quæ longa, & periculoſa, quæ ferarum ictibus ſubiecta, ac prædonum eſt altrix, & laqueos habet, & ſcandala, & inſultus, & inſidias, & detrimenta multa, iudicatur præſtantior ea, quæ tolerabilis eſt, atque conciſa, & plana? Ibi mulieris aſpectus prorítat, Diuitiæ, & Potentatus, & Gloria commouent æmulationem; alia iracundiam vellicant; alia concupiſcentiam ſuccendunt; alia diffuſionem cordis præ lætitiâ, alia verò animi demiſſionem inferunt; alia vultum demiſſum, ſeù pudorem cum mœrore, & cõfuſionem, alia gaudium, hilaritatemque efficiunt; alia oblectationem, & alia tædium; ſicque quotidie his, quæ videntur, & audiuntur inflammatæ, & euentilatæ paſſiones, quomodo in ſplendidam flammam tandem aliquando non exſurgent, & continuâ exercitatione non pertingent ad habitum diſſolui difficilem, ac tranſmutationem, aut laborioſam, aut fortaſſis impoſſibilem non efficient? Etenim conſuetudo nõ minùs quàm vinculum detinens, non permittit receſſum, quippe quę paululùm cedit impulſui mouenti, at rurſus trahit ad ſe ipſam eum, qui conatur abſcedere. Verùm, qui ab huiuſce vitæ negotijs ſeparatus eſt, & ſenſus auertit à rebus ſenſibilibus, atque apud ſeipſum quietè agit, ſi memorias habeat paſſionibus percitas, celeriùs delebit eas, tempore,

porç, quod omnia perantiquat, horum quoque paulatim obliuionem inducente; Sin verò nullam ſuſceperit effigiem eorum, quæ pugnam cient, luctam habet aduerſus ſimplices reminiſcẽtias naturales, quæ faciles ſunt expugnatu, & abduci nullo negotio queũt, mente trãſferente facillimè ipſas, & auerſante ſine labore, quando inimicus nullâ poſſit exteriorum cupediarum allicere.

ἐδέξατο τῶν ποιούντων μάχην εἰδώλων, πρὸς τὰς φυσικὰς ὑπομνήσεις ψιλὰς ἔχει τὴν πάλην, εὐκαταγωνίστους οὔσας, εὐεξαγώγους, τῆς διανοίας εὐκόλως μετατιθεμένης αὐτὰς καὶ ἀποστρεφομένης εὐχερῶς, ὅταν μηδενὶ τῶν ἔξωθεν λίχνων δελεάζειν δύνηται ὁ ἐχθρός.

CAPVT XX.

HIſce quippe conſueuit (hoſtis) paſſiones illinere, ac efficere luctationes operoſas, & laborioſas decertãtibus: nec enim tantum poteſt concupiſcentia ſine materiâ, quantum valet, cum ei adiacent propoſita concupiſcibilia, nec rurſus dominatur ira, cum non adſit, qui concitet illam. Voluptas verò tunc excitatur, quando id, quod placet, aſpectu prouocat appetitum. Sunt autem horum motus infirmi, ac remiſſi, non obturbante imaginatione, quæ conſiderationem velut è ſomno excitat, quaſi obdormiret, & cogitationẽ in ſe ipſâ retinet vigilem, ac permanentem. Exempli gratia; viſus, qui, blandum aliquid amicum reddens, cohibet incõniuentem intuitum oculi nimium corporis ſui ſtudioſi, & nullatenus eum circumagere permittens, nec ſinens, vt ad aliquid aliud transferat voluntatem, (etſi quis velit conſtringere) vincit delectatione pertinax, magnumque ſtudium contendentis oculum auertere. Verum non ſic contingit ei, qui à ſolis recordationibus perturbatur, cui liberatio facilis eſt, fitque valdè prompta migratio: meditatione namque, ac exercitio Sermonum Spiritualium, & intensâ Oratione mens abſcedit

ΚΕΦΑΛ. κ΄.

ΤΟύτοις γὰρ ἀλείφειν πέφυκε τὰ πάθη, καὶ ποιεῖν τοῖς ἀγωνιζομένοις ἐργώδη καὶ ἐπίπονα τὰ παλαίσματα. οὐχ οὕτω γὰρ ἰσχύει ἄνευ ὕλης ἐπιθυμία, ὡς ἰσχύει τῶν ἐπιθυμητῶν παρακειμένων. οὔτε πάλιν δυναστεύει θυμὸς, μὴ παρόντος τοῦ παροξύνοντος. ἡδονὴ τότε διανίσταται, ὅτε τὸ ἡδὺ ἐρεθίζει τῇ ὄψει τὴν ἔφεσιν. ἀσθενεῖς δὲ τούτων αἱ κινήσεις, καὶ ἄτονοι μὴ παρενοχλούσης φαντασίας τῆς ἐνυπνιαζούσης ὥσπερ καθεύδουσαν τὴν ἐνθύμησιν, καὶ τὸν λογισμὸν πρὸς ἑαυτὴν κατεχούσης ἐγρηγορότα, καὶ παραμένοντα. ὡς ὅταν ὀφθαλμοῦ φιλοσωμάτου κατέχει ὄψις ἀρέσκουσα τῷ ἐπαγωγῷ τὸ ἀτενὲς, οὐδαμοῦ περιάγειν ἐπιτρέπουσα, οὐδὲ πρὸς ἕτερόν τι μετενεγκεῖν τὴν βουλὴν συγχωροῦσα, κἂν ἄγχειν τις ἐθέλοι, νικῶσα τῇ τέρψει τοῦ ἀποσπᾶσαι τὸ ὄμμα βιαζομένου τὸ φιλόνεικον. ἀλλ᾽ ἔστι τῷ μὲν ταῖς μνήμαις ἐνοχλουμένῳ εὔκολος ἡ ἀπαλλαγή, καὶ λίαν εὐμαρὴς ἀπανάστασις. μελέτη γὰρ, καὶ γυμνασίᾳ λόγων Πνευματικῶν, καὶ προσευχῇ συντεταμένῃ ἀφίσταται τῶν μὴ ἀρεσκόντων τῷ Θεῷ ὁ νοῦς, καὶ μεθίσταται πρὸς τὰ σπουδαζόμενα κατὰ Θεὸν,

ab his

τούτοις ἐνευκαιρῶν, κἀκείνων λήθην ποιούμενος. καμμύσαι δὲ πρὸς τὰ ὁρώμενα τὸν ὀφθαλμὸν ὅλως ἀδύνατον, οὐδὲ πρὸς τὰς φωνὰς βύσαι τὴν ἀκοήν, οὐδὲ τὴν βλάβην αὐτῶν ἐκκλῖναι διὰ παντὸς νήφοντι τῷ λογισμῷ, πολλαὶ γὰρ πανταχόθεν ἐπήρειαι, καὶ δυσφύλακτοι καὶ οὐκ ἔστι τὸν εἰς πηλὸν διαβαίνοντα μὴ μολύναι τὸ ἴχνος, καὶ διάγοντα ἐν λοιμικῷ καταστήματι, μὴ παθεῖν, ὃ διατίθησι τὸ περιέχον. οὕτως ἀδύνατον μὴ ἀναμίξασθαί τι τῶν βιωτικῶν κηλίδων τὸν τούτοις ἐνδιατρίβοντα, κἂν μὴ αἰσθάνηται τῆς βλάβης, λοιπὸν ἐνεθισθεὶς τῷ χρόνῳ τοῖς βλάπτουσιν.

ab his, quæ Deo minimè placent, & ad ea transfertur, quæ ſecundum Dei placitum ſtudioſè peraguntur, in hiſce quidem otium ſuum inſumens, illa verò tradens obliuioni. At oculum conniuere ad ea, quæ videntur, omninò poſſibile non eſt, nec auditum ad voces obſtruere, impoſſibile quoque eſt intellectui ſemper vigilanti noxam, quam infligunt, declinare: multæ namq; ſunt vndique moleſtiæ, & quæ difficilè caueantur, nec fieri poteſt, quod qui per lutum progreditur non inquinet plantam, & quod is, qui diuerſatur in peſtilenti ſitu, non patiatur morbum, quem circumambiens aer diffūdit: Sic impoſſibile haud immiſceri ſordibus rerum huiuſce Vitæ eum, qui verſatur, & degit in illis, etſi non ſentiat damnum, cum temporis ſpatio, aſſuefactus tandem fuerit in his, quæ lædunt.

ΚΕΦΑΛ. κα'.

Ἐπειδὴ καὶ δηλητηρίου τινὲς ἀπογευόμενοι βραχέως, πρῶτον μὲν οὐκ ἀδικοῦνται τῷ μὴ τὴν ποσότητα τῇ ποιότητι ἀναλογεῖν πρὸς τὴν ἀναίρεσιν, τῇ κατ᾽ ὀλίγον δὲ προσθήκῃ προσεθιζομένης τῆς κράσεως, ὕστερον καὶ τροφὴν ποιοῦνται τὴν φθοροποιὸν τοῦ ἐδέσματος δύναμιν, τῆς φύσεως κατ᾽ ὀλίγον οἰκειοῦσθαι τὸ βλάπτον μανθανούσης τῷ χρόνῳ. τίς τοῦ μακαρίου Δαβὶδ παρὰ τῆς θείας γραφῆς οὐκ ἔμαθε τὴν ἐν πᾶσιν ἀκρίβειαν, τίς οὐκ οἶδεν ἐκ τῆς ἀκοῆς τὰ τούτου κατορθώματα, πῶς, ἐγκαλλωπιζόμενος, οὐ διὰ τὸ φιλόκομψον, διὰ δὲ τὸ φιλάλληλον, ὅπως καὶ ἄλλοι διδαχθῶσι ποιεῖν ἅπερ αὐτὸς πεποίηκε, τὰ οἰκεῖα διηγεῖται καλά, ποτὲ μὲν λέγων ἐν ἀκακίᾳ μου ἐπορεύθην. ποτὲ δέ, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ποτὲ δέ, ἀνθ

CAPVT XXI.

Qvandoquidē & aliqui pauculum deguſtantes venenum, primum quidem nullam perpetiuntur moleſtiam, cum quantitas proportione non reſpondeat qualitati ad necem, dum autem additamento paulatim facto temperamentum corporis aſſuefiat, tandem cibi mortiferam quoque vim ſibi in pabulum adaptant, naturâ cum tempore accommodare ſibi quod noxium eſt addiſcente. Quis Beati Dauid è Sacrâ Scripturâ non edoctus eſt in omnibus accuratam diligentiam? Quis non nouit, ex auditu, eius præclarè geſta facinora? quo modo, exornatus, non propter ſtudium elegantiæ, ſed propter mutuam caritatem, vt & alij quoque erudirentur facere, quæ ipſe fecit, propria enarrat bona. Nonnunquam equidem in Inno-

Pſal. 25. v. 1. in Innocentia mea ingreſſus ſum; aliquando verò: Si reddidi retri-
Pſal 7. v. 1. buentibus mihi mala; & interdũ:
Pſal. 58. v 5. Sine iniquitate cucurri, & direxi.
Pſal. 14. v. 3. Aliàs: Non eſt dolus in linguâ meâ. Aliàs: Beneplacui in Ve-
Pſal. 25. v. 3. ritate tuâ. Et huiuſcemodi plura emiſit Sanctus, & denique ait:
Pſal. 30. v. 1. Domine non eſt exaltatum cor meum, neque elati ſunt oculi mei. Sic cõfidebat in habitu virtutum, quas exercuerat. Aliàs parùm neglexit orationem, dimiſſum agiliter ſinens oculum, vt depaſceretur. Et ex hoc quidem fuit attractus ad pulchritudinem mulieris alienæ, corde verò excepit iaculum aſpectu ignitum, ipſumq; ad adulterium oeſtro agitatum deduxit; adulterium verò coegit, vt cædem, atque iniuſtum homicidium audacter patraret; cumq; malum ab intuitu ſumpſiſſet initium per tanta mala ſibi iter fecit, ac demùm ad tantam compulit perniciem. Ita peccatum parua ex cauſa progrediens nouit ad ipſum terminum extremum exitij, ac perditionis adducere. Si enim
Prou. 22 v. 24. ſecundùm Sapientem Prouerbiorum Scriptorem, non oportet ſociũ eſſe viro iracundo, neq; cohabitare amico furioſo, ne vllo modo particeps ſit mali, qui ſocius eſt, propter communicationẽ paſſionis, quæ ab his, qui eâ tenentur, proſerpere ſolet ſenſim ſine ſenſu ad eos, qui ſimul conuerſantur, quomodo non erit magis neceſſarium, ac vtile ijs, qui cauere volunt à tali æmulatione, eos fugere, qui maioribus, ac moleſtioribus morbis affligantur?

ἀνομίας ἔδραμον, καὶ κατεύθυνα, ἄλλοτε, οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου, ἄλλοτε, εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου, καὶ τούτων πλείονα διέξεισιν ὁ ἅγιος. καὶ τέλος φησί, κύριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. οὕτως ἐθάῤῥει τῇ ἕξει τῶν ἠσκημένων ἀρετῶν. ἄλλοτε μικρὸν ἠμέλησε τῆς προσευχῆς, ἄφετον ῥᾳδίως ἐάσας ἐκνέμεσθαι τὸν ὀφθαλμόν. τούτῳ μὲν εἱλκύσθη πρὸς κάλλος γυναικὸς ἀλλοτρίας, τῇ δὲ καρδίᾳ βέλος ἐδέξατο τὴν ὄψιν πεπυρωμένον, καὶ τοῦτον πρὸς τὴν μοιχείαν οἰστρηλατούμενον ἤγαγεν. ἡ δὲ μοιχεία φόνον τολμῆσαι, καὶ ἀνδροκτασίαν ἄδικον ἐβιάσατο, καὶ ἀπὸ θέας ἀρξάμενον τὸ κακὸν διὰ τοσούτων ὥδευσε κακῶν, καὶ τέλος εἰς τοσοῦτον συνήλασεν ὄλεθρον. οὕτως ἐκ μικρᾶς αἰτίας ἡ ἁμαρτία προκόπτουσα, εἰς αὐτὸν οἶδε τὸν ἔσχατον ὅρον καταφέρειν τῆς ἀπωλείας. εἰ γὰρ κατὰ τὸν σοφὸν παροιμιαστὴν, οὐ δεῖ ἑταῖρον εἶναι ἀνδρὶ θυμώδει, ἵνα μὴ πάντως κοινωνήσῃ διὰ τῆς κοινωνίας τοῦ πάθους, ἀπὸ τῶν κεκρατημένων ἐπὶ τοὺς συνδιατρίβοντας ἀνεπαισθήτως ἕρπειν εἰωθότος, πῶς οὐχὶ μᾶλλον φεύγειν τοὺς τὰ μείζω, καὶ χαλεπώτερα νοσοῦντας, ἀναγκαῖον, καὶ χρήσιμον τοῖς φυλάττεσθαι βουλομένοις τὴν μίμησιν;

CAPVT XXII.

Etenim hanc etiam (ſcilicet imitationẽ) cauſſat modis, quos neſciret quis, conuerſatio quę cum huiuſcemodi hominibus habetur, ſimiles reddens malis

ΚΕΦΑΛ. κβ΄.

Ποιεῖ γὰρ ταύτην, καὶ ὡς οὐκ οἶδέ τις ἡ μετὰ τῶν τοιούτων διαγωγὴ ἐξομοιοῦσα τοῖς κακοῖς, καὶ τοὺς οὐ θέλοντας τέως εἶναι, τούτους κατ' ὀλίγον τοῦτο γινομένους,

eos

ὅπερ μὴ γίνεσθαι σπουδάζουσι. καὶ τὸν Ὀλοφέρνην πολεμικὸν ἄνδρα, καὶ πορθοῦντα τὴν Ἰουδαίαν σανδάλιον περιδύσης ἠγκιστρεύσατο γυναικὸς πρὸς ἔρωτα μανικόν, καὶ κατεῖχεν αἰχμάλωτον. τοῦτο γὰρ ἡ Ἱστορία φησίν, ὅτι τὸ σανδάλιον τῆς Ἰουδὴθ ἥρπασε τὸν ὀφθαλμὸν τοῦ Ὀλοφέρνου, καὶ ἡ συναρπαγὴ τοῦ ὄμματος εἰς θάνατον ἐτελεύτησεν. λαβοῦσα γὰρ αὐτὸν κεχειρωμένον τῷ πάθει, διαφόροις ἐπὶ πολὺ διέπληξεν ἀπατῶσα μεθόδοις, ἀπαιτοῦντα τὴν γαμήλιον ὁμιλίαν ἕως καιρὸν ἐπιτήδειον εὗρε καρατομῆσαι τὸν ἄθλιον, ὑπὸ τῆς ἐπιθυμουμένης ἐπιτευξάμενον, προσαπολύμενον ἐλεεινῷ, καὶ οἰκτίστῳ θανάτῳ. πάσχουσι γὰρ καὶ οὗτοι, κἂν μὴ ἴσασι, τοιαῦτα πολλά, καὶ τέρψις γὰρ αὐτοὺς εὐφυὴς τέρπει πολλάκις, καὶ ὕλη πλούτου λαμπρὰ διατίθησιν ὁμοίως, καὶ τιμὴ κουφίζει, καὶ ἀδοξία λυπεῖ, καὶ ἀτμὸς εὐώδης ἡδεῖ τὴν ὄσφρησιν, καὶ ὄψων καρυκεῖαι, τῆς ποιότητος ἴσως ἐπιλαθομένης, τὴν γεῦσιν πρὸς ἔφεσιν διεγείρουσι. καὶ ποῦ τοῖς ἀνοήτοις ἡ τοιαύτη μάχη χρήσιμος, χωρεῖν ἐμόσε τοῖς κινδύνοις ἀνεχομένοις προπετῶς, καὶ ἡσυχάζειν δυνάμενα κνίζουσι τὰ πάθη, πρὸς τὸ μήποτε ἠρεμεῖν, καὶ παρέχειν ἄδειαν αὐτοῖς πρὸς ὠφέλειαν γυμνάσαι τὴν διάνοιαν.

eos etiam, qui hactenùs eſſe nolunt, iſti quippè paulatim id euadunt, quod ne fiant ſtudioſè affectant. Et Holofernen bellicoſum virum, qui & Iudæam depopulabatur, calceus circumientis mulieris ineſcauit ad inſanum amorem, detinebatque captiuum. Hoc etenim narrat Hiſtoria, quod Sandalia Iudith rapuerunt oculos *Iudith. 16.v.11.* Holofernis, oculorumque raptus in mortem deſiit; apprehendens quippè ipſum tali paſſione ſubactum (ea mulier) diuerſis fictionibus, ac ludificationibus admodùm afflixit nuptialem repoſcentem cōgreſſum, donec tempus adinuenit miſeri caput detruncandi, qui nec eâ, cuius tenebatur cupidine, potitus eſt, dum inſuper miſerabili, luctuoſâq; nece fuit interemptus. Verùm & ij (de quibus ſuprà) licet neſciant, tamen pleraque talia perpetiuntur: etenim tum oblectatio copioſè ſuccreſcens ſæpè ſæpiùs ipſos delectat, tùm illuſtris diuitiarum materies ſimiliter eos diſponit, tùm honor inflat, & dedecus mœrore afficit, tùm vapor ſuauem ſpirans odorem oblectat olfactum, tùm opſoniorum exquiſita condimenta, etſi fortè qualitas non ſentiatur, guſtum excitant ad appetitum. Vbinam ergò demētibus huiuſcemodi pugna vtilis? qui audacter prodire ſuſtinent aduerſus pericula, & paſſiones, quæ poſſent quieſcere, proritant, ita vt nunquam fruantur quiete, ipſiſque vacationem nunquàm præbeant, ad intellectum in eo, quod conducit, exercendum.

ΚΕΦΑΛ. κγ΄.

Ἀεικίνητος γὰρ ὢν τὴν φύσιν ὁ νοῦς, ὅταν τῆς τῶν ματαίων σχολάσῃ φροντίδος, περὶ τὰ λυσιτελῆ τρέπεται τὴν μέριμναν, τὰ καθήκοντα λογιζόμενος, καὶ τῆς οἰκείας ἐπιμε-

CAPVT XXIII.

Mens nempè cum ſit ſuaptè naturâ ſemper mobilis, quando à ſolicitudine rerum futilium otium egerit, curam vertit ad vtilia, tum ſupputans ea, quæ

conueniunt, tùm proprio totam ſe dedens ſtudio, tum Deo colloquens per Orationem, tum Diuinis perfruens Sermonibus in lectione, tùm recogitans ea, quæ creata ſunt, & in varietate talis opificij dilaudans Creatorem, tùm paſſiones videns depreſſas, tùm mores inſpiciens cohibitos, tùm applaudens quotidiano in melius progreſſui, tùm deniquè totum ſtatum ſuum æquè libratum, & imperturbatum conſiderans, ac de his ſemper gratias agens ei, qui hoc donum impertitus eſt, vitamque lætitiâ, & animi iucunditate refertam donauit. Quapropter non eſt æquè æſtimandus ille, qui neque ſcit ſtatum ſuum, nec tempus diſpectionis præbet rationi ad dignoſcendum quomodo moueãtur paſſiones; an heri potiùs, vel hodiè meliùs, aut peius ſe habeãt, quippè quæ multo indigent otio ad intelligẽtiam varij motus ipſarum, & differentiæ, quæ quotidiè fit; quomodo imminutæ ſigillatim, vel rursùs adauctæ proſerpant, ſtudio, ac pigritiâ, tali, vel tali modo diſpoſitæ, intenſæ, ac remiſſæ, quieſcentes, ac exſurgentes, fœnum æquè atque boues comedentes, aut carnes auidè appetentes: hoc enim, ipſas manſuefieri, illud autem ferarum inſtar ſæuire, ac ferocire, deſignat.

λείας ὅλος γινόμενος, Θεῷ προσομιλῶν διὰ τῆς προσευχῆς, λόγοις ἐνευφραινόμενος κατὰ τὴν ἀνάγνωσιν θείαις, τὰ τῆς κτίσεως ἐννοῶν, καὶ δοξάζων ἐπὶ τῷ ποικίλῳ τῆς δημιουργίας τὸν κτίσαντα, τὰ πάθη συνεσταλμένα ὁρῶν, τὰ ἤθη βλέπων κατεσταλμένα, τῇ καθημερινῇ ἐπὶ τὸ βέλτιον προκοπῇ ἐπισημαινόμενος, καὶ ὅλην εὐσταθμημένην, καὶ ἀτάραχον τὴν ἑαυτοῦ κατάστασιν θεωρῶν, καὶ ἐπὶ τούτοις εὐχαριστῶν διὰ παντὸς τῷ παρασχόντι ταύτην τὴν χάριν, καὶ ζωὴν εὐφροσύνης γέμουσαν, καὶ θυμηδίας. καὶ οὐκ ἔστιν ἰσότιμος τούτῳ, ὁ μηδὲ εἰδὼς τὴν ἑαυτοῦ κατάστασιν, ὅπως ἐστί. μηδὲ καιρὸν ἐπισκέψεως διδοὺς τῷ λογισμῷ πρὸς τὸ γνῶναι πῶς κινεῖται τὰ πάθη. εἰ χθὲς μᾶλλον, ἢ σήμερον ἄμεινον διάκειται, ἢ χεῖρον πολλῆς δεόμενα σχολῆς εἰς κατανόησιν τῆς ποικίλης τούτων κινήσεως, καὶ τῆς ὁσημέραι γινομένης διαφορᾶς, πῶς προσέρπουσιν ἐλαττούμενα. κατὰ μέρος, ἢ πάλιν αὐξούμενα. σπουδῇ καὶ ῥαθυμίᾳ, οὕτως, ἢ οὕτως διατιθέμενα. ἐπιτεινόμενα, καὶ ἀνιέμενα. ἠρεμοῦντα, καὶ διανιστάμενα. χόρτον ἴσα βουσὶν ἐσθίοντα. σαρκῶν ὀρεγόμενα· τὸ μὲν γὰρ ἡμεροῦσθαι αὐτά, τὸ δὲ τεθηριῶσθαι, καὶ ἀγριαίνειν ἐπισημαίνει.

CAPVT XXIV.

QVandoquidem ſicut reptilia venenata per tempeſtatem hibernam placida ſunt, manentque immota, neque noxam, quam inferunt, exhibent, quia præ frigore conſtricta ſunt: Ita paſſiones otiantes à diſtractionibus, non deſierunt quidem, ſed

ΚΕΦΑΛ. κδ'.

ΕΠειδὴ καθάπερ τῶν ἑρπετῶν τὰ ἰοβόλα τὰς χειμερινὰς ὥρας ἠρεμοῦντα μένει ἀκίνητα, καὶ τὴν βλάβην οὐκ ἐπιδεικνύμενα διὰ τὸ πεπαχῶσθαι τῷ κρυμῷ, οὕτω τοῖς περισπασμοῖς ἀργοῦντα πάθη, οὐ πέπαυται μὲν, ἠρεμεῖ δὲ τέως, τότε διακινούμενα ὅτε ἄδειαν εὕρῃ, καὶ σχολὴν ἐν τοῖς

intereà

ἐνθυμίοις δεῖξαι πρὸς ἃ πεποίηνται, ὡς ἐκ χηραμῶν ἡλιακῇ θέρμῃ ἐκφωλεύοντα, καὶ προερχόμενα θηρία. διὰ τοῦτο λέγεταί τινα τῶν παρακολουθούντων τοῖς λογισμοῖς πολὺν ἐν ἐρήμῳ ἡσυχάσαντα χρόνον, καὶ πεῖραν βουλόμενον τὴν καθημερινὴν μαθεῖν προκοπὴν, ψήφοις τῆς ἐρημίας ἀναλεξάμενον ψάμμου, ταύτας ἔχειν ἐγκολπίους, καὶ πρὸς μὲν ἀστεῖον ἐνθύμιον κινηθέντος τοῦ λογισμοῦ, τῷ δεξιῷ μέρει παρατιθέναι μίαν τοῦ χύματος πρὸς αἰσχρὸν δὲ τῷ ἀριστερῷ, καὶ τοῦτο ἕωθεν μέχρι δείλης ποιεῖν κατὰ μίαν προστιθέντα ψῆφον ἔνθεν, καὶ ἔνθεν, ὡς τὰ βουλεύματα θεῖναι παρεσκεύαζεν. εἶτα τῆς ἑσπέρας καταλαβούσης, ἀριθμεῖν ταύτας, κἀκείνας, καὶ τούτῳ μανθάνειν τῷ τρόπῳ πόση, εἴτις αὐτοῦ πρὸς τὸ ἀγαθὸν καθ' ἑκάστην ἐγίνετο ἡ ἐπίδοσις, καὶ τούτῳ μὲν ἡ εὐκαιρία πρὸς τὸ ποιεῖν τοῦτο παρεῖχε σχολήν. τῷ δὲ μὴ ἐπαρκοῦντι ταῖς καθημεριναῖς ὀχλήσεσι, τῷ πλείονας εἶναι ταύτας τοῦ ἡμερουσίου διαστήματος, καὶ νικᾶν τῷ πλήθει τὸν χρόνον, ποῦ ποτε γνωσθήσεταί τι τῶν ὑπὸ σπουδαζομένων, τῆς διανοίας οὐ θελούσης ἔχειν ἄλλην φροντίδα, ὅταν τι τῶν ἀναγκαίων εἰς σκέψιν προσκέηται, οὐ πεφυκυίας κἂν βούληται παρενθυμεῖσθαι ἕτερον παρὰ τὸ μεριμνώμενον, ὀφθαλμοῦ δίκην πρὸς ἓν ὁρῶντος, καὶ πλείοσι ἐπιμερίζειν τὴν ὁρατικὴν δύναμιν οὐκ ἔχοντος φύσεως

intereà conquieſcunt, quæ tunc commouentur, quando fuerint nactæ facultatem, & otium oſtendendi in cogitationibus ad quænam factæ ſint, velut beſtiæ, ſolari irradiante calore, è latibulis exſurgentes, ac prodeuntes. Ideo fertur, quod quidam eorum, qui animaduerſione, & intelligentia cogitationes affectâtur, cum multo tempore in deſerta ſolitudine quietam egiſſet vitam, & vellet experientiá quotidianum ediſcere progreſſum, calculos ex arena deſerti colligens, eos ſuo in ſinu habebat, cumque ad honeſtam cogitationem motus eſſet intellectus, dexterâ in parte deponebat vnum calculum è multis, in ſiniſtrâ verò, cum ad turpem cogitationem incitaretur: hocque à matutinis horis vſque ad pomeridianas circa veſperam faciebat, hinc & indè ſingulos addens calculos, ac ſi ſtudcret deliberationes, ſeù vota deponere, deindè vbi veſpera aduenerat, tùm hoſce calculos dinumerabat, tùm illos, & hocce modo ediſcebat, an aliquem quotidiè progreſſum faceret. Et huic quidem ad hoc faciendum huiuſcemodi otium præbuit opportunitas; qui verò ſufficiens non eſt perturbationibus quotidianis, eo quod plures iſtæ ſint quàm ſpatium diurnum, & ob multiplicitatem ſuperent tempus, vbinam agnoſcet vnquam aliquid eorum, quæ tali peraguntur ſedulitate? cum mens nolit aliam habere curam, quando quid eorum, quæ neceſsaria ſunt, ipſi propoſitum ſit diſpiciendum, neque aſſueta ſit, quantumuis velit, aliud intellectu perſpicere, præter illud, quod curat, inſtar oculi, qui dum ad vnum quodpiam reſpicit, nequit viſiuam naturæ vim pluribus diſpertiri.

CAPVT XXV.

QVomodò igitur melior, aut ſaltem idem erit ille, qui non ſine periculo degit, eo, qui ſecurè viuit? quamuis enim per ipſam virtutis viam videantur incedere, attamen non eam ſimiliter perficiunt; nam iſte quidem quiete, velut in die circumſpiciendo omnia, & dignoſcendo quæ in eâ difficilia, & facilia ſunt, inoffenſo gradu per ipsã progreditur, ſcopulos declinans, & auerſans prærupta loca; alter autem ac ſi nocte deambularet, ob caliginem diſtractionum in foueas incidit, & ſaxis illiſus confringitur, & inſtar cœci omni impingit impedimento: etenim tùm dilaudatio ſpectantium eius opus ipſum laſſat, ac laxat; tùm gloria celebrium facinorum ad veſanam quamdam inſolentiam inflat; tùm mærore afficit contemptus eorum, qui non admirantur cum ſtupore virtutem, quaſi hoc eſſet quædam ſtoliditas, ac ſtupiditas; tùm etiam videri, quod in bono pluſquam alij poſſideat aliquid, ad iactantiam extollit: Vnde neceſſum eſt aliquando quidem lætitiâ, hilaritateque diffundi ſtultâ inflatum ſuperbiâ, quandoque verò animo concidentem, & contractum pauore demittere vultũ. Ille verò, qui vitam ab hac viâ remotam traducit, iſtas non mutat affectiones, neque dilaudantes, aut vituperantes nouit. Solus eſt cum Deo ſolo coronante laborem, ſciens opus proprium, & ſeipſum etiam multoties latere ſtudens; contingit enim aliquando ipſum ſui ipſius fieri dilaudatorem, puerili, inanique animi elatione eleuatum, fitque, vt in eo detrimentum patiatur à ſe ipſo, in quo lædendus eſſet ab alijs, dum ipſum admirarentur.

ΚΕΦΑΛ. κε΄.

ΠΩς οὖν ἀμείνων. κἂν ὁ αὐτὸς ὁ διάγων ἐπισφαλῶς τῷ ἀκινδύνως διάγοντι; κἂν γὰρ τὴν αὐτὴν τῆς ἀρετῆς δοκῶσιν ὁδεύειν ὁδὸν, ἀλλ᾽ οὐχ ὁμοίως ἀνύουσι ταύτην. ὁ μὲν γὰρ ὡς ἐν ἡμέρᾳ τῇ ἡσυχίᾳ μετὰ τοῦ περιαθρεῖν ἅπαντα, καὶ εἰδέναι τὰ κατ᾽ αὐτὴν δυσχερῆ, καὶ εὔκολα, ἀπροσκόπως αὐτὴν διαβαίνει σκοπέλους ἐκκλίνων, καὶ κρημνοὺς ἐκτρεπόμενος. ὁ δὲ καθάπερ ἐν νυκτὶ τῷ ζόφῳ τῶν περισπασμῶν εἰς βόθρους ἐμπίπτει, καὶ περιθραύεται πέτραις, καὶ παντὶ προσπταίει τυφλοῦ δίκην τῷ ἐμποδίῳ· καὶ ἔπαινος γὰρ τῶν ὁρώντων αὐτοῦ τὸ ἔργον, ἐκλύει αὐτὸν, καὶ δόξα τῶν κατορθουμένων φυσᾷ πρὸς ἀπόνοιαν, καὶ τῶν μὴ τεθηπότων τὴν ἀρετὴν ὡς ἀναισθησία λυπεῖ ἡ καταφρόνησις, καὶ τὸ δοκεῖν τῶν ἄλλων ἐν τῷ καλῷ τὶ πλέον ἔχειν, ἐπαίρει πρὸς ἀλαζονείαν. καὶ ἀνάγκη ποτὲ μὲν αὐτὸν διαχεῖσθαι χαυνούμενον, ποτὲ δὲ κατηφεῖν ἀθυμοῦντα. καὶ συστελλόμενον, ὁ δὲ ἀνακεχωρημένος, ταύτας οὐκ ἀμείβει τὰς διαθέσεις, οὐδὲ τοὺς ἐπαινοῦντας, ἢ ψέγοντας οἶδε, μόνος μετὰ Θεοῦ μόνου ἐπὶ τοῦ στεφανοῦντος τὸν πόνον, ἐπιστάμενος τὸ ἴδιον ἔργον, καὶ ἑαυτὸν δὲ τὰ πολλὰ σπουδάζων λαθεῖν· ἐπειδὴ καὶ αὐτὸν ἐπί τινα ἐπαινετὴν ἑαυτοῦ γενέσθαι ποτὲ, κουφισθέντα νηπιώδει φρονήματι, καὶ εἰκαίῳ, καὶ τοῦτο βλαβῆναι παρ᾽ ἑαυτοῦ, ὃ βλάπτεσθαι παρ᾽ ἑτέρων θαυμαζόμενος ἔμελλεν.

Digitized by Google

ΚΕΦΑΛ. κϛʹ.

Οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, τοῖς ἐν ὄψει τινῶν τὸ ἀγαθὸν ἐργαζομένοις, εἴρηται καλῶς παρὰ τῆς θείας γραφῆς. τίς δὲ ὁ οὐχ ὁρώμενος μακαρίσει, καὶ τῷ μακαρισμῷ ἀπατήσει πρὸς οἴησιν, γνώμῃ φυγόντα τούτους ἵνα μὴ τινῶν ἐπαίνοις ὁ παρὰ τοῦ Θεοῦ ἐλαττώσῃ μισθόν; καὶ κρύπτοντα τὴν ἀριστερὰν κατὰ τὴν τοῦ κυρίου παραίνεσιν πᾶσαν πρᾶξιν τῆς δεξιᾶς, ὅπως τὸ μὲν ἔργον ἴδῃ ὅ τι γέγονε, τὸ δὲ ἐπιδεικτικὸν ἀγνοῇ αὐτὸς ἑαυτὸν τῷ ἡμίσει μέρει λανθάνων ᾧ τὸ κομπάζειν παρυφίσταται. ὅπου γὰρ ἡ ἀριστερὰ τὸ ἔργον γινώσκει τῆς δεξιᾶς διάδοσις οὖσα φιλόδοξος, καὶ τὸ παρὰ τῆς δεξιᾶς ἐπικαλυπτόμενον δημοσιεύειν πρὸς δόξης θήραν σπουδάζουσα, διὰ τοῦτο τῶν παλαιῶν οἱ θετικοὶ τῶν ὀνομάτων εὐθυβόλως περιστερὰς μὲν τοὺς ἐν πόλεσιν ἀσκοῦντας ὠνόμασαν, τρυγόνας δὲ τοὺς ἐν ἐρημίαις, καὶ ἀβάτοις ἐμβιοτεύοντας, ὅτι οἱ μὲν ὑπὸ θεαταῖς τὴν ἀρετὴν μετέρχονται, καὶ μολύνουσι ταύτην ἑκόντες, ἢ ἄκοντες ἀνθρωπαρεσκείᾳ, ἢ κλεπτόμενοι τοῖς τῶν πολλῶν ἐπαίνοις, ἢ καὶ γνώμῃ τὸ δοξασθῆναι πολλάκις προστιθέμενοι πρὸς τὸ δῆθεν ὠφελῆσαι τοὺς θεωμένους, ὅπερ κἂν μὴ ἔστιν ἀνθρωπαρεσκεία, ἀλλὰ πάντως μεμόλυνται ταύτην, καὶ κατὰ τὴν ἀναλογίαν κενοῖ τοῦ πόνου τὸ ἔμμισθον, καθάπερ ὄντως περιστερὰ κύουσα καὶ τοὺς νεοττοὺς εἰς σφαγὴν τοῖς ἀνθρώποις παρέχουσα· οἱ δὲ πᾶν τὸ γινόμενον ἀσινές, καὶ ὁλόκληρον τῷ Θεῷ παραπέμπουσιν, οὐδὲν ζημιούμενοι κατὰ τὰς τρυγόνας, ζῶντα τῆς καλιᾶς ἀπολύουσας

CAPVT XXVI.

QVI vos beatos prædicant, decipiunt vos, his, qui in aliquorum cōſpectu bonum operantur præclarè dictum fuit à Diuina Scriptura. Quis autem beatificabit eum, qui non videtur, & beatificatione hac decipiet illum ad arrogantem ſui exiſtimationem, qui de induſtriâ eos euitauit, ne, aliquorum dilaudationibus, quam à Deo expectat mercedem, imminueret? quique abſcondit ſiniſtræ manui (ſecundùm Domini admonitionem) omnem dexteræ actionem, vt opus quidem videat quodcumque factū fuerit, oſtentationem verò ignoret, ipſe ſeipſum latens in eâ dimidiâ parte, in qua vana grandiloquentia vna ſubſiſtit; Sic enim ſiniſtra dexteræ opus nouit, cum diſtributio ſit ambitioſa,& ad gloriæ aucupium contendat id in publicum promulgare, quod à dexterâ contegitur: ideò, qui vetera impoſuerunt nomina, columbas appoſitè denominarunt eos, qui exercēt ſe monaſticè in Vrbibus; turtures autem illos, qui in ſolitudinibus, & inacceſſis in locis vitam degunt; quiâ Primi quidem ſub ſpectatoribus virtutem conſectantur, eamque, ob ſtudium placendi hominibus voluntarij, vel inuiti coinquināt, quippe qui aut à multorum laudibus defraudantur, aut multoties in animo ſibi ex induſtriâ proponunt,ſe celebrandos, occaſione videlicet ſpectatores iuuandi; quod, etſi non ſit ſtudium placendi hominibus, tamen omninò ipſam inquinat virtutem, & ſecundum proportionem euacuat laboris mercedem, verè vt columba, quæ parit, & hominibus pullos exhibet ad cædem: Secundi verò, omne,

quod

quod faciunt, illæſum, & integrum Deo tranſmittunt, nullum, imitatione turturum, damnum percipientes, quæ viuentes fœtus è nido dimittunt in aerem: tale quid etenim, quod ad Dei placitũ elanculum fiat, viuit, ac ſanum valet, ac defatigati acquiſita poſſeſſio non dilabitur; hęc verò, dum teſtem habere hominum conſpectum velit, inſtar veſtimenti, & vanæ gloriæ generat tineam, & ab ipsâ corrumpitur.

πρὸς ἀέρα τὰ ἔγγονα. τοιοῦτον γὰρ τὸ πρὸς ἀρέσκειαν Θεοῦ λανθανόντως γινόμενον ζῇ καὶ ἔρρωται. Καὶ κτῆμα τοῦ πονήσαντος ἐστὶν ἀδιάπτωτον· τοῦτο δὲ τὴν ὄψιν τῶν ἀνθρώπων ἔχειν μάρτυρα θέλον ἱματίου δίκην, καὶ τίκτει τὸν τῆς κενοδοξίας σῆτα, καὶ ὑπ᾽ αὐτοῦ διαφθειρόμενον.

CAPVT XXVII.

QVamuis autem, qui homines omni proſequitur amore, quin & cum hiſce conuerſatur, nihil patiatur eorum, quæ perpetı eſt neceſſum, nec vllam proferat noxam ab his, quæ lædere ſolent, vt dictum eſt (detur enim ſermoni, quod veritas non concedit) tamen videt ea, quæ iniuſtè ab eminentioribus dignitate in tenuiores patrantur, ea inferentium iniuriam, & perferentium ipſam, ea tyrannidem exercentium, & patientium vim, ea fraudantium, & fraudatorum, videt, inquam, omninò, & patientibus compatitur, affectione in hos, & illos diuiſus, indignans aduerſus opprimentes, & miſertus oppreſſorum, plenus animo iracundo, & ad miſericordiam inflexus, concitatus, & viſceribus ſauciatus, ac de ſilente Deo ob longanimitatem quandoque conquerens. Iſtud namq; interdum patiens Abacum Propheta patiẽtibus quoque demonſtrat, quod ipſe patiebatur. Vt quid mihi (dicens) oſtendiſti labores, & ærumnas? quià impius iuſto dominatur ſuperbè, & homines feciſti quaſi piſces maris, qui ſe ipſos abſorbent: de huiuſcemodi tolerantiâ, ac permiſſione, quaſi de carentia Dominatoris, zelo quidem

Abac. 1. v. 14.

ΚΕΦΑΛ. κζ.

ΙΝΑ δὲ καὶ μηδὲν, διόλου τοὺς ἀνθρώπους στέργων, μᾶλλον δὲ συναναστρεφόμενος αὐτοῖς πάθῃ ὧν πάσχειν ἀνάγκη, μηδὲ βλάβην ὑπομείνῃ τινὰ παρὰ τῶν βλάπτειν εἰωθότων ὡς εἴρηται (δεδόσθω γὰρ τῷ λόγῳ ὃ μὴ δίδωσιν ἡ ἀλήθεια) τὰ παρανόμως ὑπὸ ὑπερεχόντων εἰς τοὺς ἀπλεστέρους γινόμενα ἀδικούντων, καὶ ἀδικουμένων, τυραννούντων καὶ τυραννουμένων, ἀποστερούντων, καὶ ἀποστερουμένων, πάντως καὶ ὁρᾷ, καὶ συμπάσχει τοῖς πάσχουσι τῇ διαθέσει πρὸς τούτους· κἀκείνους μεριζόμενος, ἀγανακτῶν πρὸς τοὺς καταπονοῦντας, καὶ τοὺς καταπονουμένους οἰκτιζόμενος, θυμοῦ πληρούμενος, καὶ πρὸς ἔλεον καμπτόμενος, παροξυνόμενος, καὶ σπλάγχνα τιτρωσκόμενος, καὶ τῷ ἐφησυχάζοντι τούτοις Θεῷ τῆς μακροθυμίας ἔσθ᾽ ὅτε μεμφόμενος. τοῦτο γὰρ ὁ προφήτης ποτὲ, παθὼν Ἀβακοὺμ, δείκνυσι, καὶ τοῖς πάσχουσιν ὅπερ ἔπαθεν, ἵνα τί μοι, λέγων, ἔδειξας κόπους, καὶ πόνους; ὅτι ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον καὶ τοὺς ἀνθρώπους ἐποίησας ὡς

dem

ἰχθύας τῆς θαλάσσης κατανοουμένους αὐτοὺς, τὴν ἀνοχὴν ταύτην, καὶ συγχώρησιν, ὡς ἀναρχίαν ζήλῳ μὲν πεπυρωμένῳ ἀλλὰ θρασέως ἐγκαλῶν τῷ Θεῷ. καὶ τίς ἀνάγκη βιάζεται παρεῖναι τοῖς ἄλλων κακοῖς μηδὲν δυνάμενον, καὶ προσαμαρτάνοντα; κἂν μηδὲν μέγα ᾖ, γοῦν ἐφ' οἷς ἄλλοι πράττουσι κακῶς ταράττεσθαι, εἰρηνεύειν τῆς διανοίας ὀφειλούσης, οὕτω πλημμελοῦσιν ἐν τῷ πλήθει μὴ πλημμελοῦντες οἱ κεχωρισμένοι τοῦ πλήθους, καὶ ζημιοῦνται οἱ ἐν τῷ πλήθει μισθοὺς πόνων, δόξης ἕνεκεν ἀνθρωπίνης. κἂν γὰρ μυριάκις οἱ πλέον τούτους τῶν ἡσυχαζόντων θαυμάζοντες λέγωσιν ἐκ τοῦ συνεῖναι τῷ πλήθει, δῆλοι διαφέροντες εἰσὶ τούτῳ τῷ δεσμῷ κατεχόμενοι, αὐτῷ τῷ αἱρεῖσθαι τοὺς ζημιοῦντας τόπους οἰκεῖν τούτοις καθ' ἑαυτοὺς καὶ, ἄνευ κατηγόρου διαπρυσίῳ κεκραγότας φωνῇ ὡς αὖ πάλιν οἱ κεχωρισμένοι τῶν ἐπαινούντων, τῷ ἔργῳ σαφῶς μαρτυροῦσι καὶ αὐτοὶ, ὅτι τὴν παρὰ τοῖς πολλοῖς θαυμαζομένην δόξαν ἐπάτησαν· οὐ νηστεία τούτοις διαπίπτει σὺν ἀγρυπνία ἀπόλλυται· οὐ προσευχὴ ναυαγεῖ· οὐ συλᾶται καρτερία, οὐχ ἡ ἄλλη πᾶσα λῃστεύεται ἀρετή. οὐ γὰρ πάρεστιν εὐφημία λωποδυτῆσαι δυναμένη τοὺς πόνους. Θεὸς ὁρᾷ μόνος, ὁ τούτοις παρὼν, καὶ τὴν προθυμίαν ἀλείφων πρὸς μείζονας ἄθλους, καὶ μισθοὺς, καὶ νῦν παρέχων τὴν συνεργείαν, καὶ μετὰ τὴν ἀποβίωσιν ζωὴν τὴν αἰώνιον διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

dem ardente, ſed audaciùs, Deo litem intendens. Et quænam neceſſitas compellit adeſſe alienis malis eum, qui nullam opem ferre valet, ſed & inſuper peccat? quamuis hoc certè nihil magnum ſit, nimium ob ea, quæ alij malè operantur, turbari, cum deberet mens pacatè agere: Sic illi delinquunt inter multitudinem, cum (è diuerſo) non delinquant, qui ſeparati ſunt à multitudine, ac etiam,qui inter turbas degunt mercedũ ob labores detrimento, propter humanam gloriam afficiuntur: etſi enim millies iſtos prę his, qui vitam quietam agunt, admirantes, dicant, hanc nimirum admirationem ipſis deberi, ex eo quod cum turbâ conuerſentur, fiunt tamen dilucidè manifeſti, quod eodem detinentur vinculo, hocce nempè,quod elegerint locis inhabitare damnum inferentibus, quæ hiſce contra ſe ipſa clarâ voce, & abſq; accuſatore inclamant, ſicut, ex aliâ parte, qui procul à dilaudantibus ſeparati ſunt,opere luculenter teſtantur, quòd gloriã, quæ multis admirationi eſt, conculcarunt: non ipſis excidit ieiunium, vigilia non deperit, Oratio non facit iacturam, non ſpoliatur perſeuerantia, nec vlla alia virtus furto ſubtrahitur; nõ enim adeſt applauſus concelebrantiũm, qui valeat expilare labores; Deus ſolus videt, qui aſſiſtit ipſis, atq; ad maiora certamina, & præmia incitat, acuitque animi alacritatem, tùm cooperationem modò, tùm poſt deceſſum vitam præbens æternam, per Dominum Noſtrum Ieſum Chriſtum, cui Gloria, & Dominatio in ſæcula ſæculorum. Amen.

EIVS-

EIVSDEM

TRACTATVS AD EVLOGIVM MONACHVM.

CAPVT I.

QVI cæleſti diuerſantur in loco, laboribus; non ventri, neque ſolicitudini rerum corruptibiliũ, quaſi defixis oculis intendunt, velut ij, qui lucri gratiâ orationes fundunt, arbitrantes pietatem eſſe prouentum; ſed intellectuali viſione participes ſunt rerũ ſublimiũ, quas pietas nutrit, vt intemerati cõuiuantium Cœtus fulgore vndique illuſtrati. Itaque tu ipſe quoque (ò Sacris virtutibus initiate Eulogi) è fulgore ſupremarum rerum in ſacrâ enutritus eſſentiâ, cogitationum collectionibus tumidã carnis exuiſti ſarcinã, probè ſciens, quod ſordes carnis alimentum ſunt cogitationum (tu inquã) ac ſi laborũ ſtimulo fraudulentas circũuẽtiones comprehendiſſes, me deligis ad inſeruiendum vice oris contra ipſa opera tua, & niſi temerarium foret, charitatis mandatum diſrumpere, recuſarem vtique talem nauigationis quaſi per Pontum decurſum; cum verò magis deceat obedire vnanimibus, nec opponere ſe; mihi ſis aſſiſtens in his, quæ ad Deum pertinent, vt mihi concedatur Sermo in apertione oris mei, & ego tibi ad ea, quæ obedientia exigit, promptus ero, vt detur tibi inſitiuos metere fructus.

ΤΟΥ ΑΥΤΟΥ

ΛΟΓΟΣ ΠΡΟΣ ΕΥΛΟΓΙΟΝ ΜΟΝΑΧΟΝ

ΚΕΦΑΛ. α'.

ΟΙ τὸν οὐράνιον χῶρον νεμόμενοι τοῖς πόνοις, οὐ τῇ γαστρὶ, οὐδὲ τῇ μερίμνῃ τῶν φθαρτῶν ἀτενίζουσι. καθάπερ οἱ κέρδους ἕνεκα τὰς εὐχὰς ποιούμενοι νομίζοντες πορισμὸν εἶναι τὴν εὐσέβειαν ἀλλὰ νοερᾷ ὁράσει τῆς προφίμου τῶν ὑψηλῶν αὐτῆς μεταλαμβάνουσιν ἀκήρατοι θίασοι ἐκ τῆς δόξης τὸ φῶς περιλαμπόμενοι. καὶ αὐτὸς (ὦ μύστα τῶν ἀρετῶν Εὐλόγιε) τῇ τῶν ὑπερτάτων λαμπηδόνι τὴν ἱερὰν οὐσίαν ἐκτρεφόμενος ταῖς συναγωγαῖς τῶν λογισμῶν τὸν ὄγκον τῆς σαρκὸς ἀπεδύσω, εἰδὼς ὅτι ὕλη σαρκὸς, τροφὴ λογισμῶν καθέστηκε, ὥσπερ τὰς μεθοδείας τῷ κέντρῳ τῶν πόνων κατειληφὼς, ἐμὲ προχειρίζῃ στόμα τῶν ἔργων κατ' αὐτῶν γενέσθαι, καὶ εἰ μὴ τολμηρὸν ἀγάπης ἐπίταγμα διαῤῥῆξαι, παρῃτησάμην ἂν τὴν τοιαύτην τοῦ πλοὸς ποντοπορίαν. ἐπειδὴ τὸ πείθεσθαι δεῖ μᾶλλον τοῖς ὁμοψύχοις, οὐκ ἀντιπαρατείνεσθαι. ἔσο μοὶ σὺ τὰ πρὸς τὸν Θεὸν, ἵνα μοὶ δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, κἀγὼ σοὶ ἔσομαι τὰ τῆς ὑπακοῆς, ἵνα δοθῇ σοι τῶν ἀσπόρων τοὺς καρποὺς ἀμήσασθαι.

ΚΕΦΑΛ. Β΄.

Πρώτη τῶν λαμπρῶν ἀγωνισμάτων ἐστὶ ξενιτεία, μάλιστα ὅταν πρὸς ταύτην, καὶ μόνος ἐκδημοίης, πατρίδα, γένος, ὕπαρξιν ἀθλητικῶς ἀποδυόμενος ἔμπροσθεν τῶν λαμπρῶν ἑστηκὼς ἀγώνων. ἂν οὕτως ἄρξῃ κατὰ Θεὸν εἰς Ἀρχῆς ὁδὸν βαστάζων περὶ διαπύρῳ, καὶ πνεύματι θεϊκῷ, καὶ τῷ τέλει τῆς ὑπομονῆς σώαν ταύτην ἀποσώζων, πτέρυξιν ἀρετῆς ἔσται περικεχρυσωμένη ψυχὴ τῶν οἰκείων τόπων ἀφισταμένη καὶ πρὸς αὐτὸν πτῆναι τὸν οὐρανὸν ἐπειγομένη. ἀλλὰ τῆς δὲ τὰ πτερὰ τῆς πολιτείας ὁ τῆς κακίας γεννητὴς μηχανᾶται περικόψαι, γῆς, ἀφ᾽ ἧς ἐξελήλυθε τὸ γένος ἐσοπτρίζων, ἐν ταῖς κατ᾽ ἀρρωστίαν μάλιστα ἐπισυμβαινούσαις εἰσβολαῖς· καὶ ἐν μὲν τῇ ἐνδημίᾳ τῆς θερμοτάτης ἐκδημίας ὑποαναχαιτίζει πρὸς ὀλίγον ἕως τὴν ψυχὴν περὶ τὰς θλίψεις καταμάθοι ναυτιῶσαν καὶ τότε τὴν τῶν λογισμῶν νύκτα ἐπιφερόμενος ὁ νυκτικόραξ ἐπισκοτεῖ τῇ ψυχῇ τὰς τῶν κρειττόνων ἀκτῖνος. εἰ δὲ καὶ μόνας παρατάττοιτο ἐν τῇ τῆς ἐρημίας παλαίστρᾳ, καὶ τύχῃ τὸ σῶμα ὑπὸ ἀρρωστίας τρωθῆναι τοσούτῳ μᾶλλον χαλεπὴν ἐπιδείκνυσι τῇ ψυχῇ τὴν ξενιτείαν, οὐκ ἐν τόπῳ, ἀλλ᾽ ἐν τρόπῳ κατορθοῦσθαι τὰ τῶν ἀρετῶν ὑποβάλλων, καὶ ὅτι παράκλησιν ἔχων οἴκοι τὴν ἀπὸ γονέων, ἐκεῖσε τὰ τῆς ἀποτάξεως ἆθλα ἀκόπως εἶχε διασώζειν. ἔνθα καὶ τῆς ἀσθενείας προσηνὴς ὑπηρεσία, καὶ οὐχ ὡς νῦν κακουχία, καὶ ἐπώδυνος λειποθυμία. ἐν τῷ καὶ μάλιστα ἐκ τῆς ἀδελφότητος ἀπαιτῆσαι τὴν τῆς φιλοξενίας σπουδήν. διὸ καὶ μάλιστα, ἅπτε, φυ-

CAPVT II.

Primum illuſtrium certaminum eſt peregrinatio,& maximè quādo ad eam peregrè ſolus è tua gente abieris, Patriam, genus, opes, Athleticè, firmèque exuens, & antè præclara te ſiſtens certamina: Si ſic inceperis ſecundùm Deum in principio viæ, tolerans igneâ, ſeu feruente fide, ac Diuino Spiritu, & patientiæ fi- Pſal. 67. v. 14. ne ipſam (ſcilicèt peregrinationē) ſaluam reſeruans, Anima pēnis erit Virtutis deaurata, à proprijs locis elongans ſeſe, & ad ipſum Cælum, vt peruolet properato gradu feſtinans: Verùm huiuſcemodi inſtituti pēnas Auctor malitiæ præſcindere molitur, tamquam in ſpeculo repræſentans terræ genus, è qua fuerit quis egreſſus, maximè in aggreſſionibus malis inualetudinis, quæ ſuperaccidunt; & quoad permanendum, paulatim retroagit, ſeù diſſuadet in feruentiſſimâ peregrinatione, donec pernoſcat, quòd Anima nauſeat in ærumnis, tuncque noctem cogitationum inferēs nocturnus Coruus obtenebrat animam radium meliorum rerum offuſcans; Si verò & ſeorſim in luctâ Deſerti oppugnarit, & contigerit corpus ab infirmitate vulnerari, eo magis grauiorem demonſtrat Animæ peregrinationē, ſuggerens, quod ad Virtutem ſpectantia non in loco, ſed ex modo proſperè perficiuntur, & quod conſolationem habens domi à cognatis, ibi præmia, quæ renuntiationem (mundo factam) conſequuntur, poſſet ſine labore conſeruare; vbi & iucundus morbi famulatus eſt, & non vti nunc mala tractatio, & dolore plenum Animi deliquium; eò potiſſimùm quòd etiam hoſpitalitatis ſtudium à fra-

à fraternitate debitum valdè ſit rarum; & hanc maximè ob rem, abi (inquit) gaudium cognationi tuæ, gloriamquè te ipſum deportans, quibus & luctum intolerandum ſine vlla commiſeratione dereliquiſti, quia plerique etiam, qui Patriam minimè fugerunt, è medio cognationis delegerũt Virtutem. At qui purpuream veſtem tribulationum in conflictu peregrinationis circũindutus eſt, laborumque ſpebus, ceù coronis redimitus ex fide, gratiarum actionis tolerantiâ huiuſcemodi cogitationes inſtar niuis conſertim decidẽtes excutit ex intimo animo, & quantò plus illæ cor effodiendo penetrant, vt cogant referre pedẽ, eò magis aduerſus eas pſallamus:
Pſ. 14. v.8. Ecce elongaui fugiens, & manſi in ſolitudine: etenim exprobrantes affligunt, & adulantur ad greſſum conuertendum, vt, exinanientes animi propoſitum, diſcindant etiam è gratiarum, quæ patienter fit, actione, & ſic deinceps laqueos cum multâ dilatent libertate, ex his, quæ alioquin ſunt conſentanea.

σὺ, χαρὰν τῷ σῷ γένει, καὶ δόξαν σαυτὸν ἀποκομίζων, οἷς καὶ τὸ πένθος ἀφόρητον καταλέλοιπας ἀσυμπαθῶς· οἱ πολλοὶ γὰρ, καὶ πατρίδα μὴ φυγόντες, ἐκ μέσου τοῦ γένους εἵλοντο τὴν ἀρετήν. ἀλλ' ὁ τὴν πορφύραν τῶν θλίψεων ἐν τῇ παρατάξει τῆς ξενιτείας περιβεβλημένος, καὶ τῶν κόπων τὰς ἐλπίδας περιεστεμμένος πίστει, ὑπομονῇ τῆς εὐχαριστίας τῶν δὲ τῶν λογισμῶν τὰς νιφάδας ἐκ τῶν ἐκτὸς ἐκτινάσσει, καὶ ὅσῳπερ ὑποστρέφειν τὴν καρδίαν διορύττουσι, τοσοῦτον ἔτι μᾶλλον καταψάλλωμεν αὐτῶν, ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ, καὶ γὰρ ὀνειδίζοντες θλίβουσι, καὶ ἐπιστρέψαι κολακεύουσιν, ἵνα τῆς προθέσεως κενώσαντες, καὶ τῆς ἐν τῇ ὑπομονῇ εὐχαριστίας διακόψωσιν, καὶ οὕτω λοιπὸν τὰς παγίδας μετὰ πολλῆς ἀδείας, καὶ ἐκ τῶν προσηκόντων εὐρύνωσι.

CAPVT III.

EAM ob rem, qui Virtutem aggreditur aſſequi, ſupputet etiam quodnam hoſtiliter contrà ipſam irruat bellum, ne inexercitatus apparens, velut imparatus detrahatur: Laudabilis quippe Virtutis eſt fortitudo, dum etiam pax vigeat, admodùm verò eiuſdem eſt commẽdanda ſtrenuitas, ſi etiam bellum inſtet: in hoc enim Virtus enitet, non per ea ſolùm, quæ operatur, ſed & per grauia, quibus oppugnatur; Is non obnoxius animi paſſionibus eſt, qui per plurima bella victor extitit paſſionis; eſt autem affectu percitus, qui abſque bello ſe comparaſſe dicit Virtutem: etenim, vt laborum eſt acies inſtructa virtute præ-

ΚΕΦΑΛ. γ'.

Διὰ τοῦτο ὁ ἀρχόμενος ἀρετῆς ἐφάπτεσθαι, ψηφιζέτω καὶ τὸν κατ' αὐτῆς ἐπιόντα πόλεμον, ἵνα μὴ ἀγύμναστος ὀφθεὶς ὡς ἀνέτοιμος καταπατηθῇ. ἐπαινετὴ μὲν γὰρ τῆς ἀρετῆς ἡ ἀνδρεία καὶ εἰρήνης οὔσης, ὑπερεπαινετὴ δὲ ἡ ταύτης ἀνδραγαθία, καὶ πολέμου ἐπιστάντος, τοῦτο γὰρ ἡ ἀρετὴ, δι' ὧν ἐργάζεται μόνον, ἀλλὰ καὶ δι' ὧν πολεμεῖται δείκνυσιν, ἀπαθὴς ὁ διὰ πλειόνων πολέμων τὸ πάσχειν νικήσας, ἐμπαθὴς δὲ ὁ ἀρετὴν λέγων ἀπολέμητον κεκτῆσθαι· κατὰ τὴν παράταξιν γὰρ τῆς ἐναρέτου τῶν πόνων στρατηγίας, ἀντιπα-

ἐκτάττεται καὶ ὑπὸ τῶν ἐναντίων κακία. ἀφῄρηται τὸ εἶναι ἐν ἀρετῇ καρδία πόλεμον οὐκ ἔχουσα. ἀρετὴ γὰρ ἐκ τῶν ἀριστείων πρακτικὸν ὄνομα κέκληται. ἀρετὴ τὰς παρ' ἀνθρώπων εὐφημίας οὐ ζητεῖ, οὐ γὰρ τέρπεται τιμῇ, τῇ μητρὶ τῶν κακῶν. ἀρχὴ γοῦν τιμῆς ἀνθρωπαρέσκεια, τὸ δὲ τέλος ταύτης ὑπερηφανία. ὁ γὰρ τιμὰς ἀπαιτῶν, ὑψοῖ ἑαυτὸν, καὶ ἐξουδένωσιν φέρειν ὁ τοιοῦτος οὐκ οἶδε. τιμῆς ὄρεξις φαντασία, ὁ γὰρ αὐτῆς ἐρῶν καὶ κλῆρος φαντάζεται, ἔστω σοι τιμὴ ὁ πόνος τῶν ἀρετῶν, καὶ ἀτιμία ὁ κατὰ θέλησιν ἔπαινος, δόξαν ἀπὸ σαρκὸς μὴ ζήτει ὁ τὰ σαρκὸς πάθη καταλύων, τὸ δὲ κρεῖττον ἐπιζήτει, καὶ ἔσται σοι δόξα, ὁ τιμᾶσθαι θέλων τῷ παρευδοκιμοῦντι φθονεῖ. καὶ τούτῳ τὸ μῖσος τῷ ζήλῳ σωρεύει ὁ ταῖς ἄγαν τιμαῖς ἡττηθεὶς, ἑαυτοῦ προτιμᾶσθαι οὐδένα θέλει. ἁρπάζει δὲ τὰ πρωτεῖα, μήπως ἥττων φανῇ, οὐ βαστάζει ἀπόντα τὸν εὐδοκιμοῦντα τιμᾶν, ἀλλὰ καὶ ἐν τοῖς αὐτοῦ πόνοις κωμῳδεῖ τὴν χαμαίζηλον δόξαν, ἡ ὕβρις τῷ φιλοδόξῳ ὀξυτάτη σφαγή, καὶ μῆνιν ἐκ ταύτης οὐ πάντως ἐκφεύγει.

te prӕditæ peritiæ bellicæ, ſic ex aduerſâ acie collocatur inimicorũ malitia, & cordi, quod bello non vacat, ademptum eſt Virtutis exercitium: hæc quippe vox ἀρετὴ, ſcilicèt Virtus, ſortita eſt nomen practicum, ſeu ad agendum aptũ ex illâ voce ἀριστεία, quæ ſignificat fortitudinis præmia. Virtus non exquirit applauſus, qui ex hominibus prouenitunt, nec enim oblectatur honore, qui mater eſt malorum; ſiquidem honoris principium hominum complacẽtia eſt, huius autem finis ſuperbia: nam qui honores exigit ſeipſum attollit, & hic non nouit ferre contemptum: honoris cupiditas oſtentatio eſt, qui enim honoris auiditate detinetur, ſortem etiam mente peruoluit: Virtutum labor tibi ſit honor, & voluntariam laudem habeas pro dedecore; ne quæras gloriam à carne, qui carnis paſſiones euertis, at quod eſt melius inquire, eritque tibi gloria: qui vult honore affici, famâ celebritateque prӕſtantiori inuidet, quipuè immodicis inſeruit honoribus, ac odium accumulat æmulatione; in honore ſibi ipſi præferri neminem vult, rapit verò primas partes, ne fortè videatur inferior; non tolerat præcellentem, qui abſit, honore proſequi, ſed & in eius laboribus humilem gloriam ſubſannat, ac taxat: cupido gloriæ contumelia acerbiſſima eſt cędes, nec ob eam prorſus effugit iracundiam.

ΚΕΦΑΛ. δ'

Ὁ τοιοῦτος βαρβάρῳ δεσποίνῃ δουλεύει καὶ πολλοῖς δεσπόταις μετεπράθη, ἐπάρσει, καὶ φθόνῳ, καὶ ζήλῳ καὶ ταῖς προῤῥηθείσαις τῶν πνευμάτων λογάσιν, ὁ δὲ τῆς τιμῆς τὸ πνεῦμα ταπεινώσει ῥάσσων, τὴν λεγε-

CAPVT IV.

QVI talis eſt, Dominæ famulatur barbaræ, ac viciſſim pluribus diuenditur heris, elationi, & inuidiæ, & æmulationi, ac præfatis malis ſelectis ſpiritibus; at qui malum honoris ſpiritum humilitate tundit, Dæmonum vniuerſam peſſundabit legionem; qui humili animo

ſe ipſum prębet omnibus ſeruum, aſſimilabitur ei, qui humiliauit ſemetipſum, & formam ſerui ſuſcepit; Si te ipſum minimâ dimetiaris menſurâ, non te remetieris cum ſocio; & qui Animæ infirmitatem lamentationibus detegit, non ſentiet magnificè de his, in quibus ipſe laborem impenderit: Dæmones his, qui humilia ſapiũt vilitatem, & contumeliam inferunt, vt, non perferentes contemptum, ſenſum humilem deuitent; qui verò per humilitatem generosè dedecora ſuſtinet, per illa eadẽ potiùs ad Philoſophiæ ſubuehitur celſitudinem. Dauid affectus cõtumelijs non contradicebat, ſed & vltionem Abeſſæ reprimebat. Tu quoq; læſus iniurijs ne contumelias rependas, quin, vt par eſt, mitiga te vlciſcentem; ſuſtine iniuriam, quæ tuus eſt progreſſus, labijſque conclude iracundiæ oſtiũ, nec omnino comminantibus reſpondeas, vt ſilentio conſopias fumantia labia; comminantes, & conuitiantes, tunc dolore afficies, quando fræna tuis impones maxillis: etenim tu tacens minimè corroderis, at is multò magis à tuâ taciturnitate commordetur, quando contumelioſi, ac proterui magnanimè temeritatem pertuleris: hominum laudem è tuis repellas interioribus, ita vt antè illius aduentum cogitationem ſeſe lubenter oſtentantem excutias: Verùm diligẽti quoq; animaduerſione obſerua cauẽs à ſtudio tibi ipſi placẽdi, maximè in ſolitario ſilentio, ne fortè illud te extollens ſuperaudacter loquutum, ac ferocientem, nihil ipſum reputes. Quidam fratrum lęſus fuit conuitijs à Reuerendo, iniuſtamque tolerans iniuriam abijt, in gaudium diſpertitus, & dolorem; hoc quidem, quià iniuſtè fuit affectus contume-

Philipp. 2. v. 7. & 8.

Pſalm. 3. v. 1.

ὠδίνα τῶν δαιμόνων ὅλον καθαιρήσει· ὁ τῇ ταπεινώσει δοῦλον ἑαυτὸν πᾶσι παρέχων, ἀφομοιωμένος ἔσται τῷ ταπεινώσαντι ἑαυτόν, καὶ μορφὴν δούλου λαβόντι. ἐὰν μετρῇς τῷ ἐλαχίστῳ μέτρῳ σεαυτὸν οὐκ ἀντιμετρήσεις σεαυτὸν ἑταίρῳ, καὶ ὁ τῆς ψυχῆς τὴν ἀσθένειαν θρήνοις ἐκκαλύπτων, οὐ μέγα ἐπὶ τοῖς ἐφ' ἑαυτοῦ πονουμένοις φρονήσει. δαίμονες ἀτέλειαν, καὶ ὕβριν τοῖς ταπεινοφρονοῦσιν ἐπάγουσιν, ἵνα τὴν ἐξουδένωσιν οὐ φέροντες, τὴν ταπεινοφροσύνην φύγωσιν, ὁ δὲ διὰ ταπεινώσεως τὰς ἀτιμίας γενναίως φέρων εἰς φιλοσοφίας ὕψος δι' ἐκείνων μᾶλλον ἀνωθεῖται. ὁ Δαβὶδ ὑβριζόμενος οὐκ ἀντέλεγεν, ἀλλὰ καὶ τὴν Ἀβεσσᾶ ἐκδικίαν κατέστελλε· καὶ σὺ ὑβριζόμενος μὴ ἀνθύβριζε, ἀλλὰ καὶ τὸν ἐκδικοῦντά σε ὀρθῶς καταπράϋνε. ὕβριν φέρε, τὴν σὴν προκοπήν, καὶ χείλεσι σύγκλειε τοῦ θυμοῦ τὴν θύραν. ἀποκριθήσῃ τοῖς ἀπειλοῦσιν οὐδ' ὅλως, ἵνα τῇ σιγῇ κοιμίσῃς τὰ καπνίζοντα χείλη, ἀπειλοῦντας τότε καὶ ὑβρίζοντας ὀδυνήσεις ὅταν χαλινοὺς ταῖς σιαγόσιν ἐπιθήσῃς, σὺ μὲν γὰρ σιγῶν, οὐ βρωθήσῃ τῇ ὕβρει, ὁ δὲ πολὺ μᾶλλον δάκνεται ὑπὸ τῆς σῆς σιωπῆς, ἐπὰν ὑβριστοῦ θάρσος μακροθύμως ὑπενέγκῃς. τὸν τῶν ἀνθρώπων ἔπαινον ἐκ τῶν ἐντὸς ἀποσείου, ἵνα τὸν φιλενδείκτην λογισμὸν πρὸ αὐτοῦ ἐκτινάξῃς. ἐπιτήρει δὲ καὶ τὸ αὐταρέσκον μάλιστα καθ' ἡσυχίαν, μή ποτέ σε μεγαλαυχίαν ὑφ' ἑαυτοῦ θρασυνθέντα ἐξουδενώσῃς ἐκεῖνον. τὶς τῶν ἀδελφῶν ὑβρίσθη παρὰ εὐλαβοῦς, καὶ ἀδικίαν ὑπομείνας ἀπῄει χαρᾷ τε μεριζόμενος, καὶ λύπῃ, τὸ μὲν ὅτι ἀδικούμενος ὑβρίσθη καὶ οὐκ ἀντιπαρεσχέθη, τὸ δὲ ὅτι ὁ εὐλαβὴς ὑπαντι-

tume-

θῆ καὶ ἀπατήσας ἐχάρη. νόει δέ μοι τὸ τὸν ἀπατεῶνα τὰ δύο πεπονθέναι· ἐφ' ᾧ μὲν ἐτάραξε πάντως χαρέντα, ἐφ' ᾧ οὐκ ἀντεταράχθη, μᾶλλον λυπηθέντα.

tumeliā, nec è conuerſo turbatus fuit; illud autem, quia Religioſus ille deceptus fuit, cumque decepiſſet, gauiſus eſt. Intellige verò, & deceptorem ea duo paſſum fuiſſe, nimirùm, eò quod turbarit, prorsùs eſſe gauiſum, &, eò quod non ſit è contrà perturbatus, maiori fuiſſe mærore affectum.

ΚΕΦΑΛ. ε'.

Ὅταν ἴδωσιν ὑμᾶς οἱ δαίμονες εἰς τὸ αὐτὸ ξέσμα τῶν ὕβρεων μὴ ἐξαφθέντας, τότε καθ' ἡσυχίαν ἐπιστάντες, ἀναμοχλεύουσι τὸ ἡγεμονικὸν, ἵνα οἷς παροῦσιν εἰρηνεύσαμεν, τούτοις ἀποῦσι διαθερμαινώμεθα, ἐὰν οὖν ἀντιλογίαν ἢ ὕβριν πρὸς τὸν ἀδελφὸν ἐκτελέσῃς, σεαυτὸν λογίζου σφαλέντα, ἵνα μὴ ἡσυχάζων μάχην λογισμῶν ἐν τῇ καρδίᾳ σου εὕρῃς τοῦ μὲν ὀνειδίζοντος τῶν ὕβρεων τὸν τρόπον, τοῦ δὲ ἀντονειδίζοντος ὡς τὰ δεινὰ ἐν σοὶ μὴ ἀνθυβρίσαντος. ὁπόταν παροξυσμὸς ἐκπεράνῃ τῶν ἐν κοινοβίῳ ἀδελφῶν, τότε οἱ λογισμοὶ τὸν μόνον μακαρίζειν εἰσβάλλουσιν, ἵνα τῆς μακροθυμίας κενώσαντες, καὶ τῆς ἀγάπης ἀφορίσωσιν. ὁ δὲ μακροθυμίᾳ τὴν ὀργὴν, καὶ ἀγάπῃ τὴν λύπην ἀνατρέπων, πονηροὺς δύο θῆρας διπλαῖς ἀνδραγαθίαις ἀνατρέπει θυμομαχοῦντας. ὁ παρακαλῶν, καὶ γονυπετῶν, ἵνα τὴν ὀργὴν ἀπελάσῃ, τὸν παροξύναντα, τὴν ἀμφοτέρων ἐξ αὐτοῦ ἀπελαύνει, οὗτος τὸ πνεῦμα τῆς ὀργῆς ἐκπολεμεῖ ὁ τῶν ὀργιζομένων εἰρηνεύων. μηνιᾶσι δὲ τούτῳ ὀργὴν ὁμογενῶν ἐπ' αὐτὸν ἐκθερμαίνων, ὅτι τὴν τῶν πλησίον εἰς ἑαυτὸν ἐδέξατο τὴν μάχην, ὁ τὸν θερμοκάρδιον βαστάζων ἐν κόλπῳ εἰρήνης, οὗτος ἐκβιάζεται γενέσθαι τῆς εἰρήνης Υἱός, ἀλλ' οὐκ ἀπὸ ἀνθρώπων μόνον ζητητέος ὁ τῆς

CAPVT V.

Qvando nos inſpexerint Dæmones in ipſo contumeliarum ramēto minimè inflammatos, tunc quietis tempore ex inſidijs aduentantes, quaſi vecte animi principatū ſubmouent, vt, quibus præſentibus fruiti pace ſumus, iiſdem iam elapſis ferociamus: quando igitur contradictionem, aut contumeliā contra fratrem patraueris, te ipſū puta deceptum, ne, dum quieſcas, pugnam cogitationū in tuo corde comperias, hac quidem exprobrante modum contumeliarum, alterâ verò è contra improperia dictante, quaſi ea quidem forent grauia, tu verò iniurias non repēdiſſes: quando irritatio exacerbarit fratres, qui viuunt communiter, tnnc irruunt cogitationes dictantes, beatum prædicare ſolitarium, vt nos longanimitate euacuantes, ſeparent etiam à charitate: At qui longanimitate iracūdiam, & charitate mæſtitiam euerterit, duas malas beſtias infenſo præliantes animo, duplici proſternit ſtrenuitate: qui exorat, & quaſi ſupplex genu ſucciduo ad genua procumbit eius, qui concitauit ad iram, ab ipſo vtraſque abigit; ſpiritum namque debellat iracundiæ ille, qui pacat iratos; iraſcetur autem iſti, cognatorum iracundiam in illum audacem reddens, quia proxi-

proximorum pugnam in ſe ipſum ſuſcepit: qui ſuſtinet virum audaci præditum corde, enititur eſſe filius Pacis; verùm non apud homines tantùm quærendum pacis vinculum, ſed & in corpore tuo, & in tuo ſpiritu, & in animá,

εἰρήνης σύνδεσμος· ἀλλὰ καὶ ἐν τῷ σώματί σου, καὶ ἐν τῷ πνεύματί σου, καὶ ἐν τῇ ψυχῇ.

CAPVT VI.

Qvando namq; huiuſce ternionis tui vinculum pace coadunaris, tunc, vtpote præcepto Diuinæ Trinitatis vnitus, audies; Beati Pacifici, quoniam ipſi filij Dei vocabũtur: etenim ſi carnem contra ſpiritum concupiſcentem laboribus ad pacem redegeris, gloriam Beatitudinum vltra ſæculum aſſequeris; eo quod viceris bellum in tuo corpore motum, legique mentis tuę repugnans, ac te captiuum ſubijciens legi peccati, quæ eſt in membris tuis. Magnum eſt pacis vinculum, in quo ſimul etiam vnitur gaudium illuminans oculũ intellectus ad rerum meliorum contemplationem: ſi igitur acquiramus pacificum gaudium in laboribus, inſultantia quæque moleſta, gratias agendo per ipſam propulſabimus, & mœſtitiæ Dæmonem mugientem non intromittemus, qui minuens vim, maximè in afflictionibus, in animam irruit, & ſpiritui pigritiæ locum præparat, vt (ſcilicèt ambo ſpiritus mœſtitiæ, & pigritiæ) animam obſcurent, laboreſque ſimul excerpant. Sit igitur lex in noſtrûm corde inſcripta, pacis gaudium, quod, tùm exterminat mœſtitiam, & iracundiam in mare demergit, tùm odium repellit, tùm indignationem abolet, tùm pigritiam deſtruit, tum deniquè mœrorem demutat; ipſum namque in pacifica deliteſcens longanimitate, & gratia-

Mat. c. 5 v. 9.

Ad Rom. c. 7. v. 13

ΚΕΦΑΛ ϛʹ.

Ὅταν γὰρ τῆς σῆς ταύτης τριάδος τὸν σύνδεσμον ἑνώσῃς τῇ εἰρήνῃ, τότε ὡς τῆς θείας τριάδος ἐντολῇ ἑνωθεὶς ἀκούσεις, μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ Υἱοὶ Θεοῦ κληθήσονται, καὶ γὰρ αὖ τὴν ἀντιπίπτουσαν τῷ πνεύματος σάρκα εἰρηνεύσας τοῖς πόνοις, κλέος ἕξεις τῶν μακαρισμῶν ἐπέκεινα αἰῶνος, νικήσας πόλεμον τὸν ἐν τῷ σώματί σου τὸν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός σου, καὶ αἰχμαλωτίζοντά σε τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ἐν τοῖς μέλεσί σου. μέγας ὁ τῆς εἰρήνης σύνδεσμος ἐν ᾧπερ ἥνωται καὶ ἡ χαρὰ φωτίζουσα τὸ ὄμμα τῆς διανοίας εἰς τὴν τῶν κρειττόνων θεωρίαν, εἴπερ οὖν ἐπικτησώμεθα τὴν εἰρηνικὴν ἐν τοῖς πόνοις χαράν, τὰ ἐπιόντα χαλεπὰ εὐχαρίστως δι' αὐτῆς ἀποκρουσόμεθα, καὶ τὸν τῆς λύπης δαίμονα, μυκώμενον οὐκ εἰσδεξόμεθα, ὅστις ἀκρωτηριάζων ἐν ταῖς θλίψεσι μάλιστα, τῇ ψυχῇ ἐφάλλεται, καὶ τῷ πνεύματι τῆ ἀκηδίας χώραν ἑτοιμάζεται ὅπως τὴν ψυχὴν σκοτίσωσι, καὶ ἅμα τοὺς πόνους ἀναλέξωσιν, ἔστω τοίνυν νόμος ἡμῶν τῆς καρδίας ἔγγραφος ἡ τῆς εἰρήνης χαρά, καὶ τὴν λύπην καταποντίζουσα καὶ τὸ μῖσος ἀπελαύνουσα, καὶ τὴν μῆνιν ἀφανίζουσα καὶ τὴν ἀκηδίαν καταλύουσα, καὶ τὴν λύπην ἀμείβουσα. ἐν γὰρ τῇ εἰρηνικῇ μακροθυμίᾳ ἐμφωλεύουσα, καὶ τῇ εὐχαριστίᾳ, καὶ

τῇ ὑπομονῇ ἐλλιμνάζουσα, πέλαγος ἐστὶν ἀρετῶν τὴν ἀντιπαράταξιν τοῦ διαβόλου τῷ σταυρῷ καταποντίζουσα, νόει δέ μοι τὴν ἐναντίαν χαρὰν παραγενομένην ἐφίστασθαι, μή πως ἄλλην ἀντ᾽ ἄλλης σκιασθεὶς ἀπατηθῇς κατέχειν. συσχηματίζονται γὰρ καὶ τοῖς πνευματικοῖς χαρίσμασιν οἱ δαίμονες ἵνα τῷ παρασκιάσματι τὸν νοῦν ἀποπλανήσαντες, τῶν φρενῶν ἀποστήσωσι. ἐφίσταται γὰρ χαρὰ πνευματικὴ καρδίᾳ οὐδενὸς προκειμένου, ὅτι τὸν ἡγεμόνα τῆς κατὰ Θεὸν λύπης μετέωρον εὑρίσκει, ἔπειτα δὲ, καὶ τῷ Πνεύματι τῆς λύπης τὴν ψυχὴν παραδίδωσιν, ὅτι τῆς Πνευματικῆς αὐτὴν χαρᾶς αἰχμάλωτον ἐποίησε.

gratiarum actione, atque patientiâ reſtagnans; mare virtutum eſt, contra ſe inſtructam aciem Diaboli, cruce ſubmergens: intellige verò, quod conrrarium gaudium ſuperuenit turbatum, ne fortè inumbratus decipiaris, ita vt teneas aliud pro alio: configurantur enim ſpiritualibus gratijs Dæmones, vt, cum inumbratâ caligine mentem fefellerint, eam à prudenti abducāt iudicio: ſuperuenit namque cordi ſpirituale gaudium nulla re propoſitâ, quia ducem triſtitiæ, quæ ſecūdùm Deum eſt, erectum, ſeu ſuſpenſum animo inuenit, ac deindè ſpiritui quoque mœſtitiæ (quæ pariter ſecundùm Deum eſt) animam tradit, quià captiuam effecit ipſam ſpiritualis lætitiæ.

ΚΕΦΑΛ. ζ.

Φημὶ δὲ καὶ τοῦτο, ὡς ὑπηγόρευσέ τινι τῶν ἀδελφῶν ἡ πεῖρα τῶν ζητουμένων, ὅτι ἀντὶ μὲν τοῦ χαίρειν ἐν κυρίῳ, χαρὰν οἰκείαν ὁ ἀλάστωρ ἀντιστέλλει. ἀντὶ δὲ τῆς κατὰ Θεὸν λύπης, τὴν ἐναντίαν τῷ νῷ παραπειράζει, ἵνα ταῖς ἀντιστρόφοις μεταβολαῖς τῆς τῶν κρειττόνων ἀκτῖνος μερίμναις τὴν ψυχὴν ἀμαυρώσῃ. διτταὶ τῆς κακίας αἱ λῦπαι τυγχάνουσιν ἐν ἑκάστῃ ἐργασίᾳ ἐπιζευγνύμεναι, καὶ ἡ μὲν ἐφίσταται καρδίᾳ λυπηρᾶς αἰτίας οὐ βλεπομένης. ἡ δὲ τίκτεται ἐξ ἀλλοκότων αἰτιῶν ὠθουμένη. ἡ κατὰ Θεὸν λύπη τοῖς δάκρυσι τὴν ψυχὴν ἀνακαλεῖται, τὴν ἀπεναντίας χαράν τε καὶ λύπην μὴ παραδεχομένη, τὸν δὲ ἐπιόντα θάνατον μεριμνᾷ, καὶ κρίσιν. καὶ τοῦτο κατ᾽

CAPVT VII.

Dico autem & hoc, vt cuidam fratri quæſitarum rerum experientia dictauit, quod nimirùm, loco gaudendi in Domino, Dæmon infeſtus, qui mala non obliuiſcenda perpetrat, è contra propriam inducit lętitiam; pro triſtitiâ verò, quæ ſecundùm Deum eſt, mentem ad contrariā tentat, ſolicitando, vt, oppoſitis mutationibus animam per ſolicitudines obſcurando, rerum orbet radio meliorum. Duplices improbitatis ſunt mœſtitiæ in qualibet coniunctæ operatione; vna quidem ſuperuenit cordi, moleſtâ cauſsâ inuisâ; alia verò, quæ irruit, & quaſi ſeſe intrudit, gignitur inuſitatis è cauſſis; quæ ſecundùm Deum eſt mœſtitia, lacrymis animam reuocat, non admittens lætitiam, ac triſtitiam ex aduerſo exiſtentes, imminentem autem mortem, ac iudicium anxiè meditatur, & inhiat, paulatim

hoc expectans. Cupiditates, ſi quapiam fruſtratæ fuerint re, mœrores gignunt, ac procreant; preces autem, & gratiarum actiones haſce flaccidas reddunt; inter iraſcentes mediocris agitatur mœſtitia; qui ergò primus euigilarit, ſi è paſſione reſurgat, & alteri manum excuſatione porrigat, amaram repellit mœſtitiam. Triſtitia ſit animæ morbus, & carnis, & eam quidem capit captiuam, hanc verò illicò languere facit. Ex aduerſarijs mœſtitia generatur, è mœſtitia verò indignatio, ex iſtis autem parturitur mente delirans conuitium: ſi velis mœſtitiam, & indignationem conculcare, charitatis amplectere longanimitatem, & ſimplicitatis circumindue lætitiam: tuum gaudium ne ſit alteri mœror: qui ſuper iniuſtitiâ gaudet, lugebit in beneuolentiâ, & qui, iniuſtè patiens ſuffert dolores, exultans lætabitur ſplendidè; nam quæ futura ſunt, præſentibus exiſtunt contraria.

ὀλίγον κέχηνε προσδεχομένη. ἐπιθυμίαι ἀποτυχοῦσαι φυτεύουσι λύπας. εὐχαὶ δὲ, καὶ εὐχαριστίαι μαραίνουσι ταύτας. μεταξὺ ὀργιζομένων μέση λύπη δονεῖται. ὁ οὖν πρῶτος ἐκνήψας, ἐὰν τοῦ πάθους ἀναστῇ, καὶ τῷ ἑτέρῳ δώσει χεῖρα, ἀπολογίᾳ, τὴν πικρὰν λύπην ἀπελαύνει. λύπη, ψυχῆς νόσος, καὶ σαρκὸς τυγχάνει, καὶ τὴν μὲν αἰχμαλωτίδα ἄγει, τὴν δὲ ἐπὶ τὸ πᾶν μαραίνει. ἐξ ἐναντίων λύπη γεννᾶται, ἐκ δὲ λύπης μῆνις. τίκτεται δ' ἐκ τούτων φρενίτις λοιδορία, λύπην, καὶ μῆνιν εἰ θέλεις συμπατῆσαι, τὴν μακροθυμίαν τῆς ἀγάπης ἐναγκαλίζου, καὶ τὴν χαρὰν τῆς ἀκακίας περιβάλλου. ἡ σὴ χαρὰ ἑτέρῳ λύπη μὴ ἤτω. ἐπ' ἀδικίᾳ ὁ χαίρων ἐν εὐδοκίᾳ θρηνήσει, καὶ ὁ ὑποφέρων λύπας πάσχων ἀδίκως. λαμπρῶς ἀγαλλιάσεται. τὰ γὰρ μέλλοντα τοῖς παροῦσιν ἐναντία.

CAPVT VIII.

IN tribulationibus age gratias, eò maximè quià per ipſas opitulationis (Diuinæ) gratiam luculentiùs perſentis; Sic enim dũ ingruentes ærumnas agendo gratias excuties, non obſcurabis ſplẽdidiſſimam pulchritudinem conſtantiæ: ſi quando tibi aduersùs carnem Dæmon flagellum inflixerit, maximæ mercedis tibi conciliator comperietur, ſi, vt materiem gratiarum actionis, plagam ſuſceperis: ita namque ipſum à te Dæmonem fugabis; vt autem merces tua per patientiam maiori irrigetur imbre, vniuerſorum virilium laborum ipſa tua te Ducem præbeat patientia, quià & pigritia per omnem nequitiam tibi bel-

ΚΕΦΑΛ. η'.

ΕΝ ταῖς θλίψεσιν εὐχάριστος ἔσο μάλιστα, ὅτι δι' αὐτῶν τῆς ἀντιλήψεως τὴν χάριν σαφέστερον αἰσθάνῃ, οὕτω γὰρ τὰς ἐπιούσας θλίψεις εὐχαρίστως ἐκτινάσσων οὐκ ἀμαυρώσεις τῆς καρτερίας τὸ λαμπρότατον κάλλος, ἐπάν σοι μάστιγα κατὰ σαρκὸς δαίμων καταῤῥάξῃ, μέγιστος σοι μισθοῦ πρόξενος εὑρέθη, ἐὰν ὑπόθεσιν εὐχαριστίας τὴν πληγὴν καταδέξῃ, οὕτω γὰρ καὶ αὐτὸν ἐκ σοῦ φυγαδεύσεις. ἵνα δὲ πλεῖον ὁ μισθός σου διὰ τῆς ὑπομονῆς ἐπομβρήσῃ, διόλων τῶν ἀνδρείων πόνων ἡ ὑπομονή σου στρατηγείτω, ὅτι διὰ

πάσης κακίας, καὶ ἡ ἀκηδία ἀντιστρατηγεῖ σοι, καὶ κατασκοποῦσα τοὺς σοὺς πόνους ἅπαντας πειράζει, ὃν δὲ μὴ εὕρῃ τῇ ὑπομονῇ ἐνηλωμένον, τοῦτον καταβαρύνει ὑφ' ἑαυτήν, καὶ κατακάμπτει, ἐὰν δὲ δαίμων τῆς ἀκηδίας πρὸς τὴν ὑπομονὴν τῶν πόνων ἀτονήσῃ, ἀπονοίας πάλιν ὁ θὴρ τὸ κατόρθωμα δάκνει, εἰ οὖν συνέσει τῆς ἀσφαλείας τοῦτον ἐλάσεις, καὶ τὸ κενόδοξον πνεῦμα ἐν αὐτῷ ἐλάσεις ἐν καιρῷ συνάξεως. ἐπάν σοι τὸ τῆς ἀκηδίας ἐπιπέσῃ πνεῦμα, ὡς φορτικὴν ἐπιψηφίζει τῇ ψυχῇ τὴν ψαλμῳδίαν, καὶ ὄκνον, ὡς ἀντίπαλον τῇ σπουδῇ παραβάλλει, ἵνα ψύξας τῷ πάχει τὴν σάρκα ἀνακλίνῃ τῇ μνήμῃ, ὡς κοπωθεῖσαν δῆθεν ἔκ τινος αἰτίας. ἐπὰν οὖν ἐγρηγορότες ὦμεν νυκτὸς μὴ τὴν σύναξιν τῇ ἀκηδίᾳ ἀνακλίνωμεν, ἵνα μὴ οἱ δαίμονες ἐπιστάντες τὰ ζιζάνια τῶν λογισμῶν συνάξωσι, καὶ ἅμα τῇ καρδίᾳ καταπείρωσιν, ὅταν γὰρ τὴν σύνοδον τῶν ὕμνων ἀπολέσωμεν, τότε τὸν σύλλογον τῶν λογισμῶν ἐπισυνάγομεν. πρὸ συνάξεως ἀφυπνισθέντες, λογισμοὺς φωτὸς ἐν τῇ καρδίᾳ προγυμνάζωμεν, ἵνα εὐπρεπισθέντες ἔχωμεν γρηγορούσῃ διανοίᾳ τῇ ψαλμῳδίᾳ παρίστασθαι.

bi bellum infert, omneſque tuos conſiderans labores, probat, & quem non inuenerit patientiæ firmiter hærentem, hunc deprimit, & inclinat ad ſe ipſam; ſi verò pigritiæ Dæmon ad tolerantiã laborum deficiat, ruiſùs benè geſtum facinus beſtia emordet væcordiæ; ſi prudenti ipſum abigas ſecuritate, ſpiritum quoque vanæ gloriæ in ipſo repelles in tempore Congregationis (ſcilicet Sacræ:) quando tibi negligentiæ ſuperincidat ſpiritus, quaſi oneroſam, ac tædioſam pſalmorum decãtationem animæ comprobat, & pigritiam tamquam ſtudio aduerſariam objicit, vt celeritate perueniens, carnẽ expandat memoriæ, vti ſcilicèt fatigatam ex aliqua causâ: quando igitur vigiles nocte ſimus, ne in pigritia diſcumbere faciamus Congregationem Sacram, ne Dæmones aduentantes cogitationum congerant zizania, ſimulq; cordi ſuperſeminent, nam quando hymnorum canendorum ſocietatem omittimus tunc in nobis cogitationum congregamus collectionem: antè Cõgregationem Sacram è ſomno excitati lucis ratiocinationes priùs in corde exerceamus, vt, intellectu peruigili benè præparati poſſimus concentui pſalmorum adſtare.

ΚΕΦΑΛ. θ'.

Ποτὲ μὲν ῥοίζῳ τὸν ψαλμὸν ἐν τῇ νήψει λεκτέον. ποτὲ δὲ ἀδολεσχεῖν ἐν τῇ ψαλμῳδίᾳ δοκιμαστέον. κατὰ γὰρ τὴν ἔνεδραν τοῦ ἐναντίου ἀνάγκη καὶ ἡμᾶς μεταμορφοῦσθαι, διότι ποτὲ μὲν ἐλαύνειν τὴν γλῶτταν ὑποτίθενται, τῆς ἀκηδίας τὴν ψυχὴν περιεχούσης, ποτὲ

CAPVT IX.

Alicubi quidẽ ſtridore Pſalmus in vigiliã dicendus; alicubi verò vtile cenſendum, aſſiduè Pſalmorum orare concentu; etenim ſecundùm aduerſarij inſidias, neceſſum eſt, & nos mutare formas; quia nonnunquam linguam impellere ſuggerunt (ij ſcilicet Pſalmi) pigritiâ circumdante animam, interdùm proritant ad

ſuauiter concinendas dictiones, oculo intellectuali veluti robur, & è lumine alimentum accipiente: Nam qui viſione rerum excelſarum protenditur, oculum acutiùs proſpicientem, ad Eliſſæi exemplum, aſſequetur. Quando cogitatio hoſtilis tuum aggrediatur cor, ne alia pro alijs in Oratione inquiras, at contrà bellatorem, lacrymarum gladium exacuas; ſi enim ita validiſſimè ad pugnam erumpamus, faciemus, vt ipſe celeriùs à nobis abſiſtat. Honeſtatem cole, ſed cum opere manuum maximè orationis memoriam; illud enim non ſemper, iſtud autē habet indeficiens operationis emolumentum; ne differas orationis debitum ſoluere, intellectui obtemperans per operum acceſſū; & ne perturberis in opere corpus conturbans, ne ſimul cor deturbes Orationis. Quemadmodum noſter exterior homo manibus operatur, vt minimè prægrauet aliquem, ita mentis interior operetur, vt intellectum non aggrauet; tunc enim cogitationes propriā operationē Animæ offerunt, quando ipſam intellectionibus, quæ ſecundùm Deum ſunt, otioſam comprehenderint: ara opera quidem manualia ad humanitatis ſtudium, mentem verò rationalis facultatis ad ſapiētiæ deſiderium, vt primum quidem peregrinorū ſit hoſpitium, ignauiæque, ſeu pigritiæ exuſtio, iſtud verò contemplationis Dux, & ebullitio cogitationum; conſiderationum voluptates audacter increpemus, omnem in eas iracundiam conuertentes, ne voluptate, ea, quæ ab ipſis proueniunt, excipientes, mites erga ipſas contrario modo euadamus.

μελῳδεῖσθαι τὰς λέξεις ἐρεθίζουσι, τοῦ νοεροῦ ὄμματος καθάπερ ἰσχὺν τὴν τροφὴν ἐκ τοῦ φωτὸς λαμβάνοντος. ὁ γὰρ τῇ ὀπτασίᾳ τῶν ὑψηλῶν ἐπεκτεινόμενος ὀξυδερκέστερον ὄμμα λήψεται κατὰ τὸ ὑπόδειγμα Ἐλισσαιέ. ὅταν λογισμὸς σου ἐπιστῇ καρδίᾳ πολέμιος, μὴ ἄλλα ἀντ' ἄλλων ἐν εὐχῆς ἐπιζήτει, κατὰ δὲ τοῦ πολεμίου τὸ ξίφος τῶν δακρύων ἀκόνα. οὕτω γὰρ σφοδροτάτως αὐτῇ μάχῃ προσρήξωμεν, ταχέως αὐτὸν ἀφ' ἡμῶν ἀποστῆναι ποιήσομεν. φιλοκάλει σὺν τῷ ἔργῳ τῶν χειρῶν, καὶ μάλα τῆς εὐχῆς τὴν μνήμην, τὸ μὲν γὰρ οὐ πάντοτε, τὸ δὲ ἀδιάλειπτον ἔχει τῆς ἐργασίας τὸν πόρον. μὴ ἀναβάλλου ἀποδοῦναι τῆς εὐχῆς τὸ χρέος, λογισμοῦ ἀκούων διὰ προφάσεις ἔργων, καὶ μὴ θορυβοῦ ἐν τῷ ἔργῳ ταράττων τὸ σῶμα, ἵνα μὴ συνταράξῃς καὶ εὐχῆς τὴν καρδίαν. ὥσπερ ὁ ἐκτὸς ἡμῶν ἄνθρωπος χερσὶν ἐργάζεται πρὸς τὸ μὴ ἐπιβαρῆσαι τινά. οὕτως ὁ ἐν ταῖς φρεσὶν ἐργαζέσθω, πρὸς τὸ μὴ ἐπιβαρυνθῆναι τὸν νοῦν. τότε γὰρ οἱ λογισμοὶ τὴν οἰκείαν ἐργασίαν τῇ ψυχῇ προσφέρουσιν, ὅταν αὐτὴν ταῖς κατὰ Θεὸν ἐννοίαις ἀργὴν καταλάβωσιν. ἀργησία, τὰ μὲν ἔργα τῶν χειρῶν εἰς τὸ φιλάνθρωπον, τὴν δὲ φρένα τοῦ λογιστικοῦ εἰς τὸ φιλόσοφον, ἵνα τὸ μὲν ᾖ ξένων ξενία, καὶ ὀκνηρίας ἐμπρησμός, τὸ δὲ, θεωρίας στρατηγός, καὶ λογισμῶν ἀποβρασμός. τῶν λογισμῶν ταῖς ἡδοναῖς μετὰ θάρσους ἐπιπλήξωμεν, ἅπασαν εἰς αὐτοὺς τὴν ὀργὴν περιτρέποντες, ἵνα μὴ, ἡδονῇ τὰ παρ' αὐτῶν δεχόμενοι, πρᾶοι πρὸς αὐτοὺς ἀντιστρόφως γενώμεθα.

ΚΕΦΑΛ. ί.

Ἑτοίμαζε σεαυτὸν πρᾶον εἶναι, καὶ μαχητήν, τὸ μὲν τῷ ὁμοφύλῳ, τὸ δὲ τῷ πολεμίῳ, ἐν τούτῳ γὰρ ἡ χρῆσις τοῦ θυμοῦ, ἐν τῷ κατὰ τὴν ἔχθραν ἀντιμάχεσθαι τῷ ὄφει, ἐν δὲ τούτῳ καὶ τοῦ πρᾴου τὸ ἐπιεικές, ἐν τῷ κατὰ τὴν τὴν ἀγάπην μακροθυμεῖν τῷ ἀδελφῷ, καὶ πολεμεῖν τῷ λογισμῷ. ὁ πρᾶος οὖν ἔστω μαχητὴς διαιρούμενος τῆς πρᾳότητος ἐκ τῶν δολοφρόνων λογισμῶν, καθάπερ καὶ τῆς μάχης ἐκ τῶν τῆς φύσεως ὁμογενῶν. μὴ ἀντιστρέψῃς τοῦ θυμοῦ τὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν, ὥστε θυμοῦσθαι μὲν τῷ ἀδελφῷ, κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, φιλιοῦσθαι δὲ τῷ ὄφει κατὰ τὴν συγκατάθεσιν τῶν λογισμῶν. ὁ πρᾶος, κἂν πάσχῃ τὰ δεινά, τῆς ἀγάπης οὐκ ἐξίσταται, εἵνεκεν γὰρ ταύτης μακροθυμεῖ, καὶ στέγει, χρηστεύεται, καὶ ὑπομένει, εἰ γὰρ τῆς ἀγάπης τὸ μακροθυμεῖν, οὐ τῆς ἀγάπης τὸ θυμομαχεῖν, θυμὸς γὰρ λύπην διεγείρει, καὶ μῆνιν, ἀγάπη δὲ τὰ τρία μειοῖ, εἰ παγίαν ἔχεις ἐν τῇ ἀγάπῃ τὴν βάσιν, μᾶλλον πρόσεχε ταύτῃ, ἤπερ τῷ πταίοντί σε. φόβῳ, καὶ ἀγάπῃ δούλευε τῷ Θεῷ τὸ μὲν ὡς δεσπότῃ καὶ κριτῇ, τὸ δὲ ὡς φιλανθρώπῳ, καὶ τροφεῖ. ὁ τῆς ἀγάπης ἀρετὰς κτησάμενος, τὰ πάθη τῶν φαύλων αἰχμαλωτίζει, καὶ ὁ παρὰ τῆς ἁγίας τριάδος ἔχων ταῦτα τὰ τρία, πίστιν, ἐλπίδα, ἀγάπην, τρίτειχος ἔσται πόλις ταῖς ἀρεταῖς πυργωθεῖσα. οὐκ ἐν τῷ μὴ λαμβάνειν μόνον παρ' ἑτέρου ἀγαπητικὸς ἀναδειχθήσῃ, ἀλλ' ἐν τῷ διδόναι ἀφειδῶς ἀποτακτικὸς ἐπιγνωσθήσῃ, ἐν τῷ διδόναι σε τὴν ὕλην ἀγωνίζου τὰ

CAPVT X.

PAra te ipſum, vt manſuetus ſis, ſimulque pugnator: hinc quidem contribuli; indè verò hoſti; in hoc enim vſus animi eſt cõcitati, nimirùm in oppugnando ſerpentem hoſtiliter; in eo verò lenitas, & modeſtia manſueti conſiſtit, nempe in longanimiter tolerando fratrem caritatiuè, & in debellandâ cogitatione. Manſuetus ergo ſis pugnator, manſuetudine diuiſâ è cogitationibus doloſa mente peruoluentibus, vt etiam diuiſâ pugnâ ab his, qui naturâ ſunt coniuncti: ne obuertas vſum iracundiæ ad eum, qui præter naturâ eſt; ita ut iraſcaris quidem aduerſus fratrem ſecundùm aſſimilationem ſerpentis, ineas verò cum ſerpente amicitiam iuxtà cogitationum aſſenſum.. manſuetus, etſi grauia patiatur, à caritate non excedit, illius enim cauſsâ longanimiter tolerat, & ſuſtinet, & clementer ſe gerit, & ſuſfert · ſi namque caritatis eſt proprium eſſe longanimem, non eſt caritatis animo commoto pugnare: ira quippè ſuſcitat mœrorem, & odium; caritas autem hæc tria minuit: Si firmum habes in caritate greſſum, magis illi attende, quàm te offendenti: timore, & caritate famulare Deo; primum quidem, vti Domino, & Iudici, alterum verò vti benigno ergà homines, & altori: qui caritatis virtutes acquiſiuit, prauas in captiuitatem redigit paſſiones: & qui à Sanctâ Trinitate tria iſta obtinet, Fidem, Spem, & Caritatem, erit Vrbs triplici circumdata muro, & virtutibus, vti turribus munita: non ſolùm in eo, quod non accipias ab altero, caritate præditus demonſtraberis, verùm & in dando profusè renuntiator mundi dignoſceris: dum

materiam præbeas, contende pura proijcere ſemina, ne tibi pro frumento exſurgat vrtica: In his, quæ præbes memor eſto Dei, qui dator eſt, & acceptor, vt tibi renũtiationis mundi mercedes imputet cum laudibus.

σπέρματα καθαρὰ βάλλειν, ἵνα μὴ ἀντὶ πυροῦ, ἐξέλθῃ σοι κνίδη. Θεοῦ ἐν οἷς παρέχεις μνημόνευε, καὶ δότης, καὶ λήπτωρ, ὅπως σοι μετ' ἐγκωμίων λογισθῇ σοι τῆς ἀποτάξεως μισθός.

CAPVT XI.

QVI nihil poſſidet, curâ vacuam vitæ percipit voluptatem, at qui poſſeſſiones adamat, ſolicitudinem habet cruciatum diuitiarum aſſiduum; tunc cœtum cogitationum captiuum abiges, quando curis mundanarum ſordium minimè præbueris cor: tuncque Crucem ſine vllâ portabis diſtractione, quando poſſidendi recuſaris cupiditatem; quinimò mundanarum ſordium cogitatio ſenectutem tibi vaticinatur, ac morbos, ita vt tuam in Deum ſpem cũ opibus partiatur. Qui mundi renunciationem exercere ſibi propoſuit, fide tamquam muro circumuallctur, & caritate corroboretur, & ſpe confirmetur: eſt namque fides, non relictio, ſed meliorum rerum ſubſiſtentia in ſpe patientiæ, & vitæ caritate. Quãdo omnibus externis renuntiaris ſordibus, attende à cogitationibus tenebroſis, paupertatem exprobrantibus tibi, & egeſtatem, & vilitatem, & dedecus tibi proferenribus, vt virtutis huius illuſtris in te pœnitentiam doloſâ homicidæ mente operentur: ſi ergò prudentiæ attendas certaminis, illud potiùs comperies, nimirùm, quòd per ea corona plectitur tibi, per quæ tę ipſi vituperant; renuntians enim, propter ea renuntias certamina, propter quę afficeris opprobrijs. Ne igitur luctæ interiorum cogitationum cedas, quia non in princi-

ΚΕΦΑΛ. ια'.

Ὁ ἀκτήμων ἀμέριμνος ἔχει τοῦ βίου τὴν ἡδονήν, ὁ δὲ φιλοκτήμων μέριμναν ἔχει τὴν ὀδύνην τοῦ πλούτου διὰ παντός. τότε δῆμον λογισμῶν αἰχμαλώτων ἐλάσεις, ὅταν ταῖς φροντίσι τῶν ὑλῶν τὴν καρδίαν μὴ δώσῃς. τότε καὶ τὸν σταυρὸν ἀπερισπάστως βαστάσεις, ὅταν τοῦ κτᾶσθαι τὴν ἐπιθυμίαν ἀρνήσῃ, ἀλλ' ὁ τῆς ὕλης λογισμὸς γῆρας σοι μαντεύεται, καὶ νόσους, ἵνα σου τὴν εἰς Θεὸν ἐλπίδα τοῖς χρήμασι μερίσῃ. ὁ τὴν ἀποταγὴν ἀσκεῖν προθέμενος, πίστει τειχιζέσθω, καὶ ἀγάπῃ κραταιούσθω, καὶ ἐλπίδι βεβαιούσθω. ἔστι γὰρ ἡ πίστις, οὐκ ἐγκατάλειψις, ἀλλὰ τῶν κρειττόνων ὑπόστασις ἐν ἐλπίδι τῆς ὑπομονῆς, καὶ τῇ ἀγάπῃ τῆς ζωῆς. ὅταν ἀποτάξῃ ταῖς ἔξωθεν ὕλαις ἁπάσαις, πρόσεχε τοὺς ζοφεροὺς λογισμοὺς τὴν πενίαν ἐπονειδίζοντας σοι, καὶ ἔνδειαν, καὶ εὐτέλειαν, καὶ ἀδοξίαν σοι προσφέροντας, ἵνα τῆς τοιαύτης λαμπρᾶς ἀρετῆς μετάγνωσιν οἱ φόνιοι δολοφρόνως ἐργάσωνται, ἐὰν οὖν τῇ συνέσει τῆς ἀθλήσεως προσέχῃς, μᾶλλον ἐκεῖνο εὑρήσεις, ὅτι δι' ὧν σε ὀνειδίζουσι, δι' αὐτῶν ὁ στέφανος σοι πλέκεται. καὶ γὰρ ἀποτασσόμενος, δι' ἐκείνους ἀποτάσσῃ δι' ὧν ἄθλων ὀνειδίζῃ, μὴ οὖν τῇ πάλῃ τῶν ἐντὸς λογισμῶν ἐνδώσῃς ὅτι οὐκ ἐν ἀρχῇ τῆς ἀποταγῆς τὸ τέ-

pio

λος ἀφῄρηται. ἀλλ' ἐν τῷ τέλει τῆς ὑπομονῆς αἱ ἀρχαὶ στεφανοῦνται, οὐδὲ ἐν τῇ σωματικῇ γυμνασίᾳ μόνον οἱ ἀγῶνες συγκροτοῦνται, ἀλλὰ καὶ ἐν τῇ τῶν λογισμῶν πάλῃ τὸ περὶ στέφανον ζητεῖται.

pio renuntiationis commendatur finis, at in fine, patientiæ principia coronantur, nec in corporeo ſolum exercitio plauſibus dilaudantur certamina, ſed & in luctâ cogitationum, quod ad coronã pertinet, requiritur.

ΚΕΦΑΛ. ιβ'.

Δίκαζε οὖν λογισμοὺς ἐν τῷ βήματι τῆς καρδίας, ἵνα τῶν λῃστῶν ἀναιρουμένων, ὁ ἀρχιλῃστὴς φοβηθῇ, καὶ γὰρ ὁ ὢν ἀκριβὴς τῶν λογισμῶν ἐξεταστής ἐστι καὶ ἀληθὴς τῶν ἐντολῶν ἐραστής. ὁπόταν οὖν λογισμὸς ἐπιστῇ σου τῇ καρδίᾳ δυσεύρετος, τότε ἐπὶ πλεῖον συντόνους πόνους ἐπ' αὐτὸν ἐκπύρωσον, ἢ γὰρ τὴν θέρμην ὡς ἐναντίαν οὐ φέρων ἀποδρᾷ, ἢ ταύτην ὑπομένει ὡς οἰκεῖος ὢν τῆς εὐθείας ὁδοῦ. ἔστι δ' ὅταν οἱ δαίμονες λογισμὸν δῆθεν καλὸν ὑποβάλλοντες τῇ καρδίᾳ, καὶ παρευθὺ μεταμορφούμενοι ἐναντιοῦσθαι τούτῳ προσποιοῦνται, ἵνα ἐκ τῆς ἐναντιώσεως, νομίσῃς αὐτοὺς καὶ τὰς ἐνθυμήσεις τῆς καρδίας σου εἰδέναι. οὐ μόνον δὲ ἀλλ' ἵνα δικάζωνται τὴν συνείδησίν σου κρίνειν, ὡς τῇ ἐναντιώσει τοῦ κακοῦ ἡττηθέντος τῷ καλῷ. ἔστι δὲ πάλιν ὅτε τὴν οἰκείαν σκαιωρίαν ὑπεμφαίνουσί σοι ἵνα παρὰ σεαυτοῦ δόξης φρόνιμος εἶναι. ὅταν λογισμοὶ μεταστήσωσιν εἰς ὃν ὑπέβαλον ἐρᾷν ἡμᾶς τόπον, τότε μεταμελεῖσθαι πάλιν ποιοῦσιν ἵνα ἀστάτους ἡμᾶς ποιήσωσι πανταχόθεν, καὶ ἀκάρπους. διὸ μὴ πετάζωμεν ἑαυτοὺς ἀπὸ τόπων εἰς τόπους, ἀλλὰ καμπτώμεθα μᾶλλον εἰς ἡσυχίαν, καὶ κόπους, ὅτι ἐκ τῆς ἡμετέρας ῥᾳθυμίας λαμβάνουσι καθ' ἡμῶν οἱ λογισμοὶ τὴν δύναμιν, ὁ δὲ

CAPVT XII.

Iudica cogitationes in tribunali cordis, vt latronibus interfectis, latronum princeps pertimeſcat; etenim qui accuratus eſt cogitationum examinator, præceptorum etiam eſt verus amator: quando igitur cogitatio inuentu difficilis cor tuum inuaſerit, tunc magis, magiſque ſuper ipſam vehementes ſuccende labores; aut enim calidum, vti cõtrarium, minimè ferens aufugiet, aut ipſum tolerabit, velut ea, quæ talis eſt rectæ viæ familiaris. Quin & quãdoque accidit, vt Dæmones, bonam videlicèt cogitationem tuo ſuggerentes cordi, ſtatimq; transfigurati, ipſi ſimulent cogitationi aduerſari, vt ex contrarietate putes, eos etiam ſcire, quas corde peruoluis cogitationes; neque verò id ſolum, ſed vt litigent, ad effectum tuam iudicandi conſcientiam, quaſi malo deuicto ex contrarietate factâ bono: rursùſque contingit, quòd nonnunquã propriam tibi tuam ſolertem ob oculos ponant obſeruationem, vt apud te ipsũ videaris prudens eſſe. Quando te cogitationes transferunt eum in locum, quem nos amare ſuggeſſere, tunc denuò pœnitere faciunt, vt vndique nos inſtabiles reddant, ac infructuoſos. ideò non extendamus nos metipſos de locis in loca, ſed potiùs ad quietem taciturnam vergamus, & ad labores, quia è noſtrâ ipsâ pigritiâ aduerſus

ſus nos robur aſſumunt cogitationes. At ille, qui benè nouit cogitationis experientiam, in quo vocatus fuit loco, in ipſo apud Deum permaneat; qui verò neſcit, adhùc in certamine progreditur. Locorum translatio ſit ad ea, quæ magis habentur ſpiritualia, & non ad ea, quæ ad requiē ſunt aptiora: Patientia namque, & longanimitas, & caritas in ærumnis gratias agit; pigritia verò, & leuitas, & nimius ſui ipſius amor gaudet in recreationibus: qui non modeſtè quieſcit, per ſenſuum viſiones oppugnatur in animâ; at qui modeſtam adamat quietem, ſenſus cuſtodiens, ipſe pugnat aduerſus cogitationes.

εἰδὼς λογισμοῦ πεῖραν ἐν ᾧ τόπῳ ἐκλήθη, ἐν τούτῳ μενέτω παρὰ Θεῷ, ὁ δὲ μὴ εἰδὼς, ἐν ἀγῶνι ἔτι βαδίζει. ἡ τῶν τόπων μετάθεσις, ἤ τοι εἰς τὰ πνευματικώτερα, καὶ μὴ εἰς τὰ ἀναπαυστικώτερα, ὑπομονὴ γὰρ, καὶ μακροθυμία, καὶ ἀγάπη, ἐν ταῖς θλίψεσιν εὐχαριστεῖ. ἀκηδία δὲ, καὶ ἐλαφρία, καὶ φιλαυτία, ἐν ταῖς ἀναπαύσεσι χαίρει. ἀνήσυχος, διὰ τῶν περὶ τὰς ὄψεις αἰσθήσεων τὴν ψυχὴν πολεμεῖται, ὁ δὲ φιλήσυχος τὰς αἰσθήσεις φυλάττων, τοὺς λογισμοὺς πολεμεῖ.

CAPVT XIII.

ΚΕΦΑΛ. ιγʹ.

IGitur, iuxtà legis ſanctionem, dux tui, ſenſuum colligat ordinem, vt nec obtutu, nec auditu, animam tuam vitiorum obturbes flagellis: cum in duabus eſſentijs ſubſiſtas, obſerua, vt vnicuique ſuum diſtribuas ordinem, ita vt vna quidē fortiſſimè dimicet, altera verò non contradicat, & ne iniquo principi mandata cōcedas, quià, eo igni tradito, vltimum etiam reddes quadrantem. quando aduerſus paſſionum cauſas belligerans, eas in fugā vertas, ac vincas, ne te maligna ad magnitudinem euehat cogitatio, ne fortè, ſpiritui erroris fidem adhibens, mente quoque obſtupeſcas; conare autem, eas rerum, in quibus laboras, exſuperantias computare, ne, per interiora, facinorum rectè geſtorum fine defrauderis. quidā, ob res benè patratas laudibus concelebrati, procedente tempore, labores neglexerunt; & applauſus quidem laudum cum ſonitu abijt, labores verò diſſoluti perierunt. Aliqui ob tumorem vitiorum obdurati;

Τῷ οὖν διατάγματι τοῦ νόμου τῶν αἰσθήσεων τὴν τάξιν ὁ ἡγεμών σου συναγαγέτω, ἵνα μὴ βλέμματι, καὶ ἀκοῇ, μάστιγας κακῶν τῇ ψυχῇ σου ταράξῃς. ἐν δυσὶν οὐσίαις ὑπάρχων, ἑκάστῃ διανέμων τὴν τάξιν φυλάττου, ἵνα ἡ μὲν ἀριστεύῃ, ἡ δὲ μὴ ἀντερῇ. καὶ τῷ τυράννῳ τὰ ἐπιτάγματα μὴ δίδου, ὅτι τῷ πυρὶ τούτου δοθέντος, καὶ τὸν ἔσχατον κοδράντην ἀποδώσεις. ὅταν τὰ αἴτια τῶν παθῶν ἀντιπολεμῶν τροπώσῃ, μή σε λογισμὸς μεγαλυνέτω πονηρὸς, μή πως πνεύματι πλάνης πιστεύσας, καὶ τῶν φρενῶν ἐκπλαγῇς, ἐπιζήτει δὲ λογίζεσθαι τὰς ἐφ' οἷς πονεῖς ὑπερβολὰς, ὅπως τὰ τέλη τῶν κατορθωμάτων διὰ τῶν ἔνδον μὴ κλαπῇς. τινὲς ἐπὶ κατορθώμασιν εὐφημισθέντες, τῷ χρόνῳ τοὺς πόνους ἠκηδίασαν, καὶ ἡ μὲν εὐφημία διέδρασεν, οἱ δὲ πόνοι ἐλύθησαν. τινὲς

δι᾽ ὄγκον κακῶν σκληρουχούμενοι, μεγάλοι ἐνομίσθησαν· καὶ τῆς μὲν ψυχῆς τὸ συνειδὸς ἡλκοῦτο, τῆς δὲ εὐφημίας ἡ νόσος ἐνθρύνετο, οἱ δὲ λογισμοὶ τῶν τραυμάτων τὴν ψυχὴν ἀποπλανῶντες ἐν ταῖς εὐφημίαις τοὺς πόνους ἀπέφερον. ὁπηνίκα ταῖς παρὰ ἀνθρώπων τιμαῖς οἱ πονικώτατοι πλουτήσουσι, τὸ τηνικαῦτα καὶ τὰς ἀτιμίας οἱ δαίμονες σκευάσαντες ἐπάγουσιν, ἵνα, ἀπὸ τῶν τιμῶν ὄντες, τὰς ἀτιμίας μὴ φέρωσι, καὶ τὰς ὕβρεις μὴ βαστάσωσιν. ὅταν ἐφ᾽ ἁμαρτίαις μεγάλην μετάνοιαν διδῷς, τότε οἱ λογισμοὶ τοὺς ἀγῶνας τῶν πόνων μεγαλύνοντες ἁμαρτίας σμικρύνουσι, καὶ πολλάκις τῇ λήθῃ καλύπτουσιν, ἢ καὶ συγκεχωρῆσθαι ταύτας σημαίνουσιν, ἵνα ὑπενδοὺς τοῖς πόνοις, μὴ ἀναλογίζῃ τῶν πλασμάτων τοὺς θρήνους τοὺς κατ᾽ αὐτῶν ὠρύεσθαι πλειόνως.

magni fuerunt exiſtimati, & animæ quidem exulcerata erat conſcientia, morbus verò fauſtæ acclamationis dilatabatur; quin & cogitationes animam è vulneribus aberrare facientes in fauſtis ominibus diripuerunt labores. Vbi, qui laborioſiſſimi ſunt, honoribus ab hominibus prouenientibus ditati fuerint, tunc & Dæmones apparantes inferunt opprobria, vt, honoribus deiecti, dedecora non ſufferant, & contumelias non comportent. Quando propter peccata magnã agis pœnitentiam, tunc cogitationes magnifacientes certamina laborum, peccata extenuant, ac ſæpiùs obliuione obtegunt, aut etiam iſta fuiſſe dimiſſa ſignificant, vt, paulatim cedens laboribus non æſtimes, quod lamenta debeant ampliùs in eiulatus erumpere aduerſus ipſa delicta,

ΚΕΦΑΛ. ιδ´.

Ὁ δὲ τὰ προσπεσόντα πάθη πυκτεύων ἐκκόψαι, πλειόνας παθῶν ὁπλίτας ἐπιστρατηγήσει τῇ μάχῃ. μὴ ἀμνημόνει πταίσας, κἂν μετανοήσῃς, ἀλλὰ μνήμην ἔχε τῆς σῆς ἁμαρτίας τὸ πένθος πρὸς ταπείνωσίν σου, ὅπως, ταπεινωθείς, τὴν ὑπερηφανίαν ἀνάγκῃ ἐκκόψῃς. εἴτις τῶν ἄθεσμα δρασάντων βούλοιτο μεταβιῶσαι ἀρίστως, κατ᾽ ἄντικρυς τῶν πράξεων στήτω ἐναλλαγῇ τῶν κρειττόνων· καὶ γὰρ ὁ τὴν ἄντικρυς πρᾶξιν τῇ ἑκάστῃ πονηρίᾳ ἀνθιστῶν, τῇ συνετῇ τῶν ἀρετῶν βελοθήκῃ τοξεύει τὸν δράκοντα, τοῦ δὲ θηρὸς ὀξύτατον ὅπλον ἐστὶν ἡ κενοδοξία, τοὺς πόνους κατατοξεύουσα, ὥσπερ ὁ τοῖς χρυσταῖς τῶν ἔργων στρατη-

CAPVT XIV.

QVI verò, vt paſſiones incurſãtes exſcindat, velut acer pugil decertat, plures armatos, quàm ſint paſſiones, ad pugnam velut dux exercitus prouehit. Ne obliuiſcaris quòd peccaueris, licèt pœnitentiam egeris, ſed luctum peccati tui habeas pro memoria ad tui humiliationem, vt humiliatus ſuperbiam neceſſario exſcindas. Si quis eorum, qui patrarunt iniuſta, vitam voluerit ad optimam conuertere frugem, ex aduerſo ſuorum ſe ſiſtat actuũ cum meliorũ mutatione; etenim qui actum è contra vnicuiq; opponit malitiæ, virtutum prouidâ pharetrâ ſagittis configit draconem; beſtiæ verò iſtius acutiſſima armatura eſt vanagloria, quæ labores transfigit

transfigit iaculis,quam qui occultis operum quaſi militum imperatoris artibus præoccupat, approximauit, vt deiiciat omne caput Diaboli: tuorum laborum aromata obſigna ſilentio, ne per linguã ſoluta à gloriâ diripiantur: linguã tuam occulta modo exercitationis practico, ſeu in agendo poſito; ſilens etenim teſtes ſortieris labores vitæ tuæ fide dignos conuictores. qui non habet quibus à præſentibus laboribus teſtimonium vmquam de ſe feratur, ne teſtimoniũ ſibi ipſi lingua perhibeat: quidam enim cum duritiâ laborũ ſe ipſos exuerint, veluti tegumentum deſidiæ præbentes inſtabiliter non præſentibus operibus manifeſtos teſtes,præteritorum temporum obijciunt actiones.Quemadmodum ab hominibus tua occultas peccata, ita & ab ipſis labores tuos abſconde:quidquid enim æmulum eſt ſecretorum cordis, & ſupplantationes, quæ clam fiunt, luctæque certaminum reparationes, aduerſus eas ipſas è contra te fulciunt; ſi verò delicta cum ſecuritate abſcondimus, & labores, qui aduerſus ea fiunt, è conuerſo detegimus, parùm tuto vtriſq; contraria operamur. At verecundaris turpium geſtorũ publicationem, ne fortè facias, vt ſint dedecori, & contemptui, quæ sũt Animæ tuæ vtilia? timeto etiam oſtentationem laborum, ne fortè

γίαις περικαταλαβών, ἤγγισεν ἅπασαν τὴν τοῦ διαβόλου κατενέγκαι κεφαλήν. τὰ ἀρώματά σου τῶν πόνων σφράγισον τῇ σιγῇ, ἵνα μὴ γλώττῃ λυθέντα ὑπὸ δόξης κλαπῶσι· κρύπτε σου τὴν γλῶτταν ἐν τῷ πρακτικῷ τῆς ἀσκήσεως τρόπῳ· καὶ γὰρ σιγῶν, μάρτυρας χορηγῆς τοῦ βίου σου ἀξιοπίστους συμβιωτάς σου πόνους. ὁ μαρτυρεῖσθαι ἀπὸ τῶν παρόντων πόνων, οὐκ ἔχων τισί ποτε, ἑαυτῷ μὴ γλώττῃ μαρτυρείτω. τινὲς γὰρ τῶν πόνων τῆς σκληρουχίας ἑαυτοὺς ἐκδύσαντες ὡς προκάλυμμα τῆς ῥᾳθυμίας τῶν ἀπελθόντων χρόνων τὰς πράξεις παραβάλλουσι μάρτυρας ἐκδήλους ἔργοις οὐ παροῦσιν ἀβεβαίως παρέχοντες. ὥσπερ ἐκ τῶν ἀνθρώπων κρύπτεις σου τὰς ἁμαρτίας, οὕτω καὶ τοὺς πόνους ἐξ αὐτῶν ἀπόκρυπτε, καὶ γὰρ ὁ ἀντίτεχνος τῶν κρυφίων τῆς καρδίας σκελισμάτων τὰ κρυφῆ, καὶ τὰ ἀναπαλαίσματα, κατ᾽ αὐτῶν ἀντιστηρίζεισι. εἰ δὲ τὰ μὲν πλημμελήματα μετ᾽ ἀσφαλείας ἀποκρύπτομεν, τὰ δὲ κατ᾽ αὐτῶν πονήματα σφαλερῶς ἀνακαλύπτομεν, ἐν τοῖς ἀμφοτέροις τὰ ἐναντία ἀναπράττομεθα. ἀλλ᾽ ἐπαισχυνῇ τῶν αἰσχρῶν τὴν δημοσίευσιν, μήπως ὄνειδος, καὶ ἐξουδένωσιν ποιήσῃ τὰ τῆς ψυχῆς σου σύμφορα; φοβοῦ καὶ τῶν πόνων τὴν ἐπίδειξιν, μήπως ἔγκλημα ἀνθρωπάρεσκον κομίσῃ ὁ τῆς ψυχῆς ὄλεθρος, εἰ δὲ καὶ μόνῳ Θεῷ ἐκφαίνεις τὰ τῆς αἰσχύνης παραπτώματα, μὴ ἀνθρώποις ἔκφαινε τὰ κατ᾽ αὐτῶν ἀνταγωνίσματα ἵνα μὴ νομισθῶσι, νίκης εἶναι στεφανώματα.

crimen, quod fit hominibus complacendo, afferat animæ exitium: ſi verò & ſoli Deo manifeſtas turpitudinis tuæ peccata, ne hominibus patefacias, quæ aduerſus ea ſuſcepiſti certamina, vt non cenſeantur eſſe iam victoriæ coronamenta.

CAP.

ΚΕΦΑΛ. ιε΄.

ΟΙ τὴν δύναμιν τῶν πόνων ἀπὸ τῆς χάριτος λαμβάνοντες μὴ ὡς ἐξ οἰκείας ἰσχύος ἔχειν ταύτην νομιζέτωσαν. αἴτιος γὰρ ἁπάντων τῶν καλῶν ἡμῖν ἐστὶν ὁ τῶν ἐντολῶν λόγος, ὥσπερ καὶ τῶν κακῶν ὁ ἀποβολῶν ἀπατηλός. ἅπερ οὖν διαπράττῃ καλὰ, τὴν εὐχαριστίαν τῷ αἰτίῳ τῶν καλῶν προσφέρε, ἃ δὲ ἐνοχλεῖ σοι κακὰ, τῷ ἀρχηγέτῃ τούτων προσέρριπτε. πάσης πραγματείας τὸ τέλος προσέπεμπε εὐχαριστίαν τῷ κρείττονι. ἵνα τῆς προσφορᾶς σου νομικῶς προσενεχθείσης, ἡ κακία καταισχύνηται. ὁ γὰρ τῇ πράξει τὴν εὐχαριστίαν συνάψας, ἀσύλητον ἕξει τὸν θησαυρὸν τῆς καρδίας, διπλοῦν κατὰ τῆς κακίας πυργώσας τὸ τεῖχος. ἐπαινετὸς οὗτος ἀνὴρ, ὁ τῇ πρακτικῇ τὴν γνωστικὴν συζεύξας, ἵνα ἐξ ἀμφοτέρων πηγῶν τὸ τῆς ψυχῆς χωρίον ἀρδεύοιτο πρὸς ἀρετήν. ἡ γὰρ γνωστικὴ ἐπαίρει τὴν νοερὰν οὐσίαν τῇ τῶν κρειττόνων θεωρίᾳ, ἡ δὲ πρακτικὴ νεκροῖ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, κακίαν, ἐπιθυμίαν κακήν. οἱ οὖν διὰ τῶν ἀμφοτέρων τούτων τῇ πανοπλίᾳ περιπεφραγμένοι, εὐκόλως κατεπιβήσονται λοιπὸν τῆς τῶν δαιμόνων πονηρίας. οἱ δαίμονες διὰ τῶν λογισμῶν τῇ ψυχῇ πολεμοῦσι, κἀκεῖνοι χαλεπωτέρως διὰ τῆς ὑπομονῆς ἀντιπολεμοῦνται. καὶ δειλιῶντες προσίασι λοιπὸν τῇ μάχῃ κραταιὸν τὸν στρατηγὸν τῆς πυγμῆς ὑφορῶντες. εἰ βούλει στρατηγῆσαι κατὰ τῆς φάλαγγος τῶν δαιμόνων, ἡσυχίᾳ φράττε τὰς τῆς ψυχῆς σου πύλας, θίγε δὲ καὶ τὸ οὖς σου τοῖς τῆς πατρωσύνης λόγοις, ἵνα τότε μᾶλλον λογι-

CAPVT XV.

QVI vim ad labores à Gratiâ ſuſcipiunt, ne velut è proprio robore, illam habere ſeſe opinentur; Auctor enim bonorum omniũ nobis eſt ſermo mandatorum, ſicut & malorum, qui fraudulẽtus eſt Deceptor; eorum igitur, quæ benè perfeceris, Deo auctori bonorum gratiarum actionem offer; quæ verò mala tibi pertutbationem afferunt, in eũ proijcias, qui cauſſa fuit principalis. In fine cuiuſq; ſtudij ei, qui te melior eſt, offer gratiarum actionẽ, vt oblatione tuâ legitimè prolatâ, malitia pudore ſuffundatur: nam qui operationi gratiarum actionẽ coniunxerit, theſaurum cordis habebit, qui diripi nequaquam poterit, vtpote qui duplicem murũ aduerſus malitiam in turris altitudinem amplificauit. Laudabilis is vir, qui actiuæ vitæ cognoſcitiuam connectit, vt ex ambobus fõtibus animæ prędium irrigetur ad virtutem; cognoſcitiua nempè alis prouehit intellectualem eſſentiam ad meliorum rerum cõtemplationem; actiua verò mortificat membra, quæ ſunt ſuper terram, ſcortationem, impuritatem, paſſionem, malam concupiſcentiam; qui ergò omni harum ambarum circumſepti ſunt armaturâ, facilè deinceps aduerſus Dæmonũ prauitatem conſurgent: Dæmones animæ bellum inferunt per cogitationes, & illi moleſtiùs è contra per patientiam oppugnantur; vndè timido procedunt animo ad prælium, pugnæ ducem ſuſpicantes potentem: Si volueris aduerſus Dæmonum turmam bellum gerere, quiete modeſtâ ſopito portas animæ tuæ, auremque tuam ſermonibus tange fraternitatis, vt nimirùm

Hhh

mirùm ,tunc magis addiſcens cogitationum ſpinas ſuccendas,quãdo paternas audieris admonitiones: non operum ſis iudex, ſed verborum examinator.

σμοῦ ἀκάνθας μαθὼν ἐμπρήσῃς. ἐπὰν πατρικῆς νουθεσίας ἀκροᾶσαι. μὴ τῶν ἔργων ἔσο δικαστὴς, ἀλλὰ τῶν ῥήσεων ἐξεταστής.

CAPVT XVI.

Solent nempe hüiuſcemodi cogitationes te ad aptitudinem geſtuum admonentis abducere, vt huius te peritum conſtituentes iudicem à perutili auertant admonitione; non recuſes admonitus, quamuis fueris cognoſcendi facultate præditus; ſi etenim quæ practica eſt facultas à cognoſcitiuâ diſiungatur,opus eſt eo,qui coniungat ambarum virtutum concordiam tremẽdâ iudicii iuſtitiâ. Qui paternum mandatum excutit ex aure, præcepto quoque legali erit inobediens: non ſolùm eloquere cum delectatione Fratrum res benè geſtas,ſed & teipſum factorem earum laborioſiſſimum repoſce: qui laborioſiùs inquirit qualis quali labori cogitatio ex aduerſo opponatur, ſolers artifex in lucta contra deceptionem reperitur: inter vniuerſos autem tuos intellectuales labores, pro eo, in quo defeceris, ſubingreditur,qui ipſum rapuerit. Cor memento conſeruare laborũ prudentiâ, ne forte meliorum rerum obliuio eam rapiens,in cogitationum tradat captiuitatem; obliuio namque captiuitatis adſilit malitiæ, vt ab illa furto quaſi ſubtractâ mente, ipſa promptè ſubintret; mens cum à Deo ſublata fuerit, & à memoria procul ſubmota, per exteriores ſenſus peccat etiam indifferenter: huiuſcemodi nempè vir auditum, atque linguam minimè poteſt regere, quia labo-

ΚΕΦΑΛ. ιϛ'.

Ἔθος γὰρ τοῖς τοιούτοις λογισμοῖς εἰς τὸ πρακτικὸν τοῦ νουθετοῦντός σε ἀπάγειν, ἵνα δεινόν σε τούτου καταστήσαντες κριτὴν, τῆς ἐπωφελοῦς νουθεσίας ἀποστήσωσι. μὴ, ἀπαναίνου νουθετούμενος, κἂν γνωστικὸς ὑπάρχῃς. ἐὰν γὰρ τὸ πρακτικὸν τῆς γνωστικῆς ἀποζευχθῇ, χρεία τοῦ ζευγνύντος τὴν ὁποτέρων τῶν ἀρετῶν ἁρμονίαν τῇ φρικτῇ τῆς κρίσεως δίκῃ. ὁ τὴν πατρῴαν ἐντολὴν ἐκ τοῦ ὠτὸς ἐκτινάσσων, καὶ νομικῆς ἐντολῆς παρήκοος ἔσται. μὴ μόνον κατορθώματα πατέρων τερπόμενος λάλει, ἀλλὰ καὶ σεαυτὸν ἐργάτην τούτων πονικώτατον ἀπαίτει. ὁ πονικώτερος ἐπιζητῶν οἷός τε οἵῳ πόνῳ λογισμὸς ἀντίκειται, τεχνίτης ἐν πάλῃ κατὰ τῆς πλάνης εὑρίσκεται, ἐν ὅλοις δὲ τοῖς νοεροῖς σου πόνοις, οἷς ἐὰν ἐλλείψῃς, ὁ τοῦτον συλήσας ἀντ' αὐτοῦ παρεισδύει. μνημόνευε τῇ συνέσει τῶν πόνων συντηρεῖν τὴν καρδίαν, μήπως ἡ λήθη τῆς τῶν κρειττόνων μερίμνης ταύτην συλήσασα τῇ τῶν λογισμῶν αἰχμαλωσίᾳ παραδῷ. ἡ γὰρ λήθη τῆς αἰχμαλωσίας προπηδᾷ τῇ κακίᾳ, ἵνα ὑπ' ἐκείνης τοῦ νοὸς κλαπέντος, ἑτοίμως αὐτῷ παρεισέλθοι, νοῦς κλεπτόμενος ἀπὸ Θεοῦ, καὶ μνήμης μακρυνόμενος, καὶ διὰ τῶν ἐκτὸς αἰσθήσεων ἀδιαφόρως ἁμαρτάνει, ἀκοὴν γὰρ καὶ γλῶτταν ὁ τοιοῦτος ἀδυνατεῖ παιδαγωγῆσαι, ὅτι τὸ φίλτρον τῶν πόνων ἐκ τῶν ἐκτὸς ἐξαφῆκεν. ὁ φιλῶν ἐξακούειν

rum

τοῦ ψέγοντος τὸν δεῖνα, δυσὶ συνεργοῖς πνεύμασι συνεργοῦσιν οἱ δύο· ἡ γὰρ κακηκοΐα τῆς κατηγορίας συνεργὸς τυγχάνει, καὶ ἐρῶσιν ἀλλήλων εἰς λύμην καρδίας.

rum voluptatem ab exterioribus quaſi inſtigatus dimiſit: qui amat audire eum, qui vnum talem vituperat, ambo cooperãtibus duobus ſpiritibus cooperantur; nam auditio mali cooperatrix eſt maledicentiæ, & ad cordis perniciem amore ſe inuicem proſequuntur.

ΚΕΦΑΛ. ιζ.

Ἐκ τῶν καταλαλιῶν τὰ ὦτά σου φράξον, ἵνα μὴ διττῶς σὺν αὐτοῖς ἀνομήσῃς, σαυτὸν μὲν δεινῷ πάθει ἐθίζων, γλωσσαλγοῦς δὲ ἐκείνους οὐκ ἀνακόπτων. ψυχὴν τῶν κρειττόνων ὁ φιλοσκώπτης λῃστεύει, σαθρὰν ἀκοὴν διαβολαῖς διορύττων, ὁ δὲ διαδρὰς τὴν τοῦ πέλας λοίδορον γλῶτταν, καὶ τὴν οἰκείαν λοιδορίαν φυγαδεύει. ἡδείας ἀκοὰς ὁ τῷ λοιδόρῳ παρέχων, ἰὸν θηρὸς τοῖς ὠσὶν ἀμέλγει. μὴ γευέσθω τὸ οὖς σου τῆς πικρᾶς ταύτης ἀντιδότου, μή πως τοιαύτην, καὶ σὺ συγκεράσῃς ἑτέρῳ, μὴ γοητεύου καταλαλιαῖς τὸ οὖς σου, ἵνα μὴ πάθει παραδοθεὶς, πολυπαθείᾳ δουλεύσῃς, ἓν γὰρ τῶν πολλῶν πάθος τόπον ἐν σοὶ εὑρὼν, εἰς τὸν αὐτὸν σηκὸν καὶ ἄλλα συνεισφέρει. τότε πλήθει κακῶν ὁ ἡγεμὼν δουλοῦται, ὅταν πάθει ζευχθεὶς τὸν πόνον ἀποζεύξῃ. ὁ τὰς ἑτέρων σκέψεις πειρώμενος ἐρευνᾶν, τὰς ἑαυτοῦ πράξεις ἔργῳ οὐκ ἐρευνᾷ, μὴ ὡς ἀμελῶς ζήσαντα, τὸν ἀποβιώσαντα σκῶπτε, ἵνα μὴ ὡς ἐκ συνηθείας τῶν ζώντων, καὶ τοῦ νεκροῦ γένῃ πικρὸς δικαστής· μὴ τοῖς πταίουσιν ἔπεχε λογισμῷ ἀλαζόνι ἐπαίροντί σε ὡς δικαστὴν, ἀλλὰ σαυτῷ πρόσεχε λογισμῷ νήφοντι, καὶ τῶν σῶν πράξεων δοκιμαστῆ. στένε πταίων, καὶ μὴ φυσῶ κατορθῶν, ἀκαταφρόνητος εἶ

CAPVT XVII.

Ex obloquutionibus tuas obſepi aures, ne bifariam cum ipſis perpetres iniquitatem, te ipſum quidem paſſioni aſſueſaciẽs, illos verò, ne linguâ promant venenum, minimè reprimens: qui gaudet dicterijs, & ſcommatis, deprædatur animam eorum, qui meliores ſunt, calumnijs marcidum effodiens auditum; qui autem effugit linguam proximi conuitiatricem, proprium etiam fugat conuitium: qui conuitiatori ſuaues, & faciles præbet auditus, auribus emulget feræ venenum: non guſtet auris tua medicamentum illud amarum, ne fortè tale tu quoque alteri propineris; ne faſcines obloquutionibus aurem tuam, vt, paſſioni diuenditus, multimodis non inſeruias paſſionibus; vna quippe è multis paſſio, cum in te locum inuenerit, in idem ſtabulum alias quoque ſubintroducit: tunc multitudine vitiorum mens gubernatrix in ſeruitutem redigitur, quãdo paſſioni adnexa labores diſiũxerit. qui aliorum deriſiones conatur examinare, ſui ipſius actiones re ipsâ non perſcrutatur: ne derideas vitâ functum vt qui negligenter vixerit, ne, quaſi ex conſuetudine acerbus eſſes, & amarus viuentium iudex, fias quoque demortui: ne peccantibus iactatorio attendas animo, te veluti iudicem extollendo, ſed tibi ipſi at-

tende vigilanti, actuumque tuorum probatrice conſideratione; dum peccaueris, anxius geme, & cum rem benè geſſeris, ne infleris; nec te magnificè iactes, quod nullatenùs ſis contemnendus, vt, velut ornamentum, non induas vitium: aliqui etenim, cum ob deuotam religioſitatem dignoſci non poſſent, feſtinarunt, vt ſaltem ob vitium, ſic dignoſcerentur; alij prouecti ex inuidia, prætextus è ſummo iaculantur, & eos, qui virtutibus ſtabiliti ſunt pro nihilo ducunt: quidam ob mala rumore circumſtantis vulgi celebrati, grauem honeſtamq; circuminduunt vitam, non vt praua lugeant peccata laboribus, ſed vt vituperiorum obumbrent rumores: Verùm tu ne te decipienti placere gloriabundus enitaris, nec, quod decipiaris, geſtias lætitiâ; nam, ſi propter nudum nomen ſtudioſa quęque conſectaris, non pro Deo, ſed pro hominibus operaris: ne abſque labore viuenti confidentiam præbeas, licèt ea de re magnum oſtentet nomen; is nempè amicus ad perſonæ gratiam eſt, ſitque tempus eius accuſator.

μὴ μεγαλαύχει, ὅπως μὴ εἰς κόσμον τὸ κακὸν ἐνδύσῃ. τινὲς γὰρ ἀπὸ εὐλαβείας μὴ δυνάμενοι γνωσθῆναι, ἐσπούδασαν, κἂν ἀπὸ κακίας γοῦν γνωσθῆναι. ἕτεροι δὲ αὐξηθέντες τῷ φθόνῳ, προφάσεις ἀκροβολοῦσι, τοὺς εὐσταθοῦντας ταῖς ἀρεταῖς ἐξουθενοῦντες. τοῖς πέριξ. τινὲς εἰς φαῦλα θρυλλούμενοι, βίον σεμνὸν ἀμφιέννυνται, οὐχ ἵνα τὰ φαῦλα πταίσματα τοῖς πόνοις θρηνήσωσιν ἀλλ' ἵνα τῶν ψόγων τὰς φήμας σκιάσωσιν. ἀλλὰ μὴ τῷ ἀπατῶντί σε καλλωπίζου, μὴ δὲ τῷ ἀπατᾶσθαι ἐναγάλλου, ἐὰν γὰρ δι' ὄνομα ψιλὸν τῶν σπουδαίων ἐφάπτῃ, οὐ Θεῷ ἀλλὰ ἀνθρώποις ἐργάζῃ, μὴ παῤῥησίαν ἄγε τῷ ἀπόνως βιοῦντι, κἂν ὄνομα τούτῳ μέγα πομπεύῃ. ἔστι φίλος πρὸς προσώπου χάριν, καὶ χρόνος κατήγορος τούτου γίνεται.

CAPVT XVIII.

Timentem amicum irriſorẽ habeas, vt tuorum inueniās delictorum tutamen: quando amicus tuus à fauſto tuorum laborum omine ſuperatus ad inuidiam ſe vertit, ita vt coràm circumſtantibus vanæ gloriæ verbis tuos eiaculetur labores, quò tuam decurrentem gloriam dicterijs de te iactis obumbret, tunc ne, illius inuidiæ attendens, mordearis, vt amarum venenum animæ tuæ nō elicias; hoc enim opus eſt Satanæ, vt illum quidem inflammet inuidiâ, te verò amaritudine conſumat; at potiùs humiliemur, & honore tales iſtos præueniamus, perque menſam æmulatione efferatum

ΚΕΦΑΛ. ιη'.

Δεδοικότα φίλον σκώπτην κτῆσαι, ἵνα σκέπην εὕρῃς τῶν σῶν πταισμάτων, ὁ δὲ φθονούμενος ἐν σοὶ κρύπτει μᾶλλον τοῦ φθονοῦντος. ὅταν ὁ σὸς φίλος ταῖς σαῖς τῶν πόνων εὐφημίαις ἐλαττούμενος εἰς φθόνον ἐκτραπῇ, ὡς καὶ τοῖς πέριξ ῥήματα κενοδοξίας ἀκοντίζειν σου τοῖς πόνοις, ὅπως τὴν διατρέχουσαν περὶ σοῦ δόξαν συσκιάσῃ τοῖς σοῖς σκώμμασι, τότε μὴ τῇ ἐκείνου βασκανίᾳ προσέχων δηχθῇς, ἵνα μὴ ἰὸν πικρὸν τῇ ψυχῇ σου σιφωνίσῃς. τοῦτο γὰρ ἔργον τοῦ σατανᾶ, ἵνα ἐκεῖνος μὲν τῷ φθόνῳ ἐκπυρώσῃ, σὲ δὲ πικρίᾳ ἀναλώσῃ. ταπεινώμεθα δὲ μᾶλλον, καὶ τῇ τιμῇ τοὺς τοιούτους

προσηγώμεθα ἐξημεροῦντες αὐτῶν, καὶ διὰ τραπέζης τὸ ἀγριωθὲν τῷ ζήλῳ φρόνημα. μὴ ὡς ἐξ ἑτέρου προσώπου ψέγε ζήλῳ τὸν φίλον, ἵνα ὡς ἐξ ἄλλου δῆθεν στόματος ψέγων ἐκεῖνον, σαυτὸν ὡς ἀθῷον ποιήσῃς, καὶ ὡς ἄψογον ὑψώσῃς. τοῦτο γὰρ μετασχημάτισμα τοῦ σατανᾶ, τοῦ ἐκ προσώπου ὄφεως τὸν ὕψιστον ψέγοντος, ἵνα ὡς ἐξ ἑτέρου δῆθεν στόματος τὸν ἑαυτοῦ φθόνον τῷ Θεῷ προσάψας, αὐτὸς ὡς ἄφθονος νομίζηται. μὴ ὡς ὑπόδικον θέλων ἔχειν τὸν ἀδελφὸν, πειρῶ τούτου πταῖσμα καταλαβεῖν, ἵνα μὴ συνεργὸς εὑρεθῇς τοῦ σατανᾶ. ὁ πταίσας, καὶ ἑτέρους λέγειν, ἢ πταίειν μὴ ἐπιτηρείτω, ἵνα ὡς μὴ μόνος ἢ συμπεσὼν τῷ κακῷ, ὅπερ τῆς ἐκπτώσεως τοῦ διαβόλου πρῶτον καὶ τοῦτο ἔργον ἐστίν. ἔστω δὲ μεταμελούμενος ἐφ' οἷς ἀτόποις ἔπραξεν ἔργοις, τὸν τῆς λύπης θρῆνον κατ' αὐτῶν ἐπιγινώσκων, ἐπισπάσθω δὲ καὶ τὴν προστάτιν τῶν πόνων ἡσυχίαν, φαίνουσαν αὐτῷ τὴν πολυόμματον τῶν ἀρετῶν θεωρίαν. ὁ ἡσυχάζων τῇ γλώττῃ, κατὰ τῶν λογισμῶν ἀνδριζέσθω, ἡ γὰρ τῆς ψυχῆς ἀνδρεία οὐκ ἐν τῇ ἡσυχίᾳ δείκνυται μόνον τοῦ στόματος ἀλλὰ καὶ ἐν τῇ τῶν λογισμῶν ἀνδραγαθίᾳ, καὶ τῇ τῶν ὕβρεων, καὶ ἀδικιῶν εὐσταθείᾳ, ἐντεῦθεν γὰρ αἱ δειναὶ μάστιγες τοῦ διαβόλου περιτινάσσονται ἐν ταῖς συντυχίαις.

ratum animi ſenſum manſuefaciamus: ne, tamquam ex alia perſona, inuidiâ vituperes amicum, vt quaſi ex alio videlicèt ore ipsũ reprehendens, te ipſum velut innocentem facias, & velut irreprehenſum exaltes: hęc eſt enim trãſfiguratio Satanæ, qui ex perſona Serpentis Altiſſimum vituperabat, vt, quaſi ex alio videlicet ore ſui ipſius Deo attribuens inuidiã, ipſe tamquam inuidiæ expers exiſtimaretur: ne, quaſi velles ſubiectum habere fratrem, tentes eius peccatum deprehendere, vt nõ inueniaris Satanæ cooperator: qui peccauit, non obſeruet, quòd & alij dicunt, vel peccant, ac ſi non ſolus foret, qui in malum inciderit; quod idem etiam opus eſt primum Diaboli caſus; ſit verò pœnitens in his, quæ commiſit, inconuenientibus operibus, doloris luctum aduersùs ea recognoſcit, conſectetur autem, & laborum præſidem quietem, exhibentem ipſi Virturum contemplationem multipliciter oculatam: qui linguam ſilentio moderatur, virilem aduersùs cogitationes induat animum; Animæ quippè fortitudo non ſolùm oſtẽditur in oris tranquillo ſilentio, ſed & in cogitationum ſtrenuitate, & contumeliarum, atque iniuriarum patientiâ; indè namquæ horribilia flagella Diaboli circumquatiũtur in conuerſationibus.

ΚΕΦΑΛ ιθ'.

ΜΗ' στόμα μόνον, ἀλλὰ καὶ καρδία τηρείσθω, τότε γὰρ ἀμαυροῦται τῆς ψυχῆς τὸ ὄμμα τῷ τῆς ἀρεσκείας ὄμματι, τοῦ νοῦ παυσαμένου. ἔστω σου πρὸς ὁ νοῦς περὶ τὰ ἄριστα, κύριος γὰρ σοφοῖ

CAPVT XIX.

NON os ſolummodò, verùm etiam cor cuſtodiatur; tunc enim oculus Animæ obfuſcatur ab oculo leporis, ſeù facetiæ in ſermone, cum mens acquieuerit, ac ceſſarit; mens tua

capta

capta ſit oculis ad res turpiſſimas (tales enim cœcos Dominus reddit ſapientes) perſpicax verò ad res honeſtiſſimas,ita vt ſis ad peſſimas excœcatus. Intellige verò duas eſſe ſcortationes cum diſtinctione coniunctas,vnam corporis, & alteram ſpiritus: quando cogitatio ſcortationis tuo admiſcetur ſpiritui, tunc anima tua cum effigie deceptionis coaleſcit. Dæmon figuratur in perſona fœminæ, vt quaſi veneficio animam tuam illiciat vt ſecum cōmiſceatur: Dæmon, qui carnem non habet, ſculpturam induit formæ, vt impudica cogitatione ſcortari faciat Animam; ne igitur à ſimulacro, quod ſubſiſtentiam non habet contegaris, ne carne etiam quid ſimile perpetres: à ſpiritu ſcortationis decepti fuere ij, qui Cruce non repulerunt ſpirituum adulteria. Crucia cogitationes ciborum penuriâ, vt non ſcortatione, ſed eſurie loquantur: vigiliâ orationis lacrymam concreſcere,ac ſtillare facito, vt inſtantis belli accipias auxilium: in tempore meretricij belli cōuiuantiū inuitationes recuſa; & hoſpiti quidem adſtanti adminiſtrans, ipſum requieſcere facias, te verò clàm circumuallabis ieiunio: vtriuſque operis duplex merces ſit tibi tribuenti vnicuique virtutis cauſſâ, quod ad actum pertinet:non ventris gratiâ cibum ſumas cum fratre, ſed propter Chriſtum charitate ipſi cohabita, & conuerſare: ſatietas eſcarum paſcit cogitationes, & ebrius ſomnum perpotat

σοῦ ποιοῦ τοὺς τυφλούς, διορατικὸς δὲ περὶ τὰ κάλλιστα, ἵνα ἐκτυφλωθῇς περὶ τὰ κάκιστα. νόει δέ μοι, πορνείας εἶναι δύο ἐν διαιρέσει ἐζυγωμένας, τὴν τοῦ σώματος, καὶ τὴν τοῦ πνεύματος. ὅταν λογισμὸς πορνείας τῷ πνεύματί σου μίγνυται, τότε ἐκτυπώματι πλάνης ἡ ψυχή σου συνίσταται. προσώπῳ θηλείας σχηματίζεται δαίμων, ἵνα φαρμάξῃ τὴν ψυχὴν μετ' αὐτοῦ συμμιγῆναι. μορφῆς γλύμμα φορεῖ ἄσαρκος δαίμων ἵνα λογισμῷ ἀκολάστῳ τὴν ψυχὴν ἐκπορνεύσῃ, μὴ οὖν συγκαλύπτου εἰδωλείῳ ἀνυπάρκτῳ, ἵνα μὴ καὶ τῇ σαρκὶ τὸ ὅμοιον δράσῃς, πνεύματι πορνείας ἐπλανήθησαν οἱ τοῦτο οἱ τὰς ἔνδον μοιχείας τῶν πνευμάτων τῷ σταυρῷ μὴ σοβοῦντες. αἴκιζε σοῦ λογισμοὺς ἀσιτίᾳ βρωμάτων, ἵνα μὴ πορνείᾳ, ἀλλὰ πείνῃ λαλῶσιν. εὐχῆς ἀγρυπνίᾳ στῆσον δάκρυον, ἵνα βοήθειαν λάβῃς τοῦ παρόντος πολέμου. ἐν καιρῷ τοῦ τῆς πορνείας πολέμου τὰς κλήσεις τῶν ἑστιατόρων παραίτησαι. καὶ τὸν μὲν ξένον ἐπιστάντα ὑπηρετῶν ἀναπαύσεις, σεαυτὸν δὲ περικεκαλυμμένως ἀσιτίᾳ περιφράξεις. διπλοῦς ἔσω σοι τῶν ἀμφοτέρων ἔργων ὁ μισθὸς ἑνὶ ἑκάστῳ τὸ πρακτικὸν δι' ἀρετὴν ἀπονέμοντι. μὴ ἕνεκεν γαστρὸς συνέσθιε τῷ ἀδελφῷ, ἀλλ' ἕνεκεν Χριστοῦ συναυλίζου τῇ ἀγάπῃ. κόρος σιτίων λογισμοὺς σιτίζει, καὶ μέθυσος ὕπνον φαντασίας ποτίζει. τέθνηκε μετὰ τὴν φάραγγα τῆς τρυφῆς ἡδονὴ καὶ πνεῖ ἐν τῷ τάφῳ τὰ τῆς γαστρὸς λαγνεύματα. οἱ πόνοι τῆς κληρουχίας τελευτῶσιν εἰς ἀνάπαυσιν, οἱ δὲ τρόποι τῆς τρυφῆς τελευτῶσιν εἰς κατάκαυσιν. ὁ τῆς σαρκὸς τὸ ἄνθος τῇ ἀσιτίᾳ μαραίνων καθ' ἡμέραν ἐν τῇ σαρκὶ μελετᾷ τὴν ἑαυτοῦ τελευτήν.

imaginationis. Deceſſit poſt guttur luxus voluptas, & in ſepulchro expirant ventris ſalacitates. Labores auſteritatis deſinunt in quietem; modi verò delitiarum finiunt in incendium, qui exer-

citatio-

καρδίας λογιστικὰ τὸ σῶμα συμμετρείτω, ἵνα μὴ τούτου πληγέντος, καὶ αὐτὴ κοπιάσῃ. ἀρκείσθω σὰρξ τὰ φυσικὰ περικόπτειν. ἡ σωματική σου γυμνασία ἐν τοῖς ἤθεσιν οἰκονομείσθω, ἵνα μάθῃς καρδίᾳ πονεῖν, καὶ ψυχῇ συμπονεῖν.

citatione florem carnis reddit flaccidum, in carne quotidie ſuam meditatur mortem. Pars cordis, in qua eſt ratio, atque conſilium, corpus commenſuret, ne iſto vulnerato, & ipſum cor laboret: contenta ſit caro, res, quas fert natura, recidere: corporale tuum exercitium in moribus gubernetur, vt diſcas corde laborare, & animâ collaborare.

ΚΕΦΑΛ. κʹ.

τερθρώμασιν εὐφημουμένοις, καὶ ὧν θαυμαστὴ μᾶλλόν ἐστιν ἡ πρᾶξις, καὶ γνώσεως γειτνιᾷ. ἔσθ' ὅτε δὲ καὶ τῆς σαρκὸς αὐτοῦ τὴν πύρωσιν ἀποκοιμίζουσι δολερῶς, τοὺς ἀκαθάρτους λογισμοὺς ἐκ τῶν ἐντὸς ἐκτοπίζοντες, ὡς ἵνα νομισθῇ τὸ πνεῦμα τῆς πορνείας τῇ σκληραγωγίᾳ νενικηκέναι, καὶ κατὰ τὴν λαμπρότητα τῶν ἁγίων τὴν καρδίαν ἠγνικέναι, καὶ εἰς τὴν τῆς ἁγιωσύνης ἀψῖδα ἀναβεβηκέναι. περὶ δὲ ὧν τε καὶ ὧν ἀπέχετο βρωμάτων, καὶ συναπτῶν ἀσιτιῶν ἐπιψηφίζουσιν αὐτῷ τοὺς χρόνους ἐν οἷς ὀφείλει ὡς ἀρίστοις ἐγκαυχᾶσθαι, καὶ τῆς ἀδελφότητος ὡς εὐτελοῦς καταφρονεῖσθαι, οὕτω δὲ ἐκδιηγεῖσθαι ποιοῦσιν αὐτὸν τοὺς ἀγῶνας ὡς ἐκ μόνης τῆς αὐτοῦ ἰσχύος κατορθωθέντας, ὅτι ἐποίησα τάδε, καὶ ἤσκησα τοιᾶσδε, καὶ ἐκακουχήθην, ἀποστομοῦντες ἔτι τοῦτο λέγειν, οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ ἐν ἐμοὶ βοήθεια. Θεὸν γὰρ βοηθὸν ἐφ' οἷς μεγαλαυχεῖν αὐτὸν ποιοῦσιν ὁμολογεῖν οὐκ ἐῶσιν, ἵνα ὡς ἐξ οἰκείας δῆθεν ἰσχύος τὸ πᾶν τῶν ἀγώνων τελέσας, τοὺς ἐπαίνους τῶν ἄθλων ὁλοκλήρους ἀπαιτοίη, ὅπως, καὶ καὶ εἰς τὸν τῆς βλασφημίας βυθὸν ποντωθείη, αὐτοβοήθητον ἑαυτὸν ἀνεπαισθήτως παρεμφαίνων.

lari ſuadentes, ac inuidere iis, qui propter facinora rectè patrata fauſtis votis, & acclamationibus excipiũtur, iiſq; quorum actio mirabilior eſt, & vicina, ac ſimilis ſapientia. quandoq; etiã contingit, vt carnis ardorem fraudulenter conſopiãt, ex interioribus impuras ſubmouẽt cogitationes, vt putet quis corporis aſpera tractatione ſe iam ſpiritũ ſcortationis deuiciſſe, iuxtàque Sanctorum fulgorem cor expiatum reddidiſſe, & vſq; ad ſanctitatis faſtigium aſcendiſſe. De cibis autem, quibus abſtinuit, aſſiduiſq; ieiunijs ſuo confirmant annos ſuffragio, de quibus debet, velut is, qui præſtantiſſimè ſeſe geſſit, gloriari, & aduerſus fraternitatem, vti vilem efferri; taliter autem ipſum enarrare faciunt certamina, ac ſi ex ſolâ ſui proſperè perfecta eſſent virtute: nimirùm; talia ego patraui, talique exercitatione ſum vſus, ac tali modo me ipſum malè tractaui; os etiam occludentes, ne hoc dicat, videlicèt; non ego ſolùm, ſed auxilium, quod in me erat; non enim ei permittunt, in his Deum auxiliatorẽ fateri, in quibus faciunt ipſum grandia iactitare, perindè ac ſi tota certamina ex propriâ compleſſet Virtute, præmiorum laudes totas inde repoſcat, vtque ad fundum blaſphemiæ ſubmergatur, ſeſe ſibi ex ſe ipſo auxiliatorem ſtolidè oſtentans.

ΚΕΦΑΛ. λδ'.

Οὕτω τοιγαροῦν τῆς καρδίας διὰ τῆς τῶν λογισμῶν δόξης ἐνηχουμένης, καὶ μὴ ἀντιπαλαιομένης, οὐκ ἐκτὸς ἔσται τῆς ἐν ἀποκρύφῳ τῶν φρενῶν παραπληξίας, τοῦ ἡγεμόνος φρενῶν ἐκτιναχθῆναι κινδυνεύοντος, ἢ δι' ὀνειράτων πεποιημένων, ἢ ἐν ἀγρυπνίαις μεταμορφουμένων, ἢ ἐν μετα-

CAPVT XXXIV.

QVapropter, corde tali modo per gloriæ cogitationes edocto, & non repugnante, non extrà occultam mentis erit veſaniam, intellectus duce excuti periclitante, aut per fidem facientia ſomnia, aut in vigilias transformata, aut in transfiguratione

lucis conſpecta. Ipſe namque Satanas in Angelum lucis transfiguratur ad noſtram deceptionẽ, fortè, 2. Cor. 11.v.14. ſe gratias daturum, demonſtrans, vt ita cadens adores, aut tibi, te, vt alterum Heliam à ſe aſſumendum annuntians, aut ſanctificare promittens: quorum quidam fidem ſuſcipientes, circa veritatem aberrarunt, & dementes euaſerunt. Tu igitur, ò Sanctæ Trinitatis Precator, ſciens iſta, quæ ſtudioſè elucubras, omni cuſtodiâ tuum cor obſerua, ne fortè, laboribus tantùm externis attendens, internis doloſè illaqueeris. Itaque, ò fili, mei ad te dicti ſunt ſermones; tu verò mea verba in tuo corde ſeruato: memẽto Chriſti te cuſtodientis. nec obliuiſcaris adorandæ, & conſubſtantialis Trinitatis, cui gloria in ſæcula. Amen.

σχηματισμῷ φωτὸς ὀπτανόμενον. αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτὸς πρὸς ἀπάτην ἡμετέραν, ἴσως χαρίσματα δώσειν ἐνδεικνύμενος, ὡς ἵνα πεσὼν προσκυνήσῃς, ἢ ἀναλαμβάνειν ὡς ἄλλον ἠλίαν εὐαγγελιζόμενος, ἢ ἁγιάζειν ὑπισχνούμενος, ὧν τινὲς τὴν πίστιν δεξάμενοι περὶ τὴν ἀλήθειαν ἠστόχησαν, καὶ φρενοβλαβεῖς ἐγενήθησαν. σὺ οὖν ὁ τῆς ἁγίας τριάδος ἱκέτης εἰδὼς ταῦτα ἐν οἷς φιλοπονεῖς, πάσῃ φυλακῇ τήρει σὴν καρδίαν, μήπως τοῖς ἔξωθεν μόνον πόνοις προσέχων, τοῖς ἔσωθεν δολερῶς βροχισθῇς. Οἱ ἐμοὶ οὖν λόγοι ὦ τέκνον εἴρηνται πρὸς σε, τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρδία. μέμνησο χριστοῦ τοῦ φυλάσσοντός σε. καὶ μὴ ἐπιλάθῃ τῆς προσκυνητῆς, καὶ ὁμοουσίου τριάδος, ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ — EIVSDEM

Λόγος πρὸς τὸν αὐτὸν

Περὶ τῆς ἀντιζύγους τῶν ἀρετῶν κακίας.

ΚΕΦΑΛ. α'.

Ἀναγκαῖον ἡγοῦμαι καὶ τὰς ἀντιζύγους τῶν ἀρετῶν κακίας δι' ἐπιτόμου ὑποτάξαι τῇ σῇ φιλοπονίᾳ. ἕως μὲν ὠδετικὴν διάνοιαν ἀροτριάσαντες τὰς τῶν λογισμῶν ἀκάνθας ἐκ τῆς σπορίμου χώρας ἀνεβαλόμεθα. οὐκ ἐξ ἔργων δέ, ἃ ἐποιήσαμεν ἡμεῖς εἰς τοῦτο παρεφθάσαμεν, ἀλλ' ὑποτύπωσιν ἔχοντες ὑγιαινόντων λόγων, ὧν ἠκούσαμεν παρὰ τῶν πατέρων, καὶ τινων τῶν πράξεων συνίστορες γεγενήμεθα. τὸ δὲ πᾶν ἡ χάρις ἄνωθεν, ἡ καὶ τοῖς ἁμαρτωλοῖς ὑποδεικνύουσα τὰς τῶν φρεναπατῶν ἐπιβουλάς, ἡ καὶ ἀσφαλιζομένη, καὶ λέγουσα. τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; ἵνα διὰ τοῦ λαβεῖν εὐχαριστῶμεν τῷ δεδωκότι, ὅτι μὴ ἑαυτοῖς ἀποδιδόαμεν καύχημά τι δόξης, τὴν δόσιν ἀρνούμενοι, διόπερ φησίν, εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών. ἤδη φησὶν ἐπλουτήσατε οἱ τοῖς ἔργοις πενόμενοι, ἤδη οἱ τοῦ διδασκάλου ἀρξάμενοι, ἐκορέσθητε, ὧνπερ ἀρτίως ἡ πλάνη μεταβέβηκεν εἰς ἐμέ. δι' ἧς μὲν δεδάνεισμαι λογιστείας, τὴν τῶν ἔργων πενίαν παρεκαλύπτων, δι' ἧς δὲ παρῄνεσα γνώμης τὴν τοῦ διδασκάλου μαθητείαν ἀντιπαρεξέτων. ἀλλ' ὅμως εἴ τις κεκράτηται παρ' ὑμῶν συγγνώμη, κἀμοὶ ταύτην ἀπονείματε, ἵνα καὶ τὰς ἀντιζύ-

Tractatus ad Eumdem

De Vitijs, quæ oppoſita ſunt Virtutibus.

CAPVT I.

Neceſſarium arbitror, Vitia quoq; Virtutibus oppoſita breuiter tuæ ſubijcere induſtriæ, & quidem cum hucuſque excoluiſſemus menrem, ſpinas cogitationum ex inſititiâ terra reiecimus: non ex operibus autem, quæ fecimus nos ad iſtud peruenimus, verùm formam habentes ſanorũ verborum, quæ à Patribus audiuimus, quorumdam etiam actionum conſcij facti ſumus. Totum autem gratia deſursùm, quæ adhuc peccatoribus ſubmonſtrat inſidias eorum, qui mentes decipiunt, quæque ſecuros efficit, ac dicit. Quid habes quod non accepiſti? vt mediante acceptione, datori gratias agamus, quià non nobis ipſimet attribuimus vllam gloriæ iactantiam, donationem inficiantes; ideòque dicit: Si verò accepiſti, quid gloriaris, quaſi non acceperis? iam (inquit) diuites euaſiſtis, qui operibus pauperes eſtis, iam, qui doceri incepiſtis, ſaturati eſtis; quorum deceptio nuper ad me tranſijt, tùm per diſcurſum, quem fœnori accepi, operum obtendendo paupertatem, tùm etiam per conſilium, quo admonui, diſciplinæ doctrinam obuertendo. Attamen ſi quæ apud vos venia obtinuit, illam quo-

Tit.c.3. v.5. 2.Timot. c.1.v.13

1.Cor.4. v.7.

1.Timot. c.6.v.18

que

que impertiami ni mihi, vt oppoſita Virtu tibus Vitia ſignificantes breuiter ſubijciamus. Quid nimirùm ſit g ulæ ingluuies, aduerſùs quam inſurgit ſobrietas; quid verò impudicitia, ſeù ſcortatio, & quid continentia: auaritia quid, & quid inopia: quid triſtitia, aduerſùm quam eſt gaudium: iracundia quid, & quid longanimitas: quid acedia, ſeù pigritia, & quid tolerantia laborum: vana gloria quid, & quid non vana gloria: quid inuidia, & non inuidia: ſuperbia tamdem quid, quidq; humilitas; cumque iſta ſibi ipſis contraria, & oppoſita ſint, ita ſubiecimus per compendium.

γὰς τῶν ἀρετῶν κακίας δι' ἐπιτόμου ὑποτάξωμεν σημαίνοντες. τί μὲν ἐστι γαστριμαργία, καθ' ἧς ἐγκράτεια. τί δὲ πορνεία, καὶ σωφροσύνη. φιλαργυρία δὲ τί, καὶ ἀκτημοσύνη. λύπη, καθ' ἧς ἡ χαρά. ὀργὴ δὲ τί, καὶ μακροθυμία. καὶ ἀκηδία, καὶ ὑπομονή. τί δὲ κενοδοξία, καὶ ἀκενοδοξία. φθόνος, καὶ ἀφθονία, ὑπερηφανία, καὶ ταπείνωσις. ταῦτα ἀντίζυγα, καὶ ἀντίπαλα, καὶ ἀντίθετα ἀλλήλων ὄντα, δι' ἐπιτόμου οὕτως ὑπετάξαμεν.

CAPVT II.

EST igitur cupiditas explendi ventris, ſeù gula, fornicationis mater, nutrix cogitationũ, ieiunij remiſſio, exercitationis Monaſticæ frænum, petitionis ſcopi terriculamentum, eduliorũ effictio, inanis condimentorum imaginatrix, pullus diſſolutus, effrænis inſania, receptaculũ morbi, ſanitatis inuidia, fiſtularum gutturis obſtructio, viſcerum ſuſpirium, contumeliarum ſcopus, impudicitiæ conciliatrix, intellectus ſordes, corporis imbecillitas, ſomnus aggrauans, mors triſtifica. Sobrietas eſt frænum ventris, inexplebilitatis flagellum, proportionis ſtatera, voracitatis camus, recreationis renunciatio, durioris vitæ ordinatio, cogitationum ſubactio, oculus vigiliæ, Venereæ inflammationis liberatio, corporis Pædagogus, laborum Turris, ingenij murus, morum repreſſio, paſſionum cohibitio, membrorum mortificatio, animarum ad vitam reuocatio, imitatio reſurrectionis, ſanctificationis inſtitutum. Impudicitia,

ΚΕΦΑΛ β'.

Ἔστι οὖν γαστριμαργία, πορνείας μήτηρ, τροφὸς λογισμῶν, νηστείας ἀτονία, ἀσκήσεως φιμωτήριον. στοχασμοῦ φόβητρον, ἐξεικονισμὸς βρωμάτων, σκιαγράφος ἀρτυμάτων, ἀνειμένος πῶλος, ἀχαλίνωτος μανία, δοχεῖον νόσου, ὐγείας φθόνος, φραγμὸς συρίγγων, στεναγμὸς ἐντέρων, ὕβρεων πέρας, πορνείας σύμμιστος, διανοίας ῥύπος, σώματος ἀσθένεια, φορτικὸς ὕπνος, ἀμειδὴς θάνατος. ἐγκράτεια, γαστρὸς χαλινὸς, ἀπληστείας δὲ μάστιξ, συμμετρίας δὲ σταθμὸς, ἀδηφαγίας δὲ κημὸς, ἀναπαύσεως ἀποταγή, σκληρουχίας συνταγή, λογισμῶν δαμαστήριον, ἀγρυπνίας ὄμμα, πυρώσεως ῥύσις, στόματος παιδαγωγὸς, πόνων πύργος, καὶ τρόπων τεῖχος, ἠθῶν καταστολή, καὶ παθῶν ἀναστολή, νέκρωσις μελῶν, ἀναβίωσις ψυχῶν, ἀναστάσεως μίμημα, ἁγιασμοῦ πολίτευμα. πορνεία, λαιμαργίας κύημα, προσμαλακτὴρ καρδίας, πυρώσεως κάμινος, νυμφαγωγὸς εἰ-

δώλων, ἀσυγγνώμης πρᾶξις, σκιαζομένη μορφή, φανταζομένη συμπλοκή, ἐνυπνίων κλίνη, ἀναίσθητος συνήθεια, ὀφθαλμῶν δόλος, βλέμματος ἀναίδεια, ψυχῆς ἐνζοπή, καρδίας αἰσχύνη, ἀγνωσίας ὁδηγός. σωφροσύνη, ἀληθείας στολή, ἀσελγείας πέλυξ. ὀφθαλμῶν ἡνίοχος, ἐπίσκοπος λογισμῶν, ἐννοίας περιτομή, ἀκολασίας δὲ ἐκτομή, φύσεως ἀντίφυτος, καὶ πυρώσεως ἀντίθετος, ἔργων ἐπεργάς, καὶ ἐγκρατείας συνεργός, καρδίας λαμπτήρ, εὐχῆς γνώμων.

citia, 'eſt voracitatis fœtus, præmollitrix cordis, inflammationis caminus, Idolorum pronuba, actio non agnata, obumbrata forma, complexus imaginarius, inſomniorum lectus, ſtolida conſuetudo venerea: oculorum dolus, aſpectus impudentia, orationis pudefactio, cordis opprobriũ, ignorantiæ ductrix. Temperantia, eſt veritatis ſtola, laſciuiæ ſecuris, oculorum auriga, intellectus inſpectrix, cogitationum circumciſio, luxuriæ reſectio, contrà naturam plantata, inflammationi oppoſita, effectorum operum expolitrix, continentiæ cooperatrix, luminoſa facula cordis, orationis ſtylus horas indicans.

ΚΕΦΑΛ. γ'.

Φιλαργυρία εἰδώλων φειδωλία, δήμου προφητεία, σφιγγίας ψῆφος, ἐναποθέτων λογιστεία, αἰχμαλωσίας πλοῦτος, ἀδικίας γένος, νοσημάτων πότης, πολυετίας μάντις, φιλεργίας ἐπῳδός, ἀγρυπνίας σύμβουλος, γαστρὸς πενία, βρωμάτων εὐτέλεια, ἀκόρεστος μανία, πολυμέριμνος κακία. ἀκτημοσύνη, φιλαργυρίας ἐκρίζωμα, ἀφιλαργυρίας δὲ ῥίζωμα, καρπὸς ἀγάπης, καὶ σταυρὸς ζωῆς, ἀνώδυνος βίος, ἀνεπίφθονος θησαυρός, ἀμέριμνος οὐρανός, ἀπερίσπαστος ἥλιος, ἀμέτρητος ὕλη, ἀκατάληπτος πλοῦτος, μερίμνης δρέπανον, εὐαγγελίων πρᾶξις, ἄλυτος κόσμος, ὀξύδρομος ἀγωνιστής. λύπη, ζημίας ἔνοικος, δυστυχίας συνόμιλος, ξενιτείας πρόδρομος, συγγενείας μνήμη, στενώσεως πάρεδρος, ἀκηδίας σύμφοιτος, παροξυσμοῦ ἔγκλημα, ὕβρεως ὑπόμνημα, καὶ ψυ-

CAPVT III.

Auaritia eſt Idolorum parua parſimonia, populi vaticinatio, ſtrictiore manu ſumptuum faciendorũ calculus, reponendorum computatio, captiuitatis diuitiæ, genus iniuſtitiæ, morborum pinguedo, multorum annorum diuinatrix, ſedulitatis incantatrix, vigiliæ conſultrix, ventris paupertas, ciborum vilitas, inſatiabilis veſania, iniquitas plurimis inſeſſa curis. Paupertas eſt auaritię exſtirpatio, radix auerſionis à pecuniâ, caritatis fructus, crux vitæ, vita ſine moleſtiâ, theſaurus minimè inuidendus, Cælum abſque ſolicitudine, Sol, qui non poteſt circumuelli, immenſa materies, diuitiæ incomprehenſibiles, curæ falx, Euangeliorum operatio, ornatus indiſſolubilis, certator velociter currens: Triſtitia, eſt incola detrimenti, infelicitatis conuerſatrix, peregrinationis præcurſor, cognationis memoria, anguſtiæ aſſecla, pigritiæ ſocia, irritationis vitium, iniuriæ monimentum, animæ

tene-

tenebrarum offuſio, affectuum mœſtus pudor, prudentiæ ebrietas, antidotum, ſeu medicamentum ſoporiferum, formæ nebula, vermis carnis, cogitationum dolor, vinculum captiuitatis. Gaudium, eſt exitium triſtitiæ, gratiarum actio ob calamitates, orationum viſio, lætitia ob labores, hilaritas beneficentiæ, renunciationis mundo quaſi inſitus ſurculus, hoſpitalitatis receptaculum, ſpei confugium, exercentium ſeſe nutrimentum, lugentium exhortatio, lacrymarum conſolatio, afflictionis auxilium, caritatis ſuffragatrix, conſors longanimitatis. Ira eſt direptio prudentiæ, ſtatus deſtructio, naturæ confuſio, forma efferata, caminus cordis, eructata flamma, excandeſcentis animi lex, iniuriarum odium, ferarũ mater, ſilens pugna, orationis impedimentum. Longanimitas, eſt armatura prudentiæ, tribunal iracundiæ, cordis medicina; commonitio animos tollentium, ac ferocientium, ſerenitas turbatorum, portus carens procellis, mœrore afficientibus beneficentia, benignitas erga omnes, benedicit ei, à quo infamatur, contumelijs proſciſſa exultat, ſolatium exiſtentium in anguſtijs, ſperantium ſpeculum, præmium malis affectorum.

χῆς σκότισμα, ἤθων κατήφεια, φρονήσεως μέθη, ὑπνωτικὸν ἀντίδοτον, μορφῆς νέφος, σαρκὸς σκώληξ, λογισμῶν λύπη, αἰχμαλωσίας δεσμός. Χαρὰ, λύπης ὄλεθρος, καὶ συμφορῶν εὐχαριστία, εὐχῶν ὀπτασία, καὶ πόνων εὐφρασία, εὐποιΐας ἱλαρότης, ἀποταγῆς ἔνθεμα, φιλοξενίας δοχεῖον, ἐλπίδων καταφυγὴ, ἀσκούντων τροφὴ, πενθούντων παραίνεσις, δακρύων παρηγορία, θλίψεως ἀντίληψις, ἀγάπης ἔμψοφος, καὶ μακροθυμίας σύμψηφος. Ὀργὴ, φρονήσεως διαρπαγὴ, καταστάσεως ἀνασκευὴ, φύσεως σύγχυσις, ἠγριωμένη μορφὴ, κάμινος καρδίας, ἐρευγομένη φλὸξ, θυμοῦ νόμος, ὕβρεων μῆνις, μήτηρ θηρίων, σιωπῶσα μάχη, εὐχῆς σκάνδαλον. Μακροθυμία, φρονήσεως ὅπλον, ὀργῆς δικαστήριον, καρδίας ἰατρεῖον, θρασυνομένων νουθεσία, ταρασσομένων γαλήνη, ἀχείμαστος λιμὴν, λυποῦσιν εὐποιΐα, πρὸς πάντας ἠπιότης, βλασφημουμένη εὐλογεῖ, ὑβριζομένη ἀγάλλεται, στενουμένων παραμύθιον, ἐλπιζομένων ἔσοπτρον, κακουχουμένων βραβεῖον.

CAPVT IV.

DEſidia, ſiuè Acedia, eſt amor aereus, greſſuum circumductrix, odium ſedulitatis, pugna quietis, Pſalmorum decantationis procella, fundendæ orationis piger motus, exercitationis relaxatio, dormitatio intempeſtiua, ſomnus ſeſe circumuertens, veſaniæ grauamen, odium cellæ, aduerſaria laborum, oppoſita tolerantiæ, meditationis frænum, ſcripturarum inſcitia, triſtitiæ particeps, horolo-

ΚΕΦΑΛ. δ'.

Ἀκηδία, φιλία ἀερικὴ, βημάτων περιαγωγὸς, φιλεργίας μῖσος, ἡσυχίας μάχη, ψαλμῳδίας ζάλη, εὐχῆς ὄκνος, ἀσκήσεως χαύνωσις, ἄωρος νυσταγμὸς, περιστρεφόμενος ὕπνος, μονίας βάρος, κέλλης μῖσος, πόνων ἀντίπαλος, καρτερίας ἀντίζυγος, μελέτης κήμωτρον, γραφῶν ἀμαθία, λύπης μέτοχος, ὡρολόγιον πείνης.

ὑπομονὴ, ἀκηδίας διακοπὴ, λογισμῶν κατακοπὴ, θανάτου μέριμνα, σταυροῦ μελέτη, καθηλωμένος φόβος, πεπτωμένος χρυσὸς, θλίψεων νομοθήκη, βίβλος εὐχαριστίας, θώραξ ἡσυχίας, πόνων ὅπλον, ἀναζέουσα καλλιπονία, ἀρετῶν ὑπογραφή. Κενοδοξία, συντυχίας φαντασία, σχημάτισμα φιλοπονίας, ἀληθείας ἐναντία, αἱρέσεων ἀρχηγέτις, ὄρεξις προεδρείας, ἐσχάτη προσηγορίας, ἐπαίνων δούλεια, πολυσχημάτιστον πνεῦμα, μυριόδοντον θηρίον, κενοδοξίας μέση ὑπερηφανία πέπλεκται, καὶ φθόνῳ, ἐν ἀλλήλοις ὄντα, καὶ δι' ἀλλήλων πολεμοῦντα, ἡ τρίσειρος ἅλυσις τῶν κακῶν, ὁ τριφάρμακος κέρασμα τῶν παθῶν, ἡ τριττὴ γλῶττα τῶν αἱρετικῶν. ἀκενοδοξία, ταπεινοφροσύνης ἐργασία, ἀρεσκείας ἀποστασία, ἐπαίνων ἀβλεψία, γνώσεως θεωρία, κόσμου ἐναντία, ψυχῆς εὐαισθησία, εὐτελείας δόγμα, πόνων κρυπτηρία, εὐφημίας πολεμία, ἐν φθαρτῷ σώματι ἀπόκρυφος θησαυρός. Φθόνος, ὑπερηφανίας ἔνδυμα, ταπεινοφροσύνης ἀπόδυμα, καταλαλιᾶς ῥίζα, εὐθυμίας ὀφθαλμία, φιλίας ὑπόκρισις, παῤῥησίας δόλος. ἀγάπης ἔχθρα, εὐδοκιμούντων ζῆλος, εὐσταθούντων ὕβρη, εὐφημουμένων σκῶμμα, ὀφθαλμῶν ἀλλοίωμα. τίς ἐστὶν ὁ καθαρὸς τῇ καρδίᾳ, ὁ μὴ λαμβανόμενος ἑαυτοῦ ἐπὶ ἐντολῆς Θεοῦ ἀθετήσει, ἢ ἐλλείψει, ἢ ἐν ἀμελείᾳ; Χριστὸς δὲ ἡμῶν ἔστω παντὶ ἔργῳ θελήματος αὐτοῦ εὔοδος. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

horologium famis. Tolerantia laborum, eſt acediæ reciſio, cogitationum detruncatio, mortis ſolicitudo, meditatio Crucis, metus, velut clauis affixus, aurum percuſſum, ob preſſuras legis repoſitorium, liber gratiarum actionis, lorica quietis, armatura laborum, honeſta elaboratio feruida, Virtutum ſubſcriptio, & approbatio. Vana gloria, eſt conuerſationis imaginatio, ſedulitatis faſtus, veritatis contraria, hæreſum Princeps, præſidentiæ appetentia, vltima in ſalutatione, laudum ſeruitus, ſpiritus in multas conuerſus figuras, bellua mille armata dentibus, medium vanæ gloriæ ſuperbiâ, & inuidiâ nectitur, quæ ad inuicem ſunt, & mutuum bellum gerunt, catena triplici vitiorum adnexa funiculo, paſſionum propinatio triplici conſtans veneno, triplex hæreticorum lingua. Non vana gloria, humilitatis eſt operatio, complacentiæ defectio, laudum deſpicientia, cognitionis contemplatio, mundo contraria, vigor, & integritas animæ ſenſuum, vilitatis placitum, laborum occultatrix, hoſtis celebritatis, deliteſcens theſaurus in corpore corruptibili. Inuidia, eſt indumentum ſuperbiæ, humilitatis depoſitio, loquacitatis radix, tranquillitatis animi lippitudo, amicitiæ ſimulatio, confidentiæ fraus, caritatis hoſtis, celebratorum æmulatio, turbatio eorum, qui ſtabiles, ac firmi ſunt, benè ominantium cauilllus, altercatio oculorum. Quis eſt adeo purus corde, qui non reprehendat ſe ipſum pro tranſgreſſione Diuini præcepti, aut defectu, aut negligentia? Noſter autem Chriſtus ſit illic, per quem facilè iter pateat ad omne bonum opus voluntatis ſuæ. Ipſi glòria in ſæcula. Amen.

EIVS-

EIVSDEM TRACTATVS

De Octo Spiritibus Malitiæ.

CAPVT I.

De Gula, ſiue Ingluuie.

PRincipium fructus afferendi eſt flos, & principiũ actiuæ vitæ eſt temperantia: qui ventri dominatur, paſſiones minuit, qui autem ab edulijs vincitur, auget voluptates. Principatus Gentium, Amalec, & Paſſionum principatus Gula. Materies ignis, ligna; materies autem ventris, cibi. Ligna multa magnam excitant flãmam, & multitudo eſcarum nutrit cupiditatem. Flamma extinguitur deficiente materiâ, & ciborum penuria emarceſcere facit cupiditatem. Qui maxillam obtinuit, Alienigenas interfecit, facilèque manuum ſuarum diſrupit
Iudic. 15 v. 14. vincula. Interfectio maxillæ fontem aquæ produxit, & gulæ ingluuies interempta practicam peperit contemplationem. Clauus tabernaculi inuadẽs maxillã, hoſtẽ peremit, & cõtinẽtiæ ſermo paſſionẽ reddidit emortuã. Edulij cupiditas inobedientiam peperit, & ſuauis deguſtatio expulit è Paradiſo. Ciborum ſumptuoſitas delectat guttur, & inſomnem nutrit intemperantiæ vermem. Venter indigens præparat ad vigilandum in oratione. Porrò hic repletus, plurimum inducit ſomnum. Senſus ſobrius, ac vigil in ſicciſſimo conſiſtit

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ

Τῶν ὀκτὼ Πνευμάτων τῆς πονηρίας.

ΚΕΦΑΛ. α΄.

Περὶ γαστριμαργίας.

ΑΡχὴ καρποφορίας, ἄνθος, καὶ ἀρχὴ πρακτικῆς, ἐγκράτεια. ὁ κρατῶν γαστρὸς, ἐλαττοῖ πάθη, ὑπλώμενος δὲ βρώμασιν αὔξει τὰς ἡδονάς. ἀρχὴ ἐθνῶν ἀμαλὴκ, καὶ ἀρχὴ παθῶν γαστριμαργία. ὕλη πυρὸς ξύλα. ὕλη δὲ γαστρὸς βρώματα. ξύλα πολλὰ μεγάλην ἐγείρει φλόγα. πλῆθος δὲ βρωμάτων, τρέφει ἐπιθυμίαν. φλὸξ ἀμαυροῦται ἐπιλειπούσης ὕλης, καὶ βρωμάτων ἔνδεια μαραίνει ἐπιθυμίαν. ὁ κρατήσας σιαγόνος, ἀνεῖλεν ἀλλοφύλους, καὶ δεσμὰ χειρῶν αὐτοῦ διέσπασεν ἀχεραῖς, ἀναίρεσις σιαγόνος πηγὴν ἐγέννησεν ὕδατος, καὶ γαστριμαργία καταργηθεῖσα, θεωρίαν ἔτεκε πρακτικήν. πάσσαλος σκηνῆς παρελθὼν, σιαγόνα ἀνεῖλε πολεμίου, καὶ λόγος ἐγκρατείας συνέκρουσε πάθος. ἐπιθυμία βρώσεως ἔτεκε παρακοὴν, καὶ γεῦσις ἡδεῖα ἐξέβαλε παραδείσου. πολυτέλεια βρωμάτων τέρπει λαιμὸν, τρέφει δὲ σκώληκα ἀκολασίας ἀκοίμητον. ἐνδεὴς γαστὴρ, ἐν προσευχῇ ἀγρυπνεῖν παρασκευάζει, ἡ δὲ πεπληρωμένη ὕπνον ἐπάγει πολύν. νηφάλιον φρόνημα ἐν ξηροτάτῃ διαίτῃ, ὑγρὸς δὲ βίος βαπτίζει νοῦν

εἰς βυθόν. νηστεύοντος προσευχή, νεοσσὸς ἀετοῦ ἀνιπτάμενος, ἡ δὲ τοῦ κραιπαλῶντος βαρυνομένη τῷ κόρῳ, καθέλκεται. νηστεύοντος νοῦς, ἀστὴρ ἐν αἰθρίᾳ λαμπρός, ὁ δὲ τοῦ κραιπαλῶντος ἐν σκοτομήνῃ καλύπτεται. ὁμίχλη καλύπτει ἡλιακὰς ἀκτῖνας, καὶ νοῦν σκοτίζει παχεῖα βρωμάτων ἀνάδοσις.

ſiſtit victu; at laxa, molliſq; vita in profundum demergit mentem. Ieiunantis oratio, pullus eſt Aquilæ ſurſùm volans, at quæ fit ab illo, qui crapulatus eſt, grauiter depreſſa præ ſatietate, deorſum trahitur. Ieiunantis mens, ſtella eſt in noctis ſerenitate ſplendeſcens, ſed mens cibo, vinoq; ſe ingurgitantis ad crapulam, in tenebroſâ, ac illune nocte occultatur. Nebula Solares obtegit radios, & craſſa eſcarum miniſtratio menti caliginem offundit.

ΚΕΦΑΛ. β'.

Ἔσοπτρον ῥυπωθὲν οὐ διαθροῖ τὴν προσπεσοῦσαν μορφήν, καὶ διανοητικὸν ἀμβλυνθὲν κόρῳ, οὐ δέχεται γνῶσιν Θεοῦ. χερσωθεῖσα γῆ ἀκάνθας τίκτει, καὶ νοῦς γαστριμάργου βλαστάνει λογισμοὺς αἰσχρούς. οὐκ ἔστιν ἐν βορβόρῳ εὑρεῖν ἀρώματα, οὐδὲ ἐν γαστριμάργῳ θεωρίας εὐωδίαν. ὀφθαλμὸς γαστριμάργου, περιεργάζεται συμπόσια. ὀφθαλμὸς δὲ ἐγκρατοῦς, συνέδρια σοφῶν. μνήμας μαρτύρων ἀριθμεῖ ψυχὴ γαστριμάργου, ἡ δὲ τοῦ ἐγκρατοῦς, μιμεῖται βίους αὐτῶν. δειλὸς στρατιώτης φρίσσει σάλπιγγα σημαίνουσαν πόλεμον, καὶ γαστρίμαργος κηρυττομένην ἐγκράτειαν. γαστρίμαργος μοναχός, κοιλίας ὑποφόρος, καὶ μαστιζόμενος ἀπαιτεῖται δασμὸν ἡμερήσιον. ὁδοιπόρος ὀξύς, ταχέως καταλήψεται πόλιν, καὶ μοναχὸς ἐγκρατὴς εἰρηνικὴν κατάστασιν. ὁδοιπόρος βραδύς, ἐν ἐρημίᾳ αὐλισθήσεται ὕπαιθρος, καὶ μοναχὸς γαστρίμαργος οὐ φθάσει εἰς οἶκον ἀπαθείας. ἀτμὶς θυμιάματος εὐωδιάζει ἀέρα, καὶ προσευχὴ ἐγκρατοῦς ὄσφρησιν Θεοῦ. ἐὰν δῷς σεαυτὸν ἐπιθυμίᾳ βρωμάτων,

CAPVT II

Speculum ſordibus obſitum non exprimit diſtinctè obiectam formam, & intellectus, ſaturitate obtuſus, ac hebetatus, non ſuſcipit Dei cognitionem. terra inculta parturit ſpinas, & mens gulæ dediti turpes germinat cogitationes. Non eſt poſſibile in cœno odoramenta inuenire, nec in guloſo contemplationis benè olentem odorem. Oculus ventri addicti curioſè diſquirit conuiuia, at oculus temperantis, conſeſſus Sapientum inquirit. Memorias Martyrum enumerat anima guloſi, verùm temperantis anima vitas imitatur ipſorum. Timidus miles horreſcit ad tubam, quæ prælium annunciat, & guloſus tẽperantiam prænunciatam pertimeſcit. Guloſus Monachus tributo ventris eſt obnoxius, atque idem afflictatus quotidianum exigit vectigal. Velox viator celeriter ad Ciuitatem attinget, & Monachus temperans; ad ſtatum pacificum. Tardus viator in ſolitudine ſub dio ſtabulabitur, & Monachus, gulæ ſubſeruiens, ad domum vacuitatis paſſionum non perueniet. Vapor ſuffimenti aërem ſuaui replet odore, & tem-

perantis oratio Diuinum permulcet olfactum. Si te ipſum cupiditati eduliorum tradideris, nihil ſufficiet ad explendam voluptatẽ: eſt quippe ignis eſcarum cupiditas, ſemper accipiens, & ſemper inflammata. Menſura ſufficiens impleuit vas; Venter autem diruptus non dicit, ſufficit. manuũ extenſio vertit Amalec in fugam, & actiones eleuatæ (nempè ad Deum) carnis ſubigunt paſſiones.

οὐδὲν ἀρκέσει πρὸς τὸ πληρῶσαι τὴν ἡδονήν, πῦρ γάρ ἐστιν ἐπιθυμία βρωμάτων, ἀεὶ δεχομένη, καὶ ἀεὶ φλεγομένη. μέτρον αὔταρκες ἐπλήρωσεν ἀγγεῖον, γαστὴρ δὲ ῥηγνυμένη, οὐ λέγει ἀρκεῖ. χειρῶν ἔκτασις, ἐτροπώσατο τὸν ἀμαλήκ, καὶ πράξεις ἐπηρμέναι χειροῦνται πάθη σαρκός.

Exod. c. 17. Prou. 30. v. 15.

CAPVT III.

Extermina à te quodcumque vitia ſpirat, & carnis tuæ membra validè mortifica. Quemadmodum enim bellator interfectus, tibi non incutiet metum, ita corpus mortificatum, tuam non perturbabit animam. Mortuum corpus ignis non nouit dolorem, nec temperans voluptatem perſentit cupiditatis emortuæ. Si percuſſeris AEgyptium, in arena ipſum abſcõdito, & ne in deuicta cupiditate pinguefacias corpus: ſicut enim abſconditum in terra opima, germinat, ita in corpore impinguato repullulat paſſio. Flamma extincta relucet, ſi arida ſuſceperit cremia; & voluptas ſopita, iterùm accenditur in ſaturitate ciborum: ne miſerearis corporis conquerentis ob debilitatem, nec illud impingues apparatu multorum ciborum. Nam, ſi conualuerit, impetum in te faciet, mouebitque aduerſum te bellum inexpiabile, vſque quo animam tuam in ſeruitutem redigat, ſeruumque te tradat impudicitiæ paſſioni. Equus benefrænatus eſt corpus egens alimento, neque deijciet vmquam aſcenſorem; ille quippè cedit fræno conſtrictus, & aurigæ manui paret, corpus autem fame

ΚΕΦΑΛ. γ'

Ἐξολόθρευσον ἐκ σοῦ πᾶν ἔμπνευμα κακίας, καὶ μέλη σαρκός σου νέκρωσον ἰσχυρῶς, ὃν τρόπον γὰρ ἀναιρεθεὶς πολέμιος, οὐ παρέξει σοι φόβον, οὕτω νεκρωθὲν σῶμα, οὐ ταράξει σου τὴν ψυχήν. οὐκ οἶδε πυρὸς ὀδύνην σῶμα νεκρόν, οὐδὲ ἐγκρατὴς ἡδονὴν ἐπιθυμίας νεκρᾶς. ἐὰν πατάξῃς αἰγύπτιον, ἐν ἄμμῳ κρύψον αὐτόν, καὶ μὴ πιάνῃς σῶμα ἐπὶ ἡττωμένῳ πάθει. ὡς γὰρ ἐν λιπώσῃ γῇ φύει τὸ κρυφθέν, οὕτως ἐν σώματι πιμελώδει ἀνατέλλει τὸ πάθος. μαρανθεῖσα φλὸξ ἀναλάμπει ἐπιλαβομένη φρυγάνων, καὶ ἡδονὴ σβεσθεῖσα, ἀναζωπυροῦται ἐν κόρῳ βρωμάτων. μὴ ἐλεήσῃς σῶμα ἀτονίαν ἀποδυρόμενον, μηδὲ πιάνῃς αὐτὸ πολυτελείᾳ βρωμάτων, ἐὰν γὰρ ἰσχύσῃ, ἐπαναστήσεταί σοι, καὶ πόλεμον ἄσπονδον κινήσει κατὰ σοῦ, ἕως ἂν αἰχμαλωτεύσῃ τὴν ψυχήν, καὶ δοῦλον παραδώσει σε τῷ τῆς πορνείας πάθει. ἵππος ἥμερος ἐνδεὲς σῶμα, καὶ οὐ μὴ καταβαλεῖ τὸν ἀναβάτην ποτέ, ὁ μὲν γὰρ εἴκει ἀγχόμενος χαλινῷ, καὶ τῇ χειρὶ πείθεται τοῦ ἡνιόχου, σῶμα δὲ δαμάζεται ἐν λιμῷ, καὶ ἀγρυπνίᾳ, καὶ οὐκ ἀποσκιρτᾷ τοῦ ἐπι-

ϐαπουῦτος λογισμοῦ, οὐδὲ χρεμετίζει κινούμενος ὑπὸ ὁρμῆς ἐμπαθοῦς.

fame domatur, & vigiliâ, & non reſilit ab inſcédente cogitatione, nec adhinnit commotum ab impetu paſſionibus implicito.

ΚΕΦΑΛ δ'.

Περὶ Πορνείας.

Σωφροσύνην τίκτει ἐγκράτεια, γαστριμαργία δὲ, μήτηρ ἀκολασίας, ἔλαιον τρέφει λαμπάδα λύχνου, καὶ πυρσὸν ἡδονῆς ἐξάπτει συντυχία γυναικῶν. κυμάτων βία χειμάζει πλοῖον ἀνερμάτιστον, καὶ λογισμὸς πορνείας, νοῦν ἀκρατῆ. πορνεία συμπαραλήψεται κόρον εἰς συμμαχίαν, ἀφήσει γὰρ αὐτὸν, καὶ μετὰ τῶν ἐναντίων στήσεται, καὶ ἐπ' ἐσχάτων συμπολεμήσει τοῖς ἐχθροῖς. ἄτρωτος διαμένει ἀπὸ τῶν βελῶν τοῦ ἐχθροῦ ὁ ἀγαπῶν ἡσυχίαν, συναναμιγνύμενος δὲ πλήθει, συνεχεῖς δέχεται πληγάς. ὄψις γυναικὸς, βέλος ἐστὶ πεφαρμακευμένον, ἔτρωσε τὴν ψυχὴν, καὶ τὸν ἰὸν ἐναπέθετο, καὶ ὅσον χρονίζει, πλείονα τὴν σῆψιν ἐργάζεται. ὁ φυλασσόμενος ταῦτα τὰ βέλη, οὐ παραβάλλει πανηγύρεσι πανδήμοις, οὐδὲ ἐν ταῖς ἑορταῖς περιάξει κεχηνώς, βέλτιον γὰρ οἴκοι μένοντα σχολάζειν προσευχαῖς, ἢ τιμᾶν νομίζοντα τὰς ἑορτὰς, γίνεσθαι πάρεργον ἐχθρῶν. φεῦγε συντυχίαν γυναικῶν, εἰ ἐὰν θέλης σωφρονεῖν. καὶ μὴ δῷς παῤῥησίαν αὐταῖς θαῤῥῆσαί σοι ποτέ. εὐλάβειαν γὰρ ἐν ἀρχαῖς ἢ ἔχουσιν ἢ ὑποκρίνονται· ὕστερον δὲ πάντα τολμῶσιν ἀναιδῶς. πρώτῃ συντυχίᾳ τὸ βλέμμα ἔχουσι κάτω, λαλοῦσι πράως, καὶ δακρύουσι συμπαθῶς, σχηματίζονται σεμνῶς, καὶ στενάζουσι πικρῶς, ἐρωτῶσι περὶ ἁγνείας, καὶ ἀκούουσι σπουδαίως. δ' ὕπερον

CAPVT IV.

De Luxuriâ.

Continentia temperantiam parit, ingluuies autem gulæ mater eſt intemperantiæ. Oleũ nutrit Lucernę lampadem,& conuerſatio mulierũ faculã voluptatis accendit. Fluctuum violentia non ſuburratam agitat nauim, & cogitatio luxuriæ,mentem incontinentem. Impudicitia ſatietatem aſſumet in adiutorium, dimittet enim ipſam, & ſtabit cum aduerſarijs, & ad extremum vnâ cum hoſtibus bellum ſociabit. Inuulneratus permanet ab inimici iaculis, qui diligit quietem, at, qui ſimul cum plebe miſcetur, continua excipit vulnera. Obtutus fœminæ telum eſt veneno imbutũ, ſauciauit animã, & virus infudit, & quò diutiùs perdurat, eò maiorem cauſſat putrefactionem. Quiſe cuſtodit ab his telis,non ad frequentes Populi conuentus progreditur, nec in diebus feſtis circumibit inhians: melius eſt enim, commorantem domi orationi vacare, quàm, dum honorare ſe quis putat feſtas ſolemnitates, ad ſuſceptum opus inimicorũ accedere. Fœminarum conuerſationem fuge, ſi continens eſſe velis, neque des ipſis fiduciam ſeſe tibi confidẽtes vmquam demonſtrandi. In principio namque reuerentjam, aut habent, aut ſimulant; at deindè audent omnia impudenter; etenim in primâ conuerſatioue vultum etiam demittunt, manſuetè loquuntur,

quuntur, & cum compaſſione lacrymantur, grauiter, honeſtèque componunt habitum, & amarè ſuſpirant, interrogant de caſtitate, ac ſtudioſè audiunt: ſecundò vidiſti, & iam paululùm caput ſurſùm reflectunt: tertiò, inuerecundè etiam attendunt: leniter ſubriſiſti tu; illæ hiantes effuſè rident; dein exornantur, & tibi ſe ſe elegantet oſtentant, obtutum efformant, annunciantes affectum, ſupercilia erigunt, & circumagunt palpebras, denudant collum, totoque corpore ioculari quadam ſimulatione vtuntur, ſermones eloquuntur emollientes affectum, & concinnant voces, ad auditũ mulcendum, donec animam omninò expugnent. Hæc tibi hami euadunt, decipientes ad mortem, pedicæq; multiplices ad interitum trahentes; ne te in errorem ducant alloquijs benignè vtentes, in his enim malignum belluarum eſt occultatum venenum.

εἴδες, ὅτι μικρὸν ἀνένευσαν ἄνω, τρίτον, ὅτι προσέχουσιν ἀναιδῶς, ἐμειδίασας, κἀκεῖναι κεχυμένως ἐγέλασαν. κοσμοῦνται λοιπὸν, καὶ ἐνδείκνυνταί σοι σαφῶς, βλέμμα μορφοῦσιν εὐαγγελιζόμεναι τὸ πάθος, ὀφρῦς ἀνατείνουσι, καὶ περιστρέφουσι βλέφαρα, γυμνοῦσι τὸν τράχηλον, καὶ ὅλῳ τῷ σώματι θρίπτονται. λόγους λαλοῦσι μαλάσσοντας τὸ πάθος, καὶ φθέγμα ἐπιτηδεύουσι θελκτήριον ἀκοῆς, ἕως ἂν διὰ πάντων πολιορκήσωσι τὴν ψυχήν. ταῦτα γίνεταί σοι ἄγκιστρα δελεάζοντα εἰς θάνατον, καὶ θήρατρα πολύπλοκα ἕλκοντα εἰς ἀπώλειαν, μήπως πλανήσωσι λόγοις ἐπιεικῶς κεχρημέναι, ἐγκέκρυπται γὰρ αὐταῖς ἰὸς πονηρὸς θηρίων.

CAPVT V.

APropinqua potiùs igni ardẽti, quàm iuniori fœminæ, cum & ipſe ſis adoleſcens; nam ad ignem quidem accedens, doloréq; ſentiẽs, celeritèr reſilies, muliebribus autẽ verbis delinitus, haud ità facilè recedes. Floret herba propè aquã ſita, & paſſio intẽperantiæ in cõſortio fœminæ; qui ventrẽ implet, ſimulq; temperantem ſe gerere profitetur perſimilis eſt aſſerẽti, ſe frænare ignis effectũ in ſtipulâ. nã ſicut ignis deuergentiam in ſtipulã curſitantem haud ſiſtere poſſumus, ſic impetum intẽperantem in ſatietate inflammatum retinere eſt impoſſibile. Columna baſi innititur, & luxuriæ paſſio in ſecuritate conquieſcit. Nauis tempeſtate afflicta, ad portum feſtino gradu contendit, & anima pudici

ΚΕΦΑΛ. ε΄.

ΜΑ͂λλον προσέγγισον πυρὶ καιομένῳ, ἢ γυναικὶ νέᾳ, νέος ὢν καὶ αὐτὸς, πυρὶ μὲν γὰρ προσελθὼν, καὶ ὀδυνηθεὶς, ταχέως ἀποπηδήσεις, γυναικείοις δὲ ῥήμασι χαυνωθεὶς, οὐκ εὐχερῶς ἀναχωρήσεις. θάλλει βοτάνη ἑστῶσα παρ' ὕδατι, καὶ πάθος ἀκολασίας ἐν συντυχίᾳ γυναικῶν. ὁ πληρῶν γαστέρα, καὶ ἐπαγγελλόμενος σωφρονεῖν, ὅμοιός ἐστι τῷ λέγοντι, χαλινοῦν πυρὸς ἐνέργειαν ἐν καλάμῃ. ὃν τρόπον γὰρ πυρὸς ῥοπὴν ἐν καλάμῃ τρέχουσαν ἀδύνατον ἐπισχεῖν, οὕτως ὁρμὴν ἀκόλαστον φλεγομένην ἐν κόρῳ παῦσαι ἀδύνατον. στῦλος ἐπερείδεται βάσει, καὶ πορνείας πάθος ἐπαναπαύεται κόρῳ. εἰς λιμένα ἐπείγεται χειμαζομένη ναῦς, καὶ ψυχὴ σώ-

φρονος ἐπιζητεῖ ἐρημίαν. φεύγει, ἡ μὲν κύματα θαλάσσης ἀπειλοῦντα κίνδυνον, ἡ δὲ μορφὰς γυναικῶν ὀδυνούσας ὄλεθρον. μορφὴ κεκαλλωπισμένη κύματος χεῖρον βυθίζει. τοῦ μὲν γὰρ ἔστι καὶ διανήξασθαι, πόθῳ ζωῆς, μορφὴ δὲ γυναικὸς ἀπατήσασα, καταφρονεῖν πείθει καὶ αὐτῆς τῆς ζωῆς. βάτος ἐρημική, διαφεύγει φλόγα πυρὸς ἀβλαβὴς, καὶ σώφρων κεχωρισμένος γυναικῶν οὐκ ἐφλογίσθη ἀκολασίας πάθει. ὥσπερ γὰρ μνήμη πυρὸς καίει διάνοιαν, οὕτω οὐδὲ πάθος ἰσχύει, μὴ παρούσης ὕλης.

pudici requirit ſolitudiuem: fugit illa quidem maris vndas, periculũ comminantes; iſta verò fœminarum formas exitium cum dolore parientes. forma exornata, decoreque exculta peius quouis fluctu in profundum demergit gurgitẽ; & hunc quidem contingit vt quis, præ deſiderio vitæ, natando pertranſeat; ſpecies autem mulieris decipiendo, ipſam qnoque vitam contemnere perſuadet. Solitarius rubus flammam ignis ſine noxa effugit, & pudicus à fœminis ſeparatus, non inflammatus eſt intemperantiæ paſſione; quemadmodum enim memoria ignis intellectũ non exurit, ſic neque valet paſſio, cum materia non adſit.

ΚΕΦΑΛ. ϛʹ.

Ἂν ἐλεήσῃς πολέμιον, ἔσται σοι ἐχθρὸς, καὶ ἐὰν φείσῃ πάθους ἐπαναστήσεταί σοι. ἀκόλαστον ἐρεθίζει πρὸς ἡδονὴν ὄψις γυναικὸς, τὸν δὲ σώφρονα κινεῖ πρὸς δοξολογίαν Θεοῦ. ἐὰν ἠρεμήσῃ τὸ πάθος ἐν συντυχίαις γυναικῶν, μὴ πίστευε αὐτοῦ ἀπάθειαν ἐπαγγελλομένῳ. καὶ γὰρ κύων σαίνει μὲν ἀπολειφθεὶς ὄχλῳ, ἔξω δὲ προελθὼν, τὴν οἰκείαν ἐπιδείκνυται πονηρίαν. ὅταν γυναικὸς μνήμη γένηται ἀπαθῶς, τότε νόμιζε τὸν ὅρον ἐπιβεβηκέναι τῆς σωφροσύνης. ὅτε δὲ σε τὸ εἴδωλον αὐτῆς ἐπὶ θεωρίαν διεγείρει, καὶ τὰ βέλη αὐτῆς τὴν ψυχήν σου περιλαμβάνουσι, τότε νόμιζε ἔξω εἶναι τῆς ἀρετῆς. ἀλλὰ μηδὲ οὕτως ἐγχρονίσῃς τοῖς τοιούτοις λογισμοῖς, μηδὲ ἐπὶ πολὺ κατὰ διάνοιαν προσομιλήσῃς μορφῇ γυναικὸς, ἔστι γὰρ φιλυπόστροφον τὸ πάθος, καὶ τὸν κίνδυνον ἔχει ἐγγύς. ὥσπερ γὰρ ἡ σύμμετρος χωνεία καθαίρει

CAPVT VI

SI miſerearis bellatoris, erit tibi hoſtis, ſique paſſioni peperceris, aduersùm te inſurget. Intemperãtem ad voluptatem irritat aſpectus fœminæ, pudicum verò excitat ad Deum glorificandum; ſi paſſio in conuerſationibus mulierum conquieſcat, ne credas ipſi affectuũ vacuitatem promittenti. Canis namque caudam mouet ablandiens, eo quod populi multitudine ſit inferior, foras verò procedens propriam demonſtrat malitiam. Quando fœminæ recordatio paſſionibus percita nõ erit, tunc puta, te ad pudicitiæ terminos perueniſſe. Quando verò ipſius effigies te ad ſpectationẽ excitet, eiuſque iacula tuam comprehendant animam, tunc cenſeas, te eſſe extrà Virtutẽ. Verùm neque ſic huiuſcemodi cogitationibus immoreris, nec diutiùs cum forma mulieris mente colloquaris; eſt enim reuerti ſolita paſſio, & propè habet periculum. Quemadmodum namque moderata conflatura ignis

ignis argentum expurgat, quæ verò diutino tẽpore manſerit, facilè quoque diſperdit, ita pudicum habitum corrumpit inſidens diutino tempore imaginatio mulieris: nec diutiùs cum apparenti vultu conuerſeris, ne in te flammam accendat libidinis, animæq; tuæ comburat aream; quià ſicut ſcintilla immorans in paleis flammam ſuſcitat, ſic mulieris permanens recordatio incendit cupiditatem.

ος ἄργυρος, ἡ δὲ ἐπὶ πολὺ, καὶ ἀπόλλυσιν εὐχερῶς, οὕτως ἕξιν σωφρονικὴν διαφθείρει ἐγχρονίζουσα φαντασία γυναικός. μηδὲ ἐπὶ πολὺ προσομιλήσῃς τῷ φανέντι προσώπῳ, ἵνα μὴ ἀνάψῃ ἐν σοὶ ἡδονῆς φλόγα, καὶ ἐμπρήσῃ ἅλωνα τῆς ψυχῆς. ὥσπερ γὰρ σπινθὴρ ἐν ἀχύροις χρονίσας ἐγείρει φλόγα, οὕτω μνήμη γυναικὸς προσδιαμένουσα, ἐξάπτει ἐπιθυμίαν.

CAPVT VII.

De Auaritiâ.

AVaritia, malorum omnium radix eſt, nutritque tamquam malignos ramos reliquas paſſiones, neque exſiccari ſinet, quæ floruerunt ex ipſâ. Qui vult paſſiones exſcindere, radicem exſcindat; nam permanente auaritiâ ſi ramos amputet, nihil iuuat, quamuis enim abſcindantur, ſtatim refloreſcent. Monachus, qui multa poſſidet, nauigium eſt multis grauatum oneribus, & in vndarum tempeſtate facilè ſubmergitur; ſicut enim nauis, cuius exundat ſentina, à quolibet perluitur fluctu, ſic qui multa poſſidet, ſolicitudinibus ſubmergitur. Monachus abſque poſſeſſione, viator eſt expeditus, inque omni loco diuerſorium inuenit. Monachus, qui nihil poſſidet, eſt aquila ad ſublimia peruolans, qui tunc ſeſe volatu ad alimẽtum demittit, quando neceſſitas coëgerit. Hic talis omni eſt excelſior tẽtatione, deridet præſentia, & ſublimis attollitur, recedit à terrenis, & cum ſupernis, ſeù cæleſtibus conuerſatur, leuem quippe geſtat alam, curiſq;

ΚΕΦΑΛ. ζ.

Περὶ Φιλαργυρίας.

Φιλαργυρία πάντων ἐστὶ ῥίζα τῶν κακῶν, καὶ τρέφει ὡς κλάδους πονηροὺς τὰ λοιπὰ πάθη, καὶ οὐκ ἀφίησι ξηρανθῆναι τὰ ἐξ αὐτῆς ἀνθήσαντα. ὁ βουλόμενος κόπτειν πάθη, τὴν ῥίζαν ἐκκοπτέτω, μενούσης γὰρ φιλαργυρίας ἐπιτέμνων τοὺς κλάδους οὐδὲν ὠφελεῖ, κἂν γὰρ ἐκκοπῶσιν, εὐθὺς ἐπανθήσουσι. πολυκτήμων μοναχὸς, πεφορτισμένον πλοῖον, καὶ ἐν ζάλῃ κυμάτων εὐχερῶς καταδυόμενον. ὥσπερ γὰρ ὑπέραντλος ναῦς, ὑφ' ἑκάστου κύματος βασανίζεται, οὕτω πολυκτήμων ταῖς φροντίσιν ὑποβρύχιος γίνεται. ἀκτήμων μοναχὸς, ὁδοιπόρος εὐσταλής, καὶ ἐν παντὶ τόπῳ εὑρίσκων κατάλυμα. ἀκτήμων μοναχὸς ἀετὸς ὑψιπέτης, τότε καθιπτάμενος ἐπὶ τροφὴν, ὅταν ἡ χρεία βιάζῃ. παντὸς πειρασμοῦ ὁ τοιοῦτός ἐστιν ὑψηλότερος καταγελᾷ τῶν παρόντων, καὶ μετέωρος ἐξαίρεται, ἀναχωρεῖ τῶν γηΐνων, καὶ συμπεριπολεῖ τοῖς ἄνω, πτερὸν γὰρ ἔχει κοῦφον,

Digitized by Google

φροντίσι μὴ βαρυνόμενος, θλίψις ἐπῆλθε, καὶ ἀλύπως τὸν τόπον ἀπέλιπε. θάνατος ἐπέστη, καὶ εὐθύμως ἀπέρχεται. οὐδενὶ γὰρ γηΐνῳ δεσμῷ προσέδησε τὴν ψυχήν, ὁ δὲ πολυκτήμων πεπέδηται μερίμναις, καὶ καθάπερ κύων ἁλύσει προσδέδεται, κἂν μεταναστῆναι βιασθῇ, τὰς μνήμας τῶν κτημάτων περιφέρει βαρὺ φορτίον, καὶ ἀχθηδόνα ἀνωφελῆ, κεντεῖται λύπῃ, καὶ πρὸς τὴν ἔννοιαν ὀδυνᾶται σφοδρῶς, ἀφῆκε τὰ κτήματα, καὶ τῇ λύπῃ μαστίζεται. κἂν θάνατος ἐπέλθοι, ἐλεεινῶς ἀφίησι τὰ παρόντα, ἀποδίδωσι τὴν ψυχήν, καὶ τὸν ὀφθαλμὸν οὐκ ἀφίστησι τῶν πραγμάτων. ἄκων ἕλκεται καθάπερ ἀνδράποδον δραπετευτός, μερίζεται τοῦ σώματος, καὶ οὐ μερίζεται τῶν πραγμάτων. μᾶλλον τῶν ἑλκόντων αὐτὸν τοῦ πάθους κατέχοντος.

curiſq; minimè prægrauatam; tribulatio ſuperuenit, ceſſit ipſe loco abſque mœrore: mors aduentauit; & æquo ſecedit animo, quià nulli terreno vinculo animam alligauit. Qui verò multa poſſidet, ſolicitudinibus, quaſi compedibus aſtrictus eſt, & velut canis deuincitur catenâ, ſiquè emigrare cogatur, poſſeſſionum memorias, graue onus, inutilemque circumfert triſtitiam; dolore pungitur, inque mente vehemẽter angitur: opes dimiſit, & flagellatur mœrore. Siquè mors ſuperuenerit, miſerabiliter dimittit præſentia, reddit animam, & oculum non auertit à negotijs; inuitus trahitur, vt fugitiuum mancipium, diuiditur à corpore, & à rebus non ſeparatur; magis eum detinente paſſione, quàm detinere ſoleant, qui attrahunt.

ΚΕΦΑΛ. η'.

Θάλασσα οὐκ ἐμπίπλαται, ποταμῶν δεχομένη πλῆθος, καὶ ἐπιθυμία φιλαργύρου οὐ πληροῦται χρημάτων, ἐδιπλασίασε τὰ χρήματα, καὶ ταῦτα διπλᾶ ποιῆσαι ἐπιθυμεῖ, καὶ τοῦ διπλασιάζειν οὐδέποτε παύεται, ἕως ἂν θάνατος τὴν ἀνόνητον ταύτην παύσῃ σπουδήν. συνετὸς μοναχὸς τῇ χρείᾳ προσέξει τοῦ σώματος, καὶ τὴν ἔνδειαν τῆς γαστρὸς ἄρτῳ πληρώσει, καὶ ὕδατι. οὐ κολακεύσει πλουτοῦντας δι' ἡδονὴν γαστρός, οὐδὲ δουλώσει νοῦν ἐλεύθερον δεσπόταις πολλοῖς. ἱκαναὶ γὰρ αἱ χεῖρες ὑπηρετῆσαι τῷ σώματι, καὶ τὴν φυσικὴν ἀνάγκην πληρῶσαι διὰ παντός. ἀκτήμων μοναχός, ἀθλητὴς ἀμεσολάβη-

CAPVT VIII.

Mare nequaquam impletur, fluminum ſuſcipiẽs multitudinem, & auari cupiditas pecunijs non expletur. Duplicauit diuitias, eaſque reduplicare denuò concupiſcit, nec à tali vnquam ceſſat reduplicatione, donec mors inane, ac vanum hoc deſinere faciat ſtudium. Prudens Monachus corporis neceſſitati attendet, & indigentiam ventris pane explebit, & aqua, non adulabitur locupletibus ob ventris voluptatem; neque multis Dominis mentem liberam adiget ſeruam; ſufficientes enim ſunt manus ad miniſtrãdum corpori, & naturalem neceſſitatem continuò adimplendã. an.11 v.34.

Monachus, qui nihil poſſidet, pugil eſt, qui per medium apprehendi

nequit,

nequit, leuiſque eſt curſor celeriter ad Brauium ſupernæ vocationis perueniens. Monachus, qui multa poſſidet, multis gaudet prouentibus; qui verò nihil poſſidet, coronis benè geſtorum facinorũ perlætatur. Auarus Monachus valdè laborat, ſed qui pauper eſt, orationibus vacat, & lectionibus. Monachus pecuniæ auidus, auro replet penetralia: At pauper, theſaurizat in Cælo. Maledictus qui
Deuter. 27. v. 15
facit Idolum, & ponit in abſcondito, ſimiliter & qui auaritiæ paſſione tenetur; ille quidem adorat non benè expurgatum, inutileq; metallum, iſte vèrò diuitiarum imaginationem, quaſi ſimulacrum, circumfert.

τος, καὶ δρομεὺς κοῦφος, ταχέως φθάνων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως. πολυκτήμων μοναχὸς, χαίρει προσόδοις πολλαῖς, ὁ δὲ ἀκτήμων στεφάνοις κατορθωμάτων. φιλάργυρος μοναχὸς, ἐργάζεται σφοδρῶς, ὁ δὲ ἀκτήμων, προσευχαῖς σχολάζει, καὶ ἀναγνώσμασι. φιλάργυρος μοναχὸς πληροῖ ταμεῖα χρυσοῦ, ὁ δὲ ἀκτήμων θησαυρίζει ἐν οὐρανῷ. ἐπικατάρατος ὁ ποιῶν εἴδωλον, καὶ θεὶς ἐν ἀποκρύφῳ, ὡσαύτως καὶ ὁ ἔχων φιλαργυρίας πάθος. ὁ μὲν γὰρ προσκυνεῖ κίβδηλον ἀνωφελὲς, ὁ δὲ ἀγαλματοφορεῖ φαντασίαν πλούτου.

CAPVT IX.

De Iracundia.

IRacundia paſſio eſt furibunda, eoſque, qui pollent ſcientiâ, facilè mente alienat, efferat animam, omnemque congreſſum declinare facit. Ventus vehemens non commouebit Turrim, & ira non corripiet animam manſuetã. Aqua mouetur à ventorum violẽtiâ, & iracundus turbatur à cogitationibus imprudentibus. Monachus iracundus, aper eſt Silueſtris, & ſolitarius; vidit aliquem, tunc dentes exacuit. nebulæ diffuſio craſſiorem aerem reddit, & motus iræ mentem iracundi. Solem obfuſcauit ſubiens nebula, & mẽtem cogitatio iniuriarum memor. Leo, qui eſt in Viuario continuò mouet cardines oſtiorum, & iracundus in cella, iræ cogitationes. Viſio eſt delectabilis, mare tranquillatum, ſed non eſt delectabilior pacifico animi ſtatu: Delphines ete-

ΚΕΦΑΛ. θʹ.

Περὶ Ὀργῆς.

ΟΡγὴ, πάθος ἐστὶ μανιῶδες, καὶ τοὺς ἔχοντας γνῶσιν ἐξιστησιν εὐχερῶς, θηριοῖ τὴν ψυχὴν, καὶ πᾶσαν συντυχίαν ἐκκλίνειν ποιεῖ. ἄνεμος σφοδρὸς οὐ κινήσει πύργον, καὶ ψυχὴν ἀόργητον οὐ συναρπάζει θυμός. ὕδωρ κινεῖται ὑπὸ βίας ἀνέμων, καὶ θυμώδης ταράσσεται ὑπὸ λογισμῶν ἀσυνέτων. μοναχὸς ὀργίλος εἶδέ τινα, καὶ τοὺς ὀδόντας παρέθηξεν. ὁμίχλης ἀνάδοσις παχύνει ἀέρα, καὶ θυμοῦ κίνησις διάνοιαν ὀργίλου. ἐσκότισεν ἥλιον ὑποδραμὼν νέφος, καὶ νοῦν λογισμὸς μνησικακίας. λέων ἐν ζωγρείῳ ὢν κινεῖ τοὺς στρόφιγγας συνεχῶς, καὶ θυμώδης ἐν κέλλῃ λογισμοὺς ὀργῆς. τερπνὴ θεωρία, γαληνιῶσα θάλασσα, ἀλλ᾽ οὐκ ἐστὶ τερπνοτέρα εἰρηνικῆς καταστάσεως. γαληνιώσῃ γὰρ θαλάσσῃ ἐγκολυμβῶσι δελφῖνες, εἰρηνικῇ δὲ

καταστάσει ἐνήχεται νοήματα θεοπρεπῆ. μακρόθυμος μοναχὸς, ἡσυχάζουσα πηγὴ, καὶ πᾶσι παρέχουσα προσηνὲς ποτόν, διάνοια δὲ ὀργίλου διὰ παντὸς ταράττεται, καὶ οὐκ ἐπιδώσει τῷ διψῶντι ὕδωρ, κἂν ἐπιδώσῃ, τεθολωμένον, καὶ ἄχρηστον. οἱ ὀφθαλμοὶ θυμώδους τεταραγμένοι, καὶ ὕφαιμοι καὶ τῆς ταρασσομένης καρδίας ἄγγελοι. πρόσωπον δὲ μακροθύμου ὀρθαπεσταλμένον, καὶ ὀφθαλμοὶ προσηθύμου καβλέποντες

nes etenim ſereno enatant in mari, & in animi pacato ſtatu cogitationes innatant Deo gratæ. Longanimus Monachus, fons eſt quietus, & ſuauem omnibus præbens potum; intellectus autem iracundi aſſiduè perturbatus eſt, neque porriget ſitienti aquam, ſique dabit, illitam cœno, & inutilem proferet. Oculi iracundi turbidi ſunt, & ſubcruenti, cordiſq; perturbati nuntij; facies verò longanimi compoſita eſt; oculique benigni recta intuentes.

ΚΕΦΑΛ. ι'.

Πραΰτης ἀνδρὸς μνημονεύεται παρὰ Θεῷ, καὶ ἀόργητος ψυχὴ ναὸς γίνεται τοῦ Ἁγίου Πνεύματος. κλίνει κεφαλὴν Χριστὸς ἐν μακροθύμῳ πνεύματι, καὶ μονὴ γίνεται τῆς ἁγίας τριάδος εἰρηνευομένη διάνοια. ἀλώπεκες κατοικοῦσιν ἐν μνησικάκῳ ψυχῇ, καὶ θηρία ἐμφωλεύουσιν ἐν τεταραγμένῃ καρδίᾳ. φεύγει ἀνὴρ σεμνὸς αἰσχρὸν καταγώγιον, καὶ Θεὸς μνησίκακον καρδίαν. ὕδωρ ἐτάραξεν ἐμπεσὼν λίθος, καὶ καρδίαν ἀνδρὸς λόγος κακός. ἀπόστησον λογισμοὺς ὀργῆς ἀπὸ σῆς ψυχῆς, καὶ θυμὸς μὴ αὐλιζέσθω ἐν σῇ καρδίᾳ, καὶ οὐ μὴ ταραχθῇς ἐν καιρῷ προσευχῆς. ὃν τρόπον γὰρ ἀχύρων καπνὸς ταράττει ὀφθαλμούς, οὕτω μνησικακία νοῦν, ἐν καιρῷ προσευχῆς. λογισμοὶ θυμώδους ἐχιδνῶν γεννήματα, καὶ κατεσθίουσι τὴν τεκοῦσαν καρδίαν. θυμώδους προσευχὴ ἐβδελυγμένον θυμίαμα. καὶ ψαλμωδία ὀργίλου ἦχος ἀηδής, δῶρον μνησικάκου μυρμηκιῶσα θυσία, καὶ οὐ μὴ προσεγγίσῃ περιρραντηρίους βωμούς. ἐνύπνια τεταραγμένα ὁρᾷ θυμώδης, καὶ θηρίων ἐπιδρομάς

CAPVT X.

Manſuetudo viri apud Deũ eſt in memoria, & anima irâ carens templũ fit Spiritus Sancti. Chriſtus reclinat caput in longanimi ſpiritu; & intellectus pacatus Sanctæ Trinitatis eſt manſio Vulpes habitant in Anima vltrice, & beſtiæ deliteſcunt in corde turbato. Vir honeſtus turpe diuerſorium effugit, & Deus cor iniuriæ reminiſcens. Lapis illapſus aquam turbauit, & cor hominis malus ſermo. Cogitationes iracundiæ ab animâ tuâ expelle, nec ira tuo ſtabuletur in corde, & in tempore orationis minimè turbaberis; ſicut namque ſumus palearum offendit perturbans oculos, ita in orationis tempore mentem iniuriarum memoria. Cogitationes iracundi viperæ genimina ſunt, corque, quod ea parturit, exedunt. Furibundi oratio, ſuffimentum eſt deteſtandum; & Pſalmorum decantatio viri ſuccenſi animo, ſonus eſt inſuauis. Donum iniuriarum memoris, hoſtia eſt verrucis infeſtata, & nõn appropinquabit Altaribus, vbi luſtralis aqua circumaſpergitur.

Pſal. 131 v. 1.

iracũdus ſomnia videt perturbata, & incurſus imaginatur beſtiarum. Vir longanimis congreſſus Sanctorum Angelorum aſpicit in viſione: & vir iniuriarum immemor, ſpirituales exercet ſermones, & noctu myſteriorum capit ſolutiones.

φαντάζεται ὀργίλος· μακρόθυμος ἐνὶ ὀπτασίας ὁρᾷ, συντυχίας Ἁγίων ἀγγέλων, καὶ ἀμνησίκακος γυμνάζει λόγους πνευματικούς, καὶ ἐν νυκτὶ δέχεται μυστηρίων λύσεις.

CAPVT XI.

De Triſtitiâ.

ΚΕΦΑΛ. ιαʹ.

Περὶ Λύπης.

Monachus triſtitiæ deditus non nouit ſpiritualem voluptatem. Triſtitia verò eſt animæ remiſſio, & conſtat è cogitationibus iracundiæ. Eſt quippè ira, vindictæ cupiditas, fruſtratio verò vindictæ ſumendæ, triſtitiam generat; porrò triſtitia, eſt os Leonis, facilèque deuorat contriſtatum; Triſtitia, eſt vermis cordis, & parientem matrem exedit. Mater, quæ parit filium, dolorem habet, ſi peperit, à dolore liberatur. Triſtitia verò, dum generatur, multum excitat dolorem, poſtque cruciatus permanens, non paruo torquet dolore. Monachus triſtitiæ addictus lætitiam non nouit ſpiritualem, eo prorsùs modo, quo nec mellis guſtum, qui vehementi laborat febri, perſentit. Monachus triſtatus non mouebit mẽtem ad cõtemplationem, nec orationem effundit puram. Triſtitia quippe obſtaculum eſt omnis boni. Vinculum pedum, curſus eſt impedimẽtũ, & triſtitia, meditationis obſtaculũ. Captiuus, à barbaris ligatur ferreis catenis, & triſtitia captiua à paſſionibus abducta vincitur. Triſtitia nullam vim habet, cum aliæ non adſint paſſiones, ſicut neque vinculum, cum abſint

ΟΥ'κ οἶδε πνευματικὴν ἡδονὴν λυπούμενος μοναχός, λύπη δὲ ἐστὶ κατήφεια ψυχῆς, καὶ συνίσταται ἀπὸ λογισμῶν ὀργῆς. ἀμύνης γὰρ ὄρεξις ἐστὶν ὁ θυμός, ἀποτυχία δὲ ἀμύνης ἐγέννησε λύπην, λύπη στόμα ἐστὶ λέοντος, καὶ τὸν λυπούμενον καταπίνει ἀχερεῶς. σκώληξ ἐστὶ καρδίας λύπη, καὶ κατεσθίει τὴν τεκοῦσαν μητέρα. ὀδυνᾶται μήτηρ τίκτουσα παιδίον, ἐὰν τέκῃ τῆς ὀδύνης ἀπήλλακται, λύπη δὲ γεννωμένη, πολλοὺς κινεῖ τοὺς πόνους, καὶ μετὰ τὰς ὠδῖνας παραμένουσα, οὐ μικρὰς ὀδυνᾶται. οὐκ οἶδε χαρὰν πνευματικὴν λυπούμενος μοναχός, ὡς οὐδὲ μέλιτος γεῦσιν ὁ πυρέσσων σφοδρῶς. λυπούμενος μοναχός, οὐ κινήσει τὸν νοῦν εἰς θεωρίαν. οὐδὲ προσευχὴν καθαρὰν ἀναπέμπει, παντὸς γὰρ καλοῦ ἐμπόδιον ἐστὶ λύπη. δεσμὸς ποδῶν, ἐμπόδιον ἐστὶ δρόμου, καὶ λύπη, ἐμπόδιον θεωρίας. αἰχμάλωτος ἀπὸ βαρβάρων δέδεται σιδήρεων, καὶ αἰχμάλωτος ἀπὸ παθῶν δέδεται λύπη. οὐκ ἰσχύει λύπη μὴ παρόντων τῶν ἄλλων παθῶν, ὡς οὔτε δεσμός, μὴ παρόντων τῶν δεσμούντων. ὁ δεδεμένος λύπῃ νενίκηται ὑπὸ παθῶν, καὶ τῶν δεσμῶν ἐπιφέρεται τῆς ἥττης τὸν ἔλεγχον. λύπη γὰρ συνίσταται ἐπὶ ἀποτυχίᾳ ὀρέξεως

σαρκικῆς. ὄρεξις δὲ παντὶ πάθει συνέζευκται, ὁ νικήσας ὄρεξιν, ἐνίκησε πάθη, ὁ δὲ νικήσας πάθη, οὐ κρατηθήσεται ὑπὸ λύπης. ἐγκρατὴς οὐ λυπεῖται ἐπὶ ἀποτυχίᾳ βρωμάτων, οὔτε σώφρων διαμαρτὼν ἀφροσύνης ἀκολάστου, οὐδὲ ἀόργητος, ἀποπεσὼν ἀμύνης. οὐδὲ ταπεινόφρων, στερηθεὶς ἀνθρωπίνης τιμῆς, οὐδὲ ἀφιλάργυρος, ζημίᾳ περιπεσών. ἐξέκλιναν γὰρ τὴν τούτων ὄρεξιν δυνατῶς, ὥσπερ γὰρ ὁ τεθωρακισμένος οὐ δέχεται βέλος, οὕτως ὁ ἀπαθὴς οὐ τιτρώσκεται ἀπὸ λύπης.

abſint qui vinciant. Qui ligatus eſt à triſtitiâ, ſuperatus eſt à paſſionibus, taleque circumfert vinculum, ſuæ cladis argumentum. Triſtitia namque conſtituitur, ex eo quod carnali quis fruſtratus fuerit cupiditate, cupiditas autem omni coniuncta eſt paſſioni. Qui vicit cupiditatem, paſſiones deuicit, qui autem paſſiones euicit, non ſuperabitur à triſtitiâ. Temperans nō contriſtabitur ſuper defectu eſcarum, neque continens, quod impudicam nequeat aſſequi delectationem, neq; manſuetus, quod ab vltione exciderit, neq; humilis, quòd humano fuerit orbatus honore, neque qui longè ab auiditate eſt pecuniæ, ſi in detrimentum aliquod inciderit, multum enim euitarunt harum rerum cupiditatem, quia ſicut thorace indutus nequaquam iaculum admittit, ſic qui paſſionum eſt expers, non vulneratur à Triſtitiâ.

ΚΕΦΑΛ ιβ'.

Θυρεὸς στρατιώτῃ, καὶ πόλει τεῖχος ἐστὶν ἀσφάλεια. ἀπάθεια δὲ μοναχῷ ἀσφαλεστέρα ἀμφοτέρων. θυρεὸν μὲν γὰρ διέδυ βέλος ῥοίζῳ φερόμενον πολλάκις, καὶ τεῖχος κατέσκαψε πλῆθος πολεμίων, ἀπαθείας δὲ οὐ κατισχύσει λύπη. ὁ κρατῶν παθῶν, ἐκράτησε λύπης. ἡττώμενος δὲ ἡδονῆς, οὐκ ἐκφεύξεται τοὺς ταύτης δεσμούς. ὁ λυπούμενος συνεχῶς, καὶ προσποιούμενος ἀπάθειαν, ὅμοιός ἐστι νοσοῦντι, καὶ ὑγείαν ὑποκρινομένῳ, ὡς γὰρ ὁ νοσῶν δηλοῦται ἀπὸ τοῦ χρώματος, οὕτως ὁ ἐμπαθὴς ἐλέγχεται ἀπὸ λύπης. ὁ ἀγαπῶν τὸν κόσμον, λυπηθήσεται πολλὰ, καταφρονῶν δὲ τῶν ἐν αὐτῷ, εὐφρανθήσεται διὰ παντός. φιλάργυρος ζημιωθεὶς λυπηθήσεται πικρῶς, ὁ δὲ κατα-

CAPVT XII.

Militi ſecuritas eſt clypeus, & Vrbi murus: Monacho verò paſſionum vacuitas, ambobus eſt ſecurior; etenim ſæpè quidem ſagitta valido vibrata brachio permeat clypeum, & bellatorum multitudo murum effodit, triſtitia verò non præualebit vacuitati paſſionum. Qui dominatur paſſionibus, dominatus eſt triſtitiæ, deuictus autem à voluptate, illius non effugiet vincula: qui triſtatur aſſiduè, ſeque liberum à paſſionibus fictione profitetur, ſimilis eſt ægrotanti, qui ſimulat ſanitatem; ſicut enim qui morbo laborat, à colore manifeſtatur, ita qui paſſionibus ſubeſt, arguitur è triſtitiâ. Qui diligit mundum valdè triſtis mœrebit, ſed qui deſpicit ea, quæ in ipſo ſunt, ſemper gaudebit. Auarus, ſi damno fuerit affectus, amarè contriſtabitur, at qui contemnit pecunias, abſque triſti-

tiâ viuet. Qui auidus eſt gloriæ, ſuperueniente infamiâ, incidet in triſtitiam; verùm qui humiliter ſapit, eam, veluti ſodalem excipiet. Fornax conflatoria non probatum expurgat argentum, & triſtitia ſecundum Deum, cor, quod eſt in peccatis: continua conflatura plumbum imminuit, & mundi triſtitia diminuit intellectum. Aciem oculorum perſpicacem caligo obfuſcat, & mentem addictam contemplationi hebetat triſtitia. Aquæ profunditatem non peruadit Solis fulgor, & cor affectum triſtitiâ contemplatio luminis nõ illuſtrat: Solis ortus, dulce quid omnibus hominibus eſt; at anima, quæ triſtitiâ affligitur, in eo quoque ſibi diſplicet. Morbus arquatus ſenſum aufert guſtus, & triſtitia tollit Animæ ſenſum. At qui mundi voluptates contemnit, à cogitationibus triſtitiæ non turbabitur.

φερνῶν χρημάτων, ἄλυπος ἔσται. φιλόδοξος λυπηθήσεται, ἐπελθούσης ἀτιμίας, ὁ δὲ ταπεινόφρων ταύτην ὡς σύντροφον δέξεται. χωνευτήριον ἐκκαθαίρει ἀργύριον ἀδόκιμον, καὶ λύπη κατὰ Θεὸν, καρδίαν ἐν ἁμαρτίαις. χώνευσις συνεχὴς μειοῖ μόλιβδον, καὶ λύπη κοσμικὴ ἐλαττοῖ διάνοιαν. ὀφθαλμῶν ἐνέργειαν ἀμαυροῖ γνόφος· καὶ νοῦν θεωρητικὸν ἀμβλύνει λύπη. βαθὸν ὕδατος, οὐ διαβαίνει ἡλιακὸν φέγγος, καὶ καρδίαν κατὰ λύπην οὐ καταυγάζει θεωρία φωτός. ἡδὺ πᾶσιν ἀνθρώποις ἀνατολὴ ἡλίου, δυσαρεστεῖται δὲ καὶ τούτῳ λυπουμένη ψυχή. αἴσθησιν γεύσεως ἀφαιρεῖται ἴκτερος, καὶ ψυχῆς αἴσθησιν ἀφαιρεῖται λύπη. ὁ δὲ καταφρονῶν τῶν ἡδονῶν τοῦ κόσμου, οὐκ ὀχληθήσεται ὑπὸ λογισμῶν λύπης.

CAPVT XIII.

De Acediâ, ſeu Deſidiâ.

Acedia, eſt animæ languor, animæ verò infirmitas, cũ non habeat, quod eſt ſecundum naturam, nec aduerſus tentationes generosè perſiſtit. Quod enim in corpore benè valenti operatur alimentum, hoc idem tentatio in animâ efficit generosâ. Boreas ventus nutrit germina, & tentationes, animæ conſtantiam firmant. Nubes aquâ carens, à vento diſpellitur, & mens, patientiam non habens, à ſpiritu deſidię. Ros vernus auget fructum agri, & ſermo ſpiritualis ſtatũ Animæ in ſublime extollit. Fluctus deſidiæ Monachum expellit è domo ſuâ, qui verò tolerat, habetq; patientiam, quietam ſemper tranſigit vitam. Infirmorum viſitationes prætexit

ΚΕΦΑΛ. ιγ΄.

Περὶ ἀκηδίας.

Ἀκηδία, ἐστὶν ἀτονία ψυχῆς, ἀτονία δὲ ψυχῆς οὐκ ἔχουσα τὸ κατὰ φύσιν, οὐδὲ πρὸς πειρασμοὺς ἵσταται γενναίως. ὅπερ γάρ ἐστι τροφὴ εὐεκτοῦντι σώματι, τοῦτο ἐστὶ πειρασμὸς γενναίᾳ ψυχῇ. βορέας ἄνεμος, τρέφει γεννήματα, καὶ πειρασμοὶ βεβαιοῦσι καρτερίαν ψυχῆς. νεφέλη ἄνυδρος διώκεται ὑπὸ ἀνέμου, καὶ νοῦς ὑπομονὴν μὴ ἔχων, ὑπὸ πνεύματος ἀκηδίας. δρόσος ἐαρινὴ, αὔξει καρπὸν ἀγροῦ, καὶ λόγος πνευματικὸς ὑψοῖ κατάστασιν ψυχῆς. ῥεῦμα ἀκηδίας ἐξελαύνει μοναχὸν ἐκ τῆς οἰκίας αὐτοῦ, ὁ δὲ ἔχων ὑπομονὴν, ἡσυχάζει διαπαν-

τὸς. ἀσθενοῦντα ἐπισκέψεις περιβάλλεται ὁ ἀκηδιαστὴς, πληροφορεῖ δὲ τὸν ἴδιον σκοπόν. ἀκηδιαστὴς μοναχὸς, πρὸς διακονίαν ὀξὺς, καὶ ἐντολὴν λογίζεται τὴν ἑαυτοῦ πληροφορίαν· φυτὸν ἀδρανὲς ἔκλινεν αὔρα λεπτὴ, καὶ φαντασία ἀποδημίας εἵλκυσεν ἀκηδιαστήν. δένδρον καλῶς πεπηγὸς, οὐκ ἔσεισε βία πνευμάτων, καὶ ἀκηδία οὐκ ἔκαμψεν ἐρηρεισμένην ψυχήν. κυκλευτὴς μοναχὸς, φρύγανον ἐρημίας, ὀλίγον ἡσύχασε, καὶ πάλιν φέρεται μὴ βουλόμενος. φυτὸν μεταφερόμενον, οὐ καρποφορεῖ, καὶ μοναχὸς κυκλευτὴς οὐ ποιήσει καρπὸν ἀρετῆς. ὁ ἀσθενὴς οὐκ ἀρκεῖται τροφῇ μιᾷ, καὶ ἀκηδιαστὴς μοναχὸς ἐν ἔργῳ ἑνί. φιληδόνῳ οὐκ ἀρκέσει μία γυνὴ, καὶ ἀκηδιαστῇ μοναχῷ οὐκ ἀρκέσει μία κέλλα.

texit negligens, proprio verò genio, & ſcopo ſatiſfacit. Monachus piger, ad miniſterium eſt velox, putatque, præceptum eſſe ſui ipſius ſatiſfactionem. Aura tenuis infirmam quaſſat, inflectitq; plantam, & peregrinationis imaginatio trahit deſidem. Benè, altèque defixam arborem ventorum non concutit violentia, & deſidia firmiter hærentem animam non inflectit. Circuitor Monachus, aridum virgultum eſt ſolitudinis; paululùm conquieſcit, rurſùſque fertur inuitus. Planta tranſlata fructum non affert, & Monachus circumforaneus fructum non dabit virtutis. Infirmo, ac debili non vnum ſatiſfacit alimentum, & pro deſidioſo Monacho non ſat eſt vnum opus. Voluptatis cupido vna non ſufficit fœmina, & Monacho deſidi non ſatis erit vna cella.

ΚΕΦΑΛ. ιδʹ.

Ὀφθαλμὸς ἀκηδιαστοῦ ταῖς θυρίσιν ἐνατενίζει συνεχῶς, καὶ ἡ διάνοια αὐτοῦ τοὺς ἐπισκεπτομένους φαντάζεται· ἔπρισεν ἡ θύρα, κἀκεῖνος ἐξήλλατο, φωνῆς ἤκουσε, καὶ διὰ τῆς θυρίδος παρέκυψε· καὶ οὐκ ἀφίσταται ἐκεῖθεν, ἕως οὗ ναρκήσει καθήμενος. ἀναγινώσκων ἀκηδιαστὴς χασμᾶται πολλὰ, καὶ πρὸς ὕπνον καταφέρεται εὐχερῶς, τρίβει τὰς ὄψεις, καὶ διατείνει τὰς χεῖρας, καὶ τοῦ βιβλίου τοὺς ὀφθαλμοὺς ἀποστήσας, ἐνατενίζει τῷ τοίχῳ, πάλιν ἐπιστρέψας ἀνέγνω μικρὸν, καὶ ἀναπτύσσων τὰ τέλη τῶν λόγων περιεργάζεται. ἀριθμεῖ τὰ φύλλα, καὶ τὰς τετράδας ἐπιψηφίζει, ψέγει τὸ γράμμα, καὶ τὴν κόσμησιν, ὕστερον δὲ πτύξας ὑπέθηκε

CAPVT XIV.

Oculus ſegnis aſſiduè feneſtris intentè aſpicit, eiuſdemque intellectus viſitantes imaginatur: ianua ſtridorem edidit, exſilijt ille; vocem audijt, iamq; per feneſtram inclinatus reſpexit, nec indè diſcedit, vſquequò ſedens obſtupeſcat. Deſes, legendo ſæpè oſcitat, & ad ſomnum facilè deuoluitur, confricat vultum, diſtenditq; manus, & auertẽs oculos à libro, in pariete ipſos defigit: iterùm reuerſus parumper legit, replicanſque verborum fines, laborat inaniter, folia enumerat, & quaterniones calculatur, ſcripturam, & ornatum vituperat, ac demùm complicans ſupponit capiti librum, edormitq; ſomnum non valdè profundum, fames enim deinceps ipſius excitat animam, ac

proprias

proprias gerit curas. Segnis Monachus, piger eſt ad orationem, & verba orationis non eloquetur vmquam: quemadmodum enim, qui ægrotat, graue non portat onus, ita & deſidioſus, opus Dei nequaquàm faciet accuratè: nam, deſtituitur quidem ille viribus corporis, iſte verò animæ neruis, ac laboribus eſt diſſolutus. Deſidiam ſanat patientia; omniaque cum multâ, & aſſiduâ facere attentione, & Dei timore. In omni opere modum ordina tibi ipſi, neuè priùs deſiſtas, quàm illud perfeceris, ac ſimul intelligenter, omnibuſque viribus ora, tuncque à te ſpiritus aufugiet pigritiæ.

τῇ κεφαλῇ τὸ βιβλίον. καὶ καθεύδει ὕπνον οὐ πάνυ βαθύν, ἡ γὰρ πεῖνα λοιπὸν διεγείρει αὐτοῦ τὴν ψυχήν, καὶ τὰς ἑαυτῆς φροντίδας ποιεῖ. ἀκηδιαστὴς μοναχὸς, ὀκνηρὸς εἰς προσευχήν, καὶ οὐ μὴ λαλήσει ποτὲ ῥήματα προσευχῆς· ὥσπερ γὰρ ὁ νοσῶν οὐ βαστάζει φορτίον βαρύ, οὕτω καὶ ὁ ἀκηδιαστὴς οὐ μὴ ποιήσει ἔργον Θεοῦ ἐπιμελῶς. καθήρηται μὲν γὰρ ὁ μὲν τὴν δύναμιν τοῦ σώματος, ὁ δὲ τοὺς τόνους ἐκλέλυται τῆς ψυχῆς. ἀκηδίαν θεραπεύει καρτερία, καὶ τὸ πάντα ποιεῖν μετὰ πολλῆς προσεδρείας, καὶ φόβου Θεοῦ. τάξον μέτρον σεαυτῷ ἐν παντὶ ἔργῳ, καὶ μὴ πρότερον ἀποστῇς, πρὶν τελέσῃς αὐτό. καὶ προσεύχου συνετῶς, καὶ εὐτόνως, καὶ πνεῦμα ἀκηδίας φεύξεται ἀπὸ σοῦ.

CAPVT XV.

De Vanâ Gloria.

VAna Gloria, eſt paſſio irrationalis, facilèque omni virtutis operi implicatur. Linea in aquâ efformata confunditur, & in animâ Vanæ Gloriæ cupida labor virtutis. Manus fit candida in ſinu abſcondita, & actio occultata luce clariùs effulget. Arborem hedera circumplectitur, & quando ſursùm peruenerit radicem exſiccat, & Vana gloria virtutibus adnaſcitur, eaſq; non deſerit, donec vires exciderit. Botrus in humum attractus, facilè putreſcit, & virtus deperit Vanæ Gloriæ inhærens. Monachus, qui Vanâ Gloria percellitur, operarius eſt abſque mercede, laborem ſubijt, & nullam accepit mercedem. Crumena perforata non conſeruat, quod immittitur, & Vana gloria virtutum mercedes diſperdit.

ΚΕΦΑΛ. ιε'.

Περὶ Κενοδοξίας

ΚΕνοδοξία, πάθος ἐστὶν ἄλογον. καὶ παντὶ ἔργῳ ἀρετῆς εὐκόλως συμπλέκεται. συγκέχυται γραμμὴ χαραχθεῖσα καθ' ὕδατος, καὶ ἀρετῆς πόνος ἐν κενοδόξῳ ψυχῇ. λευκὴ γέγονε χεὶρ καλυπτομένη κόλπῳ, καὶ κρυπτομένη πρᾶξις, φωτὸς ἐκλάμπει φαιδρότερον. σμῖλαξ περιπλέκεται δένδρῳ, καὶ ὅταν φθάσῃ ἄνω ξηραίνει τὴν ῥίζαν, κενοδοξία δὲ ταῖς ἀρεταῖς παραφύεται, καὶ οὐκ ἀφίσταται, ἕως ἂν ἐκκόψῃ τὴν δύναμιν. βότρυς ἐπισυρόμενος τῇ γῇ σήπεται εὐχερῶς, καὶ ἀρετὴ ἀπόλλυται κενοδοξίᾳ ἐπερειδομένη. μοναχὸς κενόδοξος, ἐργάτης ἄμισθος. τὸν πόνον ὑπέστη, καὶ τὸν μισθὸν οὐκ ἔλαβε. βαλάντιον τετρημένον οὐ φυλάττει τὸ ἐμβληθέν, καὶ κενοδοξία ἀπόλ-

λύει μισθοὺς ἀρετῶν. κενοδόξου ἐγκράτεια, καπνὸς καμίνου, καὶ εἰς ἀέρα διαλυθήσεται ἀμφότερα. ἄνεμος ἀφανίζει ἴχνος ἀνδρός, καὶ ἐλεημοσύνην κενόδοξος. λίθου βολὴ οὐ φθάνει εἰς οὐρανόν, καὶ προσευχὴ ἀνθρωπαρέσκου οὐκ ἀναβήσεται πρὸς Θεόν.

diſperdit. Continentia Vanæ gloriæ cupidi, fumus eſt camini, inque aerem vtraque diſſoluentur. Ventus delet veſtigiũ viri, & Vanâ Gloriâ percitus, eleemoſynam. Iactus lapidis non pertingit Cælum, & oratio eius, qui hominibus placere ſtudet, non aſcendet ad Deum.

ΚΕΦΑΛ. ιϛʹ.

Κενοδοξία, πέτρα ἐστὶν ὕφαλος, ἐὰν προσρήξῃς, τὸν φόρτον ἀπώλεσας, κρύπτει θησαυρὸν ἀνὴρ φρόνιμος, καὶ ἀρετῆς πόνους, μοναχὸς συνετός. ἐν πλατείαις προσεύχεσθαι συμβουλεύει κενοδοξία, ὁ δὲ πολεμῶν ταύτῃ προσεύχεται εἰς ταμεῖον αὐτοῦ. δημοσιεύει πλοῦτον αὐτοῦ ἀνὴρ ἄφρων, κινεῖ δὲ πολλοὺς εἰς ἐπιβουλὴν καθ' ἑαυτοῦ. σὺ δὲ κρύπτε τὰ σά, ἐν ὁδῷ γὰρ τυγχάνεις λῃστῶν, ἕως ἥξεις εἰς πόλιν εἰρήνης, καὶ ἀσφαλῶς χρήσῃ τοῖς σοῖς. ἀρετὴ κενοδόξου συντετριμμένον ἱερεῖον, καὶ οὐ μὴ ἀνενεχθῇ εἰς θυσιαστήριον Θεοῦ. Ἀκηδία ἐκλύει τὸν τόνον ψυχῆς, κενοδοξία δὲ νοῦν ἀποπεπτωκότα Θεοῦ, τὸν ἀσθενοῦντα ἐποίησεν ἐῤῥωμένον, καὶ τὸν γέροντα τοῦ νέου δυνατώτερον, μόνον ἐὰν παρῶσι μάρτυρες τῶν γινομένων πολλοί. κούφη νηστεία τότε, καὶ ἀγρυπνία, καὶ προσευχή, ὁ γὰρ ἔπαινος τῶν πολλῶν διεγείρει τὴν προθυμίαν. μὴ πωλήσῃς σοῦ πόνους δόξαις ἀνθρωπίναις, μηδὲ τὴν μέλλουσαν δόξαν προδῷς δι' εὐφημίαν. δόξα γὰρ ἀνθρωπίνη εἰς χοῦν κατοικεῖ, καὶ κλέος αὐτῆς σβέννυται ἐπὶ γῆς, ἀρετῆς δὲ δόξα μένει εἰς τὸν αἰῶνα.

CAPVT XVI.

Vana Gloria, ſcopulus eſt ſub aqua latens; ſi alliſeris, onus perdidiſti. Vir prudens abſcondit theſaurum, & Monachus ſapiens, labores virtutis. In plateis orare Vana Gloria conſulit; at qui eam oppugnat, orat in ſuo penetrali. Vir inſipiens ſuas publicat diuitias, multoſq; prouocat, vt aduerſus ſe ipſum parent inſidias. Tu verò tua occulta; in itinere namque latronum es, donec in Vrbem pacis perueneris, tuncque tuis rebus ſecurè vteris. Virtus eius, qui Vanâ laborat Gloriâ, obtritum eſt ſacrificium, neque ad Dei offeretur Altare. Deſidia, vires, ac robur animæ exſoluit, & Vana Gloria mentem, quæ à Deo excidit, eademque ægrotantem reddit ſanum, & ſenem iuuene robuſtiorem, modò adſint multi teſtes earum, quæ fiunt, rerum; tunc autem vanum erit ieiunium, & vigilia, & oratio; laus quippè multorum promptam animi excitat alacritatem. Ne humanis celebritatibus diuendas labores, neque futuram prodas gloriam, propter vilem laudis acclamationem: etenim humana gloria humi quieſcit, ipſiuſque laus in terra extinguitur, virtutis autem gloria manet in ſæculum,

CAP.

CAPVT XVII.

De Superbia.

SVperbia, tumor eſt animæ ſanie plenus, ſi maturuerit, erumpet, multumque redolebit fœtorem. Fulguris ſplendor ſonum prænuntiat tonitrus, & præſentia Vanæ gloriæ annuntiat ſuperbiam. Superbi anima ad magnam aſcendit altitudinem, indeque ipſum deijcit in profundum. Superbiâ laborat, qui ſeipſum à Deo diſſociat, proprijſque viribus facinora rectè patrata adſcribit. Quemadmodum autem, qui ſuper araneam inſcendit, decidēs, fertur deorſùm, ita concidit, qui propriæ confidit virtuti. Copioſus fructus arboris inflectit ramos, & virtutum copia ſenſum humiliat viri. Fructus putridus inutilis eſt Agricolæ, & virtus Superbi Deo non eſt accepta. Palus, ſeù pedamentum, ramum ſuſtentat onuſtum fructibus, & Timor Dei animam virtute præditi. Sicuti fructus pōdus ramum diſrumpit, ita Superbia virtute conſpicuam demittit animam. Ne Superbiæ tuuum dedas animum, quià ſic tetricis carebis imaginationibus: Superbi etenim anima derelinquitur à Deo, fitque Dæmonibus materia gaudij. Nocte, beſtiarum inuadentiū imaginatur multitudinem, dieque à cogitationibus timoris turbatur. ſi dormit, exſilit aſſiduè, & ſi vigilet, ad vmbram auis perterreſit. Folij rumor ſuperbum exterruit; & aquæ ſonus eius diffregit Animam. Etenim qui paulò antè ſe ipſum Deo opponit, illiuſq; denegat auxilium, poſtremò à vilibus ſpectris perterretur.

ΚΕΦΑΛ. ιζ΄.

Περὶ Ὑπερηφανίας.

Ὑπερηφανία, ἐστὶν οἴδημα ψυχῆς ἰχῶρος πεπληρωμένον, ἐὰν πεπανθῇ, ῥαγήσεται, καὶ ποιήσει ἀηδίαν πολλήν. ἀστραπῆς ἔκλαμψις, ἦχον προμηνύει βροντῆς, καὶ ὑπερηφανίαν εὐαγγελίζεται παρουσία κενοδοξίας. εἰς ὕψος μέγα ἀναβαίνει ὑπερηφάνου ψυχή, κἀκεῖθεν αὐτὸν εἰς βυθὸν καταβάλλει. ὑπερηφανίαν νοσεῖ ὁ ἀποστήσας ἑαυτὸν Θεοῦ. καὶ ἰδίᾳ δυνάμει ἐπιγράφων τὰ κατορθώματα. ὥσπερ γὰρ ὁ ἐπιβὰς ἀράχνῃ διαπεσὼν κατηνέχθη κάτω, οὕτω πίπτει ὁ θαῤῥῶν τῇ ἰδίᾳ δυνάμει, καρπὸς πολὺς κατακάμπτει κλῶνας δένδρου, καὶ ἀρετῆς πλῆθος ταπεινοῖ φρόνημα ἀνδρός. καρπὸς σεσηπὼς ἄχρηστος γεωργῷ, καὶ ἀρετὴ ὑπερηφάνου οὐ χρησιμεύει Θεῷ. χάραξ βαστάζει κλῶνα κατάκαρπον. καὶ φόβος Θεοῦ ἐνάρετον ψυχήν. ὥσπερ βάρος καρποῦ καταῤῥάσσει κλῶνα, οὕτως ὑπερηφανία ἐνάρετον καταβάλλει ψυχήν. μὴ δῷς ὑπερηφανίᾳ σὴν ψυχήν, καὶ οὐ μὴ ἴδῃς φαντασίας φρικτάς. ψυχὴ γὰρ ὑπερηφάνου ἐγκαταλιμπάνεται ὑπὸ Θεοῦ, καὶ γίνεται δαιμόνων ἐπίχαρμα. νύκτωρ φαντάζεται θηρίων ἐπερχομένων πλῆθος, καὶ μεθ' ἡμέρας ταράσσεται ὑπὸ λογισμῶν δειλίας, καθεύδων ἐξάλλεται συνεχῶς, καὶ ἐγρηγορὼς καταπτήσσει σκιὰν ὀρνέου. φωνὴ φύλλου, ἐπτόησεν ὑπερήφανον, καὶ ὕδατος ἦχος κατέκλασεν αὐτοῦ τὴν ψυχήν. ὁ γὰρ πρὸ μικροῦ ἑαυτὸν ἀντιτάσσων Θεῷ, καὶ τὴν ἐκείνου βοήθειαν ἀρνούμενος, ὕστερον ἐκδειματοῦται, ὑπὸ φαντασμάτων εὐτελῶν.

Digitized by Google

ΚΕΦΑΛ. ιη'.

Ὑπερηφανία, ἀπ' οὐρανοῦ κατέβαλεν ἀρχάγγελον, καὶ ὡς ἀστραπὴν ἐποίησε πεσεῖν ἐπὶ γῆς. Ταπεινοφροσύνη δὲ, ἄνθρωπον ἀνάγει εἰς οὐρανὸν, καὶ μετὰ ἀγγέλων χορεύειν παρασκευάζει. τί μετεωρίζῃ ἄνθρωπε, πηλὸς ὤν, καὶ σαπρία τῇ φύσει, καὶ ὑπὲρ τὰς νεφέλας ἐπαίρῃ; ἐπισκέψαι σου τὴν φύσιν ὅτι γῆ εἶ, καὶ σποδὸς, καὶ μετ' ὀλίγον εἰς χόνιν ἀναλύῃ, ἄρτι σοβαρὸς, καὶ μετ' ὀλίγον σκώληξ. τί τὸν αὐχένα ἐπαίρεις τὸν μετ' ὀλίγον σηπόμενον; μέγα ἄνθρωπος βοηθούμενος παρὰ Θεοῦ· ἐγκαταλείφθη, καὶ τὸ ἀσθενὲς ἐπέγνω τῆς φύσεως. οὐδὲν ἔχεις, ὃ μὴ παρὰ Θεοῦ ἔλαβες. τί οὖν τῷ ἀλλοτρίῳ ἐναμβλύνῃ ὡς σῷ; τί τῇ χάριτι τοῦ Θεοῦ ὡς ἰδίῳ κτήματι ἐγκαλλωπίζῃ; ἐπίγνωθι τὸν δεδωκότα, καὶ μὴ ἐπαίρου πολύ, κτίσμα Θεοῦ εἶ, μὴ ἀθέτει τὸν κτίσαντα, βοηθῇ παρὰ Θεοῦ, μὴ ἀρνοῦ τὸν εὐεργέτην. εἰς ὕψος ἀνέβης πολιτείας ἀλλ' ἐκεῖνος ὡδήγησεν. κατώρθωσας ἀρετὴν ἀλλ' ἐκεῖνος ἐνήργησεν. ὁμολόγει τὸν ὑψώσαντα, ἵνα μείνῃς ἐν τῷ ὕψει βέβαιος. ἐπίγνωθι τὸν ὁμόφυλον, ὅτι τῆς αὐτῆς ἐστὶν οὐσίας. μὴ δι' ἀλαζονείας ἀρνοῦ τὴν συγγένειαν.

CAPVT XVIII

SVperbia è Cælis proiecit Archangelum, fecitque, vt ille quaſi fulgur ad terram decideret. At humilitas hominem extollit ad cælum, efficitque vt cum Angelis tripudiet! O homo quid in ſublime tolleris, cum naturâ ſis lutum, & putredo? Ecquid & ſuprà nubes attolleris? tuam inſpice naturam, quòd ſis puluis, & cinis, poſtque parum temporis in puluerem reſolueris. modò faſtuoſus, & poſt parū temporis vermis; quid ceruicē attollis, quæ paulò poſt emarceſcet? Homo, qui à Deo auxilium aſſequitur, eſt magnum quid; derelictus eſt, imbecillitatemque agnouit naturæ. nihil habes, quod à Deo non accepiſti, quid igitur in alieno, tamquam in tuo hebetaris? quid gratiā Dei, veluti propriâ re gloriaris? agnoſce largitorem, neuè multum efferaris; creatura es Dei, ne creatorem aſperneris; à Deo adiuuaris, ne renuas benefactorem; ad ſublimitatem inſtituti aſcendiſti, ſed ille te deduxit; recta virtutis opera patraſti, verùm ille operatus eſt; ipſum confitero, qui te exaltauit, vt firmus in altitudine permaneas; agnoſce contribulem, quia eiuſdem eſt naturæ, ne per iactantiam recuſes cognationem.

ΚΕΦΑΛ. ιθ'.

Ταπεινὸς ἐκεῖνος, καὶ σύμμετρος, ἀλλ' ὁ αὐτὸς δημιουργὸς ἔπλασεν ἀμφοτέρους, μὴ καταφρονήσῃς ταπεινοῦ, ἕστηκε γὰρ σοῦ ἀσφαλέστερος, ἐπὶ γῆς βαδίζει, καὶ οὐ πίπτει ταχέως. ὁ δὲ ὑψηλὸς, ἐὰν πέσῃ, συντριβήσεται. ὑπερήφανος μοναχὸς, δένδρον ἀρρι-

CAPVT XIX.

HVmilis eſt ille, atque modice temperatus; at idem conditor vtrumque creauit, ne humilem contemnas, te namque ſecurior eſt: incedit ille ſuper humum, & non cadit celeriter; qui autem excelſus eſt, ſi ceciderit, conteretur. Superbus Monachus;

arbor eſt abſque radice, nec venti perferet impetum. mens abſque tumore, ciuitas eſt mœnibus cincta, & qui eam incolit, inuiolabilis erit. Aura venti ſiccam extollit feſtucam, & ſuperbum inſultus effert dementiæ. bulla fracta euaneſcet, & memoria ſuperbi peribit. humilis ſermo ad emolliendam eſt animam, at ſuperbi verbum, eſt arrogantiâ refertum. Oratio viri humilis, Deum inflectit, Deum verò exaſperat ſuperbi ſupplicatio. corona domus eſt humilitas, tuteque cuſtodit introeuntem. Cum ad apicem Virtutum aſcenderis, tunc multâ opus eſt tibi tutelâ; nam, qui cadit è pauimento ocyùs ſurgit, qui autem ab alto concidit, ad mortẽ periclitatur. lapidẽ precioſũ muniri auro decet, & viri humilitas multis reſplendet Virtutibus.

ζῶον, καὶ οὐ μὴ ἐνέγκῃ προσβολὴν ἀνέμου. πόλις τετειχισμένη, ἄτυφον φρόνημα, καὶ ὁ ἐνοικῶν αὐτῇ ἄσυλός ἐστι. μετεωρίζει κάρφος αὔρα ἀνέμου, καὶ τὸν ὑπερήφανον ἐπαίρει ἀπονοίας προσβολή. πομφόλυξ ῥαγεῖσα, ἀφανισθήσεται. καὶ μνήμη ὑπερηφάνου ὄλλυται. λόγος ταπεινοῦ, μάλαγμα ψυχῆς, ὁ δὲ τοῦ ὑπερηφάνου, ἀλαζονείας πεπλήρωται. προσευχὴ ταπεινοῦ, ἐπικάμπτει Θεόν, παροξύνει δὲ τὸν Θεὸν δέησις ὑπερηφάνου. στέφανος δώματός ἐστιν ἡ ταπεινοφροσύνη καὶ τὸν ἀνελθόντα τηρεῖ ἀσφαλῶς. ὅταν ἀνέλθῃς εἰς τὸ τῶν ἀρετῶν ὕψος, τότε πολλή σοι χρεία τῆς ἀσφαλείας. ὁ γὰρ πεσὼν ἀπ' ἐδάφους, ταχέως ἐγείρεται, ὁ δὲ πεσὼν ἀφ' ὑψηλοῦ, εἰς θάνατον κινδυνεύει. λίθος τίμιος ἐμπρέπει σπαλώματι χρυσοῦ, καὶ πολλαῖς ἀρεταῖς φαιδρύνεται ταπεινὸς ἀνήρ.

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ. EIVSDEM TRACTATVS

Περὶ Προσευχῆς.

Προοίμιον.

Πυρέττοντά με τῷ φλογμῷ τῶν ἀκαθάρτων παθῶν, συνήθως ἀνεκτήσω, τῇ τῶν θεοφιλῶν σου γραμμάτων ἐπαφῇ, τὸν κάμνοντά μου νοῦν ἐν τοῖς ἐσχάτοις παραμυθησάμενος, καὶ τὸν μέγαν μιμησάμενος καθηγητὴν, καὶ διδάσκαλον μακαρίως. καὶ οὐ θαυμαστὸν, σοὶ γὰρ ἀεὶ μερὶς γέγονε τὰ ἐπίσημα, ὡς καὶ τοῦ εὐλογημένου Ἰακώβ, καλῶς γὰρ δουλεύσας τὴν Ῥαχὴλ χάριν, καὶ λαβὼν τὴν Λείαν, ζητεῖς καὶ τὴν ποθουμένην. ὡς καὶ ταύτης δήπου πληρώσας τὰ ἕβδομα. ἐγὼ δὲ οὐκ ἀρνηθείην, ὡς ὅλην τὴν νύκτα κοπιάσας, πεπίακα οὐδὲν, πλὴν ἀλλ' ἐπὶ τῷ σῷ λόγῳ χαλάσας τὸ δίκτυον, ἤγρευσα ἰχθύων πλῆθος, οὐκ οἶμαι μὲν μεγάλων, ἑκατὸν δὲ ὅμως καὶ πεντήκοντα τριῶν, καὶ τούτους ἀπέστειλα ἐν τῇ σπυρίδι τῆς ἀγάπης διὰ τῶν ἰσαρίθμων κεφαλαίων, τὴν πρόσταξίν σου πεπληρωκώς. θαυμάζω δέ σε, καὶ λίαν ζηλῶ τῆς ἀρίστης προθέσεως τῶν περὶ προσευχῆς ἐρῶντα κεφαλαίων. οὐ γὰρ ἁπλῶς τούτων ἐρᾷς τῶν ὑπὸ χειρῶν, καὶ ἐν χάρτῃ διὰ μέλανος τὸ εἶναι ἐχόντων, ἀλλὰ τῶν ἐν νῷ ἱδρυμένων δι' ἀγάπης, καὶ ἀμνησικακίας. ἀλλ' ἐπεὶ πάντα, διττὰ, ἓν κατ' ἔναντι τοῦ ἑνὸς, κατὰ τὸν σοφὸν Ἰησοῦν, δέχου πρὸς τῷ γράμματι, καὶ τῷ πνεύματι, καὶ σύνες, ὡς πάντως τοῦ

De Oratione.

Præfatio.

Febricitantē me paſſionum impurarum æſtu refocillaſti pro more, tuarum Deo amabilium literarum attrectatione meam conſolando mentem ad extremum fatigatam magnumque imitando Præceptorem, ac Magiſtrum beatè; neque mirum, tuæ nempe partes fuere ſemper *Gen. 29. 27.* inſignia quæque, ſicut & benedicti Iacob: cum enim præclarè ſeruieris propter Rachel, & Liam acceperis, quæris etiam deſideratam, vt pote qui & huiuſce ſeptem annos adimpleſti. Ego verò non denegarem, quod, cum per totam noctē laboraſſem, nihil comprehendi; verumtamen, cum in tuo verbo rete laxaſſē, expiſcatus ſum piſcium multitudinem, non equidem (Vt exiſtimo) magnorum, centum verò ſimul, & quinquaginta trium, illoſque per Capitula numero æqualia in corbe tibi miſi caritatis, tuum adimplendo mandatum; te verò admiror, felicemque optimo propoſito arbitror, quod Capitula de oratione percupias; nec enim ſimpliciter eorū detineris amore, quæ manibus conſcribuntur, inque chartâ per atramentum ſubſiſtunt; verùm, eorū quæ in mente per caritatem, iniuriarumque obliuionem, ſtabiliuntur. ſed quoniam duplicia ſunt omnia, & vnum è regione al-

Syrach. Eccleſiaſtic. c. 42 v. 25.

terius poſitum; ſecundum ſapientem Ieſum, accipe iuxta literã, & ſpiritum, & intellige, quod mens omninò literæ præcedit, nam ſi iſta non adſit, nec erit littera. igitur orationis quoque duplex eſt modus, unus practicus, ſeù in agendo poſitus; alter ſpeculatiuus; taleſque pariter numeri ſunt partes, vna quidem eſt quantitas prompta, altera verò, quæ ſignificatur, eſt qualitas. In Centum igitur quinquaginta tria Capitula Tractatũ de oratione diſtinguentes, Euangelicum tibi opſonium miſimus, vt allegorici inuenias numeri iucunditatẽ, figuramque triangularem, & ſexangularem, ſubmonſtrantem, tùm piam Trinitatis cognitionem, tùm etiam huiuſce ordinationis, ac diſtributionis deſcriptionem. & numerus quidem centenarius ſecundùm ſe ipſum quadrangularis eſt, ſed quinquangenarius tertius, triangularis eſt, & rotundus; nam uigeſimus octauus, triangularis quidem eſt, rotundus verò vigeſimus quintus, quinquies nempè quinque continet capitula. habes igitur figuram quadrangularẽ, non ſolùm per virtutũ quaternionem, ſed & huius ſæculi ſcientiam ſapientem, vigeſimo quinto aſſimilatam numero, propter annorum reuolutionem. hebdomada quippè ſuper hebdomadam, & menſis ſuper menſem mouetur, & ex anno in annum voluitur tempus & momentum ſuper momentũ, vt in ſolis & Lunæ motu, Veris, ac æſtatis, videmus. Triangulum autem tibi fortè ſignificabit ſcientiã Sanctæ Trinitatis: alias verò ſi per numerorum multiplicitatem centeſimum feras quinquageſimum tertium, qui triangularis eſt, intelligere conuenit

γράμματος νοῦς προηγεῖται· οὐκ ὄντος γὰρ τούτου, οὐδὲ γράμμα ἔσται. διχοῦν καὶ περιοχῆς διττὸς ὁ τρόπος, ὁ μέν τις πρακτικός, ὁ δὲ θεωρητικός, οὕτω καὶ ἀριθμοῦ τὸ μὲν περιέχον ἐστὶ ποσότης, τὸ δὲ σημαινόμενον ποιότης. εἰς ἑκατὸν οὖν πεντήκοντα τριῶν τῶν περὶ προσευχῆς λόγων διειληφότες, εὐαγγελικὸν ὀψώνιον σοι πεπόμφαμεν, ἵνα εὕρῃς συμβολικοῦ ἀριθμοῦ τερπνότητα καὶ σχῆμα τριγώνου, καὶ ἑξαγώνου. ὁμοῦ μὲν εὐσεβῆ γνῶσιν τριάδος, ὁμοῦ δὲ καὶ τῆσδε τῆς διακοσμήσεως τὴν περιγραφὴν ὑποφαῖνον. ἀλλ' ὁ ἑκατὸν ἀριθμὸς καθ' ἑαυτὸν τετράγωνός ἐστιν. ὁ δὲ πεντήκοντα τρεῖς, τρίγωνος, καὶ σφαιρικός, ὁ γὰρ εἰκοστὸς ὄγδοος μὲν τρίγωνος. σφαιρικὸς δὲ ὁ εἰκοστὸς πέμπτος, πεντάκις γὰρ πέντε κεφάλαια. οὐκ οὖν ἔχεις τὸ τετραγώνου σχῆμα, οὐ μόνον διὰ τῆς τετρακτύος τῶν ἀρετῶν, ἀλλὰ καὶ τοῦδε τοῦ αἰῶνος τὴν ἔνσοφον γνῶσιν τῷ εἰκοστῷ πέμπτῳ ἐοικέναι, διὰ τὸ σφαιρικὸν τῶν χρόνων, ἑβδομὰς γὰρ ἐπὶ ἑβδομάδα, καὶ μὴν ἐπὶ μῆνα κινεῖται. καὶ ἐξ ἐνιαυτοῦ εἰς ἐνιαυτὸν ὁ χρόνος κυλινδεῖται καὶ καιρὸς ἐπὶ καιρόν, ὡς ἐπὶ κινήσεως ἡλίου, καὶ σελήνης, ἔαρος, καὶ τῶν ἑξῆς ὁρώμενον. τὸ δὲ τρίγωνον, σημαίνει ἄν σοι τὴν τῆς ἁγίας τριάδος γνῶσιν, ἄλλως. εἰ δὲ διὰ τῆς πληθύος τῶν ἀριθμῶν κομίζῃ τὸν ἑκατοστὸν τρίτον τρίγωνον ὄντα, νοεῖν προσήκει πρακτικήν, φυσικήν, θεολογικήν, ἢ καὶ πίστεως, ἐλπίδος, καὶ ἀγάπης, χρυσόν, ἄργυρον, λίθους τιμίους. ἀλλ' ὁ μὲν ἀριθμὸς τοιοῦτος. τῶν δὲ κεφαλαίων τὸ τερπνὸν οὐ περιορίσασθαι, ὡς εἰδὼς καὶ χαριεντίζεσθαι, καὶ ὑστερεῖσθαι, ναὶ μὴν καὶ ὡς μεμνημένος τοῦ τὰ δύο τῆς χήρας λεπτά, μὴ ἀποβεβληκότος, ἀλλὰ καὶ

ὑπὲρ πλοῦτον πολλῶν ἑτέρων ἀποδεξαμένου. οὐκ οὖν εὐνοίας, καὶ ἀγάπης καρπὸν εἰδὼς, φυλάσσοις τοῖς γνησίοις γνησίοις ἀδελφοῖς ἐπιτρέπων προσεύχεσθαι ὑπὲρ τοῦ ἀῤῥωστοῦντος, ὅπως ὑγιάνῃ, καὶ ἑαυτοῦ τὸν κράββατον ἄρας, λοιπὸν περιπατῇ, χάριτι Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν.

conuenit practicam(ſcilicet ſcientiam) Naturalem & Theologicam, aut etiam Fidei,ſpei& Caritatis; aurum, argentum, lapides pretioſos. Verùm hæc de numero: capitulorum autem tenuitatem non *Ad Philipp.4. v. 12.* contemnes, velut ille, qui ſcis & ſaturari, & indigere, imò qui eius memor es, qui Viduæ duo minuta non reſpuit, ſed ea præ multorum aliorum diuitijs recepit; cum igitur beneuolentiæ rectè noueris fructũ,cuſtodies tuis germanis fratribus imponendo, vt orent pro infirmo, & ægrotante,ad hoc vt ſanetur,ſuumque grabatum tollens, & deinceps obambulet gratiâ Chriſti Veri Dei Noſtri, cui gloria in ſæcula ſæculorum. Amen

EIVS-

INCIPIT.

EIVSDEM

TRACTATVS.

De Oratione in CLIII. Capitula dſtinctus.

ΑΡΧΕΤΑΙ Ο ΤΟΥ

ΑΥΤΟΥ

ΛΟΓΟΣ

Περὶ Προσευχῆς εἰς ρνγ'. Κεφάλαια διειλημμένος.

CAPVT I.

SI quis ſuaueolens efficere ſuffimentum velit, thus pellucidum, & Caſſiam, & vngulam, ſeù fruticem ſic dictum, liquoremque illum, qui è Myrrhâ, & Cinnamomo inciſo diſtillat, æquo commiſceat pondere ſecundum legem. hæc autem ſunt virtutum quaternio; nam ſi ex pleniſſimæ ſint, & æquales, non prodetur intellectus.

Ecclesiaſtic. c.42 v.21.

ΚΕΦΑΛ. α'.

Ε'Ι'τις βούλεται εὐώδες θυμίαμα σκευάσαι, τὸν διαφανῆ λίβανον, ἐ τὴν κασίαν καὶ τὸν ὄνυχα, καὶ τὴν στακτὴν ἐξ ἴσου συνθήσει κατὰ τὸν νόμον. ταῦτα δέ ἐστιν ἡ τετρὰς τῶν ἀρετῶν. ἐὰν γὰρ πληρέσταται, καὶ ἴσαι τυγχάνωσιν, οὐ προδοθήσεται ὁ νοῦς.

CAPVT II.

ANima expurgata per virtutum plenitudinem, Intellectus ſedem efficit inconcuſſam, ipſumquè reddit habilem, ad ſuſcipiendum ſtatum, qui quæritur.

ΚΕΦΑΛ. β'.

ΚΑθαρθεῖσα ψυχὴ διὰ τῆς τῶν ἀρετῶν πληρότητος ἀκλόνητον τὴν τάξιν τοῦ νοῦ κατασκευάζει δεκτικὸν αὐτὸν ποιοῦσα τῆς ζητουμένης καταστάσεως.

CAPVT III.

ORatio, eſt colloquium Intellectus cum Deo; quali igitur ſtatu indiget intellectus, vt quietè agendo, ſeſe immutabiliter mutet, ac tranſeat ad proprium Dominum, nulloque intermedio cum ipſo colloquatur? (*ſubintellige*) talem quærat ſtatum.

ΚΕΦΑΛ. γ'.

Η' προσευχὴ ὁμιλία ἐστὶ νοῦ πρὸς Θεόν, ποίας οὖν δεῖται καταστάσεως ὁ νοῦς, ἵνα ἠσυχάσῃ ἀμεταστρέφως ἐκτασθῆναι πρὸς τὸν οἰκεῖον δεσπότην, καὶ συνομιλεῖν αὐτῷ μηδενὸς μεσιτεύοντος.

ΚΕΦΑΛ. δ'.

Εἰ τῇ ἐπὶ γῆς βάτῳ φλεγομένῃ προσεγγίσαι πειράσας Μωϋσῆς κωλύεται, ἄχρις οὗ λύσῃ τὸ ὑπόδημα τῶν ποδῶν, πῶς αὐτὸς τὸν ὑπὲρ πᾶσαν ἔννοιαν, καὶ αἴσθησιν ἰδεῖν βουλόμενος, καὶ συνόμιλος αὐτοῦ γίνεσθαι, οὐ λύεις τὸ ἐκ σοῦ πᾶν νόημα ἐμπαθές;

CAPVT IV.

SI Moyſes, cum ad Rubum ardentem ſuper Terram appropinquare tentauit, prohibetur, donec exſoluiſſet pedum calceamentum, quomodo tu ipſe, volens eum videre, qui omnem intellectionem, & ſenſum ſuperat, eique fieri colloquutor, non ſoluis à te omnem cogitationem paſſioni obnoxiam? *Genes. 3. v. 5*

ΚΕΦΑΛ. ε'.

Πρότερον περὶ λήψεως δακρύων προσεύχου, ἵνα διὰ τοῦ πένθους μαλάξῃς τὴν ὑπάρχουσαν ἐν τῇ ψυχῇ σου ἀγριότητα, καὶ ἐξαγορεύσας κατὰ σοῦ τὴν ἀνομίαν σου τῷ κυρίῳ, παρ' αὐτοῦ ἀφέσεως τύχῃ.

CAPVT V.

ORa in primis, quo accipias donum lacrymarum, vt per luctum emollias agreſtem duritiem, quæ in anima tua eſt, & confeſſus aduerſum te iniuſtitiam tuam Domino, veniam ab ipſo conſequaris. *Pſalm. 31. v. 5.*

ΚΕΦΑΛ. ς'.

Κέχρησο τοῖς δάκρυσι πρὸς παντὸς αἰτήματος κατόρθωσιν, λίαν γὰρ χαίρει σου ὁ δεσπότης ἐν δάκρυσι προσευχὴν δεχόμενος,

CAPVT VI.

VTere lacrymis ad omnẽ petitionẽ feliciter ſuſcipiendã ac perficiendam, plurimùm enim gaudet Dominus tuus, in lacrymis orationem excipiens.

ΚΕΦΑΛ. ζ'.

Ἐὰν πηγὰς δακρύων ἐκχέῃς ἐν τῇ προσευχῇ σου, μηδαμῶς ἐπαίρου ἐν σεαυτῷ, ὡς ὑπὲρ τοὺς πολλοὺς ὤν. βοήθειαν γὰρ προσείληφεν ἡ προσευχή σου, ἵνα δυνηθῇς προθύμως ἐξαγορεύειν σου τὰς ἁμαρτίας, καὶ ἐξευμενίσασθαι τὸν δεσπότην διὰ τῶν δακρύων.

CAPVT VII.

QVamuis in tua Oratione fontes lacrymarum effundas, nequaquam tamen extollaris in te ipſo, quaſi multis præcellas; auxilium enim tua recepit Oratio, vt poſſes animo prompto confiteri peccata tua, Dominumquè lacrymis placare.

CAP.

CAPVT VIII.

NE igitur in paſſionē cõuertas, quod ad delendas, arcendaſque paſſiones fuit datum, ne magis ad iram concites eum, qui tibi gratiam dedit: multi flentes pro peccatis, obliti lacrymarum ſcopi, inſanientes, aberrarunt.

ΚΕΦΑΛ η'.

Μὴ οὖν εἰς πάθος τρέψῃς τὸ τῶν παθῶν ἀλέξημα, ἵνα μὴ πλέον παροργίζῃς τὸν δεδωκότα τὴν χάριν. πολλοὶ δακρύοντες ὑπὲρ ἁμαρτιῶν ἐπιλαθόμενοι τοῦ τῶν δακρύων σκοποῦ, μανέντες ἐξεπλάγησαν.

CAPVT IX.

STa magno cum ſtudio, intentèque ora, & auerſare curarum, cogitationumque obuentiones, te namque turbant illa, ac tumultuantur, vt animi tui inflexibilem diſſoluant conſtantiam.

ΚΕΦΑΛ θ'.

Στῆθι ἐμπόνως, καὶ προσεύχου εὐτόνως, καὶ ἀποστρέφου τὰς τῶν φροντίδων καὶ διαλογισμῶν ἐπιτάξεις. ταράττουσι γὰρ καὶ θορυβοῦσί σε, ἵνα ἐκλύσωσι τοῦ τόνου.

CAPVT X.

CVM te Dæmones viderint verè promptũ orare, tunc ſuggerunt cogitataiones quarũdā rerum, veluti neceſſariarum, & paulò poſt incitant memoriam, de ipſis mouentes intellectum, vt eas inquiràt, dumque minimè reperiat, ille dolet, animoque deſpondet; quando verò ſtat ad orationem, in ipſius reuocant memoriam quæſita, & memorata, vt intellectus ad cognitionem earum rerum laſſatus, ac laxatus, fructuoſam perdat orationem.

ΚΕΦΑΛ ι'.

Ὅταν ἴδωσιν οἱ δαίμονες προθυμούμενόν σε ἀληθῶς προσεύξασθαι, τότε ὑποτίθενται νοήματα τινῶν πραγμάτων δῆθεν ἀναγκαίων, καὶ μετὰ βραχὺ ἐπαίρουσι τὴν περὶ αὐτῶν μνήμην, κινοῦντες τὸν νοῦν πρὸς ζήτησιν αὐτῶν, καὶ ὡς μὴ εὑρίσκων σφόδρα λυπεῖται, καὶ ἀθυμεῖ. ἡνίκα δὲ στῇ εἰς προσευχὴν, ὑπομιμνήσκουσιν αὐτὸν τῶν ζητηθέντων, καὶ μνημονευθέντων, ἵνα χαυνωθεὶς ὁ νοῦς πρὸς γνῶσιν αὐτῶν, ἀπολέσῃ τὴν εὔκαρπον προσευχήν.

CAPVT XI.

COnare, vt, in tempore Orationis, ſurdum, ac mutum tuum ſiſtas intellectum, ſicque poteris orare.

ΚΕΦΑΛ ια'.

Ἀγωνίζου στῆσαι τὸν νοῦν σου, κατὰ τὸν καιρὸν τῆς προσευχῆς κωφὸν καὶ ἄλαλον, καὶ δυνήσῃ προσεύξασθαι.

CAP

ΚΕΦΑΛ. ιβ'.

ΗΝίκα ἀπαντήσῃ σοι πειρασμὸς, ἢ ἀντιλογία, ἢ ἐρεθίσῃ, ἢ πρὸς τὴν δι' ἐναντίας ἄμυναν κινῆσαι θυμὸν, ἢ ῥῆξαι φωνήν τινα, μνήσθητι τῆς προσευχῆς καὶ τοῦ κατ' αὐτὴν κρίματος· καὶ εὐθέως ἡ ἐν σοὶ ἄτακτος κίνησις ἠρεμήσει.

CAPVT XII.

QVando tibi occurrerit tentatio, aut contradictio, aut fueris irritatus, aut, ob contrariam cauſam, ad vltionem commouere animum contigerit, aut ad aliquam erumpere vocem, memento orationis & iudicij, quod de ipſa fit, & ſtatim, quæ inte fuerit incompoſita commotio, ſedabitur.

ΚΕΦΑΛ. ιγ'.

Ὅσα ἂν ποιήσῃς πρὸς ἄμυναν ἀδελφοῦ ἠδικηκότος σε, ἅπαντα εἰς σκάνδαλόν σοι γενήσεται ἐν καιρῷ προσευχῆς.

CAPVT XIII.

QVotquot feceris ad vindictam fratris, qui te offenderit, in tèmpore orationis, ſcandalum tibi gignent, & offendiculum.

ΚΕΦΑΛ. ιδ'.

Προσευχή ἐστι πρᾳότητος, καὶ ἀοργησίας βλάστημα.

CAPVT XIV.

ORatio, germen eſt manſuetudinis, & lenitudinis.

ΚΕΦΑΛ. ιε'.

Προσευχή ἐστι χαρᾶς, καὶ εὐχαριστίας πρόβλημα.

CAPVT XV.

ORatio, eſt gaudij, gratiarumque actionis productio

ΚΕΦΑΛ. ις'

Προσευχή ἐστι λύπης, καὶ ἀθυμίας ἀλέξημα.

CAPVT XVI.

ORatio, eſt aduerſus Triiſtitiam, animique deiectionem amuletum.

ΚΕΦΑΛ. ιζ'.

ἈΠελθὼν πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ λαβὼν τὸν σταυρὸν, ἀπάρνησαι ἑαυτὸν, ἵνα δυνηθῇς ἀπερισπάστως προσεύχεσθαι.

CAPVT XVII.

ABiens vende ſubſtantiam tuam, & da pauperibus, accipienſque Crucem, abnega temetipſum, ut poſſis abſque ulla diſtractione orare.

Matth. c.19.v.21 Marc.c.10.v.21. Matth.c.10.v.38. & c.16. v.24. Luc.c.9. v.23.

CAPVT XVIII.

SI velis laudabiliter orare,quaque horâ abnega temetipsũ, ac, Philoſophorum more, ſtude, ſiſque occupatus in permultis pro Oratione perpetiendis.

ΚΕΦΑΛ ιη'.

Εἰ βούλει ἐπαινετῶς προσεύχεσθαι, ἄρνησαι ἑαυτὸν καθ' ὥραν, καὶ πάμπολα δεινὰ πάμπολα ὑπὲρ προσευχῆς φιλοσόφει.

CAPVT XIX.

SI Philophorum more dabis operam cuipiam rei duræ tolerandæ, eius fructum tempore orationis inuenies

ΚΕΦΑΛ ιθ'.

Ὅπερ ἂν χαλεπὸν ὑπομένων φιλοσοφήσῃς, τούτου τὸν καρπὸν κατὰ τὸν καιρὸν τῆς προσευχῆς εὑρήσεις.

CAPVT XX.

SI orare cupias vt decet, ne triſtitiâ animam affligas, alioquin in vanum curris.

ΚΕΦΑΛ κ'.

Ἐπιθυμῶν προσεύξασθαι ὡς δεῖ, μὴ λυπήσῃς ψυχήν, εἰ δὲ μή γε, εἰς μάτην τρέχεις.

CAPVT XXI.

Matth. 5. v. 23. DImitte (inquit) munus tuum ante Altare, & abiens, priùs reconciliare fratri tuo, & tunc ueniens, abſque perturbatione orabis;nam iniuriarum memoria offuſcat orantis ductricem rationem, eiuſque orationibus tenebras offundit.

ΚΕΦΑΛ κα'

Ἄφες σου τὸ δῶρον, φησίν, ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ἀπελθὼν πρότερον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε προσεύξῃ ἀταράχως, ἡ γὰρ μνησικακία ἀμαυροῖ τὸ ἡγεμονικὸν τοῦ προσευχομένου, καὶ σκοτίζει τούτου τὰς προσευχάς.

CAPVT XXII.

QVi triſtitias, ac uindictas ex iniuriarum recordatione ſibi ipſis coaceruant, & videntur orare, ſimiles ſunt his, qui hauriunt aquas, inque dolium pertuſum proiiciunt.

ΚΕΦΑΛ κβ'.

Οἱ λύπας, καὶ μνησικακίας ἑαυτοῖς σωρεύοντες, καὶ προσεύχεσθαι δοκοῦντες, ὅμοιοι εἰσὶ τοῖς ὕδωρ ἀντλοῦσι, καὶ εἰς τετρημένον πίθον βάλλουσιν

CAPVT XXIII.

SI Patiens fueris, cum gaudio ſemper orabis.

ΚΕΦΑΛ κγ'.

Ἐὰν ὑπομονητικὸς ᾖς, ἀεὶ μετὰ χαρᾶς προσεύξῃ.

CAP.

KEΦΑΛ κδ'.

Προσευχόμενός σου δεόντως, τοιαῦτά σοι ἀπαντήσει πράγματα, ἵνα δόξῃς, δίκαιον εἶναι πάντως τῷ θυμῷ χρήσασθαι. οὐκ ἔστι δὲ δίκαιος θυμὸς κατὰ τοῦ πέλας τὸ σύνολον. ἐὰν γὰρ ζητήσῃς, εὑρήσεις, ὅτι δυνατὸν, καὶ δίχα θυμοῦ καλῶς διατεθῆναι τὸ πρᾶγμα. πάσῃ οὖν μηχανῇ χρῆσαι πρὸς τὸ μὴ ῥῆξαι θυμόν.

CAPVT XXIV

ORanti tibi, ut decet, huiuſcemodi res occurrent; quod nimirum uideatur tibi, iuſtum eſſe omninò iracundiâ vti; verumtamen aduerſus proximum non iuſta eſt penitùs iracundia, nam, ſi perquiras diligenter inuenies, quod poſſibile eſt & ſine irâ negotium benè componi: vtere itaque omni adhibito ſtudio, ne prorumpas in iram.

KEΦΑΛ κε'.

Ὅρα μὴ δοκῶν ἕτερον ἰᾶσθαι, αὐτὸς ἀνίατος ἔσῃ, καὶ δῷς ἐκκοπὴν τῇ προσευχῇ σου.

CAPVT XXV.

CAue, ne, dum putas alterum curare, ipſe inſanabilis maneas, tuæque Orationi prębeas impedimentum.

KEΦΑΛ κϛ'.

Φεισάμενος θυμοῦ, φειδὼ εὑρήσεις, καὶ φρόνιμον ἑαυτὸν ἀναδείξεις πρὸς τὸ εἰς οἴησιν, καὶ ἐν τοῖς προσευχομένοις ἔσῃ.

CAPVT XXVI.

SI abſtineas ab irâ, modum parcendi inuenies, teque ipſum prudentem demonſtrabis ad id, quod ſpectat ad tui exiſtimationem, rite que eris inter orantes.

KEΦΑΛ κζ'.

Κατὰ θυμοῦ ὁπλιζόμενος, ἐπιθυμίας οὐκ ἀνέξῃ ποτέ. αὕτη γὰρ ὕλας δίδωσι τῷ θυμῷ, καὶ οὗτος ταράττει τὸν νοερὸν ὀφθαλμόν, λυμαινόμενος τὴν κατάστασιν τῆς προσευχῆς.

CAPVT XXVII

SI aduersùs iram ſis armatus, nunquam ſuſtinebis concupiſcentiam, ipſa enim eſt, quæ materiam ſubminiſtrat iræ, & illa oculum perturbat intellectualē corrumpendo ſtatum Orationis.

KEΦΑΛ κη'.

Μὴ ἐν μόνοις τοῖς ἐκτὸς σχήμασι προσεύχου, ἀλλὰ τρέπε τὸν νοῦν σου εἰς συναίσθησιν πνευματικῆς προσευχῆς μετὰ πολλοῦ φόβου.

CAPVT XXVIII.

NE ſolis externis geſtibus ores, ſed mentem tuam verte vt ſit conſcia ſpiritualis orationis cū multo timore

CAPVT XXIX

INterdùm quidem confeſtim Orationi inſiſtens, bene precaberis; quando que verò, cum diù multumque laboraueris, ſcopum non aſſequeris, vt adhùc eum magis requiras, cumque fueris adeptus, habeas rectum opus a prædæ periculo immune, ac tutum.

ΚΕΦΑΛ κθ'.

Ποτὲ μὲν ἀθρόως σὰς εἰς προσευχὴν οὐ προσεύξῃ, ποτὲ δὲ λίαν πονήσας, οὐκ ἐπιτεύξῃ τοῦ σκοποῦ, ἵνα ἔτι μᾶλλον ζητήσας, καὶ λαβὼν, ἕξεις ἄσυλον τὸ κατόρθωμα.

CAPVT XXX.

AD ſtante Angelo diſcedunt confeſtim omnes, qui nobis afferunt impedimentum, menſque reperitur in multâ requie ſanè orans; interdum verò, ſuperueniente nobis conſueto bello, mens pugilis inſtar pugnat, nec permittitur ſurſùm caput reflectere, vanis quippe afficitur paſſionibus; attamen, ſi etiam
Matth. 7. v. 7. Luc. 11. v. 9. atque etiam quærat, inueniet, intentèque ipſi pulſanti aperietur.

ΚΕΦΑΛ λ'

Ἐπιστάντος ἀγγέλου ἀθρόως ἅπαντες ἀφίστανται οἱ ἐνοχλοῦντες ἡμῖν, καὶ εὑρίσκεται ὁ νοῦς ἐν πολλῇ ἀνέσει, ὑγιῶς προσευχόμενος. ποτὲ δὲ τοῦ συνήθους πολέμου ἡμῖν ἐπικειμένου, πυκτεύει ὁ νοῦς, καὶ οὐ συγχωρεῖται ἀνανεῦσαι, περιπεποίηται γὰρ τοῖς ποικίλοις πάθεσιν, ὅμως ἐπὶ πλέον ζητῶν εὑρήσει, καὶ κρούοντι αὐτῷ εὐτόνως ἀνοιγήσεται.

CAPVT XXXI.

NE ores, tuas perfici voluntates, nec enim Dei voluntati ſunt omninò conſonæ, ſed potiùs ora, vt didiciſti, dicens,
Matth. 6. v. 10. fiat voluntas tua in me; ſicque in omni re ab ipſo pete, vt fiat ipſius voluntas; vult enim quod bonum eſt, quodque Animæ confert. tu verò non hoc omninò exquiris.

ΚΕΦΑΛ λα'.

Μὴ προσεύχου τὰ σὰ θελήματα γενέσθαι, οὐδὲ γὰρ πάντως συμφωνοῦσι τῷ θελήματι τοῦ Θεοῦ. ἀλλὰ μᾶλλον καθὼς ἐδιδάχθης, προσεύχου λέγων. γενηθήτω τὸ θέλημά σου ἐν ἐμοί. καὶ ἐπὶ παντὶ δὲ πράγματι οὕτως αὐτὸν αἴτει τὸ ἀγαθὸν, καὶ συμφέρον τῇ ψυχῇ, σὺ δὲ οὐ πάντως τοῦτο ζητεῖς.

CAPVT XXXII.

SAEpè, dum orarem, petij, mihi fieri, quod arbitratus ſum bonum mihi fore, inque petitione irrationabiliter perſeuerabam, Dei

ΚΕΦΑΛ λβ'.

Πολλάκις προσευχόμενος ἠτησάμην γενέσθαι μοι ὃ ἔδοξα καλὸν εἶναι μοι, καὶ ἐπέμενον τῷ αἰτήματι, ἀλόγως βιαζόμενος τὸ

θέλημα τοῦ Θεοῦ, καὶ μὴ ἀποδιδοὺς αὐτῷ. ἵνα ὁ οἶδε συμφέρον αὐτὸς μᾶλλον οἰκονομήσῃ, καὶ μέντοι λαβὼν, ὕστερον ἠχθέσθην λίαν, διότι μᾶλλον τὸ βούλημα ἑαυτοῦ ᾐτησάμην γενέσθαι, οὐ γὰρ τοιοῦτόν μοι ἀπήντησε τὸ πρᾶγμα, οἷον ἐνόμιζον.

bam, Dei cogens voluntatem, nec ipſi concedes, vt quod ille futurum vtile nouerit, diſpenſaret; & quidem cum recepiſſem, poſtremò nimis grauiter tuli, eo quod meam potiùs voluntatem fieri petiiſſem; nec enim res mihi talis euenit, qualem exiſtimabam.

ΚΕΦΑΛ λγ'.

Τί ἄλλο ἀγαθὸν, ἀλλ' ἢ Θεός; οὐκοῦν αὐτῷ ἀποδῶμεν πάντα τὰ καθ' ἡμᾶς, καὶ εὖ ἡμῖν ἔσται. ὁ γὰρ ἀγαθὸς πάντως, καὶ ἀγαθῶν ἐστι παροχεὺς δωρεῶν.

CAPVT XXXIII

Quid aliud bonum, niſi Deus? igitur ei remittamus, quæ ad nos pertinent omnia, & bene nobis erit, ipſe enim omninò bonus eſt, bonorumque largitor donorum.

ΚΕΦΑΛ. λδ'.

Μὴ ὡς ἐν δυνάμει κομιζόμενος, εὐθέως τὸ αἴτημα ζήτει, βούλεται γάρ σε ἐπὶ πλέον εὐεργετῆσαι προσκαρτεροῦντα αὐτῷ ἐν τῇ προσευχῇ. τί γὰρ ἀνώτερον τοῦ τῷ Θεῷ προσομιλεῖν, καὶ τῇ πρὸς αὐτὸν συνουσίᾳ περισπᾶσθαι.

CAPVT XXXIV.

Ne tamquam poteſtate procedens petitionem confeſtim exquiras; vult enim tibi plurimum conferre Beneficium perſeueranti in oratione; quid enim ſublimius, quàm Deũ alloqui, & ipſius circũtrahi conſuetudine?

ΚΕΦΑΛ λε'.

Προσευχή ἐστιν ἀνάβασις νοῦ πρὸς Θεόν.

CAPVT XXXV.

Oratio, eſt aſcenſus mentis ad Deum.

ΚΕΦΑΛ. λϛ'.

Εἰ προσεύξασθαι ποθεῖς, ἀπόταξαι τοῖς σύμπασιν, ἵνα τὸ πᾶν κληρονομήσῃς.

CAPVT XXXVI.

Si orare cupias, omnibus renuntia, vt omnia tibi cedant in hereditatem.

ΚΕΦΑΛ. λζ'.

Προσεύχου πρότερον περὶ τοῦ καθαρθῆναι τῶν παθῶν, καὶ δεύτερον περὶ τοῦ ῥυσθῆναι ἀπὸ τῆς ἀγνωσίας, καὶ τρίτον ἀπὸ παντὸς πειρασμοῦ, καὶ ἐγκαταλείψεως.

CAPVT XXXVII.

Ora primò, vt purgeris à paſſionibus, & ſecundò, vt eruaris ab ignorantiâ, & tertiò, vt ab omni tentatione, atque derelictione libereris.

CPA.

CAPVT XXXVIII.

IN Oratione tuâ ſolam require Iuſtitiam, & Regnum, ideſt virtutem, & cognitionem, & cætera omnia tibi adiicientur.

ΚΕΦΑΛ λη'.

Μόνην ζήτει ἐν τῇ προσευχῇ σου τὴν δικαιοσύνην, καὶ τὴν βασιλείαν, τουτέστι τὴν ἀρετὴν, καὶ τὴν γνῶσιν· καὶ τὰ λοιπὰ πάντα προστεθήσεταί σοι.

CAPVT XXXIX

IVſtum eſt, non ſolùm pro propriâ emundatione orare, ſed & pro omni contribule, vt modum imiteris Angelicum.

ΚΕΦΑΛ λθ'.

Δίκαιον, μὴ μόνον περὶ οἰκείας καθάρσεως προσεύχεσθαι, ἀλλὰ καὶ περὶ παντὸς ὁμοφύλου, ἵνα ἀγγελικὸν μιμήσῃ τρόπον.

CAPVT XL.

VIde, an verè Deo tuâ in oratione adhæſeris, vel an hominum vincaris laude, illam que contendas ancupari, Orationis vtens repræſentatione, veluti tegmine.

ΚΕΦΑΛ μ'

Ὅρα, ἐὰν ἀληθῶς Θεῷ παρέστηκας ἐν τῇ προσευχῇ σου, ἢ ἐπαίνου ἀνθρώπων ἡττᾶσαι, καὶ τοῦτον θηρᾷν ἐπείγῃ, ὥσπερ ἐπικαλύμματι κεχρημένος τῇ παρατάσει τῆς προσευχῆς.

CAPVT XLI.

SIue cum fratribus ores, ſiue ſolus, conare, non conſuetudine, ſed ſenſu orare

ΚΕΦΑΛ μα'

Εἴτε μετὰ ἀδελφῶν προσεύχῃ, εἴτε κατὰ μόνας, ἀγώνισαι μὴ ἔθει ἀλλὰ αἰσθήσει προσεύχεσθαι.

CAPVT XLII.

PRoprium Orationis eſt interna cogitatio cum deuotâ pietate & compunctione, Animæ que dolore, peccata cum multis ſuſpiriis confitendo.

ΚΕΦΑΛ μβ'.

Ἦθος ἐστὶ προσευχῆς σύννοια μετ' εὐλαβείας, καὶ κατανύξεως, καὶ ὀδύνης ψυχῆς ἐν ἐξαγορεύσει πταισμάτων μετὰ στεναγμῶν ἀφώνων.

CAPVT XLIII.

SI tua mens ætatis florem in tempore Orationis affectet, nondum vt Monachus orat, ſed etiam nùm Mundana eſt, exterius Tabernaculum exornans.

ΚΕΦΑΛ μγ'.

Ἐὰν περιβλέπηται ὁ νοῦς σου ἀκμὴν ἐν τῷ καιρῷ τῆς προσευχῆς, οὐδέπω ὡς μοναχὸς προσεύχεται, ἀλλ' ἔτι κοσμικός ἐστι, τὴν ἔξωθεν σκηνὴν καλλωπίζων.

CAP

ΚΕΦΑΛ. μδʹ.

Προσευχόμενος, τὴν μνήμην σου δυνάμει φύλαττε, ἵνα μὴ τὰ οἰκεῖα παραθῆταί σοι, ἀλλὰ πρὸς τὴν γνῶσιν τῆς παρατάσεως σε κινῇ. λίαν γὰρ πέφυκε συλᾶσθαι ὁ νοῦς ὑπὸ τῆς μνήμης κατὰ τὸν καιρὸν τῆς προσευχῆς

CAPVT XLIV

DVm oras, tuam, pro viribus, cuſtodi memoriam, vt ſua propria non tibi proponat, ſed te moueat ad cognitionem extenſionis ad Deum, memoria nam que aſſolet multùm deprędari mentem circa tempus Orationis.

ΚΕΦΑΛ. μεʹ.

Ἢ παλαιῶν πραγμάτων ἄγει σοι φαντασίας ἡ μνήμη προσευχομένῳ, ἢ νέας φροντίδας, ἢ πρόσωπον τοῦ λελυπηκότος.

CAPVT XLV.

AVt veteres rerum imaginationes tibi oranti producit memoria, aut nouas curas, aut Perſonam eius, qui te dolore affecit.

ΚΕΦΑΛ. μςʹ.

Λίαν βασκαίνει ὁ δαίμων ἀνθρώπῳ προσευχομένῳ, καὶ πάσῃ χρῆται μηχανῇ, λυμήνασθαι τὸν τούτου σκοπόν, οὐ παύεται οὖν τὰ νοήματα κινῶν τῶν πραγμάτων διὰ τῆς μνήμης, καὶ ὅλα τὰ πάθη ἀναμοχλεύων διὰ τῆς σαρκός, ἵνα ἐμποδίσαι δυνηθῇ τῷ ἀρίστῳ αὐτοῦ δρόμῳ, καὶ τῇ πρὸς Θεὸν ἐκδημίᾳ,

CAPVT XLVI.

VAldè inuidet Dæmon homini oranti, omnemque machinam adhibet, vt eius intentionem inquinet; non ceſſat igitur per memoriam cogitationes harum rerum commouere, omnes que paſſiones per carnem tamquam vectibus ſubexcitare, vt impedire poſſit optimum ipſius curſum, & acceſſum ad Deum.

ΚΕΦΑΛ. μζ.

Ὅταν πολλὰ ποιήσας ὁ πονηρότατος δαίμων, μὴ δυνηθῇ ἐμποδίσαι τὴν τοῦ σπουδαίου προσευχήν, μικρὸν ὑποχαλᾷ, καὶ μετέπειτα ἀμαίνεται αὐτὸν προσευξάμενον, ἢ γὰρ εἰς ὀργὴν ἐξάψας ἀφανίζει τὴν ἐκ τῆς εὐχῆς συγκροτουμένην ἀρίστην κατάστασιν ἐν ἑαυτῷ, ἢ πρὸς ἡδονήν τινα ἄλογον ἐρεθίσας ὑβρίζει τὸν νοῦν.

CAPVT XLVII.

QVando improbiſſimus Dęmon plurima molitus, ſtudioſi orationem impedire non potuerit, parumper remittit, & poſtmodùm ipſius, qui orauerit ſumit vindictã; aut enim ad iracundiã incendens, optimum exterminat ſtatum, in ipſo ex oratione inſtructum; aut ad aliquam proritans irrationalem voluptaem, menti petulanter infert iniuriam.

CAP.

CAPVT XLVIII.

SI oraueris uti decet, expecta quæ non decet, & ſta viriliter, fructum ruum cuſtodiens; ad hoc enim à principio fuiſti conſtitutus, vt opereris, & cuſtodires: ne itaque operans, quod elaboratum eſt ſinas incuſtoditum; id autem niſi faxis, nihil orando proficies.

ΚΕΦΑΛ μη'.

Προσευξάμενος ὡς δεῖ, προσδόκα ἃ μὴ δεῖ, καὶ στῆθι ἀνδρείως φυλάττων τὸν καρπόν σου. εἰς τοῦτο γὰρ ἐξ ἀρχῆς ἐτάχθης, ἐργάζεσθαι, καὶ φυλάττειν. μὴ οὖν ἐργασάμενος ἐάσῃς ἀφύλακτον τὸ πονηθὲν. εἰ δὲ μή γε, οὐδὲν ὠφέλησας προσευχόμενος.

CAPVT XLIX.

OMne, quod inſtruitur bellum inter nos, impuroſque ſpiritus; non ob aliud fit, quàm ob ſpiritualem orationem; valdè namque ipſis hoſtilis eſt, ac maximè inimica, nobis autem ſalutaris, ac iucundiſſima.

ΚΕΦΑΛ μθ'.

Πᾶς ὁ συγκροτούμενος πόλεμος μεταξὺ ἡμῶν τε, καὶ τῶν ἀκαθάρτων πνευμάτων, οὐ περὶ ἑτέρου γίνεται, ἢ περὶ πνευματικῆς προσευχῆς. λίαν γὰρ πολέμιος αὐτοῖς ἐστι, καὶ ἐπαχθεστάτη, ἡμῖν δὲ σωτήριος, καὶ προσηνεστάτη.

CAPVT. L.

CVr volunt Dæmones in nobis operari gulam, fornicationem, auaritiam, iracundiam, & iniuriarum recordationem, ac reliquas paſſiones? vt ex ipſis mens incraſſata non poſſit, ſicut decet orare; nam paſſiones, quæ ab irrationali parte ſumunt initium, non ſinunt eam rationaliter moueri, Deique Verbum inquirere.

ΚΕΦΑΛ ν'.

Τί βούλεται τοῖς δαίμοσι ἐνεργεῖν ἐν ἡμῖν γαστριμαργίαν, πορνείαν, φιλαργυρίαν, ὀργήν τε, καὶ μνησικακίαν, καὶ τὰ λοιπὰ πάθη; ἵνα παχυνθεὶς ὁ νοῦς ἐξ αὐτῶν, μὴ δυνηθῇ ὡς δεῖ προσεύξασθαι, τὰ γὰρ τοῦ ἀλόγου μέρους πάθη ἄρξαντα οὐκ ἐᾷ αὐτὸν λογικῶς κινεῖσθαι καὶ τὸν Θεοῦ λόγον ἐπιζητεῖν.

CAPVT LI.

VIrtutes conſectamur ob rationes, ſeu cauſſas rerum creatarum, & iſtas propter Dominum, qui earum eſſentias condidit: ipſe autem in ſtatu orationis manifeſtari conſueuit.

ΚΕΦΑΛ να'.

Τὰς ἀρετὰς μετερχόμεθα διὰ τοὺς λόγους τῶν γεγονότων, καὶ τούτους διὰ τὸν οὐσιώσαντα κύριον. οὗτος δὲ ἐν τῇ καταστάσει τῆς προσευχῆς ἀναφαίνεσθαι εἴωθε.

ΚΕΦΑΛ. νβ.

Κατάστασις ἐστὶ προσευχῆς, ἕξις ἀπαθὴς ἔρωτι ἀκροτάτῳ εἰς ὕψος νοητὸν ἁρπάζουσα τὸν φιλόσοφον, καὶ πνευματικὸν νοῦν.

CAPVT LII.

Status, Orationis, eſt habitus abſque paſſione, amore ſummo ad celſitudinem intelligibilem rapiens mentem ſapientem, & ſpiritualem.

ΚΕΦΑΛ. νγ.

Οὐ μόνον θυμοῦ, καὶ ἐπιθυμίας δεῖ ἄρχειν τὸν ἀληθῶς προσεύξασθαι ἐπειγόμενον, ἀλλὰ καὶ ἐκτὸς ἐμπαθοῦς νοήματος γενέσθαι.

CAPVT LIII.

IS, qui feſtino gradu contendit verè orare, oportet vt non ſolùm iracundiæ, atque cupiditati dominetur, verum etiam alienus ſit à cogitatione, quæ imbuta ſit paſſione.

ΚΕΦΑΛ. νδ.

Ὁ ἀγαπῶν τὸν Θεὸν, τούτῳ ὡς πατρὶ ἀεὶ συνομιλεῖ. ἀποστρεφόμενος πᾶν νόημα ἐμπαθές.

CAPVT LIV.

QVi amat Deum, cum ipſo, tamquam Patre ſemper colloquitur, & conuerſatur, omnem auerſatus cogitationem paſſione inquinatam.

ΚΕΦΑΛ. νε.

Οὐχ ὁ ἀπαθείας τετυχηκὼς, ἤδη καὶ προσεύχεται ἀληθῶς, δύναται γὰρ ἐν τοῖς ψιλοῖς νοήμασιν εἶναι καὶ ἐν ταῖς ἱστορίαις αὐτῶν περισπᾶσθαι, καὶ μακρὰν ἀπέχειν ἀπὸ Θεοῦ.

CAPVT LV.

NOn qui vacuitatem Paſſionum eſt adeptus, iam verè quoque orat, poteſt quippe in nudis verſari cogitationibus, inquè ſtudium ipſas cognoſcendi, ſeù luſtrandi diſtrahi, & longè abeſſe à Deo.

ΚΕΦΑΛ. νς.

Οὐκ αὖ ὅτε μὴ ἐγχρονίζῃ ὁ νοῦς ἐν τοῖς ψιλοῖς νοήμασι τῶν πραγμάτων, ἤδη, καὶ προσευχῆς κατείληφε τόπον, δύναται γὰρ ἐν τῇ θεωρίᾳ εἶναι τῶν πραγμάτων, καὶ ἐν τοῖς λόγοις αὐτῶν ἀδολεσχεῖν, ἅπερ, καὶ εἰ ψιλὰ ῥήματά εἰσιν, ἀλλ' ὡς πραγ-

CAPVT LVI.

NEc verò, quando mens in nudis rerum cogitationibus non diù immoretur, iam ſimul orationis locum eſt aſſequuta; poteſt enim in rerum contemplatione verſari, inquè ipſarum diſcurſibus aſſidue meditari, qui, licèt nuda ſint verba; attamen,

vt poteq; quæ rerum contemplatio nes exiſtunt, quaſi ſignum quoddam inſculpunt in mente, abducuntquè procul à Deo.

μάτων ὄντα θεωρήματα, τυποῦσι τὸν νοῦν, καὶ μακρὰν ἀπάγουσιν ἀπὸ Θεοῦ

CAPVT LVII.

Qvamuis mens citrà contemplationem corporeæ naturæ verſetur, nondùm tamen perfectum Dei locũ eſt contemplata: poteſt quippè in cognitione rerum intellectualium verſari, & ad eam variè diſtingui.

ΚΕΦΑΛ. νζʹ.

Καὶ ὑπὲρ τὴν θεωρίαν τῆς σωματικῆς φύσεως ὁ νοῦς γένηται, οὔπω τέλεον τὸν τοῦ Θεοῦ τόπον ἐθεάσατο. δύναται γὰρ ἐν τῇ τῶν νοητῶν εἶναι γνώσει, καὶ ποικίλλεσθαι πρὸς αὐτήν.

CAPVT LVIII.

Si orare velis, Deo eſt opus, qui dat otanti orationẽ, igitur ipſum inuoca, dicens. Sanctificetur nomen tuum, adueniat Regnum tuum, hoc eſt Spiritus Sanctus, & Vnigenitus Filius tuus; ſic enim docuit, dicendo: In Spiritu, & Veritate adorari Deum ſcilicèt Patrem, quandoquidem hæc tria Deus.

Matth. 6. v. 9. Luc. 11. v. 2.

ΚΕΦΑΛ. νηʹ.

Εἰ προσεύξασθαι βούλει, Θεοῦ χρεία τοῦ διδόντος εὐχὴν τῷ εὐχομένῳ, ὅθεν τοῦτον ἐπικαλοῦ αὐτὸν λέγων, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, τουτέστι τὸ ἅγιον πνεῦμα, καὶ ὁ μονογενής σου Υἱός. οὕτω γὰρ ἐδίδαξε, λέγων. ἐν πνεύματι, καὶ ἀληθείᾳ προσκυνεῖσθαι τὸν Θεὸν, τουτέστι τὸν πατέρα, ἐπειδὴ τὰ τρία Θεός.

CAPVT LIX.

Qvi otat in Spiritu, & Veritate, non propter Creaturas conditorem honorificè laudat, ſed propter ipſum, nimirum eius amorem, eumdem hymnis exaltat.

ΚΕΦΑΛ. νθʹ.

Ὁ ἐν πνεύματι, καὶ ἀληθείᾳ προσευχόμενος οὐκ ἔτι ἐκ τῶν κτισμάτων τὸν δημιουργὸν γεραίρει, ἀλλ' ἐξ αὐτοῦ αὐτὸν ἀνυμνεῖ.

CAPVT LX.

Si Theologus es, verè orabis, ſiquè vere oraueris, es Theologus.

ΚΕΦΑΛ. ξʹ.

Εἰ θεολόγος εἶ, προσεύξῃ ἀληθῶς, καὶ εἰ ἀληθῶς προσεύξῃ, θεολόγος εἶ.

CAP.

ΚΕΦΑΛ. ξα.

Ὅταν ὁ νοῦς σου τῷ πολλῷ πρὸς τὸν Θεὸν πόθῳ κατὰ μικρὸν οἷον ὑπαναχωρεῖ τῆς σαρκὸς, καὶ πάντα τὰ ἐξ ἐνθυμήσεως, ἢ κράσεως νοήματα ἀποστρέφηται, εὐλαβείας ὁμοῦ, καὶ χαρᾶς ἔμπλεως γινόμενος, τότε νόμιζε ἠγγικέναι ὅροις προσευχῆς.

CAPVT LXI.

QVando mens tua, multo accenſa ergà Deũ deſiderio tantillum quaſi recedet à carne, omneſque cogitationes à cupiditate, aut à memoriâ, aut à corporis temperamento procedentes, auerſatur, deuotione ſimul & gaudio repleta, tunc arbitrare, te Orationis terminis appropinquaſſe.

ΚΕΦΑΛ. ξβ'.

Τὸ Ἅγιον Πνεῦμα συμπάσχον τῇ ἡμετέρᾳ ἀσθενείᾳ, καὶ ἀκαθάρτοις οὖσιν ἐπιφοιτᾷ ἡμῖν, καὶ εἰ εὕροι τὸν νοῦν ἡμῶν φιλαλήθως αὐτῷ προσευχόμενον, ἐπιβαίνει αὐτῷ, καὶ ἅπασαν τὴν κυκλοῦσαν αὐτὸν τῶν λογισμῶν, ἢ τῶν νοημάτων φάλαγγα, ἐξαφανίζει, προτρεπόμενος αὐτὸν εἰς ἔργα πνευματικῆς προσευχῆς.

CAPVT LXII.

SPiritus Sanctus infirmitati noſtræ compatiens, nobis, quamuis impuri ſimus, aduenit, ſique mentem noſtram inuenerit cum amore veritatis ad eum orantem, ſuper ipſam aſcendit, turmamque omnem cogitationum, aut notionum, quæ ipſam ambit, delet, conuertens eam ad opera Spiritualis Orationis.

ΚΕΦΑΛ. ξγ'.

Οἱ μὲν λοιποὶ διὰ τῆς ἀλλοιώσεως τοῦ σώματος ἐμποιοῦσι τῷ νῷ λογισμοὺς, ἢ νοήματα, καὶ θεωρήματα. ὁ δέ γε Θεὸς τοὐναντίον δρᾷ, αὐτῷ τῷ νῷ ἐπιβαίνει, καὶ ἐντιθεὶς αὐτῷ γνῶσιν, ὡς βούλεται, καὶ διὰ τοῦ νοῦ τὴν τοῦ σώματος ἀκρασίαν κατευνάζων,

CAPVT LXIII.

CAEteri quidem per corporis immutationem menti immittunt cogitationes, ſeù notiones, & ſpeculationes: Deus autem contrarium efficit, mentem inſcendit ipſamque immittens ei cogitationem, prout vult, ſimulque per mentem, corporis intemperantiam conſopiens.

ΚΕΦΑΛ. ξδ'

Οὐδεὶς ἐρῶν ἀληθοῦς προσευχῆς, ὀργιζόμενος, ἢ μνησικακῶν ἐκτὸς ἔσται παραπληξίας. ὅμοιος γὰρ ἔστι τῷ ὀξυωπεῖν θέλοντι, καὶ τοὺς οἰκείους ὀφθαλμοὺς ἐκταράσσοντι.

CAPVT LXIV.

NEmo, Veræ orationis amans, ſi iraſcitur, aut iniuriarum ſit memor, expers erit inſaniæ; perſimilis namque eſt volenti acutè cernere, oculoſque proprios obturbanti.

CAP VT. LXV

SI orare deſideras, nihil eorum facias, quæ Orationi contraria ſunt, vt Deus appropinquans tibi, tecum obambulet.

ΚΕΦΑΛ ξε'.

ΕΙ προσεύξασθαι ποθεῖς, μηδὲν τῶν ἐναντιουμένων τῇ προσευχῇ πράττε. ἵνα ὁ Θεὸς ἐγγίσας συμπορεύσηταί σοι.

CAPVT LXVI.

NE, quod Diuinum eſt, tibi ipſi aſſimiles, cum oras, nec iuxtà aliquam formam permittas tuam efformari mentem, ſed immateriali, tu velut immaterialis accede, cumque ipſo in unũ conuenies.

ΚΕΦΑΛ ξϛ'.

ΜΗ' σχηματίζῃς τὸ θεῖον ἐν ἑαυτῷ προσευχόμενος, μηδὲ πρὸς μορφήν τινὰ συγχωρήσῃς τυπωθῆναί σου τὸν νοῦν. ἀλλ' ἄυλος τῷ ἀΰλῳ πρόσιθι, καὶ συνήσεις,

CAPVT LXVII.

LAqueos aduerſariorum euita; fieri namq; ſolet, vt oranti tibi purè, ac ſine perturbatione confeſtim adſtet forma peregrina, & alienigena vt te intui arroganté exiſtimationem inducat, dũ coniicias, ibi, reperiri quod Diuinũ eſt, vt ex improuiſo reuelatũ tibi perſuadeat, Diuinum eſſe quantum: verùm Diuinũ Numen ſine quantitate eſt, caretque figurâ.

ΚΕΦΑΛ ξζ'.

ΦΥλάττε τὰς παγίδας τῶν ἐναντίων. γίνεται γὰρ ἐν τῷ προσεύχεσθαί σε καθαρῶς, καὶ ἀταράχως, ἀθρόως ἐπιστῆναί σοι μορφὴν ξένην, καὶ ἀλλόφυλον, πρὸς τὸ εἰς οἴησιν ἀπαγαγεῖν σε τοπάζοντα τὸ θεῖον ἐκεῖ, ἵνα τὸ ἀθρόως ἐκκαλυφθέν σοι, ποσὸν τὸ θεῖον εἶναι πείσῃ, ἄποσον δὲ τὸ θεῖον, καὶ ἀσχημάτιστον.

CAPVT LXVIII.

QVando inuidus Dæmon non poteſt in Oratione memoriam commouere, tunc corporis temperamento uim infert ad eaſſuandam in intellectu aliquam peregrinam imaginationem, ipſumque aliquâ formâ componendum; iſte verò cui mos eſt in cogitationibus verſari, & hærere facilè flectitur, & ad immaterialem, expertem; figuræ cognitioné impulſus, decipitur, fumum pro lumine ſuſcipiens.

ΚΕΦΑΛ. ξη'.

ΟΤαν μὴ δυνηθῇ τὴν μνήμην κινῆσαι ἐν τῇ προσευχῇ ὁ φθονερὸς δαίμων, τότε τὴν κρᾶσιν τοῦ σώματος ἐκβιάζεται εἰς τὸ ποιῆσαι ξένην τινὰ φαντασίαν τῷ νῷ, καὶ μορφῶσαι αὐτόν, ὁ δὲ ἔχων ἔθος ἐν νοήμασιν, εὐχερῶς κάμπτεται, καὶ πρὸς ἄυλον, καὶ ἀνείδεον γνῶσιν ἐπειγόμενος ἀπατᾶται, καπνὸν ἀντὶ φωτὸς κατέχων,

CAP.

ΚΕΦΑΛ ξθ.

Στῆθι ἐπὶ τῆς φυλακῆς σου φυλάττων τὸν νοῦν σου ἀπὸ νοημάτων κατὰ τὸν καιρὸν τῆς προσευχῆς, στῆναι ἐπὶ τῇ οἰκείᾳ ἠρεμίᾳ, ἵνα ὁ συμπάσχων τοῖς ἀγνοοῦσι, καὶ σοὶ ἐπιφοιτήσῃ, καὶ τότε λήψῃ δῶρον προσευχῆς εὐκλεέστατον,

CAPVT LXIX.

QVi peccatis detinetur, & concitationibus ad iram, audetque impudenter ad rerum diuinio rem cognitionem ſeſe extendere, aut etiam ad immaterialem aſcendere Orationem, ſuſcipiat ille Apoſtolicam Cenſuram, quod nimirum, res non ſine periculo eſt, nudo, nec operto capite orare, debet enim inquit, iſta pote- *1. Cor. 11. v. 7.* ſtatem habere ſuper caput propter Angelos adſtantes, pudorem, atque humilitatem circuminduta conuenientem

CAPVT CXLVI.

QVemadmodùm lippientem, ſiue oculis laborantem minimè iuuabit aſpectus ſolis, qui percipi non poteſt, & intentus eſt, cum in feruida meridie, & vehementiſſima illuminatione reſplendet, ita neque paſſionibus inquinatam, impuramque mentem figuratio tremendæ, ac excellentis Orationis in ſpiritu, & veritate vllatenùs iuuabit, ſed & è contra in ſe ipſam potius Diuinum excitat Numen.

ΚΕΦΑΛ. ρμϛ.

ΩΣπερ ὀφθαλμιῶντα, οὐκ ὀνήσει ἡ ἐν σταθερᾷ μεσημβρίᾳ, καὶ σφοδροτάτῃ φρυκτωρίᾳ ἀκατάληπτος, καὶ ἐπιτεταμένη τοῦ ἡλίου θέα, οὕτως οὐδὲ τὸν ἐμπαθῆ, καὶ ἀκάθαρτον νοῦν, ἡ τῆς ἐν πνεύματι, καὶ ἀληθείᾳ φοβερᾶς, καὶ ὑπερφυοῦς προσευχῆς ἀνατύπωσις παντελῶς ὀνήσει, ἀλλὰ καὶ τοὐναντίον πρὸς ἀγανάκτησιν καθ' ἑαυτοῦ ἐγείρει τὸ θεῖον.

CAPVT CXLVII.

SI eum, qui cũ dono proceſſit ad Altare non ſuſcepit is, qui
Matth. 5. v. 23. nulla eget re, doniſque eſt incorruptus, donec reconciliatus fuerit fratri ſuo aduersùs ipſum dolenti, diſpice, quantâ opus ſit obſeruantia & diſcretione, vt in intellectuali Altari ſuffimentum Deo bene acceptabile offeramus.

ΚΕΦΑΛ. ρμζ'.

ΕΙ' τὸν μετὰ δώρου προσελθόντα ἐπὶ τὸ θυσιαστήριον οὐκ ἐδέξατο, ὁ ἀνενδεὴς, καὶ ἀδέκαστος ἕως τοῦ διαλλαγῆναι τῷ πλησίον λυπουμένῳ πρὸς αὐτὸν, σκόπει πόσης φυλακῆς καὶ διακρίσεως χρεία, ἵνα εὐπρόσδεκτον δῶμεν τῷ Θεῷ θυμίαμα ἐν τῷ νοητῷ θυσιαστηρίῳ

CAPVT CXLVIII.

NE ſis garrulitate gaudens, neuè gloriæ ſtudio exultes, alioquin non tantùm in dorſo
Pſal. 128 v. 3. tuo, ſed & in vultu tuo fabricabunt peccatores, eris que ipſis tem pore orationis ludibrium, attractus, & deceptus ab ipſis in cogitationibus alienis.

ΚΕΦΑΛ. ρμη'.

ΜΗ' ἔσο λογοχαρὴς, μηδὲ δοξοχαρὴς, εἰδὲ μήγε, οὐκ ἔτι ἐν τῷ νώτῳ σου, ἀλλ' ἐν τῷ προσώπῳ σου τεκταίνουσιν οἱ ἁμαρτωλοὶ, καὶ ἔσῃ ἐπίχαρμα αὐτοῖς κατὰ τὸν καιρὸν τῆς προσευχῆς, ἐξελκόμενος, καὶ δελεαζόμενος ὑπ' αὐτῶν ἐν λογισμοῖς ἀλλοκότοις.

CAPVT CXLIX.

STudium, ſeù attentio Orationem quærens, Orationem inueniet; Oratio quippè, uel quid aliud ſimile ſubſequitur attentionem, cui danda opera.

ΚΕΦΑΛ. ρμθ'.

ΠΡοσοχὴ προσευχὴν ζητοῦσα, προσευχὴν εὑρήσει, προσευχῇ γὰρ προσοχῇ εἰ καὶ ἄλλο ἕπεται, ἐφ' ἣν σπουδαστέον.

CAP.

ΚΕΦΑΛ. ρν'.

Ὥσπερ πασῶν τῶν αἰσθήσεων κρείττων ἡ ὅρασις, οὕτω καὶ πασῶν τῶν ἀρετῶν, προσευχὴ θειοτέρα.

ΚΕΦΑΛ. ρνα'.

Προσευχῆς ἔπαινος, οὐχ ἁπλῶς ἡ ποσότης, ἀλλ' ἡ ποιότης, καὶ τοῦτο δηλοῦσιν οἱ ἀναβάντες εἰς τὸ ἱερὸν, καὶ τὸ, ὑμεῖς προσευχόμενοι, μὴ βαττολογήσητε. καὶ τὰ ἑξῆς.

ΚΕΦΑΛ. ρνβ'

Ἐφ' ὅσον τῇ ἀναλογίᾳ προσέχεις τοῦ σώματος, καὶ ὁ νοῦς σου τὰ τῆς σκηνῆς περιέπει τερπνά, οὐδέπω τῆς προσευχῆς ἑώρακας τόπον. ἀλλὰ μακρὰν ἀπὸ σοῦ ἡ μακαρία ταύτης ὁδὸς τυγχάνει,

ΚΕΦΑΛ. ρνγ'

Ὅταν παριστάμενος εἰς προσευχὴν ὑπὲρ πᾶσαν ἄλλην χαρὰν γένῃ, τότε ἀληθῶς εὕρηκας προσευχήν.

CAPVT CL.

Qvemadmodùm ſenſibus omnibus melior eſt viſus, ita & omnibus virtutibus Diuinior eſt Oratio.

CAPVT CLI.

Orationis laus eſt non ſimpliciter quantitas, ſed qualitas, & hoc demonſtrant qui aſcenderunt in Templum: & illud: vos, dum oratis, nolite multum loqui.

Luc. 10. v. 10. Matth. 6. v. 7.

CAPVT CLII.

Qvamdiù proportionẽ corporis attendis, menſque tua quæ ſunt tabernaculo delectabilia fouet, locum Orationis nondum vidiſti, ſed etiam procul à te diſtat illius vita beata.

CAPVT CLIII

Qvando Orationi aſſiſtens ſuprà omne aliud gaudium aſcenderis, tunc Orationem verè inueniſti.

EIVS-

EIVDEM

CAPITA XXVII.

De Diuerſis malignis cogitationibus.

CAPVT I.

EDæmonibus actiuæ vitę oppoſitis primi ad bellum inſurgũt, qui gulæ voluptatibus, ſiue cupiditatibus præſunt, quique nobis auaritiam ſuggerunt, & qui nos ad humanam gloriam prouocant. At cæteri omnes retrocedentes poſt iſtos, quos illi vulnerarunt, excipiunt. Nec enim fieri poteſt, vt is incidat in manus ſpiritus fornicationis, qui non ceciderit à ſpiritu gulæ deuictus; nec poſſibile eſt, vt iram commoueat, qui non contendit, & rixatur pro edulijs, aut pecunijs, aut gloriæ irrationalibus cupiditatibus, nec etiam fieri poteſt, quod Dæmonem effugiat triſtitiæ, qui omnibus hiſce fuerit priuatus, aut illa aſſequi nequiuerit; nec quis euadet ſuperbiam, quæ primum fuit germen Diaboli, niſi malorum omnium radicem exterminauerit auaritiam. Siquidem & paupertas virum humiliat, ſecundùm ſapientem Salomonem; vtque ſummatim dicam, nullatenùs homo poteſt in Diaboli prolabi poteſtatem, niſi prius ab illis primipilaribus fuerit ſauciatus; & ideò has tres cogitationes Diabolus tunc

Matth. 4 v. 3. Saluatori induxit. Primum quidem exhortans, vt lapides efficeret panes:

ΤΟΥ ΑΥΤΟΥ

ΚΕΦΑΛΑΙΑ κζ′.

Περὶ διαφόρων πονηρῶν λογισμῶν.

ΚΕΦΑΛ. α′.

ΤΩΝ ἀντικειμένων δαιμόνων τῇ πρακτικῇ, πρῶτοι κατὰ τὸν πόλεμον συνίστανται οἱ τὰς τῆς γαστριμαργίας ἡδονὰς, ἤτοι ὀρέξεις πεπιστευμένοι, καὶ οἱ τὴν φιλαργυρίαν ἡμῖν ὑποβάλλοντες, καὶ οἱ πρὸς τὴν τῶν ἀνθρώπων δόξαν ἡμᾶς ἐκκαλούμενοι. οἱ δ' ἄλλοι πάντες κατόπιν τούτων βαδίζοντες, τοὺς ὑπὸ τούτων τιτρωσκομένους διαδέχονται. οὐκ ἔστι γὰρ ἐμπεσεῖν εἰς χεῖρας τοῦ πνεύματος τῆς πορνείας, μὴ ὑπὸ τῆς γαστριμαργίας καταπεσόντα. καὶ οὐκ ἔστι ταράξαι θυμὸν, μὴ ὑπὲρ βρωμάτων ἢ χρημάτων, ἢ δόξης ἀλόγων ἐπιθυμιῶν μαχόμενον. καὶ οὐκ ἔστι τὸν τῆς λύπης δαίμονα διαφυγεῖν, τούτων πάντων στερηθέντα, ἢ μὴ δυνηθέντα τυχεῖν. οὐδὲ ἀποφεύξεται τὴν ὑπερηφανίαν τις, τὸ πρῶτον γέννημα τοῦ διαβόλου, μὴ τὴν τῶν κακῶν πάντων ῥίζαν ἐξορίσας φιλαργυρίαν, εἴπερ καὶ πενία ἄνδρα ταπεινοῖ, κατὰ τὸν σοφὸν Σολομῶντα. καὶ συλλήβδην εἰπεῖν, οὐκ ἔστιν ἄνθρωπον περιπεσεῖν δαίμονι, μὴ πρότερον ὑπ' ἐκείνων τῶν προστατῶν κατατρωθέντα, διὸ καὶ τοὺς τρεῖς τούτους λογισμοὺς ὁ διάβολος τότε τῷ σωτῆρι προσήγαγε. Πρῶτον μὲν τοὺς λίθους, ἄρτους γενέσθαι παρακαλῶν, ἔπειτα

δὲ τὸν κόσμον ὅλον ἐπαγγελλόμενος εἰ πεσὼν προσκυνήσει· τὸ τρίτον εἰ ἀκούσει δοξασθήσεσθαι λέγων, μηδὲν ἐκ τοῦ τηλικούτου πτώματος πεπονθότα, ὧν ὁ κύριος ἡμῶν κρείττων φανείς, εἰς τοὐπίσω τῷ διαβόλῳ χωρεῖν προσέταττε. διὰ τούτων τε ἡμᾶς διδάσκων, ὡς οὐκ ἔστιν ἀπώσασθαι τὸν διάβολον, μὴ τῶν τριῶν τούτων καταφρονήσαντας λογισμῶν.

panes; poſtmodùm ſpondens mundum vniuerſum, ſi cadens adoraret; tertiò dicens, ipſum celebrandum fore, ac glorificandum ſi obaudiſſet, dum ex illo tali caſu nihil fuerit paſſus: quibus Dominus noſter ſuperior apparẽs, vt retrocederet Diabolo mandauit, noſque per iſta edocuit, quod impoſſibile eſt, Diabolum repellere, niſi tres iſtas deſpexerimus cogitationes.

ΚΕΑΦΑ Ϛ.

Πάντες οἱ δαιμονιώδεις λογισμοί, νοήματα εἰς τὴν ψυχὴν αἰσθητῶν πραγμάτων εἰσφέρουσιν, ἐν οἷς τυπούμενος ὁ νοῦς τὰς μορφὰς τῶν πραγμάτων ἐκείνων ἐν ἑαυτῷ περιφέρει, καὶ ἀπ᾽ αὐτοῦ τοῦ πράγματος λοιπὸν ἐπιγινώσκει τὸν προσεγγίσαντα δαίμονα. οἷον, εἰ τοῦ ζημιώσαντός με, καὶ ἀτιμάσαντός με ἐν τῇ διανοίᾳ μου τὸ πρόσωπον γένοιτο, ἐλέγχεται ὁ τῆς μνησικακίας παραβαλὼν λογισμός. Εἰ πάλιν χρημάτων, ἢ δόξης ἀνάμνησις γένοιτο, ἐκ τοῦ πράγματος δῆλον ὅτι ὁ θλίβων ἡμᾶς ἐπιγνωσθήσεται. καὶ ἐπὶ τῶν ἄλλων δὲ λογισμῶν ὡσαύτως. ἀπὸ τοῦ πράγματος εὑρήσεις τὸν παρεστῶτα, καὶ ὑποβάλλοντα τὰς φαντασίας δαίμονα. οὐ πάσας δὲ τὰς μνήμας τῶν τοιούτων πραγμάτων ἐκ δαιμόνων λέγω συμβαίνειν, ἐπειδὴ πέφυκε καὶ αὐτὸς ὁ νοῦς κινούμενος ὑπὸ τοῦ ἀνθρώπου τῶν γεγονότων ἀναφέρειν τὰς φαντασίας, ἀλλ᾽ ὅσαι τῶν μνημῶν θυμὸν, ἢ ἐπιθυμίαν παρὰ φύσιν συνεπισπῶνται. διὰ γὰρ τὴν ταραχὴν τῶν δύο δυνάμεων τούτων, ὁ νοῦς κατὰ διάνοιαν μοιχεύει, καὶ μά-

CAPVT II.

Omnes Dæmoniales cogitationes inferunt Animæ rerum ſenſibilium notiones, quibus mens informata, formas illarum rerum in ſeipſa circumfert, ſicque Dæmonem, qui appropinquarit, è re ipſa dignoſcit; exempli gratiâ, ſi acceſſerit intellectui meo perſona, quę me detrimento, aut ignominia affecit, arguitur, quod iniuriarum recordationis appropinquauit cogitatio; ſi iterum pecuniarum, aut gloriæ recordatio fiât, manifeſtum ex re eſt, quòd is, qui nos tribulat, dignoſcetur; quin & in alijs cogitationibus ſimiliter è re inuenies Dæmonem adſtantem, & imaginationes ſuggerentem, non omnes autem recordationes huiuſcemodi rerum à Dæmonibus contingere dico; quandoquidem & mens ipſa ab homine commota, imaginationes rerum, quæ euenerint, proferre, ſeù emittere conſueuit; ſed quotquot recordationes iram, vel cupiditatem præter naturam alliciunt (*ſubintellige*), eas dico à Dęmonibus procedere; nam ob turbationem duarum iſtarum porentiarum (ſcilicèt iiæ, & cupiditatis) mens intellectualiter adulterat, & pu-

gnat, cum Dei, qui legem ipſi impoſuit, non valeat imaginationem ſuſcipere; ſiquidem claritas illa, poſitâ priuatione omnium notionum de rebus, animi principatui opportunè orationis tempore quaſi prætereundo apparet. homo non deponet vnquam memorias paſſionibus percitas, ſi concupiſcentiæ, & iracundiæ curam non geſſerit; illam quidem ieiunijs, & vigilijs & humi cubando conſumens, hanc verò longanimitatis actibus, & obliuionis iniuriæ, ac eleemoſynis manſuefaciens: ex his quippè duabus paſſionibus omnes ferè Dæmoniales conſtant cogitationes, quæ mentem in exitium ac perditionem inducunt.

χεται, τοῦ νομοθετήσαντος αὐτὸν τὴν φαντασίαν ἀναδέξασθαι μὴ δυνάμενος. εἴπερ ἡ λαμπρότης ἐκείνη κατὰ στέρησιν πάντων τῶν ἐν τοῖς πράγμασι νοημάτων ἐν τῷ καιρῷ τῆς προσευχῆς τῷ ἡγεμονικῷ παραφαίνεται. οὐκ ἂν ἀπόθοιτο τὰς ἐμπαθεῖς μνήμας ὁ ἄνθρωπος, μὴ ἐπιθυμίας, καὶ θυμοῦ ἐπιμέλειαν ποιησάμενος, τὴν μὲν νηστείαις, ἀγρυπνίαις, καὶ χαμευνίαις καταναλώσας, τὸν δὲ μακροθυμίαις, καὶ ἀμνησικακίαις, καὶ ἐλεημοσύναις καθημερώσας, ἐκ γὰρ τῶν δύο τούτων παθῶν πάντες σχεδὸν οἱ δαιμονιώδεις συνίστανται λογισμοί οἱ τὸν νοῦν ἐμβάλλοντες εἰς ὄλεθρον, καὶ ἀπώλειαν.

CAPVT. III.

Fieri autem non poteſt, vt quis huiuſcemodi paſſionibus ſuperior euadat, niſi omninò eſcas, & pecunias, & gloriam deſpiciat, adhùc etiam, & proprium corpus, propter eos, qui conantur ipſum velut colaphis percutere: neceſſum igitur planè, imitari periclitantes in mari, qui, propter violentiam ventorum, vndarumque inſurgentium, vaſorum etiam vtuntur eiectione. Verùm hîc diligenter attendendum, ne fortè, dum vaſorum vtimur eiectione, id faciamus, vt ab hominibus videamur, quandoquidem noſtrã reportamus mercedem, aliudque nos conſequetur naufragium, primo longè moleſtius, cum nempè Dæmonè contra nobis vanam gloriã inſufflarit. Idcireò Dominus noſter in Euangelijs moderatricem inſtruens mentem, ait: Attendite, ne faciatis eleemo-
Matth. 6 v. 1. ſynã veſtrã corãm hominibus, vt ab ipſis cõſpiciamini, alioquin mercedẽ non

ΚΕΦΑΛ. γ'.

Ἀδύνατον δέ τινα τῶν παθῶν τούτων περιγενέσθαι, μὴ παντελῶς βρωμάτων, καὶ χρημάτων, καὶ δόξης ὑπεριδόντα, ἔτι δὲ καὶ τοῦ ἰδίου σώματος διὰ τοὺς ῥαπίζειν αὐτὸ πολλάκις ἐπιχειροῦντας. πᾶσα οὖν ἀνάγκη μιμεῖσθαι τοὺς κινδυνεύοντας ἐν θαλάττῃ, καὶ τῶν σκευῶν ἐκβολὴν ποιουμένους διὰ τὴν βίαν τῶν ἀνέμων καὶ τῶν ἐπανισταμένων κυμάτων. ἀλλ᾽ ἐνταῦθα προσεκτέον ἀκριβῶς, μή πως ἐκβολὴν ποιούμενοι τῶν σκευῶν, πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις ποιήσωμεν. ἐπεὶ ἀπέχομεν τὸν μισθὸν ἡμῶν, καὶ ἄλλο τοῦ προτέρου χαλεπώτερον διαδέξεται ἡμᾶς ναυάγιον, τοῦ τῆς κενοδοξίας ἡμῖν ἀντιπνεύσαντος δαίμονος. διὸ καὶ ὁ κύριος ἡμῶν ἐν τοῖς εὐαγγελίοις, τὸν κυβερνήτην νοῦν παιδεύων,

προσέχετε, φησίν, τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς, εἰ δὲ μήγε μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν. ὅταν προσεύχησθε, φησίν, οὐκ ἔσεσθε ὥσπερ οἱ ὑποκριταὶ ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς, καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως φανῶσι τοῖς ἀνθρώποις. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν, καὶ πάλιν λέγει, ὅταν νηστεύητε, μὴ γίνεσθε, ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί, ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες, Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. ἀλλὰ προσεκτέον ἐν τούτοις τῷ ἰατρῷ τῶν ψυχῶν, πῶς διὰ μὲν τῆς ἐλεημοσύνης τὸν θυμὸν θεραπεύει, διὰ δὲ τῆς προσευχῆς τὸν νοῦν καθαρίζει, καὶ πάλιν διὰ τῆς νηστείας τὴν ἐπιθυμίαν καταμαραίνει, ἐξ ὧν συνίσταται ὁ νέος ἄνθρωπος, ὁ ἀνακαινούμενος κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. ἐν ᾧ οὐκ ἔστι διὰ τὴν ἁγίαν ἀπάθειαν ἄρσεν, καὶ θῆλυ, οὐδὲ διὰ τὴν μίαν πίστιν, καὶ ἀγάπην, Ἕλλην, καὶ Ἰουδαῖος, περιτομὴ, καὶ ἀκροβυστία, βάρβαρος, σκύθης, δοῦλος, καὶ ἐλεύθερος, ἀλλὰ τὰ πάντα ἐν πᾶσι χριστός.

non habebitis à Patre veſtro, qui
eſt in Cælis: & rursùs: quando
oratis(inquit) non eritis ſicut hy-
pocritæ, qui amant in Synagogis,
& inangulis platearum ſtantes *ibid. v. 5.*
orare, vt videantur ab homini-
bus; Amen dico vobis, quod rece-
perunt mercedem ſuam; & ite-
rum dicit: quando ieiunatis, ne
ſitis ſicut hypocritæ triſtes; ex-
terminant enim facies ſuas, vt
videantur hominibus ieiunantes,
Amen dico vobis receperunt
mercedem ſuam. Verum hîc at-
tendendum medico animarum,
quomodo per eleemoſynam cu-
rat iracundiam, per orationem
autem expurgat mentem, & de-
nuò per ieiunium tabeſcere facit
concupiſcentiam, è quibus con-
ſtat nouus homo, renouatus ad
imaginem eius, qui ipſum crea-
uit, in quo, ob ſanctam paſſio-
num vacuitatem, non eſt maſ, & *Ad Gal. 3. v. 28.*
fœmina, &, propter vnam fi-
dem, & caritatem, non eſt Gen-
tilis, & Iudæus, Circumciſio, &
Præputium, Barbarus, Scytha,
ſeruus, & liber, ſed omnia in
omnibus Chriſtus.

ΚΕΦΑΛ. δ'.

Ζητητέον δὲ πῶς ἐν ταῖς καθ' ὕπνον φαντασίαις τυποῦσιν ἡμῶν τὸ ἡγεμονικὸν καὶ σχηματίζουσιν οἱ δαίμονες. τὸ γὰρ τοιοῦτον ἔοικε συμβαίνειν τῷ νῷ, ἢ δι' ὀφθαλμῶν ὁρῶντι, ἢ δι' ἀκοῆς ἀκούοντι, ἢ πάλιν δι' αἰσθήσεως ποιᾶς, ἢ ἀπὸ τῆς μνήμης

CAPVT IV.

Inquirendum verò, quomodo in imaginationibus, quæ per ſomnum contingunt, Dæmones noſtri animi principatum imprimendo efforment; videtur enim hoc tale quid menti accidere, aut per oculos intuenti, aut per aures audienti, aut rursùs per ſenſum certâ quadam qualitate præditum, aut ex memoria, quæ imprimit animi principatui, non per corpus, verumtamen, quæ per corpus habuit, illa commouet; igitur mihi videntur Dæmones, memoriam mouendo, imprimere animi principatui; inſtrumentum quippè ſen-

ſus à ſomno detinetur otioſum. Rursùs ergò, quo pacto memoriam commoueant, inquirendum. An fortaſſis per paſſiones? & hoc manifeſtum inde, quia, qui puri ſunt, minimeq; obnoxij paſſionibus, neutiquam aliquid huiuſmodi patiuntur. Eſt autem & motus quidam memoriæ ſimplex, qui à nobis fit, aut à ſanctis poteſtatibus, per quem conuerſamur cum ſanctis in ſomnis, & colloquimur, & conueſcimur. Verumtamen attendendum, quod, quæ cum corpore anima ſuſcipit ſimulacra, ea abſque corpore mouet memoria; & hoc dilucidè patet ex eo quod ſæpiùs in ſomnis etiam nos iſtud patimur, corpore quieſcente: quemadmodùm enim poſſibile eſt, aquæ meminiſſe, & cum ſiti, & abſque ſiti, ſic poſſumus recordari auri cum cupiditate habendi illud, & ſine cupiditate; atque ſimiliter alijs de rebus. Verùm quod mens tales, aut tales inueniat imaginationum differentias, illarum indicium eſt maleficij, ſeù artis, quæ ad noſtram conuertitur perniciem. Simul verò, & hoc ſciendum, quod Dæmones externis etiam rebus vtuntur ad imaginationes excitandas, vt, in nauigantibus, ſonitu fluctuum. Vehementer autem Dæmonum intentum iuuat ira noſtra præter naturam commota, & ad omnem ipſorum malam fraudulentiam euadit aptiſſima, vnde noctu, & interdiù ipſam turbare nullus eorum recuſat, ſed quando viderint eam manſuetudine illigatam, tunc iuſtos ob prætextus confeſtim illam exſoluunt, vt effecta magis acuta, ad ferinas etiam ipſorum cogitationes accommo-

ἥτις τυποῖ μὲν τὸ ἡγεμονικόν, οὐ διὰ τοῦ σώματος, πλὴν ἅπερ διὰ τοῦ σώματος ἔσχε, ταῦτα κινεῖ. ὡς οὖν δαίμονες ἐοίκασιν οἱ τὴν μνήμην κινοῦντες, τυποῦν τὸ ἡγεμονικόν. τὸ γὰρ ὄργανον ὑπὸ τοῦ ὕπνου κατέχεται ἀνενέργητον. πῶς οὖν πάλιν τὴν μνήμην κινοῦσι ζητητέον, ἢ τάχα διὰ τῶν παθῶν; καὶ τοῦτο δῆλον ἐκ τοῦ μηκέτι τοὺς καθαρούς, καὶ ἀπαθεῖς πάσχειν τι τοιοῦτον. ἔστι δὲ καὶ κίνησίς τις ἁπλῆ ὑφ' ἡμῶν γινομένη, ἢ ὑπὸ Ἁγίων δυνάμεων, καθ' ἣν ἁγίοις τε συντυγχάνομεν ἐν τοῖς ὕπνοις καὶ ὁμιλοῦμεν, καὶ συνεστιώμεθα. πλὴν προσεκτέον, ὅτι ἅπερ μετὰ τοῦ σώματος ἡ ψυχὴ εἰσδέχεται εἴδωλα, ταῦτα ἄνευ τοῦ σώματος ἡ μνήμη κινεῖ· καὶ τοῦτο σαφὲς ἐκ τοῦ πολλάκις, καὶ ἐν τοῖς ὕπνοις πάσχειν ἡμᾶς τοῦτο ἠρεμοῦντος τοῦ σώματος. ὥσπερ γὰρ ἔστι μνημονεῦσαι ὕδατος, καὶ μετὰ δίψης, καὶ ἄνευ δίψης. οὕτως ἔστι μνημονεῦσαι χρυσοῦ μετὰ πλεονεξίας, καὶ ἄνευ πλεονεξίας, καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων ὡσαύτως. τὸ δὲ τοιάσδε ἢ τοιάσδε εὑρίσκειν φαντασιῶν διαφορὰς τὸν νοῦν, τῆς ἐκείνων κακοτεχνίας ἐστὶ γνώρισμα. ἅμα δὲ καὶ τοῦτο ἰστέον, ὅτι καὶ τοῖς ἔξωθεν πράγμασι κέχρηνται πρὸς τὰς φαντασίας οἱ δαίμονες, ὡς ἐπὶ τῶν πλεόντων τῷ ἤχῳ τῶν κυμάτων. σφόδρα τῷ σκοπῷ τῶν δαιμόνων ὁ θυμὸς ἡμῶν συμβάλλεται παρὰ φύσιν κινούμενος, καὶ πρὸς πᾶσαν αὐτῶν κακομηχανίαν γίνεται χρησιμώτατος. ὅθεν νύκτωρ, καὶ μεθ' ἡμέραν ταράσσειν τοῦτον οὐδεὶς αὐτῶν παραιτεῖται, ἀλλ' ὅταν ἴδωσιν αὐτὸν δεθέντα πραότητι, τὸ τηνικαῦτα ἐπὶ δικαίαις προφάσεσιν εὐθὺς αὐτὸν ἀπολύουσιν, ἵνα ὀξύτερος γεγονώς, καὶ πρὸς τοὺς θηριώδεις λογισμοὺς αὐτῶν χρησι-

μένῃ, διόπερ ἀνάγκη, μήτε δικαίοις, μήτε ἐπ' ἀδίκοις πράγμασιν αὐτὸ ἐρεθίζειν, μήτε κακὸν ξίφος διδόναι τοῖς ὑποβάλλουσιν. ὅπερ πολλάκις πολλοὺς ποιοῦντας ἐπίσταμαι, καὶ πλέον ἢ χρή, ἐπὶ μικραῖς ἀναπτομένους προφάσεσιν.

ΚΕΦΑΛ. έ.

ΥΠὲρ τίνος γὰρ εἰπέ μοι ὁ προπίπτεις ταχέως εἰς μάχην, εἴπερ βρωμάτων, καὶ δόξης, καὶ χρημάτων καταπεφρόνηκας; τί δὲ τρέφεις τὸν κύνα, μηδὲν ἔχειν ἐπαγγελλόμενος. εἰ δὲ οὗτος ὑλακτεῖ, καὶ τοῖς ἀνθρώποις ἐπέρχεται, πρόδηλος εἶ ἔνδον κεκτημένος τινά, καὶ ταῦτα φυλάσσειν βουλόμενος. ἀλλ' ἐγὼ τὸν τοιοῦτον μακρὰν καθαρᾶς προσευχῆς πείθομαι εἶναι λυμεῶνα τὸν θυμὸν τῆς τοιαύτης ἐπιστάμενος. πρὸς δὲ τούτοις θαυμάζω, ὡς καὶ τῶν ἁγίων ἐπιλελησμένων, τοῦ μὲν Δαβὶδ βοῶντος, παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν, τοῦ δὲ ἐκκλησιαστοῦ παραγγέλλοντος, ἀπόστησον θυμὸν ἀπὸ καρδίας σου, καὶ παράγε πονηρίαν ἀπὸ σαρκός σου, τοῦ δὲ ἀποστόλου προστάσσοντος, χωρὶς ὀργῆς, καὶ διαλογισμῶν ἐν παντὶ τόπῳ ἐπαίρειν ὁσίας χεῖρας πρὸς Κύριον. τί δὲ οὐ μανθάνομεν ἀπὸ τῆς τῶν ἀνθρώπων μυστικῆς, καὶ παλαιᾶς συνηθείας διωκούσης ἐκ τῶν οἴκων τοὺς κύνας ἐν τῷ καιρῷ τῆς προσευχῆς, ὃ τοῦτο αἰνιττομένης, ὡς οὐ δεῖ συμπαρεῖναι τοῖς προσευχομένοις θυμόν. καὶ πάλιν. θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν. οἴνου δὲ οἱ Ναζιραῖοι ἀπείχοντο. χολὴν δὲ καὶ ὀσφὺν ἄβρωτα τοῖς θεοῖς τις τῶν ἔξωθεν σοφῶν ἀπεφήνατο εἶναι. οὐκ εἰδώς, οἶμαι, ὃ ἔλεγεν, ὧν τὸ μὲν ὀργῆς, τὸ δὲ ἀλόγου ἐπιθυμίας ἔγωγε σύμβολον εἶναι νομίζω.

modetur; ideò neceſſum eſt, nec iuſtis, nec iniuſtis de rebus eam irritare, neque noxium enſem præbere ſuggerentibus; quod per ſæpè multos feciſſe noui, & pluſquam oporteret, paruos ob prætextus, ſuccenſos.

CAPVT V.

ETenim dic etiam mihi, quare celeriter procidis in pugnâ, ſiquidem eſcas, & gloriam, & pecunias deſpexiſti? ecquid autem nutris canem, cum nihil poſſidere profitearis? Si verò is allatret,& in homines inſiliat,manifeſtum eſt,quod intus poſſides aliqua, eaque velis cuſtodire. ego verò hunc talem procul à purâ Oratione abeſſe mihi perſuadeo, cum probè ſciam, quod iracundia, Orationis huiuſcemodi ſit lues. Inſuper admiror, quod & ſancti obliuioni fuerint mandati, tùm Dauid, qui clamat deſine ab *Pſal. 36. v.8.*
ira, & derelinque furorem; tùm *Eccleſ.*
Eccleſiaſtes, qui præcipit: aufer *11.v.10.*
iram à corde tuo, & amoue mali- *1. Tim.*
tiam à carne tuâ; tùm Apoſtolus, *2.v.8.*
qui mandat: abſque iracundiâ, & diſceptationibus in omni loco extollere ſanctas manus ad Dominum.Ecquid verò non ediſcimus ab hominum myſticâ, & vetuſtâ conſuetudine depellendi canes ex ædibus tempore Orationis; quæ cõſuetudo illud ſubobſcurè indicabat, quòd nimirum non oporteat, ſimul adeſſe orantibus iracundiam: & rursùs: ira Draco- *Deuter. 32.v.33.*
num vinum eorum: Vino autem abſtinebant Nazaræi: ſed & quidam ex profanis, ſeu Ethnicis ſapientibus affirmauit, fel,atque ilia Dijs non eſſe comeſtibilia, neſciens,

puto,

puto quod dicebat; quorum illud quidem iracundiæ, iſta autē belluinę cupiditatis notas eſſe arbitror. Quod autem non oporteat ſolicitum eſſe de indumentis, aut edulijs, ſuperuacaneum opinor ſcribere; cum ipſe Saluator noſter in Euangelijs prohibuiſſet; inquit enim: nolite ſoliciti eſſe animæ
Matth.6 v.25. veſtræ, quid manducetis, aut bibatis, aut induamini; hoc enim palàm eſt Gentium, ac infidelium, qui abrogant, & contemnunt prouidenriam, mundique conditorem inficiantur; at iſtud à Chriſtianis omninò eſt alienum, qui ſemel crediderunt, quod & duo paſſerculi, qui væneunt diſpondio, ſunt ſub adminiſtratione ſanctorum Angelorum. Verumtamen eſt & hęc Dæmonum conſuetudo, vt nimirùm poſt impuras cogitationes, ſuggerant etiam eas, quæ ſunt ſolicitudinis, vt Ieſus, præſente cogitationum turbâ in loco intellectuali, capite declinato effugiat, ſicque infructuoſus euadat ſermo à ſpinis ſolicitudinis ſuffocatus.

περὶ δὲ τοῦ μὴ δεῖν μεριμνᾶν ἐνδυμάτων ἕνεκεν, ἢ βρωμάτων, περιττὸν οἶμαι τὸ γράφειν, αὐτοῦ τοῦ σωτῆρος ἡμῶν ἐν τοῖς εὐαγγελίοις ἀπαγορεύσαντος, μὴ μεριμνᾶτε γὰρ, φησι, τῇ ψυχῇ ὑμῶν τί φάγητε, ἢ τί πίητε ἢ τί περιβάλησθε. ἐθνικῶν γὰρ ἄντικρυς τοῦτο, καὶ ἀπίστων ἀθετούντων τὴν πρόνοιαν τοῦ δεσπότου, καὶ τὸν δημιουργὸν ἀρνουμένων· χριστιανῶν δὲ τὸ τοιοῦτον παντελῶς ἀλλότριον, ἅπαξ πεπιστευκότων, ὅτι καὶ τὰ πωλούμενα δύο στρουθία τοῦ ἀσσαρίου ὑπὸ τὴν οἰκονομίαν τῶν Ἁγίων ἀγγέλων ἐστί. πλὴν ἔστι καὶ αὕτη συνήθεια τῶν δαιμόνων, μετὰ τοὺς ἀκαθάρτους λογισμοὺς ἐμβάλλειν καὶ τοὺς τῆς μερίμνης, ἵνα ἐκνεύσῃ ὁ Ἰησοῦς ὄχλου ὄντος νοημάτων ἐν τῷ κατὰ διάνοιαν τόπῳ, καὶ ἄκαρπος γένηται ὁ λόγος ὑπὸ τῆς μερίμνης πνιγόμενος τῶν ἀκανθῶν.

CAPVT VI.

IGitur cogitationes etiam, quæ è ſolicitudine procedunt, deponentes, noſtram in Dominum ſolicitudinem iactemus, præſentibus contenti, & paupere vitâ, ac veſte vtentes, effectores, & autores vanæ gloriæ poſt diem exuamus. Si verò quis putat in veſte paupercula, incompoſitam, ac deformem ſpeciem exhibere, reſpiciat Sanctum Paulum, qui
2 Cor. 11.v.27 infrigore, ac nuditate coronam iuſtitiæ expectabat. Sed quoniam Theatrum, & Stadium Apoſtolus iſtum nominauit mundum, videamus, an poſſibile ſit, quod, qui co-
Philipp. 3.v.14. gitationibus ſolicitudinis indutus eſt, currat ad brauium ſupernæ vo-

ΚΕΦΑΛ ϛ΄.

ΟΥ᾽κοῦν τοὺς ἐκ μερίμνης ἀποθέμενοι λογισμοὺς, ἐπιρρίψωμεν ἐπὶ κύριον τὴν μέριμναν ἡμῶν τοῖς παροῦσιν ἀρκούμενοι, καὶ πενιχρᾷ ζωῇ χρησάμενοι, καὶ στολῇ τοὺς πατέρας τῆς κενοδοξίας μεθ᾽ ἡμέραν ἀποδυσώμεθα. εἰ δέ τις ἀσχημονεῖν ἐπὶ πενιχρᾷ νομίζει στολῇ, βλεπέτω τὸν Ἅγιον Παῦλον ἐν ψύχει, καὶ γυμνότητι, τὸν τῆς δικαιοσύνης προσδοκήσαντα στέφανον. ἀλλ᾽ ἐπειδὴ θέατρον, καὶ στάδιον ὁ ἀπόστολος τὸν κόσμον τοῦτον ὠνόμασεν, ἴδωμεν, εἰ ἔστι δυνατὸν, μερίμνης ἐνδυσάμενον λογισμοὺς, δραμεῖν ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἢ παλαῖσαι πρὸς τὰς

ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, ἐγὼ μὲν οὐκ οἶδα, καὶ ἀπ᾽ αὐτῆς τῆς αἰσθητῆς παιδευόμενος ἱστορίας. ἐμποδισθήσεται γὰρ ἐκεῖνος ὁ ἀθλῶν ὑπὸ τοῦ χιτῶνος δηλονότι, καὶ εὐκόλως περιελκυσθήσεται, καθάπερ καὶ ὁ νοῦς ὑπὸ τῶν λογισμῶν τῆς μερίμνης, εἴπερ ἀληθινὸς ὁ λέγων τῷ ἰδίῳ τὸν νοῦν προσκαρτερεῖν θησαυρῷ, ὅπου γάρ ἐστιν ὁ θησαυρός σου, φησίν, ἐκεῖ ἔσται, καὶ ἡ καρδία σου.

vocationis, aut luctetur aduersùs principatus, & poteſtates, aduerſùs Mundi rectores tenebrarum huius ſæculi: ego quidem neſcio, cum ab ipſa quoque ſenſibili hiſtoriâ erudiar; quià videlicèt ille, qui certat, impedietur à tunicâ, facilèquè circumtrahetur, quemadmodùm, & mens à cogitationibus ſolicitudinis; ſi verax quidem ſit ſermo, qui dicit, mentem proprio theſauro aſſiduam incumbere; vbi namque theſaurus tuus eſt, ibi erit & cor tuum.

Ephes. 6. v. 12.

Matth. 6. v. 21.

ΚΕΦΑΛ ζ'.

Τῶν λογισμῶν οἱ μὲν τέμνουσιν, οἱ δὲ τέμνονται, καὶ τέμνουσι μὲν οἱ πονηροὶ τοὺς ἀγαθούς, τέμνονται δὲ πάλιν ὑπὸ τῶν ἀγαθῶν οἱ πονηροί. τὸ τοίνυν πνεῦμα τὸ ἅγιον πρώτως τεθέντι προσέχει λογισμῷ, καὶ πρὸς ἐκεῖνον κρίνει ἡμᾶς, ἢ ἀποδέχεται. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν· ἔχω τινὰ φιλοξενίας λογισμόν, καὶ τοῦτον ἔχω διὰ τὸν κύριον, ἀλλ᾽ οὗτος ἐπελθόντος τοῦ πειράζοντος τέμνεται, καὶ δόξης χάριν φιλοξενεῖν ὑποβάλλοντος. πάλιν. ἔχω φιλοξενίας λογισμὸν πρὸς τὸ τοῖς ἀνθρώποις φανῆναι, ἀλλὰ καὶ οὗτος ἐπελθόντος κρείττονος λογισμοῦ διατέμνεται, τοῦ πρὸς τὸν Κύριον μᾶλλον ἡμῶν τὴν ἀρετὴν ἀπευθύνοντος, καὶ μὴ δι᾽ ἀνθρώπους ταῦτα πράττειν ἡμᾶς ἀναγκάζοντος. ἂν οὖν διὰ τῶν ἔργων λοιπὸν τοῖς προτέροις ἐμμείνωμεν ὑπὸ τῶν δευτέρων πειραζόμενοι, μόνων τῶν προτέρων τεθέντων λογισμῶν ἕξομεν τοὺς μισθούς, διότι ἄνθρωποι ὄντες, καὶ παλαίοντες δαίμοσιν, ἀεὶ κατέχειν τὸν ὀρθὸν λογισμὸν ἄφθαρτον οὐκ ἰσχύομεν, οὐδὲ πάλιν τὸν

CAPVT VII.

E Cogitationibus, hæ quidem ſecant, aliæ autem ſecantur; & ſecant quidem malæ bonas, è contra verò malæ ſecantur à bonis; nam Spiritus Sanctus attendit cogitationi in primis poſitę, & ſecundùm illam iudicat nos, aut recipit. quod autem dico, huiuſcemodi eſt. Habeo quamdam cogitationem hoſpitalitatis, eamque habeo propter Dominum, ſed iſta ſcinditur aduentante aliâ tentante, & ſuggerente, vt gloriæ cauſſa hoſpitio excipiam: è contrà: habeo cogitationem hoſpitalitatis, vt ab hominibus videar, ſed & iſta diſſecatur, ſubeunte meliore cogitatione, quæ ad Dominum potiùs virtutem noſtram dirigit, noſque vrget, vt nõ propter homines iſta faciamus. ſi ergò per opera tandèm in primis maneamus, etſi fuerimus à ſecundis tentati, tamen pro ſolis primis poſitis cogitationibus mercedes habebimus: quandoquidem cum homines ſimus, cumquè Dæmonibus luctemur, minimè valemus, rectam cogitationem incorruptam ſemper retinere; ſicut è contra, cum

cum virtutum poſſideamus ſemina, malam cogitationem habere non poſſumus intentatam: verumtamen ſi quæ cogitationum ſecantiũ diutiùs immorata fuerit, tentãtis obtinet partes, & poſteà ſecundùm illam cogitationem homo commotus operabitur. cum multâ obſeruatione cognouimus, quòd inter cogitationes Angelicas, & humanas, ac eas, quæ à Dæmonibus proueniunt, hęc ſit differentia, nimirùm, quòd primùm quidem Angelicæ naturas rerum curioſè, ac diligenter inquirunt, ſenſaque ſpiritualia, ſeù cogitationes ipſarum inueſtigant. Exempli gratiâ; quare factum fuerit aurum, quamque ob cauſam arenoſum ſit, in que inferioribus terræ partibus fuerit diſſeminatum, cumque magno labore, ac opere inueniatur? &, cum inuentum fuerit, quo pacto aqua perluitur, & igni traditur, ſicque in artificum inijcitur

Exod. c. 25. v. 29. manus, qui faciunt tabernaculi cã-
Machab. lib. 2. c. 1. delabrũ, & thuribulũ, & mortariola
ſiue acetabula, & phialas, in quibus
per gratiam Saluatoris noſtri non
Hierem. c. 52. v. 18. ampliùs nunc bibit Babylonius
Rex; ſed ab iſtis ſacramentis Cleo-
Dauid. c. 5. v. 3. pa fert cor ardens. Verum Dæmo-
Luc. c. 24 v. 18. niaca cogitatio, nec nouit iſta, nec

ſcit; ſed ſolam auri ſenſibilis poſſeſſionem impudenter ſuggerit, & delicias, quæ indè proueniunt, atque futuram gloriam prædicit; humana verò cogitatio, nec poſſeſſionem quærit, neque cuius rei aurum ſit ſymbolum, ſeù ſignum curioſè diſquirit, ſed ſolummodo in mentem introducit auri formam ſeparatam ab auaritiæ paſſione: itaque idem ſermo, & de cæteris alijs dicendus, ſecundum hanc regulam myſticè exercitatus.

πονηρὸν λογισμὸν ἔχειν ἀπαθέστερον, ἀρετῶν σπέρματα κεκτημένοι. πλὴν ἐὰν τις χρονίσῃ τῶν τεμνόντων λογισμῶν ἐν τῇ χώρᾳ τοῦ περιαζομένου καθίσταται, καὶ κατ' ἐκεῖνον λοιπὸν τὸν λογισμὸν ὁ ἄνθρωπος κινούμενος ἐνεργήσει. τῶν ἀγγελικῶν λογισμῶν, καὶ τῶν ἀνθρωπίνων καὶ τῶν ἐκ δαιμόνων πάντων τὴν διαφορὰν μετὰ πολλῆς τῆς παρατηρήσεως ἐγνώκαμεν εἶναι. ὅτι πρῶτον μὲν οἱ ἀγγελικοὶ τὰς φύσεις τῶν πραγμάτων περιεργάζονται, καὶ τοὺς πνευματικοὺς αὐτῶν ἐξιχνιάζουσι λογισμούς· οἷον, τίνος χάριν γεγένηται ὁ χρυσός, καὶ διὰ τί ψαμμώδης, καὶ κάτω που τοῖς μορίοις τῆς γῆς ἐγκατέσπαρται, καὶ μετὰ πολλοῦ καμάτου, καὶ πόνου εὑρίσκεται; ὅπως τε εὑρεθεὶς ὕδατι πλύνεται, καὶ πυρὶ παραδίδοται, καὶ οὕτως εἰς τεχνιτῶν ἐμβάλλεται χεῖρας, τῶν ποιούντων τῆς σκηνῆς τὴν λυχνίαν, καὶ τὸ θυμιατήριον, καὶ τὰς θυΐσκας, καὶ τὰς φιάλας, ἐν αἷς οὐκέτι νῦν πίνει διὰ τὴν χάριν τοῦ σωτῆρος ἡμῶν ὁ Βαβυλώνιος βασιλεύς, Κλεόπα δὲ φέρει καρδίαν καιομένην ὑπὸ τούτων μυστηρίων. ὁ δὲ δαιμονιώδης λογισμός, ταῦτα μὲν οὔτε οἶδεν, οὔτε ἐπίσταται. μόνην δὲ τὴν κτῆσιν τοῦ αἰσθητοῦ χρυσίου ὑποβάλλει, καὶ τὴν ἐκ τούτου τρυφὴν, καὶ δόξαν ἐσομένην προλέγει. ὁ δὲ ἀνθρώπινος λογισμός, οὐδὲ τὴν κτῆσιν ἐπιζητεῖ, οὔτε τίνος περιεργάζεται σύμβολον ὁ χρυσός, ἀλλὰ μόνον εἰς τὴν διάνοιαν τοῦ χρυσοῦ τὴν μορφὴν εἰσφέρει ψιλὴν, πάθους πλεονεξίας κεχωρισμένην. ὁ δὲ αὐτὸς λόγος, καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων ῥηθήσεται κατὰ τὸν κανόνα τοῦτον μυστικῶς γυμναζόμενος.

CAP.

ΚΕΦΑΛ. η'.

Ἔστι δαίμων πλάνος λεγόμενος, ὃ ὑπὸ τὴν ἕω μάλιστα τοῖς ἀδελφοῖς παρίσταται, ὅστις περιάγει τοῦ ἀναχωρητοῦ τὸν νοῦν ἀπὸ πόλεως εἰς πόλιν, ὃ ἀπὸ οἰκίας εἰς οἰκίαν, καὶ ἀπὸ κώμης εἰς κώμην, ψιλὰς δῆθεν πρὸ τῶν τὰς συντυχίας ποιούμενος, καὶ γνωρίμοις τισὶ τυγχάνοντα, καὶ λαλοῦντα μακρότερα, καὶ τὴν οἰκείαν πρὸς τοὺς ἀπαντῶντας κατάστασιν διαφθείροντα, καὶ μακρὰν γινόμενον, κατ' ὀλίγον τῆς γνώσεως τοῦ Θεοῦ, καὶ τῆς ἀρετῆς, καὶ τοῦ ἐπαγγέλματος λήθην λαμβάνοντα. Δεῖ οὖν τὸν ἀναχωροῦντα, τοῦτον τηρεῖν, πόθεν τε ἄρχεται, καὶ ποῦ καταλήγει, οὐ γὰρ εἰκῇ οὐδὲ ὡς ἔτυχε μακρὸν ἐκεῖνον κύκλον ἐργάζεται, ἀλλὰ τὴν κατάστασιν τοῦ ἀναχωρητοῦ διαφθείρειν βουλόμενος, ταῦτα ποιεῖ. ἵνα ἐκκαυθεὶς ἐκ τούτων ὁ νοῦς, καὶ ἐκ τῶν πολλῶν συντυχιῶν μεθυσθεὶς εὐθέως τῷ τῆς πορνείας, ἢ τῆς Ὀργῆς, ἢ τῷ τῆς λύπης δαίμονι περιπέσῃ. οἵτινες μάλιστα λυμαίνονται τῆς καταστάσεως αὐτοῦ τὴν λαμπρότητα. ἀλλ' ἡμεῖς, εἴπερ ἔχομεν σκοπὸν τοῦ γνῶναι σαφῶς τὴν τούτου πανουργίαν, μὴ ταχέως φθεγξώμεθα πρὸς αὐτόν, μηδὲ δηλώσωμεν τὰ γινόμενα, πῶς κατὰ τὴν διάνοιαν τὰς συντυχίας ἐργάζεται, καὶ τίνα τρόπον κατ' ὀλίγον συνελαύνει τὸν νοῦν πρὸς τὸν θάνατον, ἐπεὶ φεύξεται ἀφ' ἡμῶν, ὁρᾶσθαι γὰρ ταῦτα ποιῶν οὐ καταδέχεται. καὶ οὐδὲν λοιπὸν εἰσόμεθα ὧν μαθεῖν ἐσπουδάκαμεν, ἀλλὰ καὶ ἄλλην μίαν ἡμέραν, ἢ καὶ δευτέραν συγχωρήσωμεν αὐτῷ τελειῶσαι τὸ δρᾶγμα, ἵνα ἀκριβῶς μαθόντες αὐτοῦ τὸ σκαιώρημα, λόγῳ μετὰ ταῦτα ἐλέγξαντες αὐτὸν φυγαδεύσωμεν.

CAPVT VIII.

Reperitur Dæmon, qui dicitur deceptor, & præſertim ſub auroram fratribus adſtat, qui ſecedentis Anachoretæ mentem circumagit è Ciuitate in Ciuitatem, & è domo in domum, & è vico in vicum, in primis videlicèt ſimplicia habentem colloquia, & cum quibuſdam cognitis conuerſantem, atq; prolixiùs colloquentem, propriumque ſtatum ad obuios non ſeruantem, & paulatim ſeſe procul à Dei cognitione elongantem, virtutemque, ac profeſſionem obliuioni mandantem. Oportet itaquè, quod ſecedens Anachoreta cautè obſeruet Dæmonem iſtum, vndè incipiat, & quò deſinat; etenim non temerè, neque caſu longum illum circulum operosè ducit; verùm iſta facit, eò quòd velit Anachoretæ ſtatum diſperdere, ac corrumpere, vt mens ex iſtis inflammata, & è multis colloquijs inebriata, confeſtim incidat in Dæmonem fornicationis, vel iracundiæ, vel triſtitiæ, qui maximè vitiant, ac lædunt ſtatus eius claritatem; nos verò, ſi intentionem habemus luculenter dignoſcendi huius verſutiam, ne citò quid ipſi proferamus, neuè pateſaciamus, quæ fiunt, quomodò nimirùm intellectualia fabricetur colloquia, quoque pacto paulatim mentem compellat ad mortem, quià fugiet à nobis, nec enim ſuſtinet videri, dum hæc facit; ac poſtremò nihil ſciemus eorum, quæ diſcere ſtuduimus, Verùm adhùc vnam diem, ſiuè, & aliam concedamus ipſi, vt actum perficiat, quò, diligenter ipſius ineptum, ſtupidumque ingenium dignoſcentes, poſthæc ſermone ipſum arguendo vertamus in fugam.

CAPVT IX.

SEd quoniam contingit, quod, tentationis tempore, mens, cum ſit infuſcata, ac veluti excitato fæculento cœno inquinata, non perſpicit diligenter ea, quæ fiunt, poſt ſeceſſum Dæmonis iſtud fiat: conſidens apud te ipſum memento rerum, quæ tibi euenerunt, vnde nam cœperis, & quò proceſſeris, quouè in loco comprehenſus fueris à ſpiritu fornicationis, vel iracundiæ, vel triſtitiæ, & quomodo facta fuerint omnia, quæ acta ſunt, ac luculenter iſta ediſce, & manda memoriæ, vt ipſum aduentantem valeas arguere, locumque ab ipſo abſconſum indica, neuè deinceps eum ſecteris: Si verò interdùm velis in furorem quoque ipſum prouocare, cum adſtantem ſubitò argue, primumque, in quem prodijt, locum manifeſta, & ſecundum, & tertium; valdè namque fert ægrè, minimè tolerans opprobrium; demonſtratio verò, quòd tempeſtiuè ad eum fueris loquutus, erit, quiâ fugiet à te cogitatio: non eſt quippè poſſibile, quod deinceps adſtet, dum manifeſtè redarguitur. Huic verò Dæmoni erroris ſuperato ſuccedit, ſeu ſubſequitur grauiſſimus ſomnus, & mortificatio cum multo palpebrarum frigore, ac infinitæ oſcitationes, grauatique humeri, ac torpentes; quæ intenſâ oratione diſſoluet Spiritus Sanctus.

ΚΕΦΑΛ. θ'.

Ἀλλ' ἐπειδὴ κατὰ τὸν καιρὸν τοῦ πειρασμοῦ συμβαίνει, τεθολωμένον ὄντα τὸν νοῦν μὴ ἀκριβῶς ἰδεῖν τὰ γινόμενα, μετὰ τὴν ἀναχώρησιν τοῦ δαίμονος τοῦτο γινέσθω. καθεσθεὶς καθ' ἑαυτὸν, μνημόνευσον τῶν συμβεβηκότων σοι πραγμάτων. πόθεν τε ἤρξω, καὶ ποῦ ἐπορεύθης, καὶ ἐν ποίῳ τόπῳ συνελήφθης ὑπὸ τοῦ πνεύματος τῆς πορνείας, ἢ τῆς Ὀργῆς, ἢ τῆς Λύπης, καὶ πῶς πάντα γέγονε τὰ γινόμενα, καὶ σαφῶς ταῦτα κατάμαθε, καὶ παράδος τῇ μνήμῃ ἵνα ἔχῃς ἐλέγχειν αὐτὸν προσιόντα, καὶ τὸν κρυπτόμενον ὑπ' αὐτοῦ τόπον καταμήνυε, καὶ οὐκ ἀκολουθήσεις αὐτῷ λοιπόν. εἰ δὲ βούλει ποτὲ καὶ εἰς μανίαν προσκαλέσασθαι, ἔλεγξον αὐτὸν εὐθὺς ἐπιστάντα, καὶ τὸν πρῶτον τόπον εἰς ὃν εἰσῆλθε φανέρωσον, καὶ τὸν δεύτερον, καὶ τὸν τρίτον, πάνυ γὰρ χαλεπαίνει μὴ φέρων τὴν αἰσχύνην. ἀπόδειξις δὲ ἔσται τοῦ καιρίως σε φθέγξασθαι πρὸς αὐτὸν, τὸ πεφευγέναι τὸν λογισμὸν ἀπὸ σοῦ. ἀδύνατον γὰρ λοιπὸν στῆναι αὐτὸν φανερῶς ἐλεγχόμενον. τοῦτον δὲ ἡττηθέντα τὸν τῆς πλάνης δαίμονα διαδέχεται ὕπνος βαρύτατος, καὶ νέκρωσις μετὰ ψυχρότητος πολλῆς τῶν βλεφάρων, καὶ χασμοὶ ἄπειροι, καὶ ὦμοι βαρυνόμενοι, καὶ ναρκῶντες, ἅπερ τῇ συντόνῳ προσευχῇ διαλύσει τὸ Πνεῦμα τὸ Ἅγιον.

CAPVT X.

ODium, quod aduersùs Dęmones habemus, nobis ad ſalutem confert, & ad virtutis operationem eſt valdè accommodum, & aptum; Sed hoc in nobis ipſis, velut quoddam bonum

ΚΕΦΑΛ. ι'.

ΠΑ'νυ τὸ μῖσος τὸ κατὰ τῶν δαιμόνων ἡμῖν πρὸς σωτηρίαν συμβάλλεται, καὶ πρὸς τὴν

ἐργασίαν τῆς ἀρετῆς ἐστὶν ἐπιτήδειος, ἀλλὰ τοῦτο ἐκτρέφειν ἐν ἑαυτοῖς, ὥσπερ ἐστὶ γέννημα ἀγαθὸν οὐκ ἰσχύομεν, τῶν φιληδόνων πνευμάτων διαφθειρόντων αὐτό, καὶ πρὸς φιλίαν, καὶ συνήθειαν πάλιν τὴν ψυχὴν ἐκκαλουμένων. ἀλλὰ ταύτην τὴν φιλίαν, μᾶλλον δὲ τὴν δυσίατον γάγγραιναν ὁ ἰατρὸς τῶν ψυχῶν δι' ἐγκαταλείψεως θεραπεύει. Συγχωρεῖ γὰρ τι φοβερὸν παθεῖν ἡμᾶς ὑπ' αὐτῶν νύκτωρ ἢ μεθ' ἡμέραν, καὶ πάλιν ἡ ψυχὴ πρὸς τὸ ἀρχέτυπον μῖσος ἐπανατρέχει διδασκομένη πρὸς τὸν κύριον λέγειν κατὰ τὸν Δαβίδ, τὸ, τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. οὗτος γὰρ τέλειον μῖσος μισεῖ τοὺς ἐχθρούς, ὁ μήτε κατ' ἐνέργειαν, μήτε κατὰ διάνοιαν ἁμαρτάνων. ὅπερ τῆς πρώτης, καὶ τῆς μεγίστης ἐστὶν ἀπαθείας τεκμήριον.

num germen enutrire non valemus, cum ſpiritus voluptatum amantes id corrumpant, adque amicitiam, & conſuetudinem rurſus animam euocent; verùm hanc amicitiam, ſeù potiùs Gangrænam curatu difficilem medicus animarum ſanat per derelictionem; permittit enim, nos aliquid terribile pati ab ipſis noctù, ſeù per diem, tuncquè denuò anima ad odium primigenium recurrit, edocta dicere ad Dominum, ſecundùm Dauid. Perfectò ipſos oderam odio, in inimicos facti ſunt mihi. *Pſal. 138 v. 22.* Is quippè perfectò inimicos odio habet, qui nec actualiter, nec intellectualiter peccat; quod quidem primæ, maximæque paſſionum vacuitatis eſt argumentum.

ΚΕΦΑΛ. ια'

Περὶ δὲ τοῦ δαίμονος, τοῦ τὴν ψυχὴν ἀναισθητεῖν ποιοῦντος, τί δεῖ λέγειν; Ἐγὼ γὰρ δέδοικα καὶ γράφειν περὶ αὐτοῦ, πῶς ἡ ψυχὴ τῆς οἰκείας ἐξίσταται καταστάσεως. παρὰ γὰρ τὸν καιρὸν τῆς ἐπιδημίας αὐτοῦ, καὶ τὸν φόβον τοῦ Θεοῦ, καὶ τὴν εὐλάβειαν ἀποδύεται, καὶ τὴν ἁμαρτίαν, οὐχ ἁμαρτίαν εἶναι λογίζεται, καὶ τὴν παρανομίαν οὐ νομίζει παρανομίαν. κολάσεως δὲ καὶ κρίσεως αἰωνίου, ὡς ψιλοῦ ῥήματος μέμνηται. καταγελᾷ δὲ ὄντως σεισμοῦ πυρφόρου, καὶ Θεὸν μὲν δῆθεν ὁμολογεῖ, τί δὲ προσέταξεν οὐκ ἐπίσταται. τύπτεις εἰς τὰ στήθη, κινουμένης αὐτῆς πρὸς τὴν ἁμαρτίαν, καὶ αὐτὴ οὐκ αἰσθάνεται, ἀπὸ γραφῶν διαλέγῃ, καὶ ὅλη πεπώρωται, καὶ οὐκ ἀκούει, ὄνειδος αὐτῇ τὸ παρὰ

CAPVT XI.

DE Dæmone autem, qui efficit, vt anima ſtupidè, ſtolidèque ſeſe gerat, quid oportet dicere? ego enim timeo de ipſo quid ſcribere; quo pacto anima proprio labat, & alienatur è ſtatu; tẽpore nãq; aduentus eius (ſcilicèt Dæmonis) tùm Dei metu, ac deuotione exuitur, tùm peccatum putat, non eſſe peccatum, tùm iniquitatem non opinatur eſſe iniquitatem, tùm punitionem æternam, ac iudicium tamquam ſimplex effatum commemorat, tùm deridet motus concuſſiones verè igniferas, tùm Deum videlicèt confitetur, at, quid mandarit, ignorat; percutis in pectora, quando ea (ſcilicèt anima) mouetur ad peccatum, & ipſa non ſentit; ex ſcripturis ſermonem habes, illaque tota excæcata manet, nec audit; adducis ipſi quod ab homini-

bus infertur dedecus, & non computat opprobrium, quod eſt apud homines; ipſaque penitùs non intelligit, adinſtar porci claudentis oculos, ſepemquè diſcindentis: cogitationes autem vanæ gloriæ diutiùs immanentes hunc indu-
Matth. 24.v.22. Marc. 13.v.20. cunt Dæmonem, cuius niſi abbreuiati fuiſſent dies non ſalua foret omnis caro. Etenim quod ex cogitationes raro accedant ad fratres, cauſa manifeſta eſt; dùm nempè alij, aut calamitatibus, aut morbis opprimantur, aut miſerè degant alij in carceribus, aut in mortes incidant repentinas, iſte Dæmon effugatur, cum anima paulatim compungatur, & ad compaſſionem veniat, ſicque excæcatio, quæ à Dæmone fuerat compacta, diſſoluatur: quibus (ſcilicèt medijs) nos deſtituti ſumus propter ſolitudinem, & ægrotium penuriam apud nos.

τὴν ἀνθρώπου περιφέρεις, καὶ οὐ λογίζεται τὴν παρὰ τοῖς ἀνθρώποις αἰσχύνην, καὶ αὐτὴν ὅλως οὐ συνίησι, δίκην χοίρου καμμύσαντος ὀφθαλμοὺς, καὶ τὸν φραγμὸν διακόπτοντος. τοῦτον δὲ τὸν δαίμονα κενοδοξίας χρονίσαντες ἐπάγουσι λογισμοί, οὓς εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. καὶ γὰρ τὴν σπανίως παραβαλλόντων τοῖς ἀδελφοῖς, ὅτι καὶ ἡ αἰτία πρόδηλος. ἐπὶ συμφοραῖς γὰρ ἑτέρων ἢ ἐν νόσοις πιεζομένων, ἢ ἐν φυλακαῖς δυστυχούντων, ἢ αἰφνιδίοις περιπιπτόντων θανάτοις, φυγαδεύεται οὗτος, τῆς ψυχῆς κατὰ μικρὸν κατανυσσομένης, καὶ εἰς συμπάθειαν ἐρχομένης. καὶ διαλυομένης τοῦ δαιμονίου πωρώματος, ὧν ἡμᾶς ἀπορούμενοι διὰ τὴν ἔρημον, καὶ τὴν σπάνιν τῶν παρ' ἡμῖν ἀσθενούντων.

CAPVT XII.

Iſtiuſmodi Dæmonem maximè in fugam conuertens Dominus in Euangelijs præcepit, viſitare infirmos, & inuiſere eos, qui ſunt in carcere. Infirmus enim fui
Matth. 25.v.36. & 41. (inquit), & viſitaſtis me; & incarcere fui, & veniſtis ad me. Verumtamen hoc ſciendum, quod, ſi quis Anachoretarum, cum in hunc Dæmonem inciderit, cogitationes non habuit meretricias, aut domum, ſiue cellulã non dereliquit præ deſidiâ, iſte temperantiam, atque patientiam è Cælis deſcendentes eſt aſſequutus, ac beatus exiſtit, qui tali paſſionis vacuitate dignus eſt habitus. Quot quot autem Diuinum profitentur cultum, & mundanis, ſeù ſæcularibus eligunt cohabitare, caueant ab

ΚΕΦΑΛ. ιβ'.

Τοῦτον τὸν δαίμονα μάλιστα φυγαδεύων ὁ κύριος ἐν τοῖς εὐαγγελίοις προσέταξεν ἀσθενοῦντας ὁρᾶν, καὶ τοὺς ἐν φυλακῇ ἐπισκέπτεσθαι, ἀσθενὴς γὰρ ἤμην, φησί, καὶ ἐπεσκέψασθέ με, καὶ ἐν φυλακῇ καὶ ἤλθετε πρός με. πλὴν τοῦτο ἰστέον, εἴ τις τῶν ἀναχωρητῶν, περιπεσὼν τούτῳ τῷ δαίμονι, λογισμοὺς οὐκ ἔλαβε πορνικοὺς, ἢ τὸν οἶκον ἀκηδίας οὐ κατέλιπεν, οὗτος σωφροσύνην, καὶ ὑπομονὴν ἀπ' οὐρανῶν ἐδέξατο κατελθούσας, καὶ μακάριος ὅτι τῆς τοιαύτης καταξιωθεὶς ἀπαθείας. ὅσοι δὲ τῶν ἐπαγγελλομένων θεοσέβειαν, καὶ κοσμικοῖς συναυλίζεσθαι προαιροῦνται, φυλαττέσθωσαν τούτου τοῦ δαίμονος. ἐγὼ γὰρ περὶ αὐτοῦ

πλέον τι λέγειν, ἢ γράφειν, καὶ τοὺς ἀνθρώπους αἰσχύνομαι.

ΚΕΦΑΛ. ιγ΄.

Πάντες οἱ δαίμονες φιλήδονον διδάσκουσι τὴν ψυχήν. μόνος δὲ ὁ τῆς λύπης δαίμων, τοῦτο ποιεῖν οὐ καταδέχεται, ἀλλὰ καὶ τῶν εἰσελθόντων τοὺς λογισμοὺς διαφθείρει, πᾶσαν ἡδονὴν περικόπτων καὶ ξηραίνων αὐτὴν διὰ τῆς λύπης. εἴπερ ἀνδρὸς λυπηροῦ ξηραίνεται ὀστᾶ. καὶ μετρίως μὲν πολεμῶν δόκιμον τὸν ἀναχωρητὴν ἀπεργάζεται, πείθει γὰρ αὐτὸν μηδὲν τῶν κόσμου τούτου προσίεσθαι, καὶ πᾶσαν ἡδονὴν παραιτεῖσθαι· πλεῖον δὲ προσκαρτερῶν, γεννᾷ λογισμοὺς ὑπεξάγειν ἑαυτὸν τῇ ψυχῇ συμβουλεύοντας, ἢ φεύγειν τὸν τόπον μακρὰν ἀναγκάζοντας. ὅπερ λελόγισταί ποτε, καὶ πέπονθε καὶ ὁ ἅγιος Ἰὼβ ὑπὸ τούτου παρενοχλούμενος τοῦ δαίμονος. εἴθε γὰρ δυναίμην, φησὶν, ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθείς γε ἑτέρου, καὶ ποιήσει μοι τοῦτο. τούτου τοῦ δαίμονος σύμβολόν ἐστιν ἡ ἔχιδνα, τὸ θηρίον, ἧς ἡ φύσις φιλανθρώπως διδομένη, τοὺς τῶν ἄλλων θηρίων ἰοὺς διαφθείρει, ἀκρατῶς δὲ λαμβανομένη καὶ αὐτὸ διαφθείρει τὸ ζῶον. τούτῳ τῷ δαίμονι παρέδωκεν ὁ Παῦλος τὸν ἐν Κορίνθῳ παρανομήσαντα, διὸ καὶ γράφει πάλιν σπουδαίως. κυρώσατε, λέγων τοῖς Κορινθίοις, εἰς αὐτὸν ἀγάπην, ἵνα μή ποτε τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. ἀλλ' οἶδε τοῦτο θλίβον τοὺς ἀνθρώπους τὸ πνεῦμα καὶ μετανοίας αὐτοῖς ἀγαθῆς πρόξενον γίνεσθαι. ὅθεν καὶ ὁ Ἅγιος Ἰωάννης ὁ Βαπτιστὴς, τοὺς ὑπὸ τούτου κεντουμένους τοῦ δαίμονος, καὶ προσφεύγοντας τῷ Θεῷ, γεννήματα ἐχιδνῶν,

ab iſto Dæmone: ego enim de ipſo amplius aliquid dicere, aut ſcribere etiã ipſos homines verecundor.

CAPVT XIII.

Omnes Dæmones edocent animam, vt amans ſit voluptatum, ſolus autem Dæmon triſtitiæ id facere recuſat, ſed introeuntiũ cogitationes diſperdit, voluptatem omnem animæ imminuens, ac infringens, ipſamque arefaciens per dolorem; Siquidem *Pou. 27 v. 22.* hominis præ triſtitia dolentis exſiccantur oſſa; & mediocriter quidem belligerans probatum efficit Anachoretã, perſuadet quippè ipſi ab omnibus huiuſce mundi rebus abhorrere, omnemque voluptatem euitare, plùs verò perſeuerans generat cogitationes conſulentes animæ ſeſe ſubducere, aut cogentes procul à locis aufugere: quod cogitauit quondam, & paſſus eſt quoque Sanctus Iob, dum ab iſto Dæmone perturbaretur, ac vexaretur; ait enim; Vtinam poſſem *Iob.16. v.4.* me ipſum edomare, aut precari alterum, & faciet mihi hoc. Huius Dæmonis figura eſt vipera, beſtia illa, cuius natura, ſi beneuolè, & humanitèr detur, aliarum ferarum venena labefactat, ac diſperdit, intemperanter verò ſuſcepta, ipſũ etiam animal corrumpit. Huic Dæmoni tradidit Paulus eum, qui patrarat flagitium Corinthi, idcircò denuò ſtudioſè ſcribit Corinthijs, dicens confirmate in illum *2 Cor. 2.v.8.* charitatem, ne fortè ex abundantiori triſtitiã abſorbeatur iſte talis. Verùm hic ſpiritus homines affligtans nouit ipſis conciliator etiam fieri bonæ pœnitentiæ; Vnde, & Sanctus Ioannes Baptiſta eos, qui ab iſto Dæmone pungebantur, &

ad

ad Deum confugiebant, admonens inquit: Genimina viperarum quis vobis oſtendit fugere ab irâ venturâ? facite igitur fructum dignum pœnitentiæ, & ne putetis dicere intra vos metipſos patrem habemus Abraham; dico enim vobis, quod poteſt Deus ex lapidibus iſtis ſuſcitare filios Abrahæ. Verumtamen quicumque, Abraham imitatus, è terrâ exiuit ſuâ, & è cognatione, ipſe iſto etiam Dæmone fortior euaſit.

Matth. 3.v.7. Luc.3.v.7.

φησὶ, τίς ὑμῖν ὑπέδειξε φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς πατέρα ἔχομεν τὸν Ἀβραάμ, λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. πλὴν πᾶς ὁ τὸν Ἀβραὰμ μιμησάμενος, καὶ ἐξελθὼν ἐκ τῆς γῆς αὐτοῦ, καὶ ἐκ τῆς συγγενείας, αὐτὸς καὶ τούτου τοῦ δαίμονος γέγονεν ἰσχυρότερος.

CAPVT XIV.

SI quis iracundiæ dominatus eſt, ipſe Dæmones euicit, ſi verò quis ab iſta paſſione fuerit ſubiugatus, is à vitâ Monaſticâ omninò eſt alienus, ac veluti peregrinus longè diſtat à vijs Saluatoris noſtri; Siquidem ipſe Dominus noſter dicitur docere mites vias ſuas, idcircò Anachoretarum mens difficilis eſt captu, cum in manſuetudinis cõfugiat campum, quià nullam ferè virtutem adeò metuunt Dæmones, vt manſuetudinem. Hanc etenim poſſidebat, & Moyſes ille, mitis ſupra omnes homines vocatus. Quin & Sanctus Dauid iſtam memoriâ Dei dignam eſſe acclamauit; aiens: Memento Domine Dauid, & omnis manſuetudinis eius; Sed & ipſe Saluator imitatores nos eſſe iuſſit ſuæ manſuetudinis, dicens: Diſcite à me, quia mitis ſum, & humilis corde, & inuenietis requiem animabus veſtris: quod ſi quis eſcis quidem, atque potibus abſtinuerit, iracundiam verò malignis prouocet cogitationibus, hic ſimilis eſt naui per mare vaganti, quæque Dæmonem habet gu-

Pſal.24. v.9. Num.12 v.3. Pſal.131 v.1. Matth. 11.v.29

ΚΕΦΑΛ ιδʹ.

Εἴτις θυμοῦ κεκράτηκεν, οὗτος δαιμόνων κεκράτηκεν, εἰ δέ τις τούτῳ τῷ πάθει δεδούλωται, οὗτος μοναδικοῦ βίου ἐστὶ παντελῶς ἀλλότριος, καὶ ξένος τῶν ὁδῶν τοῦ σωτῆρος ἡμῶν. εἴπερ αὐτὸς ὁ Κύριος ἡμῶν λέγεται διδάσκειν τοὺς πραεῖς τὰς ὁδοὺς αὐτοῦ. διὸ καὶ δυσθήρατος γίνεται τῶν ἀναχωρούντων ὁ νοῦς, εἰς τὸ τῆς πραότητος φεύγων πεδίον, οὐδεμίαν γὰρ τῶν ἀρετῶν σχεδὸν οὕτω δεδοίκασιν οἱ δαίμονες, ὡς πραΰτητα, ταύτην γὰρ καὶ Μωϋσῆς ἐκεῖνος ἐκέκτητο, πραῢς παρὰ πάντας τοὺς ἀνθρώπους κληθείς. καὶ ὁ ἅγιος δὲ Δαβὶδ ἀξίαν ταύτην τῆς τοῦ Θεοῦ μνήμης ἀπεφθέγξατο εἶναι· μνήσθητι κύριε (λέγων) τοῦ Δαβίδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ. ἀλλὰ καὶ αὐτὸς ὁ σωτὴρ μιμητὰς ἡμᾶς ἐκέλευσε γενέσθαι τῆς ἐκείνου πραότητος. μάθετε ἀπ᾿ ἐμοῦ λέγων, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. εἰ δέ τις βρωμάτων μὲν, καὶ πομάτων, ἀπέχοιτο, θυμὸν δὲ λογισμοῖς πονηροῖς ἐρεθίζει, οὗτος ἔοικε ποντοπορούσῃ νηῒ, καὶ ἐχούσῃ δαίμονα κυβερνήτην, διὸ προσεκτέον,

ὅση δύναμις, τῷ ἡμετέρῳ κυνὶ, καὶ διδακτέον αὐτὸν, τοὺς λύκους μόνους διαφθείρειν, καὶ μὴ τὰ πρόβατα κατεσθίειν, πᾶσαν ἐνδεικνύμενον πρᾳότητα πρὸς πάντας ἀνθρώπους.

gubernatorem: ideò attendendum, quoad fieri poteſt, cani noſtro, idemque docendus eſt, vt ſolos diſperdat lupos, & non comedat oues, omnem ergà omnes homines exhibens manſuetudinem. *2.Tim. c.2.v.24*

ΚΕΦΑΛ ιε΄.

Μόνος τῶν λογισμῶν ὁ τῆς Κενοδοξίας ἐστὶ πολύϋλος, καὶ ὅλην σχεδὸν περιλαμβάνων τὴν οἰκουμένην, καὶ πᾶσι τοῖς δαίμοσιν ὑπανοίγων τὰς θύρας, ὥσπερ τις προδότης πονηρὸς ἀγαθῆς γινόμενος πόλεως. διὸ καὶ πάνυ ταπεινοῖ τοῦ ἀναχωρητοῦ τὸν νοῦν, πολλῶν λόγων αὐτὸν καὶ πραγμάτων πληρῶν, καὶ τὰς προσευχὰς αὐτοῦ λυμαινόμενος, δι' ὧν πάντα τὰ τῆς ψυχῆς αὐτοῦ τραύματα θεραπεύειν σπουδάζει. τοῦτον τὸν λογισμὸν συναύξουσι πάντες ἡττηθέντες οἱ δαίμονες, καὶ πάλιν δι' αὐτοῦ πάντες εἰς τὰς ψυχὰς λαμβάνουσιν εἴσοδον, ποιοῦντες ὄντως τὰ ἔσχατα χείρονα τῶν πρώτων. ἐκ τούτου δὲ γίνεται τοῦ λογισμοῦ, καὶ ὁ τῆς ὑπερηφανίας ἐκεῖνος, ὁ τὸ ἀποσφράγισμα τῆς ὁμοιώσεως, καὶ τὸν στέφανον τοῦ κάλλους ἀπ' οὐρανῶν εἰς γῆν καταβαλὼν. ἀλλ' ἀποπήδησον τούτου, καὶ μὴ χρονίσῃς, ἵνα μὴ προδῶμεν ἄλλοις τὴν ζωὴν ἡμῶν, καὶ τὸν ἡμέτερον βίον ἀνελεήμοσι. τοῦτον δὲ τὸν δαίμονα φυγαδεύει ἐκτενὴς προσευχὴ, καὶ τὸ μηδὲν ἑκόντα ποιεῖν, τῶν συντελούντων πρὸς τὴν ἐπάρατον δόξαν. ὅταν ὀλίγης ἀπαθείας τῶν ἀναχωρούντων ὁ νοῦς ἐπιλάβηται, τότε Κενοδοξίας ἵππον κτησάμενος, εὐθέως ἐλαύνει κατὰ τὰς πόλεις, ἄκρατον ἐκ τῆς δόξης ἐμφορούμενος ἔπαινον, ᾧ, κατ' οἰκονομίαν, τὸ Πνεῦμα τῆς πορνείας ἀ-

CAPVT XV.

E cogitationibus ſola illa vanæ gloriæ multiplici abundat materie, quæ tùm vniuerſum ferè Terrarum orbem comprehendit, tùm omnibus Dæmonibus clanculùm aperit portas, eſtquè velut quidam malus proditor bonæ vrbis; ideò Anachoretæ, ſeù in receſſu degentis valdè mentem humiliat, multis eum replens intellectus conceptibus, atque negotijs, inficienſque lue ipſius Orationes, per quas animæ ſuæ vulnera ſtudet ipſe curare. Omnes Dæmones, qui deuicti ſunt, hanc cogitationem ſimul augent; & rurſùs cuncti per eam in animas aditum aſſumunt, reddentes verè nouiſſima peiora prioribus. Ex hac *Matth. c.12.v. 45.* autem cogitatione gignitur & illa *Luc.c.11 v.20.* ſuperbiæ, quæ ſignaculum ſimilitudinis, ac pulchritudinis coronam è Cælis in terram decuſſit, ac prolabi fecit: verùm ab iſtâ reſili, nec diù commoreris, nec alijs vitam noſtram, noſtraſque facultates, ac bona immiſericordibus prodamus: iſtum verò Dæmonem aſſidua fugat Oratio, nihilque lubenter facere, aut dicere illorum, quæ ad elatam gloriam cōducunt. Quando aliquantam paſſionum vacuitatem mens Anachoretarum nacta fuerit, tunc equum vanæ gloriæ poſſidens, ocyus equitat ad Vrbes, intemperatâ laude è gloriâ ingurgitata, ac repleta, cui, iuxtà prouidentiam, ſpiritus fornica-

nicationis occurrens, atque in vnâ porcorum harâ ipſam recludens, edocet eam neutiquam derelinquere lectum antè perfectam valetudinem, nec immoderatos infirmos imitari, qui, dum etiam in ſeipſis reliquias circumferunt infirmitatis, ſeſe dedunt intempeſtiuis itineribus, & balneis, inque morbos incidunt recidiuè. Quamobrem ſecedendo potiùs nobis ipſis attendamus, quòd nimirùm, dùm progredimur quidem in virtute, ægrè mouemur ad malitiam, & dùm in cognitione renouamur, variarum accipimus multitudinem ſpeculationum; rursùſque, dùm ad orationem eleumur, lumen Saluatoris noſtri clariùs inſpiciemus.

παντῶζαν, καὶ εἰς ἕνα τῶν συφεῶν ἀποκλείσασαν τοῦτον, παιδεύει αὐτὸν μηκέτι πρὸ τῆς τελείας ὑγείας καταλιμπάνειν τὴν κλίνην, μηδὲ οὖν ἀτάκτους τῶν ἀῤῥώστων μιμεῖσθαι, οἵτινες, ἔτι λείψανα τῆς ἀσθενείας ἐν ἑαυτοῖς περιφέροντες, ὁδοῖς ἑαυτοὺς, καὶ λουτροῖς ἀκαίροις ἐπιδιδόασι, καὶ τοῖς ἐξ ὑποστροφῆς νοσήμασι περιπίπτουσι. διόπερ καθεζόμενοι μᾶλλον προσέχωμεν ἑαυτοῖς, ὡς, προκόπτοντες μὲν ἐν ἀρετῇ, δυσκίνητοι πρὸς κακίαν γινόμεθα, ἀνακαινούμενοι δὲ ἐν τῇ γνώσει, ποικίλων προσλαμβανόμεθα πλῆθος θεωρημάτων, ὑψούμενοι δὲ πάλιν κατὰ τὴν προσευχὴν φανερώτερον τὸ τοῦ σωτῆρος ἡμῶν ἐποπτεύσομεν φῶς.

CAPVT XVI.

OMnia quidem Dæmonum maleficia ſcribere nō poſſum, ipſorumquè malignas artes pudet dinumerare, veritus, ne offendantur ſimpliciores, qui legerint. At, præter fornicationis ſpiritum, audi vafritiem. Quando aliquis paſſionum acquiſierit vacuitatem in parte concupiſcibili, cæterùmque turpes cogitationes ſubfrigidæ euaſerint, tunc introducit viros, atque mulieres mutuò ludentes, turpiumque rerum, ac geſtuum Anachoretam conſtituit ſpectatorem. Sed hæc tentatio non eſt ex his, quæ longo tempore durent, intenſa namque Oratio, arctiſſimuſque victus cū vigiliâ, & ſpiritualium contemplationum exercitio, ipſam procul repellit, veluti nubem aquâ carentē. Interdùm vero accidit, quòd & carnes tangat, ad irrationalem ipſas promouens inflammationem; aliaque millia excogitat talis tenta-

ΚΕΦΑΛ. ιϛ'.

ΠΑ'σας μὲν τὰς κακουργίας τῶν Δαιμόνων γράφειν οὐ δυνάμαι, καὶ τὰς κακοτεχνίας αὐτῶν καταλέγειν αἰσχύνομαι, δεδοικὼς τῶν ἐντευξομένων οὖν ἁπλουστέρους. πλὴν δὲ τοῦ Πνεύματος τῆς πορνείας, ἄκουε πανουργίαν. ὅταν τις τοῦ ἐπιθυμητικοῦ μέρους κτήσηται ἀπάθειαν, καὶ οἱ αἰσχροὶ λογισμοὶ λοιπὸν ὑπόψυχροι γίνωνται, ὁ τηνικαῦτα εἰσάγει ἄνδρας τε, καὶ γυναῖκας παίζοντας μετ' ἀλλήλων, καὶ αἰσχρῶν πραγμάτων, καὶ σχημάτων, τὸν ἀναχωρητὴν καθίστησι θεατήν. ἀλλ' οὗτος ὁ πειρασμὸς οὐκ ἔστι τῶν χρονιζόντων, προσευχὴ γὰρ σύντονος, καὶ δίαιτα στενωτάτη μετὰ ἀγρυπνίας, καὶ γυμνασίας θεωρημάτων Πνευματικῶν ὥσπερ νέφος αὐτὸν ἄνυδρον ἀπελαύνει. ἔστι δὲ ὅτε καὶ τῆς σαρκὸς ἐφάπτε-

ται, πρὸς τὴν ἄλογον πύρωσιν αὐτὰς ἐκμοχλεύων, καὶ ἄλλα δέ τινα μυρία προσμηχανᾶται ὁ παμπόνηρος οὗτος, ἅπερ οὐκ ἀναγκαῖον δημοσιεῦσαι, καὶ γραφῇ παραδοῦναι. συμβάλλεται δὲ σφόδρα πρὸς τοὺς λογισμοὺς καὶ ζέσις θυμοῦ κατὰ τοῦ Δαίμονος κινηθεῖσα, ὅνπερ θυμὸν μάλιστα δέδοικεν ἐπὶ τοῖς λογισμοῖς ταρασσόμενος, καὶ διαφθείροντα αὐτοῦ τὰ νοήματα. καὶ τοῦτό ἐστι τὸ, ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. χρήσιμον τοῦτο φάρμακον ἐν τοῖς τοιούτοις πειρασμοῖς τῇ ψυχῇ προσαγόμενον. μιμεῖται δὲ καὶ ὁ τῆς Ὀργῆς τοῦτον τὸν Δαίμονα, καὶ πλάττει, καὶ αὐτὸς τινὰς τῶν γεγεννηκότων, ἢ φίλων, ἢ συγγενῶν, ἢ οἰκείων ὑβριζομένους, καὶ τυπτομένους ὑπὸ ἀναξίων, καὶ τῶν ἀναχωρητῶν ἀνακινεῖ τὸν θυμὸν, ὥστε φθέγξασθαί τι πονηρὸν, ἢ ποιῆσαι πρὸς τοὺς φαινομένους κατὰ διάνοιαν, οἷς οὐ προσέχειν ἀναγκαῖον, καὶ ταχέως ἐξαρπάζειν ἀπὸ τῶν τοιούτων εἰδώλων τὸν νοῦν, ἵνα μὴ χρονίσας ἐν αὐτοῖς, γένηται κατὰ τὸν καιρὸν τῆς προσευχῆς, ὥσπερ δαλὸς καπνιζόμενος. τούτοις δὲ τοῖς πειρασμοῖς οἱ θυμώδεις περιπίπτουσι, καὶ μάλιστα οἱ ῥᾳδίως πρὸς τὰς ὀργὰς ἐξαπτόμενοι. οἵτινες μακρὰν εἰσὶ καθαρᾶς προσευχῆς, καὶ τῆς γνώσεως τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

tatio, omni abundans malitiâ, quæ in publicũ proferre, ſcriptis ſeque tradere non eſt neceſſum. verùm ad huiuſcemodi cogitationes plurimùm etiam confert feruor iracundiæ contrà Dæmonẽ commotus, quam equidem iracundiã maximè timet, dum in cogitationibus turbatur, ipſiuſquè diſperdit conſilia: & hoc eſt illud : Iraſcimini, & nolite peccare. *Pſal. 4. v. 7.* Vtile remedium eſt hoc in huiuſcemodi tentationibus animæ applicatum: Sed & iræ Dæmon iſtum fornicationis dæmonem imitatur. etenim ipſe quoq; fingit quoſdam Parentum, aut amicorum, aut cognatorum, aut domeſticorum contumelijs affectos, & cæſos ab indignis hominibus, ſicque iram commouet Anachoretarum, itaut, aut proferant, aut faciant quid mali aduerſus eos, qui intellectualiter apparent, quibus attendere non eſt neceſſum, ſed celeriter abripere mentem ab iſtiuſmodi ſimulacris, ne immorans ea in iſtis, tempore Orationis euadat veluti torris fumans. in has certè tentationes dilabuntur iracundi, hique potiſſimùm, qui facilè ad indignationes ſuccenſen qui tales procul abſunt à purâ oratione, & à cognitione Saluatoris noſtri Ieſu Chriſti.

ΚΕΦΑΛ. ιζ.

ΤΑ νοήματα τοῦ αἰῶνος τούτου ὁ κύριος καθάπερ πρόβατά τινα τῷ ἀγαθῷ ποιμένι τῷ ἀνθρώπῳ παρέδωκε, καὶ γὰρ, φησι, τὸν αἰῶνα δέδωκεν ἐν καρδίᾳ αὐτοῦ. συζεύξας αὐτῷ θυμὸν, καὶ ἐπιθυμίαν πρὸς βοήθειαν, ἵνα, διὰ μὲν τοῦ θυμοῦ, φυγαδεύῃ τὰ τῶν λύκων νοήματα, διὰ δὲ τῆς ἐπιθυμίας

CAPVT XVII.

COgitata, ſeù conſilia huius ſæculi Dominus, vt oues quaſdam, bono paſtori tradidit homini; etenim (ait) ſæculum dedit in corde ipſius: connectens ei iracundiam, & cupiditatem ad auxilium, vt per iram quidem luporum fugaret conſilia, per cupi-

 ditatem

ditatem autem adamaret oues, etſi ab imbribus, atque ventis ſæpiùs fuerit iactatus. Inſuper autem dedit ipſi & paſcuum, vt paſceret oues, & locum herbæ virentis, & aquam requiei, & pſalterium, & citharam, & virgam, & baculum, vt ex hoc grege nu-
1.Cor.9. v.7. triretur, atque veſtiretur, montanamque herbam colligeret. quis enim (inquit) paſcit gregem, & non comedit è gregis lacte? oportet igitur, Anachoretam noctu, diùque cuſtodire gregem iſtum, ne cogitatum aliquod fiat belluæ præda, neuè in latrones incidat; ſi verò aliquid huiuſmodi
1.Reg. 17.v.34 contingeret in valle nemoroſa, confeſtim eripere ex ore leonis, aut vrſi. fit autem belluæ præda cogitatum, quod de fratre habetur, ſi, quod in noſtra mente verſatur conſilium, cum odio paſcatur; fitque pariter feræ præda cogitatum de muliere, ſi cum turpi concupiſcentiâ verſetur apud nos; ſic etiam ſe habet cogitatum de argento, & auro, ſi cum auiditate plus habendi ſtabuletur in nobis.

στέργῃ τὰ πρόβατα, καὶ ὑπὸ τῶν ὑετῶν, καὶ ἀνέμων πολλάκις βαλλόμενος. δέδωκε δὲ αὐτῷ πρὸς τούτοις καὶ νομὸν, ὅπως ποιμαίνῃ τὰ πρόβατα, καὶ τόπον χλόης, καὶ ὕδωρ ἀναπαύσεως, καὶ ψαλτήριον, καὶ κιθάραν, καὶ ῥάβδον, καὶ βακτηρίαν, ἵνα ἐκ ταύτης τῆς ποίμνης, καὶ τραφῇ, καὶ ἐνδύσηται, καὶ χόρτον ὀρεινὸν συναγάγῃ. τίς γὰρ, φησι, ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; δεῖ οὖν τὸν ἀναχωροῦντα φυλάττειν νύκτωρ, καὶ μεθ' ἡμέραν τοῦτο τὸ ποίμνιον, μήτι τῶν νοημάτων γένηται θηριάλωτον, ἢ λῃσταῖς περιπέσῃ, εἰ δὲ ἄρα τι τοιοῦτο συμβαίη κατὰ τὴν νάπην, εὐθέως ἐξαρπάζειν ἐκ τοῦ στόματος τοῦ λέοντος, ἢ τῆς ἄρκτου. γίνεται δὲ τὸ νόημα τὸ περὶ τοῦ ἀδελφοῦ θηριάλωτον, εἰ μετὰ μίσους νέμοιτο ἐν ἡμῖν. καὶ τὸ περὶ τῆς γυναικὸς, εἰ μετ' αἰσχρᾶς ἐπιθυμίας στρέφοιτο παρ' ἡμῖν, καὶ τὸ τοῦ ἀργυρίου, καὶ τοῦ χρυσίου, εἰ μετὰ πλεονεξίας αὐλίζοιτο. καὶ τὰ νοήματα τῶν ἁγίων χαρισμάτων, εἰ μετὰ κενοδοξίας κατὰ διάνοιαν βόσκοιτο. καὶ ἐπὶ τῶν ἄλλων δὲ νοημάτων ὡσαύτως συμβήσεται, κλεπτομένων τοῖς πάθεσιν.

quin & cogitationes, quæ de ſanctis donis habentur, idē perpetiuntur detrimentum, ſi cum vanâ gloriâ paſcantur in intellectu: ac ſimiliter in alijs cogitatis contingēt, quæ à paſſionibus furtim ſpoliantur, ac defraudantur.

CAPVT XVIII.

VErùm non ſolùm interdiù hæc oportet obſeruare, ſed etiam noctù vigilando ea cauere, ac vitare. contingit enim, quod dum quis turpiter, ac malignè contempletur, perdat quod proprium eſt: & hoc exiſtit, quod à Sancto Iacob dicitur: non tuli tibi pecudem captam à ferâ; à me
Gen.31. v.45. metipſo reddidi quidquid furto peribat, ſeù furta diei, & furta noctis,

ΚΕΦΑΛ. ιη'.

ΟΥ' μόνον δὲ ἐν τῇ ἡμέρᾳ δεῖ ταῦτα τηρεῖν, ἀλλὰ καὶ νύκτωρ ἀγρυπνοῦντας φυλάττειν. συμβαίνει γὰρ καὶ φανταζόμενον αἰσχρῶς, καὶ πονηρῶς, ἀπολέσαι τὸ ἴδιον. καὶ τοῦτό ἐστι τὸ ὑπὸ τοῦ ἁγίου λεγόμενον

Ἰακώβ· οὐκ ἐνηνοχέασι πρόβατον θηριάλωτον, ἀπ' ἐμαυτοῦ ἀπετίννυον κλέμματα ἡμέρας, καὶ κλέμματα νυκτός, καὶ ἐγινόμην συγκαιόμενος τῷ καύσωνι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου. εἰ δέ τις ἐκ τοῦ καμάτου καὶ ἀκηδία ἡμῖν προσγένηται, μικρὸν ἀναδραμόντες ἐπὶ τὴν τῆς γνώσεως πέτραν τῷ ψαλτηρίῳ προσομιλήσωμεν, πλήσσοντες διὰ τῶν ἀρετῶν τῆς γνώσεως τὰς χορδάς, βοσκήσωμεν δὲ πάλιν ὑπὸ τὸ Σιναῖον ὄρος τὰ πρόβατα, ἵνα ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ ἡμᾶς ἐκ τῆς βάτου καλέσῃ, καὶ τοὺς λόγους τῶν σημείων, καὶ τῶν τεράτων καὶ ἡμῖν χαρίσηται. φύσιν μὲν λογικὴν ὑπὸ κακίας θανατωθεῖσαν ἐγείρει Χριστὸς διὰ τῆς θεωρίας πάντων τῶν αἰώνων· ὁ δὲ τούτου πατὴρ τὴν ἀποθανοῦσαν ταύτης ψυχὴν, τὸν θάνατον τοῦ Χριστοῦ, ἐγείρει διὰ γνώσεως τῆς ἑαυτοῦ. καὶ τοῦτό ἐστι τὸ ὑπὸ τοῦ Παύλου λελεγμένον, τὸ, εἰ συναπεθαίνομεν τῷ Χριστῷ, πιστεύομεν, ὅτι καὶ συζήσομεν αὐτῷ. ὅταν ὁ νοῦς τὸν παλαιὸν ἄνθρωπον ἀποδυσάμενος τὸν ἐκ χάριτος ἐνδύσηται, τότε καὶ τὴν αὐτοῦ κατάστασιν ὄψεται κατὰ καιρὸν τῆς προσευχῆς, σαπφείρῳ ἢ οὐρανίῳ χρώματι παρεμφερῆ, ἥντινα καὶ τόπον Θεοῦ γραφὴ ὀνομάζει ὑπὸ τῶν πρεσβυτέρων ὀφθέντα ὑπὸ τοῦ ὄρους Σινᾶ.

noctis, & exurebar æſtu diei, & gelu noctis, ſecedebatque ſomnus ab oculis meis. ſi autem aliqua ex labore pigritia nobis acceſſerit, paululùm recurrẽtes ad cognitionis petram, Pſalterio nos admoueamus, per virtutes cognitionis chordas pulſantes, ruſſus que ſub Sinæo monte pecudes depaſcamus, vt Deus Patrum noſtrorum nos etiam euocet è rubo, atque rationes ſeu cauſſas ſignorum ac prodigiorum nobis donet ac largiatur. Naturam quidem rationalem è vitio morte affectam ſuſcitat Chriſtus per contemplationem omnium ſæculorum; huius autẽ Pater mortuam eiusdẽ naturæ rationalis animam, quæ mors eſt Chriſti, per ſui ipſius excitat cognitionem: hocque eſt, quod à Paulo dicitur: ſi commorimur Chriſto, credimus, quod 2.Tim.2 v.11.
& ipſi conuiuificabimur. quando mens, eum veterem exuerit hominem, induerit eum, qui ex gratiâ eſt, tunc & ſtatum ſuum videbit tempore orationis ſapphiro, aut cælesti colori ſimilem, quem & locum Dei ſcriptura nominat, viſum à ſenioribus ſub monte Sina.

ΚΕΦΑΛ. ιθ'.

Ὅταν τῶν ἐχθρῶν τρώσῃ σέ τις παραβαλὼν, καὶ βούλει τὴν ῥομφαίαν αὐτοῦ στρέψαι, κατὰ τὸ γεγραμμένον, ἐπὶ τὴν καρδίαν αὐτοῦ. ποίησον οὕτως, ὡς λέγομεν. διέλε κατὰ σαυτὸν τὸν ὑπ' αὐτοῦ βληθέντα λογισμὸν, ὅστις ποτέ ἐστι, καὶ ἐκ πόσων πραγμάτων συνέστηκε, καὶ ποῖος τοῦτό ἐστι μάλιστα τὸ

CAPVT. XIX.

Qvando quiſpiam hoſtium appropinquans, te vulnerauerit, veliſque gladium eius conuertere (ſecundum, quod ſcriptum eſt) in cor eius, ita Pſal.36. v.14.
faxis, vt dicimus. diuide apud te ipſum cogitationẽ ab illo immiſſam, nimirùm qualis vnquam ea ſit, quotque è rebus conſtet, & maximè quale ſit iſtud, quod mentem affligat; quod autem dico,

huiuſcemodi eſt: ſit imiſſa ab ipſo cogitatio auaritiæ, iſtam diuide tùm in mentem, quæ ipſam ſuſcepit, tùm in auri notionemtum in ipſum aurum, tùm etiam in paſſionem auaram; ac dein interroga quidnã horum ſit peccatum: vtrum mens? & quomodo? eſt imago dei: ſed notio auri? & iſtud quis vnquam diceret mentem habens? verum ipſum aurum eſt peccatum? & cuius gratiã factum fuit? ſequitur itaque, peccati cauſſam eſſe. quartum (nempè paſſionem auaram) quæ quidem non eſt res ſubſiſtens per eſſentiam, neque rei notio, nec rurſus mens incorporea, ſed voluptas quædam homini infenſa, è libero arbitrio progenita, mentemquè compellens, vt malè Creaturis Dei vtatur, quam etiam circumcidere credita eſt Diuina Lex. te itaque hæc perſcrutante, cogitatio quidem euaneſcet in propriam reſoluta contemplationem, fugietquè à te Dæmonium, dum intellectus tuus ab iſtaã cognitione fuerit eleuatus.

θλιβόμενον τὸν νοῦν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. ἔστω πεμφθεὶς ὁ τῆς φιλαργυρίας ὑπ' αὐτοῦ λογισμός. τοῦτον διέλε εἴς τε τὸν ὑποδεξάμενον αὐτὸν νοῦν, καὶ εἰς τὸ νόημα τοῦ χρυσοῦ, καὶ εἰς αὐτὸν τὸν χρυσόν, καὶ εἰς τὸ φιλάργυρον πάθος. καὶ λοιπὸν ἐρώτα τί τούτων ἐστὶν ἁμαρτία, πότερον ὁ νοῦς; καὶ πῶς; ἐστὶν εἰκὼν Θεοῦ. ἀλλὰ τὸ νόημα τοῦ χρυσοῦ; καὶ τοῦτο τίς ἂν εἴποι νοῦν ἔχων ποτέ; ἀλλ' αὐτὸς ὁ χρυσὸς ἐστὶν ἁμαρτία; καὶ τίνος χάριν γεγένηται; ἕπεται τοίνυν, ὅπερ οὐκ ἔστι μὲν πρᾶγμα ὑφεστὼς κατ' οὐσίαν, οὐδὲ νόημα πράγματος, οὐδὲ νοῦς πάλιν ἀσώματος, ἀλλ' ἡδονή τις μισάνθρωπος, ἐκ τοῦ αὐτεξουσίου τικτομένη, καὶ κακῶς κεχρῆσθαι τοῖς τοῦ Θεοῦ κτίσμασι τὸν νοῦν ἀναγκάζουσα, ἣν καὶ περιτέμνειν ὁ τοῦ Θεοῦ νόμος πεπίστευται. καὶ ταῦτά σου διερευνωμένου, φθαρήσεται μὲν ὁ λογισμὸς εἰς τὴν ἰδίαν ἀναλυόμενος θεωρίαν. φεύξεται δὲ ἀπό σου τὸ Δαιμόνιον, τῆς διανοίας σου ὑπὸ ταύτης τῆς γνώσεως εἰς ὕψος ἀρθείσης.

CAPVT XX.

SI autem Velis vti quidem illius gladio, deſideras verò in primis per fundam tuam ipſum ſubigere: eiice tu quoque lapidem è paſtorali tuâ perâ, huiuſque exquire contemplationem; nimirùm, quomodo Angeli quidem, atque Dæmones noſtro accedant Mundo, at nos ipſorum non accedamus Mundis, nec enim poſſumus Angelos magis adiungere Deo, nec Dæmones efficere magis impuros in animũ inducimus: quoque pacto Lucifer, qui manè oriebarur in terram præceps

ΚΕΦΑΛ κ'.

ΕΙ δὲ βούλει χρήσασθαι μὲν τῇ ἐκείνου ῥομφαίᾳ, ἐπιποθεῖς δὲ πρότερον διὰ τῆς σῆς σφενδόνης τοῦτον χειρώσασθαι. ἔκβαλλε καὶ σὺ λίθον ἐκ τοῦ ποιμενικοῦ σου καδίου, καὶ τούτου ζήτει τὴν θεωρίαν. πῶς ἄγγελοι μὲν, καὶ Δαίμονες τῷ ἡμετέρῳ παραβάλλουσι κόσμῳ, ἡμεῖς δὲ τοῖς αὐτῶν κόσμοις οὐ παραβαλλόμεθα. οὔτε γὰρ ἀγγέλους Θεῷ συνάπτειν πλέον δυνάμεθα, οὔτε Δαίμονας ἀκαθάρτους μᾶλλον ποιεῖν προαιρούμεθα. καὶ πῶς ὁ ἑωσφό-

γος ὁ περὶ τὴν ἀναπίλλων εἰς τὴν γῆν καταῤῥίψῃ. καὶ ἡγεῖται μὲν τὴν θάλασσαν ὡς ἐξάλειπτρον, τὸν δὲ τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον, ἀναζεῖ δὲ τὴν ἄβυσσον ὥσπερ χαλκίον, πάντας ἐκταράσσων διὰ τῆς κακίας αὐτοῦ, καὶ πάντων ἄρχειν βουλόμενος. τούτων γὰρ τῶν πραγμάτων ἡ θεωρία πάνυ τιτρώσκει τὸν Δαίμονα, καὶ πᾶσαν αὐτοῦ τὴν παρεμβολὴν φυγαδεύει. ἀλλὰ ταῦτα μὲν τῶν ἠρέμα κεκαθαρμένων μόνων συμβαίνει, καὶ βλεπόντων πῶς τοὺς λόγους τῶν γεγονότων. οἱ δὲ ἀκάθαρτοι τὴν θεωρίαν τούτων οὐκ ἴσασιν, οὐδὲ εἰ μαθόντες παρ' ἑτέρων κατεπᾴδοιεν ἀκουσθήσονται, πολλοῦ κονιορτοῦ, καὶ θορύβου διὰ τὰ πάθη συνισταμένου κατὰ τὸν πόλεμον. δεῖ γὰρ πάντως τὴν παρεμβολὴν τῶν ἀλλοφύλων μικρὸν ἠρεμῆσαι, ἵνα μόνος ὁ Γολιὰθ ἀπαντήσῃ τῷ ἡμετέρῳ Δαβίδ. ὡσαύτως δὲ καὶ τῇ διαιρέσει, καὶ τῷ εἴδει τούτῳ τοῦ πολέμου χρησώμεθα καὶ ἐπὶ πάντων ἀκαθάρτων λογισμῶν.

ceps deiectus ſit, & mare quidem exiſtimat vti Vas vnguentarium, Tartarum autem Abyſſi perinde atque captiuum, ſed & ipſam Abyſſum veluti æramentū feruefacit, omnes ſuâ perturbans malitiâ, omnibuſque volens imperare. harum quippè rerum contemplatio valdè ſauciat Dęmonem, omnemq; eius fugat caſtrametationem; ſed hæc quidem contingunt ſolis quietè placidèquè purgatis, & aliquantulùm diſpicientibus rationes eorum, quæ facta ſunt. At impuri neſciunt iſtarum rerum diſpectionem, nec audiunt, ab alijs edocti, ſi illi demulceant, & incantent; cum belli multus excitatus puluis, multusue tumultus ſit propter paſſiones conflatus. oportet enim omninò, caſtrametationem alienigenarum paululùm autem quieſcere, vt Solus Goliath obuius eat noſtro Dauid. ſimiliter hacce diuiſione, iſtâque belli in omnibus impuris cogitationibus ſpecie utamur.

ΚΕΦΑΛ κα'.

ΤΩν ἀκαθάρτων Δαιμόνων, οἱ μὲν τὸν ἄνθρωπον, ὡς ἄνθρωπον ἐκπειράζουσιν, οἱ δὲ τὸν ἄνθρωπον, ὡς ζῶον ἄλογον ἐκταράσσουσι, καὶ οἱ μὲν πρῶτοι προσβάλλοντες, Κενοδοξίας, ἢ ὑπερηφανίας, ἢ φθόνου, ἢ κατηγορίας ἡμῖν ἐμβάλλουσι νοήματα, ἅπερ οὐδενὸς ἅπτεται τῶν ἀλόγων. οἱ δὲ δεύτεροι προσεγγίζοντες, θυμὸν ἢ ἐπιθυμίαν παρὰ φύσιν κινοῦσι. ταῦτα γὰρ τὰ πάθη κοινὰ ἡμῶν καὶ τῶν ἀλόγων ζώων τυγχάνουσιν, ὑπὸ τῆς λογικῆς καλυπτόμενα φύσεως. διὸ λέγει καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, πρὸς μὲν τοὺς ἀνθρωπίνοις περιπίπτοντας λογι-

CAPVT XXI.

ET quidem aliqui impurorum Dæmonum hominem pertentant, vt hominem; aliqui verò hominem, vt animal irrationale perturbant; & primi quidem accedentes, aut vanæ Gloriæ, aut ſuperbiæ, aut inuidiæ, aut criminationis nobis inijciunt cogitata, quæ nullum irrationabilium tangunt; ſecundi autem approximantes mouent iram, aut concupiſcentiam præter naturam: hæ quippè paſſiones communes nobis & irrationalibus animantibus exiſtunt, ſub rationali naturâ latentes;

tentes, Ideò Spiritus Sanctus ad incidentes quidèm in humanas
Pſal. 81. v. 6. cogitationes dicit: Ego dixi, Dij eſtis, & filij Altiſſimi omnes; vos autem ſicut homines moriemini, & ſiicut vnus de principibus cadetis: ad eos autem, qui irrationaliter mouentur, quid ait? Nolite fieri ſicut equus, & mulus, quibus nõ eſt intellectus: in camo, & fræno maxillas eorũ conſtringe,
Pſal. 31. v. 6. qui nõ approximant ad te. Anima verò, quę peccauerit, ipſa morietur. manifeſtum eſt, quod homines ſicut homines morientes, ab hominibus ſepelientur, at qui, vt irrationabiles morte afficiuntur, ſiue cadunt, à vulturibus, & coruis deuorabuntur, è quorum pullis, hi quidem inuocant Dominum, alij vero fœdantur in ſanguinibus. qui habet aures audiendi, audiat.

σμοῖς, ἐγὼ εἶπα Θεοί ἐστε, καὶ Υἱοὶ ὑψίστου πάντες. ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. πρὸς δὲ τοὺς κινουμένους ἀλόγως, τί φησι; μὴ γίνεσθε ὡς ἵππος, καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις, ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαι τῶν μὴ ἐγγιζόντων πρὸς σέ. ἡ δὲ ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται. πρόδηλον, ὅτι οἱ μὲν ἄνθρωποι ὡς ἄνθρωποι ἀποθνήσκοντες, ὑπὸ ἀνθρώπων ταφήσονται, οἱ δὲ ὡς ἄλογοι θανατούμενοι, ἤτοι πίπτοντες, ὑπὸ γυπῶν, ἢ κοράκων βρωθήσονται, ὧν οἱ νεοσσοί, οἱ μὲν ἐπικαλοῦνται τὸν Κύριον οἱ δὲ φύρονται ἐν αἵμασιν. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

CAPVT XXII.

Qvando impuræ quædã cogitationes ocyùs fuerint effugatæ, inquiramus cauſſam, vnde id contigerit: vtrùm propter rei penuriam, eò quod materies ægrè ſit parabilis, aut propter eam, quæ nobis ineſt, paſſionũ vacuitatẽ, non præualuerunt aduersùs nos inimici? Exempli cauſſâ: Si quis Anachoretarum, ſuggeſtu Dæmonis, recordatus fuerit, quod primæ Vrbis ſibi concredita fuerit gubernatiò, manifeſtum eſt, quod is non immorabitur iſtam cogitationem contemplans, & cauſſa ex his, quæ dicuntur, cognita fuit; Si quis autẽ quod ſit Vrbis & qualiſcumque, ac ſimiliter cogitet, is beatus eſt ob paſſionum carentiam: ſic etiam pariter in alijs cogitationibus huiuſcemodi modus, ſi examinetur, comperietur. Hæc autem neceſſarium eſt ſcirere ad noſtram animi

ΚΕΦΑΛ. κβ'

Ὅταν τινὲς τῶν ἀκαθάρτων λογισμῶν ταχέως φυγαδευθῶσι, ζητήσωμεν τὴν αἰτίαν πόθεν τοῦτο συμβέβηκε; πότερον διὰ τὴν σπάνιν τοῦ πράγματος, τοῦ δυσπόριστον εἶναι τὴν ὕλην, ἢ διὰ τὴν προσοῦσαν ἡμῖν ἀπάθειαν οὐκ ἴσχυσαν καθ' ἡμῶν οἱ ἐχθροὶ οὗτοι; εἴ τις τῶν ἀναχωρούντων ἐνθυμηθείη ὑπὸ Δαίμονος, τῆς πρώτης πόλεως Πνευματικὴν κυβέρνησιν πιστευθῆναι. οὗτος δῆλον, ὅτι οὐ χρονίσει τὸν λογισμὸν τοῦτον φανταζόμενος, καὶ ἡ αἰτία ἐκ τῶν λεγομένων γίνεται γνώριμος. εἰ δέ τις πόλεως, καὶ τῆς τυχούσης γίνεται, καὶ ὁμοίως λογίζεται, οὗτος Μακάριος τῆς ἀπαθείας ἐστίν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων λογισμῶν εὑρεθήσεται ὁ τοιοῦτος τρόπος ἐξεταζόμενος. ταῦτα δὲ ἀναγκαῖον εἰδέναι πρὸς τὴν ἡμετέραν προθυμίαν, καὶ

δύναμιν, ἵνα εἰδῶμεν, πότερον ἢ τὸν Ἰορδάνην παρήλθομεν, καὶ ἐγγύς ἐσμὲν τῆς πόλεως τῶν φοινίκων. ἢ ἔτι ἐν τῇ ἐρήμῳ διάγομεν, καὶ ὑπὸ τῶν ἀλλοφύλων τυπτόμεθα. πάνυ γὰρ ποικίλος μοι φαίνεται τῆς φιλαργυρίας ὁ Δαίμων, καὶ πρὸς ἀπάτην εὐμήχανος, ὃς πολλάκις στενωθεὶς ὑπὸ τῆς ἄκρας ἀποταγῆς, τὸν οἰκονόμον εὐθὺς, καὶ φιλόπτωχον ὑποκρίνεται, καὶ τοὺς μηδέπω παρόντας ὑποδέχεται ξένους γνησιώτερον, καὶ ἄλλοις λειπομένοις ἀποστέλλει διακονίαν, καὶ δεσμωτήρια πόλεως ἐπισκέπτεται, καὶ τοὺς πιπρασκομένους δῆθεν ἐξαγοράζει, γυναιξίν τε κολλᾶται πλουσίαις, καὶ τοὺς εὖ πάσχειν ὀφείλοντας ὑποδείκνυσι, καὶ ἄλλους πάλιν ἀποτάξασθαι νουθετεῖ βαλάντιον ἁδρὸν κεκτημένους, καὶ οὕτως ἐξαπατήσας κατὰ μικρὸν τὴν ψυχὴν, τῆς φιλαργυρίας αὐτὴν λογισμοῖς ὑποβάλλει, καὶ τῷ τῆς Κενοδοξίας παραδίδωσι Δαίμονι.

animi alacritatem; ac robur, vt noſcamus, Vtrùm, aut Iordanem pertranſiuimus, ſimusque propè Phœnicũ Vrbem, aut adhùc in ſolitudine degamus, & cædamur ab alienigenis. valdè quippè verſutus, & callidus mihi videtur auaritiæ Dæmon, adquè decipiendum induſtrius, ac ſolers, qui ſæpiùs arctè preſſus à ſummâ renunciatione Mundi, confeſtim prouidum adminiſtratorem, amantemque pauperum ſimulat, & eos, qui nondùm adſunt, hospes generoſiùs excipit, & alijs abſentibus mittit miniſterium, & viſitat carceres Vrbis, & diuenditos videlicèt redimit, & divitibus adhæreſcit mulieribus, & eos, qui beneficio affici debent, ſubindicat, & è diuerſo alios, qui marſupium poſſidẽt opulentum, admonet, vt mundo renuntient: ſicque, cum paulatim animam deceperit, ipſam auaritiæ ſubijcit cogitationibus, traditque Dæmoni Vanæ gloriæ.

ΚΕΦΑΛ. κγ'.

Ὡς πλῆθος εἰσάγει τῶν δοξαζόντων ἐπὶ ταῖς οἰκονομίαις ταύταις τὸν κύριον, καί τινας κατ' ὀλίγον περὶ Ἱερωσύνης συλλαλοῦντας προβάλλων λοιπὸν προμαντεύεται ταχὺν θάνατον τοῦ ὄντος Ἱερέως, καὶ ὡς οὐκ ἂν ἐκφύγῃ μυρία ποιήσας προστίθησι, καὶ οὕτως ὁ ταλαίπωρος νοῦς ἐνδεθεὶς τούτοις τοῖς λογισμοῖς, τοῖς μὲν μὴ καταδεξαμένοις τῶν ἀνθρώπων διαμάχεται, τοῖς δὲ τοῦτο καταδεξαμένοις, ἑτοίμως δῶρα χαρίζεται, καὶ τῆς εὐγνωμοσύνης αὐτῶν ἀποδέχεται τινὰς δὲ στασιά-

CAPVT XXIII.

Tali pacto (Auaritiæ Dæmon) multitudinem inducit celebrantium Dominum ob haſce prouidas adminiſtrationes, paulatimque proferendo aliquos de Sacerdotio ad inuicẽ colloquentes, celerem deindè mortem Sacerdotis exiſtentis vaticinatur, vtque non effugiat, millia effingens adijcit, ſicque mens infelix hiſce illigata cogitationibus, pugnat quidem acriter aduersùs homines recuſantes, id verò amplexantibus dona promptè largitur, ipſorumque bonam mentem, ſeù virtutem, quæ beneficium, fidemque bonam agnoſcit, approbat, & commendat: ſed & ſi qui-

ſi quidam litigent, tradit eos Iudicibus, mandatque, vt ex vrbe mulctentur exilio: cæterùm hiſce cogitationibus interiùs exiſtentibus, ac verſantibus, ſtatim ſuperbiæ quoque Dæmon, quaſi ex inſidijs repentè prodit, ſulgura continua in Cellæ aere imprimens, alatoſque Dracones inſuper mittens, quodque extremum eſt malum, mentis cauſſans priuationem. Nos vero, vtpote qui cogitationibus iſtis luem exoptamus & interitum, cum gratiarum actio-
1.Tim.4 5.u ne paupertati conuiuamus; nihil enim in hunc mundum intulimus, & manifeſtum eſt, quod nec aliquid deferre poterimus, habentes verò alimenta; & veſtimenta, his contenti ſimus; memores & Pauli, qui radicem vitiorum om-
ibi. v.10 nium auaritiam nuncupauit. omnes impuræ cogitationes diutino tempore in nobis, ob paſſiones, manentes, deducunt mentem in perditionem, & exitium: quemadmodum enim cogitatio panis diù manet in eſuriente propter famẽ, & cogitatio aquæ in ſitiente propter ſitim; ita & cogitata paſſionum, & pecuniarum perdurant propter cupiditatem habendi, & notiones eſcarum, & earum, quę ex eſcis pariuntur, turpium cogitationum, immorantur diù propter paſſiones. Verùm & in cogitationibus vanę gloriæ, atque in alijs cogitatis Similiter iſta clareſcent. fieri autem non poteſt, quod mens ab iſtis rebus Suffocata, Deo adſtet, iuſtitiæ que coronâ ſe redimiat. & ex his nempè cogitationibus deorſùm tracta miſerrima illa mens in Euangelijs, Chriſti cognitionis prandium recuſauit: rurſus que ille, qui deuinctus fuit manus, & pedes, atque in tenebras exteriores proiectus, ex

ζοντας, τοῖς δικασταῖς παραδίδωσι, καὶ τῆς πόλεως ἐξορισθῆναι παραγγέλλει. τούτων δὲ λοιπὸν ἔνδον ὄντων, καὶ στρεφομένων τῶν λογισμῶν, εὐθὺς, καὶ ὁ τῆς ὑπερηφανίας ἐφίσταται Δαίμων, ἀστραπὰς συνεχεῖς κατὰ τὸν ἀέρα τῆς κέλλης τυπῶν, καὶ δράκοντας πτερωτοὺς ἐπιπέμπων, καὶ τὸ τελευταῖον κακὸν, στέρησιν φρενῶν ἐργαζόμενος· ἀλλ' ἡμεῖς τούτοις τοῖς λογισμοῖς ἀπώλειαν ἐπευξάμενοι μετ' εὐχαριστίας τῇ πενίᾳ συζήσωμεν, οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, οὐδὲ ἐξενεγκεῖν τι δῆλον ὅτι δυνάμεθα, ἔχοντες δὲ τροφὰς, καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα, μεμνημένοι καὶ Παύλου, ῥίζαν πάντων τῶν κακῶν τὴν φιλαργυρίαν εἰπόντος. πάντες οἱ ἀκάθαρτοι λογισμοὶ διὰ τὰ πάθη χρονίζοντες ἐν ἡμῖν, κατάγουσι τὸν νοῦν εἰς ὄλεθρον, καὶ ἀπώλειαν. ὥσπερ γὰρ τὸ νόημα τοῦ ἄρτου χρονίζει ἐν τῷ πεινῶντι διὰ τὴν πεῖναν, καὶ τὸ νόημα τοῦ ὕδατος ἐν τῷ διψῶντι διὰ τὴν δίψαν, οὕτω καὶ τὰ νοήματα τῶν κτημάτων, καὶ τῶν χρημάτων, χρονίζει διὰ τὴν πλεονεξίαν, καὶ τὰ νοήματα τῶν βρωμάτων, καὶ τῶν τικτομένων αἰσχρῶν λογισμῶν ἐκ τῶν βρωμάτων, χρονίζει διὰ τὰ πάθη. ἀλλὰ καὶ ἐπὶ τῶν τῆς Κενοδοξίας λογισμῶν, καὶ ἐπὶ τῶν ἄλλων λογισμῶν ὁμοίως φανερωθήσεται. οὐκ ἔστι δὲ νοῦν πνιγόμενον ὑπὸ τούτων παραστῆναι Θεῷ, καὶ τὸν τῆς δικαιοσύνης ἀναδήσασθαι στέφανον. ἐκ τούτων γὰρ τῶν λογισμῶν κατασπώμενος καὶ ἐκεῖνος ὁ ἐν τοῖς εὐαγγελίοις τρισάθλιος νοῦς, τὸ τῆς Χριστοῦ γνώσεως ἄριστον παρῃτήσατο. καὶ πάλιν ὁ δεσμούμενος χεῖρας, καὶ πόδας, καὶ εἰς τὸ ἐξώτερον σκότος βαλλόμενος ἐκ τούτων τῶν λογισμῶν κα-

ὑφασμένος εἶχε τὸ ἔνδυμα, ὅνπερ οὐκ ἄξιον τῶν τοιούτων γάμων ὁ καλέσας ἀπεφήνατο εἶναι. διὸ ἔνδυμά ἐστι γαμικὸν, ἀπάθεια ψυχῆς λογικῆς κοσμικὰς ἀρνησαμένης ἐπιθυμίας. τίς δὲ ἡ αἰτία τοῦ τὰ νοήματα τῶν αἰσθητῶν πραγμάτων, χρονίζοντα διαφθείρειν τὴν γνῶσιν εἴρηται ἐν τοῖς περὶ προσευχῆς κεφαλαίοις,

ex iſtis cogitationibus ſubtextum habebat indumentum, quem, qui vocauerat, minimè dignum huiuſcemodi nuptijs eſſe reſpondit: ideò nuptialis eſt veſtis vacuitas paſſionum animæ rationalis, mundanas repudiantis concupiſcentias. quæ verò cauſſa ſit, quòd cogitata ſenſibilium, diutiùs immorantia diſperdant, ac perimant cognitionẽ ſeù iudiciũ in Capitulis de Oratione dictum fuit rerũ.

ΚΕΦΑΛ κδʹ.

ΤΩΝ ἀντικειμένων Δαιμόνων τῇ πρακτικῇ, τρεῖς εἰσιν ἄρχοντες πρωτοστάται, οἷς ἕπεται πᾶσα ἡ παρεμβολὴ τῶν ἀλλοφύλων, οἵτινες πρῶτοι κατὰ τὸν πόλεμον ἵστανται, καὶ τὰς ψυχὰς διὰ τῶν ἀκαθάρτων λογισμῶν ἐκκαλοῦνται πρὸς τὴν κακίαν. οἱ τὰς τῆς γαστριμαργίας ὀρέξεις πεπιστευμένοι, οἱ τὴν φιλαργυρίαν ἡμῖν ὑποβάλλοντες, καὶ οἱ πρὸς τὴν τῶν ἀνθρώπων δόξαν ἡμᾶς ἐκκαλούμενοι. ἐπιθυμῶν οὖν καθαρᾶς προσευχῆς, διατήρησον θυμὸν, καὶ ἀγαπῶν σωφροσύνην, κράτει γαστρὸς, μὴ δὲ ὡς ἄρτον σῇ κοιλίᾳ, καὶ ἐν ὕδατι ἔκθλιβε αὐτήν. ἀγρύπνει ἐν προσευχῇ, καὶ μνησικακίαν μακρὰν ποίησον ἀπὸ σοῦ. λόγοι πνεύματος ἁγίου, μὴ ἐκλειπέτωσάν σε, καὶ θύρας κρουέ χερσὶν ἀρετῶν. τότε ἀνατελεῖ σοι καρδίας ἀπάθεια, καὶ νοῦν ἀστεροειδῆ ὄψει ἐν προσευχῇ. τῶν νοημάτων, τὰ μὲν τυποῖ τὸ ἡγεμονικὸν ἡμῶν, καὶ σχηματίζει, τὰ δὲ γνῶσιν μόνον παρέχει μὴ τυποῦντα τὸν νοῦν, μηδὲ σχηματίζοντα. ὁ γὰρ, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, ἐναποτίθεται μέν τι νόημα τῇ καρδίᾳ, οὐ μὴν σχηματίζει αὐτήν, οὐδὲ τυποῖ. ὁ μὲν γὰρ-

CAPVT XXIV.

OPpoſitorum actiuæ vitę Dęmonũ tres ſunt Principes in primâ velut in acie ſtantes, quos ſubſequitur omnis alienigenarum caſtrametatio, quiuè in bello primi ſtant, & animas per impuras cogitationes prouocant, & pelliciunt ad malitiam nimirum ij, qui gulæ cupiditatibus præſunt (vt diximus capite primo) & ij, qui nobis auaritiam ſuggerunt, & ij, qui ad humanam gloriam nos excitant. deſiderans igitur, puram fundere Orationem; caue ab iracundiâ, & diligens temperantiam, contine ventrem, non des panem aluo tuæ, & in aquâ ipſum attere, & afflige, vigila in Oratione, ac vltionem, ſiuè memoriam iniuriarum procul a te repelle, verba Spiritus Sancti non deficiant à te, foreſque Scripturarum pulſa manibus virtutum, tunc orietur tibi cordis affectuum vacuitas, mentemque ſimilẽ aſtris in Oratione perſpicies. E notionibus quædam ſunt, quæ noſtri animi principatũ imprimunt ac formant, & figurant, quædam verò cognitionem ſolummodò prębent, mentiſignum non imprimentes. etenim, In Principio erat verbum, & verbum erat apud Deum, deponit quidem in corde notionem, non tamen

ipſum figurat, neq; ſignat impreſſione: ſic. accipiens panem. figurat mentem, &c. fregiſſe. imprimit menti ſignum: verũ, vidi Dominum ſedentem ſuper thronum excelſum, & eleuatum, imprimit menti ſignũ ſine, vidi Dominum, & dictũ quidẽ videtur imprimere aliquod ſignũ menti, quod autem ſignificat, non imprimit: vidit quippe oculo prophetico naturam rationalem eleuatam, quæ practicè, ſeù actualiter ſuſcepit in ſe ipsâ cognitionem Dei; ibi namque dicitur ſedere Deus, vbi dignoſcitur; ideò pura mens dicitur Dei thronus; dicitur autem & mulier, thronus dedecoris, loco dicendi, quod ſit anima iuſtas res odio habens; dedecus verò animę, malitia eſt, & ignorantia: notio igitur Dei non inuenietur inter notiones, quę menti ſignum imprimunt, verùm inter notiones, quæ nõ imprimunt ailquod ſignũ mẽti. Oportet enim, quod is, qui orat ſeſe totaliter à notionibus ſeparet, quæ imprimunt ſignũ menti. & inquires, an, vt ſe res habet in corporibus, ipſorum que cogitationibus, ſic ſe habeat etiam in incorporeis, ipſorum que cogitatis, ſeù conceptibus, & aliàs quidem mens videns mentem informetur, ſeù imprimatur, & aliâs diſponatur videns ipſius conceptum? exindè verò cognoſcimus, quomodo cognitio ſpiritualis mentem ſeparet à notionibus, quæ ipſi ſignũ imprimunt, eamque ſiſtat Deo omni impreſſione carentem; quià nimirùm notio de Deo nõ eſt inter notiones imprimentes aliquod ſignũ mẽti, nec enim Deus eſt corpus, ſed magis inter eas, quæ nõ imprimunt. rursùs è contemplationibus, quę menti nõ imprimunt, ſignũ; aliquę quidem

βὼν ἤτοι σχηματίζει τὸν νοῦν, τὸ δὲ κλάσαι πάλιν, τυποῖ τὸν νοῦν. τὸ δὲ, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ ἐπηρμένου, τυποῖ τὸν νοῦν χωρὶς τοῦ εἶδον τὸν Κύριον, καὶ τὸ μὲν ῥητὸν δοκεῖ τυποῦν τὸν νοῦν. τὸ δὲ σημαινόμενον, οὐ τυποῖ. ἑώρακε γὰρ προφητικῷ ὀφθαλμῷ τὴν φύσιν τὴν λογικὴν ὑψωθεῖσαν διὰ πρακτικῆς δεξαμένην ἐν ἑαυτῇ τὴν γνῶσιν τὴν τοῦ Θεοῦ. ἐκεῖ γὰρ λέγεται καθέζεσθαι Θεὸς, ἔνθα γινώσκεται, διότι καὶ θρόνος λέγεται Θεοῦ νοῦς καθαρὸς. λέγεται δὲ καὶ θρόνος ἀτιμίας γυνὴ, ἀντὶ τοῦ, ψυχὴ μισοῦσα δίκαια, ἀτιμία δὲ ψυχῆς κακία, καὶ ἀγνωσία. τὸ τοίνυν νόημα τοῦ Θεοῦ, οὐκ ἐν τοῖς τυποῦσι τὸν νοῦν, ἀλλὰ τοῖς νοήμασι τοῖς μὴ τυποῦσι τὸν νοῦν. διότι τὸν προσευχόμενον δεῖ παντάπασι χωρίζεσθαι τῶν τυπούντων τὸν νοῦν. καὶ ζητήσεις, εἴπερ, ὡς ἔχει ἐπὶ τῶν σωμάτων, καὶ τῶν λογισμῶν αὐτῶν, οὕτως ἔχει, καὶ ἐπὶ τῶν ἀσωμάτων, καὶ τῶν λόγων αὐτῶν, καὶ ἄλλως μὲν ὁ νοῦς τυπωθήσεται ὁρῶν νοῦν, καὶ ἄλλως διατεθήσεται ὁρῶν τὸν λόγον αὐτοῦ; ἐντεῦθεν δὲ γινώσκομεν, πῶς ἡ γνῶσις ἡ πνευματικὴ ἀφίστησι τὸν νοῦν τῶν νοημάτων τῶν τυπούντων αὐτόν. ἀτύπωτον δὲ αὐτὸν παρίστησι τῷ Θεῷ, διότι τὸ τοῦ Θεοῦ νόημα οὐκ ἐν τοῖς τυποῦσιν ἐστὶν, οὐ γάρ ἐστι σῶμα ὁ Θεὸς, ἀλλ' ἐν τοῖς μὴ τυποῦσι μᾶλλον. πάλιν τῶν θεωρημάτων τῶν μὴ τυπούντων τὸν νοῦν, τὰ μὲν οὐσίαν σημαίνει ἀσωμάτων, τὰ δὲ τοὺς λόγους αὐτῶν. καὶ οὐχ ὡς ἐπὶ τῶν σωμάτων συμβαίνει, οὕτω καὶ ἐπὶ τῶν ἀσωμάτων. ἐπὶ μὲν γὰρ τῶν σωμάτων τὰ μὲν ἐτύπου τὸν νοῦν, τὰ δὲ οὐκ ἐτύπου. ἐνταῦθα δὲ οὐδέτερον νόημα τὸν νοῦν τυποῖ.

dem

dem eſſentiam ſignificant incorporeorum, aliquæ verò rationes ipſorum; neque ſicuti contingit in corporibus, ita & in incorporeis fit; in corporibus etenim alia quidẽ menti ſignũ imprimebant (vt diximus) alia verò nõ imprimebant; hîc autẽ neutra notio ſignũ imprimit menti.

ΚΕΦΑΛ. κε'.

Ὅταν ὁ τῆς γαστριμαργίας πολλὰ καὶ πολλάκις ἀγωνισάμενος Δαίμων μὴ ἰσχύσῃ διαφθεῖραι τὴν πεπυκνωμένην ἐγκράτειαν, τότε εἰς ἐπιθυμίαν ἀσκήσεως ἀκροτάτης ἐμβάλλει τὸν νοῦν, ἐξ ὧν καὶ τὰ περὶ τὸν Δανιὴλ εἰς μέσον φέρει, τὴν πενιχρὰν ἐκείνην ζωήν, καὶ τὰ σπέρματα, καὶ τινων ἄλλων ἀναχωρητῶν μνημονεύει βεβιωκότων διὰ παντὸς οὕτως, ἢ ἀρξαμένων. καὶ τούτων μιμητὴν γενέσθαι καταναγκάζει. ἵνα τὴν ἄμετρον διώκων ἐγκράτειαν, ἀποτύχῃ καὶ τῆς συμμετρίας τοῦ σώματος μὴ ἐπαρκέσαντος διὰ τὴν οἰκείαν ἀσθένειαν, ὄντως εὐλογῶν τῷ σώματι, καὶ καταρώμενος τῇ καρδίᾳ. ᾧ μὴ πείθεσθαι δίκαιον τούτους νομίζω, μηδὲ ἀπέχεσθαι ἄρτου, καὶ ἐλαίου, καὶ ὕδατος. ταύτην γὰρ τὴν δίαιταν πάνυ καλλίστην οἱ ἀδελφοὶ πεπειράκασι, καὶ τοῦτο οὐ πρὸς κόρον, καὶ ἅπαξ εἰς τὴν ἡμέραν. θαυμάζω γὰρ, εἴ τις ἄρτου, καὶ ὕδατος κορεννύμενος, δυνήσεται τὸν τῆς ἀπαθείας ὑποδέξασθαι στέφανον. ἀπάθειαν δὲ λέγω, οὐ τὴν κατάλυσιν τῆς κατ' ἐνέργειαν ἁμαρτίας, αὕτη γὰρ ἐγκράτεια λέγεται, ἀλλὰ τὴν κατὰ διάνοιαν τοὺς ἐμπαθεῖς λογισμοὺς περικόπτουσαν, ἥντινα καὶ πνευματικὴν περιτομὴν τοῦ κρυπτοῦ Ἰουδαίου ὁ ἅγιος Παῦλος ὠνόμασεν. εἰ δὲ ἀθυμεῖ τις ἐπὶ τοῖς λεχθεῖσι, μνημονευσάτω τοῦ σκεύους τῆς ἐκλογῆς, ἀποστόλου, ἐν λιμῷ, καὶ δίψῃ τὸν δρόμον τελέσαντος. μιμεῖται δὲ καὶ ὁ τῆς ἀληθείας ἀντίπαλος ὁ τῆς ἀκηδίας Δαίμων τοῦ-

CAPVT XXV.

QVando Gulæ Dęmoniũ, cũ per multa, multotiesq; decertarit, non valuerit impreſſam deſtruere continentiam, tunc ad ſummę exercitationis deſiderium mentem impellit; quamobrem tum ea de Daniele in medium profert, nimirum pauperem illam vitam, & ſemina, tùm quoſdam alios Anachoretas commemorat, qui ſemper ſic vixerunt, aut incœperunt, horumque vrget fieri æmulum ac imitatorem, vt, dum immodicam conſectatur continentiam, fruſtretur etiam moderato corporis ſtatu, non ijs contenti propter propriam infirmitatem; verè corpori benedicendo (Dæmon ille) & cordi maledicendo cui ipſos non obedire iuſtum cenſeo, neque abſtinere pane, & oleo, & aquâ; hanc enim viuendi formam ſummè optimam frarres experti ſunt; hoc que non ad ſatietatem, & ſemel tantum in diem: admiror quippe, quod quis, ſi pane, & aquâ ſatiatus fuerit, poſſit coronam aſſequi carentiæ paſſionum: vacuitatem paſſionum voco, non euerſionem actualis peccati, hęc nempè dicitur continentia; ſed eam, quę intellectualiter paſſionibus affectas cogitationes circumſecat, quam & ſpiritualem circumciſionem occulti iudæi ſanctus Paulus nominauit; ſi verò quis animum deſpondeat ſuper his, quæ dicta ſunt, rccordetur vaſis clectionis Apoſtoli, qui in fame, ac ſiti *Ad Rom. 2. v. 29.*

curſum conſummauit. Quin & veritatis aduerſarius Dæmon ille deſidiæ, iſtum imitatur Dæmonem, ſummam ſeceſſionem tolerantiâ prædito ſuggerens, ad æmulationē prouocando Ioannis Baptiſtę, atque Primitiarum Anachoretarū Antonij, vt, non portans diuturnum, & inhumanum ſeceſſum, fugiat cum pudore, locum derelin-
Pſal. 12. v. 5. quens, & ipſe poſteà gloriabundus dicat, præualui aduerſùs eum.

τὸν Δαίμονα, ἀκροτάτην ἀναχώρησιν τῷ καρτερικῷ ὑποβάλλων, εἰς ζῆλον προσκαλούμενος Ἰωάννου τοῦ Βαπτιστοῦ, καὶ τῆς ἀπαρχῆς τῶν ἀναχωρητῶν Ἀντωνίου, ἵνα, μὴ βαστάσας τὴν χρονίαν, καὶ ἀπάνθρωπον ἀναχώρησιν, φύγῃ μετ' αἰσχύνης, τὸν τόπον καταλιπὼν, καὶ αὐτὸς λοιπὸν καυχώμενος εἴπῃ, ἴσχυσα πρὸς αὐτόν.

CAPVT XXVI.

IMpuræ cogitationes multas materias ad incrementum excipiunt, atque multis coextenduntur rebus; etenim intellectualiter magna traijciunt maria, & longinqua conficere non recuſant itinera ob plurimum paſſionis feruorem; quæ autem ſunt vtcumque purificatæ, exiſtunt, pluſquam illæ, arctiores, cum multis ſeſe rebus non valeant coextendere, propter paſſionis imbecillitatem, vnde & potiùs pretęr naturam mouentur, &, ſecundùm ſapientē Salomonē,
Eccli. 11. v. 32. & 27. v. 21. tēpore aliquo e extrà vagando ſpatiantur, ſtipulamque congregant ad iniuſtam laterum fabricationē, vt ſaluentur quemadmodùm caprea è laqueis, & veluti auicula è retibus: facilius enim eſt, impuram purgare animam, quàm purgatam, denuòque ſauciatam, ad ſanitatem rurſùs reuocare, cum moeſtitię Dęmon nequaquam permittat, ſed pupillis oculorum ſemper inſiliat, & orationis tempore peccati præferat ſimulacrum.

ΚΕΦΑΛ. κϛ'.

ΟΙ μὲν ἀκάθαρτοι λογισμοὶ εἰς αὔξησιν ὕλας εἰσδέχονται, καὶ πολλοῖς συμπαρεκτείνονται πράγμασι. καὶ γὰρ πελάγη κατὰ διάνοιαν περῶσι μεγάλα, καὶ μακρὰς ὁδοὺς ὁδεύειν οὐ παραιτοῦνται διὰ πολλὴν τοῦ πάθους θερμότητα. οἱ δὲ ὁπωσοῦν κεκαθαρμένοι, στενώτεροι τούτων μᾶλλον εἰσὶ, συμπαρεκτείνεσθαι πράγμασι μὴ δυνάμενοι διὰ τὴν τοῦ πάθους ἀσθένειαν, ὅθεν καὶ παρὰ φύσιν μᾶλλον κινοῦνται, καὶ κατὰ τὸν σοφὸν Σολομῶντα, χρόνον τινὰ ἔξω ῥέμβοντες, καὶ καλάμην συνάγουσιν εἰς τὴν παράνομον πλινθουργίαν, ἵνα σώζωνται ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. ῥᾷον γὰρ ἀκάθαρτον καθᾶραι ψυχὴν, ἢ καθαρθεῖσαν, καὶ πάλιν τραυματισθεῖσαν εἰς ὑγείαν αὖθις ἀνακαλέσασθαι, τοῦ Δαίμονος τῆς λύπης μὴ συγχωροῦντος, ἀλλ' ἀεὶ ταῖς κόραις κατὰ τὸν καιρὸν τῆς προσευχῆς τὸ τῆς ἁμαρτίας προσφέροντος εἴδωλον.

ΚΕΦΑΛ. κζ'.

Οὐκ ἐπίστανται τὰς καρδίας ἡμῶν οἱ Δαίμονες, ὥς τινες τῶν ἀνθρώπων νομίζουσι. εἷς γὰρ μόνος ἐστὶ καρδιογνώστης, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν. ἐκ δὲ τοῦ προφορικοῦ λόγου, ἐκ καὶ τῶν τοιῶνδε κινημάτων τοῦ σώματος, τὰ πολλὰ τῶν ἐν τῇ καρδίᾳ κινημάτων γινώσκουσιν. ἅπερ ἐγὼ νῦν ἐβουλόμην δηλῶσαι σαφῶς, ἐπέσχε δὲ με ὁ Ἅγιος ἱερεύς. ἀνάξιον, φήσας, τὰ τοιαῦτα δημοσιεύεσθαι, καὶ εἰς ἀκοὰς βεβήλων ἐμβάλλεσθαι. εἴπερ, φησί, καὶ ὁ τῷ ἐφέδρῳ συγγινόμενος, κατὰ τὸν νόμον, ὑπεύθυνος γίνεται. πλὴν ὅτι ἐκ τῶν τοιούτων συμβόλων ἐπιγινώσκουσι τὰ ἐν τῇ καρδίᾳ κρυπτόμενα, καὶ τὰς ἀφορμὰς ἐκ τούτων λαμβάνουσι καθ᾽ ἡμῶν, πολλάκις γοῦν τινας κακολογήσαντας ἠλέγξαμεν, οὐκ ἀγαπητικῶς ἔχοντες πρὸς αὐτούς, διὸ καὶ τῷ τῆς μνησικακίας περιπεπτώκαμεν Δαίμονι, καὶ λογισμοὺς πονηροὺς εὐθὺς εἰλήφαμεν κατ᾽ αὐτῶν, ὥστε πρότερον ἔγνωμεν ἡμῖν ἐπισυμβάντας. διόπερ καλῶς ἡμῖν ἐγκαλεῖ καὶ τὸ πνεῦμα τὸ Ἅγιον. καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ Υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον, καὶ τῶν τῆς μνησικακίας λογισμῶν ἤνοιγες θύραν, καὶ τὸν νοῦν κατὰ καιρὸν τῆς προσευχῆς ἐξετάραττες, τοῦ ἐχθροῦ σου τὸ πρόσωπον ἀεὶ φανταζόμενος, καὶ τοῦτον θεοποιῶν. ὃ γὰρ βλέπει πάντως ὁ νοῦς προσευχόμενος, τοῦτο καὶ Θεὸν ἄξιον ὁμολογεῖν. ἀλλὰ φύγωμεν, ἀγαπητοί, τῆς κακηγορίας τὴν νόσον, μηδενός ποτε κακῶς μνημονεύσωμεν, μηδὲ τὰς ὄψεις διαστρέφωμεν ἐπὶ μνήμῃ τοῦ πλησίον. πάντα γὰρ

CAPVT XXVII.

NOn norunt corda noſtra Dæmones, ſicuti quidam hominum cenſent, etenim ſolus eſt cognitor cordium, qui mentem hominum noſcit, quique ſolus corda ipſorum creauit; è ſermone autem, qui profertur, è & talibuscumque corporis motibus multas motiones, quæ in corde fiunt, dignoſcunt; quas quidem ego nunc voluiſſem luculenter oſtendere, ſed me retinuit Sacerdos Sanctus, indignum effatus talia publicare, & ad prophanorum aures inijcere; ſiquidem, ait, quod & ille, qui cū inſidiatore conuerſatur, ſecundū legem, crimini obnoxius eſt; verumtamen, quòd ex iſtiuſmodi ſignis agnoſcant, quę latent in corde, & ex his occaſiones contrà nos aſſumant, ſæpiùs certè aliquos malè loquutos arguimus, nos ergà eos non cū caritate gerentes; idcircò in Dæmonē vindictæ incidimus, ſtatimque malignas aduerſus ipſos cœpimus cogitationes, quas priùs nouimus nobis ſuperaccidiſſe. Quamobrē præclarè nos Spiritus Sanctus accuſat. Sedens aduerſùs fratrem tuū loquebaris, & aduerſùs filium matris tuę ponebas ſcandalum, & cogitationum vltionis aperiebas portam, mentemq; tempore orationis perturbabas, inimici tui faciem ſemper ob animū obuerſando, & iſtam Dei loco habendo; quod enim mens omninò intuetur, dum orat, dignum eſt fateri, hoc eſſe Deum. Verùm fugiamus (dilecti) maledicentię morbum, nullumque vnquàm malignè commemoremus, neque datorqueamus, ſeù obſcuremus obtutus, dum proximi memoriam agimus; omnes quippè noſtros geſtus

Sapi. 1. v. 6.

Pſal. 49. v. 20.

ſtus maligni Dæmones curioſè inquirunt, & nihil eorum, quę ad nos pertinent inexaminatũ derelinquunt, non recubitum, non ſedem, non ſtationem, non ſermonẽ, non progreſſum, non intuitum, cuncta diligenter ſcrutantur, cuncta commouent, totam per diem aduerſus nos dolos meditantur, vt orationis tempore, mentem humilem calumnientur, & ipſius beatum lumen extinguant. Vides quid

Ad Tit. 2. v. 8. & SanctusPaulus dicat Tito? in doctrinâ, verbum incorruptum, ſanũ irreprehenſibile, vt is, qui ex aduerſo eſt, pudore ſuffundatur nihil habens de nobis quid malum dicat. & beatus Dauid orat etiam, dicens: libera me à calumniâ hominum, Dæmones ipſos homines vocans, propter naturæ rationale; ſed & Saluator in Euangelijs inimicum hominem nuncupat eum, qui mali-

Matth. 13. v. 25. tiæ nobis ſeminauit zizania: à quo liberemur gratiâ Chriſti, & Dei noſtri, quem decet honor, & gloria in ſæcula. Amen

ἡμῶν τὰ σχήματα οἱ πονηροὶ περιεργάζονται Δαίμονες, καὶ οὐδὲν τῶν καθ' ἡμῶν καταλιμπάνουσιν ἀνεξέταστον, οὐκ ἀνάκλισιν, οὐ καθέδραν, οὐ στάσιν, οὐ λόγον, οὐ πάροδον, οὐ βλέμμα, πάντα περιεργάζονται, πάντα κινοῦσιν, ὅλην τὴν ἡμέραν καθ' ἡμῶν δολιότητα μελετῶσιν, ἵνα τὸν ταπεινὸν κατὰ τὸν καιρὸν τῆς προσευχῆς συκοφαντήσωσι νοῦν, καὶ τὸ μακάριον αὐτοῦ κατασβέσωσι φῶς. ὁρᾷς δὲ ὁ Ἅγιος Παῦλος τί φησι τῷ Τίτῳ; ἐν τῇ διδασκαλίᾳ, ἄφθορον λόγον, ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ· μηδὲν ἔχων λέγειν περὶ ἡμῶν φαῦλον, ὁ δὲ μακάριος Δαβὶδ καὶ προσεύχεται λέγων, ῥῦσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, ἀνθρώπους καὶ τοὺς Δαίμονας ὀνομάζων διὰ τὸ τῆς φύσεως λογικόν, ἀλλὰ καὶ ὁ σωτὴρ ἐν τοῖς εὐαγγελίοις, ἐχθρὸν ἄνθρωπον εἶπε τὸν σπείραντα ἡμῖν τὰ τῆς κακίας ζιζάνια. οὗ ῥυσθείημεν χάριτι τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ᾧ πρέπει τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

EIVS-

ΤΟΥ ΑΥΤΟΥ · EIVSDEM

ΚΕΦΑΛΑΙΑ λγ' · CAPITVLA XXXIII.

Κατ' Ἀκολουθίαν.

Per gradus quoſdam diſpoſita conſequentię.

ΚΕΦΑΛ. α'.

Ἴκτερός ἐστιν ἕξις χειρίστη ψυχῆς λογικῆς καθ' ἣν ἐσφαλμένως θεόν τε, καὶ τὴν τῶν γεγονότων θεωρίαν ὁρᾷ.

CAPVT I.

MOrbus Arquatus ſeù Regius eſt habitus peſſimus Animæ rationalis,per quem tùm Deum, tum rerum factarum contemplationem erroneè intuetur.

ΚΕΦΑΛ. β'.

Ὀπισθότονός ἐστι κακία φύσεως λογικῆς καθ' ἣν δυσκαμπὴς γίνεται περὶ ἀρετὴν, καὶ γνῶσιν τὴν τοῦ Θεοῦ.

CAPVT II.

COnuulſio in ſcapulas eſt vitium naturæ rationalis, per quod fit inflexibilis ad virtutem, Deique cognitionem.

ΚΕΦΑΛ. γ'.

Σφακελλισμός ἐστι ζέσις, καὶ κίνησις θυμοῦ τὸ λογιστικὸν μέρος τῆς ψυχῆς ἐκταράττουσα.

CAPVT III.

MOrtificatio partis inflammatæ,ſeù Gangręnę initiũ eſt feruor,& motus iracundiæ,perturbans partem Animæ rationalẽ.

ΚΕΦΑΛ. δ'.

Τυφλότης ἐστὶν ἄγνοια τοῦ νοῦ ταῖς πρακτικαῖς ἀρεταῖς καὶ τῇ τῶν γεγονότων θεωρίᾳ μὴ ἐπιβάλλουσα.

CAPVT IV.

CAEcitas eſt ignorantia mentis,quæ ad actiuas virtutes rerũque creatarum contemplationem quaſi collimando non tendit.

ΚΕΦΑΛ. ε'.

Παράλυσις ἐστὶ δυσκινησία λογικῆς ψυχῆς πρὸς τὰς πρακτικὰς ἀρετάς.

CAPVT V.

PAralyſis, ſeù neruorum diſſolutio eſt difficultas motus animæ rationalis ad virtutes actiuas.

CAPVT VI.

GOnorrhæa,ſeù fluxus ſeminis eſt deſidia animæ rationalis, per quã abijcere ſpiritualis doctrinę ſermones conſueuit.

ΚΕΦΑΛ ϛʹ.

ΓΟνόῤῥοια ἐστὶ ῥαθυμία λογικῆς ψυχῆς, καθ' ἣν ἀποβάλλειν τοὺς τῆς πνευματικῆς διδασκαλίας εἴωθε λόγους.

CAPVT VII.

CRebriùs iterata ſeſſio eſt impotentia animæ rationalis,per quam virtutes aſſolet reijcere, quæ conferunt ad formationem Chriſti (in corde)

ΚΕΦΑΛ ζʹ.

ΑΠοκάθισις ἐστὶν ἀδυναμία λογικῆς ψυχῆς, καθ' ἣν τὰς συντελούσας ἀρετὰς πρὸς τὴν μόρφωσιν τοῦ χριστοῦ εἴωθεν ἀποβάλλειν.

CAPVT VIII.

LEpra eſt infidelitas animæ rationalis, per quam non plenè perſuaſum habet, dum contrectat, ac perſcrutatur ſermones.

ΚΕΦΑΛ ηʹ.

ΛΈπρα ἀπιστία ἐστὶν λογικῆς ψυχῆς, καθ' ἣν οὐ πληροφορεῖται ψηλαφῶσα τοὺς λόγους.

CAPVT IX.

MEntis emotio eſt animæ rationalis iterata procliuitas ad malitiam poſt virtutem, Deique cognitionem.

ΚΕΦΑΛ θʹ.

ἜΚστασις ἐστὶ νεῦσις πάλιν πρὸς κακίαν λογικῆς ψυχῆς μετὰ τὴν ἀρετὴν, καὶ γνῶσιν τὴν τοῦ Θεοῦ.

CAPVT X.

COntuſio eſt peſſimus habitus animæ rationalis, per quem virtutes ſectatur non propter ipſam honeſtatem.

ΚΕΦΑΛ ιʹ.

ΘΛάσις ἐστὶν ἕξις χειρίστη λογικῆς ψυχῆς, καθ' ἣν μετέρχεται τὰς ἀρετὰς, οὐ δι' αὐτὸ τὸ καλόν.

CAPVT XI.

TRuncatio naris eſt priuatio virtutis, quæ Chriſti odorem percipiebat.

ΚΕΦΑΛ ιαʹ.

ΚΟλόβωσις ῥινός ἐστὶ στέρησις ἀρετῆς ἀντιλαμβανομένης εὐωδίας τῆς τοῦ χριστοῦ.

CAP.

ΚΕΦΑΛ. ιβ'.

ΩΤότμησις ἐστὶ, σκληρία λογικῆς ψυχῆς πρὸς τὴν πνευματικὴν διδασκαλίαν ἀνθέλκουσα.

CAPVT XII.

AVrium mutilatio eſt durities animæ rationalis, quæ Spirituali doctrinæ, quaſi contrà trahendo, reſiſtit.

ΚΕΦΑΛ. ιγ'.

Ἐφηλὶς ἐστὶ πνευματικῆς θεωρίας ἔκπτωσις, ἢ τῆς τῶν γεγονότων θεωρίας οὐκ ἀληθὴς κατανόησις.

CAPVT XIII.

VItium faciei aſperę eſt delapſus à contemplatione, aut ſpeculationis rerum creatarum intelligentia minimè vera

ΚΕΦΑΛ. ιδ'.

Μογγιλαλία ἐστὶ, πάθος τοῦ λογιστικοῦ μέρους τῆς ψυχῆς, καθ' ὃ σκανδαλιζόμενος ἐπὶ τοῖς γινομένοις ἐν παντὶ εὐχαριστεῖν ἀδυνατεῖ τῷ Θεῷ.

CAPVT XIV.

LInguæ hæſitantia eſt paſſio partis rationalis animæ, per quam eadem rationalitas, ſcandalum paſſa in his, quæ facit, non poteſt pro omni re gratias agere Deo.

ΚΕΦΑΛ. ιε.

Χωλότης ἐστὶν ἀδυναμία φύσεως λογικῆς πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν.

CAPVT XV.

CLaudicatio eſt impotentia naturæ rationalis ad operationem virtutis.

ΚΕΦΑΛ. ις.

Ὕδρωψ ἐστὶν ἔκκλισις ἄλογος ψυχῆς, καθ' ἣν σβεσθεισῶν τῶν ἀρετῶν ἐπικρατεῖ κακία, καὶ ἀγνωσία.

CAPVT XVI.

HYdrops, ſiue Aqua intercus eſt irrationalis declinatio animæ, per quam, exſtinctis virtutibus, malitia, & ignorantia dominantur.

ΚΕΦΑΛ. ιζ.

Μύρμηξ ἐστὶν ἄνθρωπος πρακτικὸς τὴν ἑαυτοῦ τροφὴν ἐν τῷ αἰῶνι τούτῳ παρασκευάζων.

CAPVT XVII.

FOrmica eſt homo practicus, ſeù in agendo poſitus, in iſto ſæculo ſibi alimentum præparans.

CAPVT. XVIII. — ΚΕΦΑΛ ιη'.

Luit. c. 11. v. 5. Deuter. c. 14. v. 7.

CHoerogrylin,ſeù porci grunientes ſunt gentes impuræ, quæ ſuſceperunt præcepta Saluatoris noſtri Chriſti.

Χοιρογρύλλιοι εἰσὶν ἔθνη ἀκάθαρτα, τὰς ἐντολὰς δεξάμενα τοῦ σωτῆρος ἡμῶν Χριστοῦ.

CAPVT XIX — ΚΕΦΑΛ ιθ.

LOcuſtę Regẽ non habentes ſunt Animæ rationales,quas mors non concutit, quæque à ſeminibus aluntur.

Ἀβασίλευτοι ἀκρίδες ψυχαὶ λογικαὶ μὴ σαλευόμεναι ὑπὸ τοῦ θανάτου, καὶ ὑπὸ τῶν σπερμάτων διατρεφόμεναι.

CAPVT XX. — ΚΕΦΑΛ κ'.

STellio. ſiue animalculum ſimile lacertæ domorum parietes perrepians, eſt mens actiua innixa virtutibus,inque caeleſtium poteſtatum cognitionibus inhabitans.

Ἀσκαλαβώτης ἐστὶ νοῦς πρακτικός, ἐπερειδόμενος ἀρεταῖς, καὶ κατοικῶν ἐν ταῖς γνώσεσι τῶν οὐρανίων δυνάμεων.

CAPVT XXI. — ΚΕΦΑΛ κα.

CAtulus leonis eſt homo abſque paſſionibus, qui regnauit ſuper feras in ſuam redactas poteſtatem.

Σκύμνος λέοντος ἐστὶν ἄνθρωπος ἀπαθὴς τῶν ἐν αὐτοῦ γενομένων βασιλεύσας θηρίων.

CAPVT XXII. — ΚΕΦΑΛ κβ'.

GAllus eſt homo ſpiritualis cognitione plenus, atque alijs animabus annuncians eum, qui ab intellectuali Sole gignitur, diem.

Ἀλεκτρυὼν ἐστὶν ἄνθρωπος πνευματικὸς πληρούμενος γνώσεως, καὶ ἑτέραις εὐαγγελιζόμενος ψυχαῖς τὴν παρὰ τοῦ νοητοῦ ἡλίου γενομένην ἡμέραν.

CAPVT XXIII. — ΚΕΦΑΛ κγ'.

HIrcus eſt vir actiuus, qui recte regit in ordinatas,quæ in ſe ipſo ſunt,cogitationes,

Τράγος ἐστὶν ἀνὴρ πρακτικὸς τῶν ἐν αὐτοῦ ἀτάκτων λογισμῶν ὀρθῶς καθηγούμενος.

CAP-

ΚΕΦΑΛ. κδ'.

Βδέλλα ἐστὶ φύσις ἀκάθαρτος, ὃ δίκαιον αἷμα ἐκ τῶν λογικῶν ψυχῶν ἐκμυζῶσα.

CAPVT XXIV.

Hirudo, ſiuè ſanguiſuga eſt Natura impura emungens iuſtum ſanguinem ab animabus rationalibus.

ΚΕΦΑΛ. κε'.

Ἅδης ἐστὶν ἄγνοια φύσεως λογικῆς κατὰ στέρησιν τῆς τοῦ Θεοῦ θεωρίας ἐπισυμβαίνουσα.

CAPVT XXV.

INfernus eſt ignorantia naturæ rationalis, per priuationem contemplationis Dei ſuperueniens.

ΚΕΦΑΛ. κϛ'.

Γυνή ἐστιν ἀφροσύνη λογικὰς ψυχὰς ἐπὶ ἀκαθαρσίαν προσκαλουμένη.

CAPVT XXVI.

MVlier eſt dementia rationales animas ad impuritatem prouocans.

ΚΕΦΑΛ. κζ'.

Γῆ ἐστιν ἕξις χερσαία ἐξ ἀσεβείας, καὶ παρανομίας συλλεγομένη.

CAPVT XXVII

TErra eſt habitus peſſimus ex impietate, atque iniuſtitia collectus.

ΚΕΦΑΛ. κη'.

Πῦρ ἐστὶ κακία φύσεως λογικῆς, φθαρτικὴ τῶν τοῦ Θεοῦ ἀρετῶν.

CAPVT XXVIII.

IGnis eſt malitia naturæ rationalis, virtutũ Dei corruptrix.

ΚΕΦΑΛ. κθ'.

Ὕδωρ ἐστὶν γνῶσις ψευδής, σβεστικὴ γνώσεως ἀληθοῦς

CAPVT XXIX

AQua eſtfalſa notitia extinctiua veræ cognitionis

ΚΕΦΑΛ. λ.

Ὀφθαλμὸς καταγελῶν ἐστὶ φύσις ἀκάθαρτος τῆς τοῦ Θεοῦ καταγελῶσα γνώσεως, καὶ ἀτιμάζουσα τὴν ἐν τοῖς γεγονόσι σοφίαν.

CAPVT XXX.

Oculus deridens eſt natura impura, Dei cognitionem irridens, nulloque habens honore ſeù aſpernans ſapientiam in his, quæ facta ſunt

CAPVT XXXI

Corui ſunt poteſtates ſanctæ, vitiorum peremptrices.

ΚΕΦΑΛ λα.

Κόρακες εἰσὶ δυνάμεις ἅγιαι, φθαρτικαὶ τῶν κακιῶν.

CAPVT XXXII.

Barathra ſunt Animæ rationales exeauatæ à malitiâ, & ignorantia.

ΚΕΦΑΛ. λβ.

Φάραγγες εἰσὶ ψυχαὶ λογικαὶ, κοιλανθεῖσαι ἀπὸ κακίας, καὶ ἀγνωσίας.

CAPVT XXXIII.

Aquilarum pulli ſunt poteſtates Sanctæ, quæ præſunt ad depellendos impuros.

ΚΕΦΑΛ λγ.

Νεοσσοὶ ἀετῶν εἰσὶ δυνάμεις ἅγιαι τῶν ἀκαθάρτους καταβάλλειν πεπιστευμέναι.

EIVSDEM

Spirituales Sententiæ per Alphabetum diſpoſitæ.

ΤΟΥ ΑΥΤΟΥ.

Πνευματικαὶ γνῶμαι κατὰ ἀλφάβητον.

CAPVT I.

Abſurdũ eſt, eum,qui cõſectatur honores, fugere labores, per quos ijdem comparantur honores.

ΚΕΦΑΛ α.

Ἄτοπον ἐστὶ τὸν διώκοντα τὰς τιμὰς φεύγειν τοὺς πόνους, δι᾽ ὧν αἱ τιμαί.

CAPVT II.

Vis Deum noſcere? anticipans, noſce teipſum.

ΚΕΦΑΛ β.

Βούλει γνῶναι Θεὸν; προλαβὼν γνῶθι σεαυτόν.

CAPVT III.

Ex amicis germanus eſt is, qui occaſionum proſperam opportunitatem communicat.

ΚΕΦΑΛ γ.

Γνήσιος φίλων, ὁ τὰς περιστάσεις κοινούμενος.

CAP-

ΚΕΦΑΛ. δ.

ΔΕιὸν ἐστὶ μέγα φρονεῖν μικρὰ πράττοντα.

CAPVT IV.

DVrum eſt, eum, qui parua facit, magna deſe ſapere.

ΚΕΦΑΛ. ε.

ἘΝ παντὶ τὸ οἴεσθαι, εἰς τὸ εἰδέναι ἐμποδίζει.

CAPVT V.

ARroganter de ſe opinari vnicuique impedit ſcientiam.

ΚΕΦΑΛ. ϛ.

ΖΩῆς ἀλόγου, Δαίμων ἡγεμών.

CAPVT VI.

VItæ irrationalis ductor eſt Dæmon.

ΚΕΦΑΛ. ζ.

Ἡ τῆς ψυχῆς εὐγένεια ἐκ τῆς εὐτονίας ἀναφαίνεται.

CAPVT VII.

ANimæ nobilitas ex validitate manifeſtatur.

ΚΕΦΑΛ. η.

ΘΕοσεβὴς ἐκεῖνος ὁ μὴ καθ᾽ ἑαυτοῦ φθεγγόμενος.

CAPVT VIII

ILle colit Deum religioſè, qui non loquitur contrà ſe.

ΚΕΦΑΛ. θ.

ἹΕρὸν Θεοῦ, ἄνθρωπος ἀνεπίληπτος.

CAPVT IX.

TEmplum Dei, homo irreprehenſibilis.

ΚΕΦΑΛ. ι.

ΚΑκιστον κτῆμα, βίος ἀδόκιμος.

CAPVT X.

PEſſima poſſeſſio, vita minimè proba.

ΚΕΦΑΛ. ια.

ΛΑλει ἃ δεῖ, καὶ ὅτε δεῖ, καὶ οὐκ ἀκούσῃς, ἃ μὴ δεῖ.

CAPVT XI.

LOquere quæ oportet, & quādo oportet, & non audies, quę non oportet.

CAP.

CAPVT XII.

MAxima poſſeſſio, amicus, in quo nullus error admittitur.

ΚΕΦΑΛ. ιβ.

ΜΕγιστον κτῆμα, φίλος ἀδιάπτωτος.

CAPVT XIII.

MOrbus animæ, mens gloriȩ cupida.

ΚΕΦΑΛ. ιγ'.

ΝΟσήμα ψυχῆς, γνώμη φιλόδοξος,

CAPVT XIV.

HOſpes, & pauper ſunt collyrium, ſeù medicamentũ Dei (tamquam medici.)

ΚΕΦΑΛ. ιδ.

ΞΈνος, καὶ πένης Θεοῦ κολλύριον.

CAPVT XV.

QVi ſuſcipit ipſos, citò recuperabit viſum.

ΚΕΦΑΛ. ιε.

Ὁ δεχόμενος αὐτοὺς, ταχέως ἀναβλέψει.

CAPVT XVI.

OMnibus quidem beneficia conferre præclarum eſt, maximè verò his, qui non poſſunt rependere.

ΚΕΦΑΛ. ιϛ.

ΠΑντας μὲν εὐεργετεῖν καλὸν, μάλιστα δὲ τοὺς μὴ δυναμένους ἀμείβεσθαι.

CAPVT XVII.

ORator in Iuſtitiâ, poculum aquæ frigidæ

ΚΕΦΑΛ. ιζ'.

ῬΗτωρ ἐν δικαιοσύνῃ, ποτήριον ψυχροῦ ὕδατος.

CAPVT XVIII.

TEmperantia, & manſuetudo animæ, ſunt Cherubim.

ΚΕΦΑΛ. ιη'.

ΣΩφροσύνη, καὶ πρᾳότης ψυχῆς χερουβίμ.

CAPVT XIX.

HOnorabilem eſſe in ſenectute demonſtratio eſt, quod is ante ſenectutem fuerit amans laboris.

ΚΕΦΑΛ. ιθ'.

ΤΟ ἔντιμον ἐν γήρᾳ εἶναι ἀπόδειξις τοῦ φιλόπονον πρὸ γήρους γεγονέναι.

CAP.

Κ Ε Φ Α Λ κ'.

ΤΟ' σπουδαῖος ἐν νέῳ ἐχέγγυος τοῦ ἔντιμος ἐν γήρει ἔσεσθαι.

C A P V T XX.

STudioſum eſſe in iuuentute, pignus eſt,eum fore in ſenectute honore ornandum.

Κ Ε Φ Α Λ κα'.

ΥΠερῷος ψυχῆς, θεωρία ἀληθής

C A P V T XXI.

Animę domicilijs pars ſuperior eſt vera contemplatio.

Κ Ε Φ Α Λ κβ'

ΦΙλεῖν ἃ μὴ δεῖ, οὐ φιλήσεις ἃ δεῖ.

C A P V T XXII.

AMans quæ non oportet minimè adamabis quę oportet

Κ Ε Φ Α Λ κγ'.

ΧΡυσὸν κίβδηλον, ἄμεινον, ἢ φίλον κεκτῆσθαι.

C A P V T XXIII.

MElius eſt poſſidere aurum non purgatum, quàm non ſincerum, fucatumque amicum.

Κ Ε Φ Α Λ κδ'.

ΨΥχὴ καθαρὰ μετὰ Θεὸν, Θεός.

C A P V T XXIV.

ANima pura poſt Deū,Deus.

Κ Ε Φ Α Λ κε'.

Ὢ ἀπὸ τῆς φιλαυτίας τῆς πάντα μισούσης.

C A P V T XXV.

O quàm cauendum à nimio ſui ipſius amore omnia odio habente.

EIVS-

EIVSDEM

Aliæ Sententiæ.

1. PRincipiũ caritatis eſt alteri alterius glorię mutua reſponſio. 2. Bonũ eſt diteſcere in manſuetudine, & caritate. 3. ventilator virtutis eſt ſuperba cogitatio. 4. Plana via fit ab Eleemoſyna. 5. Iniuſtus Iudex eſt cõſciẽtia inquinata. 6. Duiũ eſt ſeruire paſſionibus carnis. 7. Si volueris eſſe abſq; dolore, ſtude placere Deo. 8. Qui honeſte ſui curã gerit, ipſius à Deo cura geritur. 9. Temperans cor Portus eſt contemplationùm. 10. Quando voles teipſũ noſſe quiſnam ſis, ne compares cũ eo, quis eras, ſed cum eo, qui ab initio fuiſti. 11. Ciſterna ſine aquâ eſt anima glorię cupida. 12. Anima ſuperba, taberna eſt latronum, oditque ſonitum ſcientiæ 13. reri viri malus eſt error neſcire Scripturas. 14. An Deum timeas, agnoſcito è lacrymis. 15. Armatura infracta eſt humilitas animæ. 16. Arbor Paradiſi eſt vir cupidus virtutis. 17. Ieſus Chriſtus eſt lignum vitæ, vtere ipſo vt oportet. & non morieris in æternum. 18. Benefac his, qui ſunt verè pauperes, & comedes Chriſtum. 19. Robur verum eſt Chriſti corpus comedere. 20. Si amas Chriſtum eius mandata ſeruare ne obliuiſcaris. 21. Inde namque demonſtratur qui poſt Deum eſt Benefactor. 22. Qui ſecundùm Deum amicus eſt, lac, & mel, veris fluit ſermonibus. 23. Anima verò pigra talem non habebit amicum. 24. Crudelis herus cogitatio cupida volu-

ΤΟΥ ΑΥΤΟΥ.

Ἕτεραι Γνῶμαι.

1. Ἀρχὴ ἀγάπης, ὑπόληψις δόξης. 2. καλὸν πλουτεῖν πραότητι, καὶ ἀγάπῃ. 3. λικμητὴρ ἀρετῆς, λογισμὸς ὑπερήφανος. 4. λεία ὁδὸς ὑπὸ ἐλεημοσύνης γίνεται. 5. ἄδικος δικαστής, μεμολυσμένη συνείδησις. 6. δεινόν ἐστι πάθεσι δουλεύειν σαρκός. 7. εἰ θέλεις ἄλυπος εἶναι, Θεῷ ἀρέσκειν σπούδαζε. 8. ὁ καλῶς φροντίζων ἑαυτοῦ, φροντίζεται ὑπὸ τοῦ Θεοῦ. 9. σώφρων καρδία, λιμὴν θεωρημάτων. 10. ὅταν θέλῃς σαυτὸν γνῶναι τίς εἶ, μὴ συγκρίνῃς τίς ἦς, ἀλλὰ τί γέγονας ἐξ ἀρχῆς. 11. λάκκος ἄνυδρος, φιλόδοξος ψυχή. 12. ὑπερήφανος ψυχή, πανδοχεῖον λῃστῶν, μισεῖ δὲ ἦχον γνώσεως. 13. ἀληθοῦς ἀνδρὸς πλάνη κακὴ τὸ μὴ εἰδέναι τὰς γραφάς. 14. εἰ φοβῇ τὸν Θεόν, ἐκ τῶν δακρύων γνῶθι. 15. ἄρρηκτον ὅπλον ταπεινοφροσύνη ψυχῆς. 16. δένδρον παραδείσου φιλάρετος ἀνήρ. Ἰησοῦς Χριστός, ξύλον ἐστὶ ζωῆς. χρῶ αὐτοῦ ὡς δεῖ, καὶ οὐ μὴ ἀποθάνῃς εἰς τὸν αἰῶνα. 18. εὐεργέτει σὺν ὄντως πτωχούς, καὶ βρώσῃ Χριστόν. 19. ῥώμη ἀληθής, τὸ τοῦ Χριστοῦ σῶμα ἐσθίειν. 20. εἰ φιλεῖς τὸν Χριστὸν τὰς ἐντολὰς αὐτοῦ τηρεῖν οὐκ ἐπιλάθῃ 21. ἐκεῖθεν γὰρ ἀναφαίνεται εὐεργέτης μετὰ Θεόν. 22. ὁ κατὰ Θεὸν φίλος ῥέει γάλα, καὶ μέλι τοῖς ἀληθέσι λόγοις. 23. ἡ ῥάθυμος δὲ ψυχή, τοιοῦτον οὐκ ἕξει φίλον. 24. ὠμὸς δεσπό-

τος, φιλήδονος λογισμός. 25. σιγᾷν τὴν ἀλήθειαν χρυσὸν ἐστι θάπτειν. 26. ὁ φοβούμενος τὸν Θεὸν, κατὰ Θεὸν πάντα ποιεῖ.

voluptatis . 25. Tacere veritatem eſt aurum ſepelire . 26 Qui timet Deum, facit omnia ſecundum Deum.

ΤΟΥ ΑΥΤΟΥ ΕΝ ΑΓΙΟΙΣ

ΠΑΤΡΟΣ ΗΜΩΝ

ΝΕΙΛΟΥ

Παραίνεσις πρὸς Μοναχούς.

ΑΚρασίαν βρωμάτων περικόπτει νηστεία. ἀκολασίαν δὲ πορνείας περιαιρεῖ ἐγκράτεια μετὰ προσευχῆς.

Φιλαργυρίαν τὴν τῆς εἰδωλολατρείας μητέρα συστέλλει ἀκτημοσύνη, μέριμναν δὲ σωματικὴν περικόπτει ἐλπὶς ἡ εἰς Θεόν.

Πλανώμενον νοῦν συστέλλει ἀνάγνωσις λογίων Θεοῦ, καὶ ἀγρυπνία μετὰ προσευχῆς.

Θυμοῦ δὲ καταδρομὴν, καταπραΰνει μακροθυμία, καὶ ψαλμῳδία.

Ακηδίαν καταστέλλει ὑπομονὴ, καὶ δάκρυα, λύπην δὲ κοσμικὴν, καταστιγάζει τὸ πρὸς τὰς ἡδονὰς μῖσος.

Φιλοξενίαν κτᾶται ταπεινοφροσύνη, καὶ φιλαρχίας, καὶ ὑπεροχῆς ἀποστροφὴ, ὑπερηφανίαν δὲ, τὸ ἀρχαῖον κακὸν, τὸ βδελυκτὸν ἐνώπιον Κυρίου, ᾗ ἀνθίσταται καὶ ὁ Θεὸς, καταπαύει ταπεινοφροσύνη ἀμέτρητος, ἡ λέγουσα, ἐγὼ εἰμὶ γῆ, καὶ σποδὸς. καὶ πάλιν ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασεν ὁ οἰκοδομῶν, καὶ φυλάττειν πειρώμενος.

Ὡς οὐκ ἔστι τεθολωμένον ὕδωρ κα-

EIVSDEM.

S. P. N.

NILI

Iuſtitutio ad Monachos.

INtemperantiã eduliorum præcidit Ieiunium, & fornicationis laſciuiam amputat continentia cum Oratione.

Auaritiam Idololatriæ matrem cohibet paupertas, corpoream verò ſolicitudinem præſcindit ſpes, quæ in Deum iactatur.

Mentem errantem coercet lectio Diuinorum oraculorum, & vigilia cum Oratione.

At iræ inuaſionẽ mitigat lõganimitas, & Pſalmorũ decantatio.

Pigritiam comprimit conſtantia, & lacrymæ; triſtitiam autem mundanam ſedat, ac ſilere facit odium aduersùs voluptates.

Humilitas, & auerſio ab amore Principatus, & Eminentiæ, comparant hoſpitalitatem: ſuperbiam vero (vetus malum, in conſpectu Domini abominandum, cui reſiſtit etiam Deus) ceſſare facit immenſa humilitas, quę dicit: ego ſum terra, & cinis; & rurſùs: niſi *Pſalm.*
Dominus ædificauerit domum, in *136. 11.*
vanum laborauit, qui ædificat eam, & qui conatur cuſtodire.

Sicut aqua fæce inquinata de-

purari non poteſt, niſi manſerit immota, ita neque ſtatus Monachi agnoſci valet ſine quiete.

Sicut impoſſibile eſt, certatorem coronari, niſi luctam exercuerit, ita nec poteſt eſſe quis Chriſtianus abſque certaminibus.

Quẽadmodum non eſt æqualis libra, vnâ preponderante parte, ſic fieri non poteſt, vt mandatum Dei proſperè perficiatur, carneo ſenſu prędominante.

Sicut non poteſt addiſcere artem, qui diligenter ei non dederit operam, ita non poteſt Orationem acquirere, qui Deo recto non adhæſerit corde.

Quiſquis purã non comparauit Orationem, non habet armaturam ad bellum.

Qui ornatus eſt, & velut ſcopis mundatus, euerſis Dei virtutibus, Dæmonum erit habitaculum.

Vti non licet Regem in domo pauperis habitare, ita neque Chriſtus habitabit in animâ, quę inquinata eſt à peccato.

Sicuti locus incultus per accuratam elaborationem excolitur, ſic Anima ob peccata ſilueſcens, mitigatur, ſi lege Dei gubernetur.

Quemadmodum ſcopulus in mari poſitus firmus, inconcuſſuſque permanet abs vndis colliſus; ita & qui proſperè virtutes comparârit, ipſiſque ſit omninò attẽperatus, nunquam à Diabolo concutietur.

Sicut medicus remedium excogitat ad morbi curationem, ita Dei cognitio cuſtodita docet eum, qui particeps illius eſt, quomodo ſeſe ſeruet, adquè maiora perueniat.

Quemadmodùm torrens è prę

ϑαρϑῶσαι μὴ μεῖναι ἀσάλευτον, οὕτως οὐκ ἔστι μοναχοῦ κατάστασιν ἐπιγνῶναι, ἄνευ ἡσυχίας.

Ὡς ἀδύνατόν ἐστιν ἀθλητὴν στεφανωθῆναι μὴ παλαίσαντα, οὕτως οὐκ ἔστι γενέσθαι χριστιανὸν ἄνευ ἀγώνων.

Ὡς οὐκ ἔστιν ἴσος ὁ ζυγὸς, βαρύνοντος τοῦ ἑνὸς μέρους. οὕτως οὐκ ἔστι κατορθῶσαι ἐντολὴν Θεοῦ, κατακρατοῦντος τοῦ σαρκικοῦ φρονήματος.

Ὥσπερ οὐκ ἔστι μαθεῖν τέχνην, μὴ σχολάσαντα ἐπιμελῶς, οὕτως οὐκ ἔστι κτήσασθαι προσευχὴν μὴ προσκαρτερήσαντα τῷ Θεῷ ἐν εὐθείᾳ καρδίᾳ.

Ὁ μὴ κεκτημένος προσευχὴν καθαρὰν, οὐκ ἔχει ὅπλον εἰς πόλεμον.

Ὁ κεκοσμημένος, καὶ σεσαρωμένος ἀπὸ ἀρετῶν Θεοῦ, κατοικητήριον ἔσται Δαιμόνων.

Ὡς οὐκ ἔστι κατοικῆσαι Βασιλέα ἐν οἴκῳ πένητος, οὕτως οὐ κατοικήσει Χριστὸς ἐν ψυχῇ ἐρρυπωμένῃ ἀπὸ ἁμαρτίας.

Ὥσπερ ἀνήμερος τόπος ἡμεροῦται δι' ἐπιμελοῦς φιλεργίας. οὕτως ψυχὴ ἀγριωθεῖσα ταῖς ἁμαρτίαις ἡμεροῦται, εἰ νόμῳ Θεοῦ πολιτεύσηται.

Ὥσπερ πέτρα οὖσα ἐν θαλάσσῃ ἑδραία μένει, καὶ ἀσάλευτος κατακρουομένη ὑπὸ κυμάτων, οὕτω καὶ ὁ τὰς ἀρετὰς κατορθώσας, καὶ ταύταις ὅλως ἀνακραθεὶς, οὐ μὴ σαλευθῇ ὑπὸ τοῦ διαβόλου.

Ὥσπερ ἰατρὸς πρὸς τὴν τοῦ πάθους θεραπείαν ἐπινοεῖ τὸ φάρμακον, οὕτως καὶ ἡ γνῶσις τοῦ Θεοῦ συντηρουμένη διδάσκει τὸν μετέχοντα αὐτῆς, ὅπως ἂν διαφυλαχθῇ, καὶ ἐπὶ μείζονα προσέλθοι.

Ὥσπερ χαράδρα ἑαυτῆς ἐμποιεῖται

cipiti

τὴν διόδον, οὕτω καὶ ἁμαρτία παραδεχθεῖσα κατεργάζεται τοῦ κεκτημένου αὐτῆς τὴν ἀπώλειαν.

Ὡς οὐκ ἔστιν εἰς λίνα ἐμπεσόντα ἔλαφον εὐχερῶς ἐκφυγεῖν, οὕτως οὐ μὴ φύγῃ τὴν ἁμαρτίαν, ὁ τὰς ἐπιθυμίας ἐκπληρῶν, καὶ ἐν τῷ κόσμῳ τούτῳ ἀναστρεφόμενος. ἐπιθυμίαι γὰρ πονηραὶ, καὶ ἡδοναὶ, σειραὶ δύσλυτοι.

Ὥσπερ μὴ ἄμπελος, ποιοῦσα καρποὺς καλοὺς, ἐκκόπτεται ἵνα μὴ τὸν τόπον καταργῇ; οὕτως καὶ ἀπὸ τοῦ κυρίου ἐκριζωθήσεται πᾶς ὁ μὴ ποιῶν καρποὺς πνεύματος ἁγίου.

Ὡς ἀμήχανον μὴ βλαβῆναι ἄνθρωπον κεντηθέντα ὑπὸ βέλους; οὕτως ἀδυνατόν ἐστι, μοναχὸν καταδεξάμενον λογισμὸν πονηρὸν μὴ τρωθῆναι.

Ὥσπερ ὁ ἐξελθὼν ὁδοῦ εὐθείας, πλανᾶται ἐν ἀλλοδαπῇ χώρᾳ, μὴ ἐπιστάμενος ποῦ πορεύεται. οὕτω καὶ ἄνθρωπος πλανᾶται μὴ πιστεύων εἰς ὁμοούσιον τριάδα.

Ὥσπερ τὶς εἰς πολλὰ διαιρούμενος ἕν ἐστι τῇ φύσει, οὕτως καὶ ἡ ἁγία τριὰς εἰ καὶ τοῖς ὀνόμασι, καὶ ταῖς ὑποστάσεσι διαιρεῖται, τῇ φύσει μία ἐστι, Θεοῦ φύσιν οὐ καταλάβοις, οὐδ᾽ εἰ πτεροῖς πετάμενος, ὁ Θεὸς ἀκατάληπτός ἐστι, διὸ καὶ κτίστης ἡμῶν ἐστιν.

Ὥσπερ τὸ κατασκευαζόμενον σκεῦος, ἀγνοεῖ τοῦ κατασκευάσαντος τὴν ἀρχὴν καὶ τὴν φύσιν, οὕτω καὶ ἄνθρωπος οὐ δυνήσεται ἐξευρεῖν Θεοῦ φύσιν, ἢ ἀρχήν.

Τριάδα μὴ περιεργάζου, ἀλλὰ μόνον πίστευε, καὶ προσκύνει, ὁ γὰρ περιεργαζόμενος οὐ πιστεύει.

Κτήσασθε σοφίαν καὶ μὴ ἀργύριον, ποιήσατε φωτεινὸν ἔνδυμα Χριστοῦ τοῦ κυρίου ἡμῶν, ὑπὲρ πᾶσαν στολὴν βυσσίνην,

cipiti loco decurrens viam ſibi ſternit, ita peccatum admiſſum procreat exitium illius, qui ipſum poſſedit.

Vti Ceruus, qui incidit in retia, effugere non poteſt, ita non effugit pecatũ, qui ſuas perficit cupiditates, in que hoc mundo conuerſatur; cupiditates quippè peruerſæ, & voluptates, catenæ ſunt, quæ difficulter ſolui poſſunt.

Sicut vitis non ferens fructus bonos exſcinditur, ne locum fruſtrà occupet, ita & à Domino exſtirpabitur omnis, qui Spiritus Sancti fructus non feret.

Vt impoſſibile eſt, quod homo à iaculo confixus nõ lædatur, ſic nõ eſt poſſibile, Monachũ, qui malã admittit cogitationẽ, nõ vulnerari.

Quemadmodùm, qui à rectâ exit viâ, vagatur errans in aliena regione, neſciens quò progrediatur, ita & homo aberrat, qui non credit in Trinitatem Conſubſtantialem.

Sicut aliquis, in plura diuiſus, eſt vnum naturâ, ſic & Sancta Trinitas, & ſi diſtinguatur nominibus, & Subſiſtentijs, vna eſt naturâ. Dei naturam minimè comprehendes, neque ſi cum alis volites. Deus incomprehenſibilis eſt, ideòque noſter eſt conditor.

Vt vas effictum ignorat principium, atquè naturam figuli, ſic & homo, Dei naturam, & principium nequaquàm poterit adinuenire.

Trinitatem ne curioſius exquiras, ſed tantum crede, atque adora, nam curioſè perſcrutans, non credit.

Acquirite ſapientiam, & non argentum, facite lucidum indumentum Chriſti Domini noſtri

pluſquàm omnem veſtem Byſſinam, quià opes in die mortis nullius erunt iuuamenti.

ὅτι οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θανάτου.

Quemadmodùm ignis conſumit ſenticetum, ita omnis peccator ab æterno conſumetur igne, nec poteſt mori, nam immortaliter torquebitur.

Ὥσπερ πῦρ καταναλίσκει δρυμόν, οὕτω καταναλωθήσεται πᾶς ἁμαρτωλὸς ὑπὸ τοῦ αἰωνίου πυρὸς, καὶ οὐ δύναται τελευτῆσαι, ἀθάνατος γὰρ βασανισθήσεται.

Nihil magnum, ſi iuſti fuerimus, quod enim à Deo primum conditi ſumus, nimirùm, boni valdè, id euademus.

Οὐδὲν μέγα, εἰ γινόμεθα δίκαιοι, ὅ γὰρ ἐκτίσθημεν ὑπὸ τοῦ Θεοῦ πρώτως, καλοὶ λίαν, τοῦτο γινώμεθα.

Qui præter naturam viuit, Dei mandata non ſeruat.

Ὁ παρὰ φύσιν βιῶν, οὐ τηρεῖ ἐντολὰς Θεοῦ.

Omnis Sapientia eſt timere dominum: omnis verò Diſciplina, quæ legem Domini non docet, ſtultitia eſt, & inſipientia.

Πᾶσα σοφία φοβεῖσθαι τὸν κύριον, πᾶσα δὲ παιδεία ἡ μὴ διδάσκουσα νόμον κυρίου, μωρία ἐστὶ καὶ ἀφροσύνη.

Fides, & Baptiſmus non eruent ab æterno igne abſque operibus iuſtitiæ: Si enim eiuſdem es ordinis & claſſis cum Chriſto, mandata eius obſerua, & ſi credis futura, æternam conare aſſequi gloriam, flammeumque gladium time; ſi verò non rectè cuſtodis Præcepta Dei, ne te ipſum fidelem dicas.

Οὐ ῥύσεται πίστις, καὶ βάπτισμα τοῦ αἰωνίου πυρὸς, χωρὶς ἔργων δικαιοσύνης. εἰ γὰρ συνετάξω τῷ Χριστῷ, τήρει τὰς ἐντολὰς αὐτοῦ, καὶ εἰ πιστεύεις τὰ μέλλοντα, ἀντιποιοῦ τῆς δόξης τῆς αἰωνίου, καὶ φοβήθητι τὴν φλογίνην ῥομφαίαν, εἰ δὲ οὐ κατορθοῖς τὰ προστάγματα τοῦ Θεοῦ, μὴ λέγε πιστὸν σεαυτόν.

Omnis creatura obedit Dei Præcepto. Homo ſolus nó obtemperat ei, per quẽ facta ſunt omnia.

Πᾶσα ἡ κτίσις τῷ προστάγματι τοῦ Θεοῦ πειθαρχεῖ, ὁ δὲ ἄνθρωπος μόνος ἀπειθεῖ, δι' ὃν γέγονε τὰ πάντα:

Nihil præbebimus Deo, ſi nos metipſos caſtos cuſtodiamus, ſed nobis metipſis conciliabimus vitam, æternorumque bonorum ineffabilem fruitionem.

Οὐδὲν παρέξομεν Θεῷ εἰ τηρήσομεν ἑαυτοὺς ἁγνοὺς, ἀλλ' ἑαυτοῖς ζωὴν προξενήσομεν, καὶ ἀπόλαυσιν ἀνεκλάλητον τῶν αἰωνίων ἀγαθῶν.

Ne dicas, quod non poſſũ cuſtodire Diuinũ mandatũ, aut propter Patrem, aut propter matrem, aut propter vxorem, aut propter filios, aut propter alium quẽpiam, nec enim te liberabunt illi ab imminenet irâ, & à nunquam moriente verme. omnis autem, qui tibi aduerſatur ne virtutes, Deumque acquiras, ſit tibi execrandus, & odioſus; & cum iſto nequidem comedere bonum eſt.

Μὴ εἴπῃς, ὅτι οὐ δύναμαι τηρῆσαι ἢ διὰ πατέρα, ἢ διὰ μητέρα, ἢ διὰ γυναῖκα, ἢ διὰ τέκνα, ἢ δι' ἕτερόν τινα, τὴν τοῦ Θεοῦ ἐντολήν, οὐ γὰρ ἐκεῖνοι σε ῥύσονται τῆς ἐπικειμένης ὀργῆς, καὶ τοῦ ἀτελευτήτου σκώληκος. ἔστω δέ σοι πᾶς ὁ ἐναντιούμενος πρὸς κατόρθωσιν Θεοῦ, ἢ ἀρετῆς, βδελυκτὸς ἢ μισητός, τῷ τοιούτῳ μηδὲ συνεσθίειν καλόν.

EIVS.

ΤΟΥ ΑΥΤΟΥ ΟΣΙΟΥ

ΠΑΤΡΟΣ ΗΜΩΝ

ΝΕΙΛΟΥ

Γνῶμαι ἀπάγουσαι τῶν φθαρτῶν, καὶ κολλῶσαι τοῖς ἀφθάρτοις τὸν ἄνθρωπον.

α. Ὁδὸς εἰς ἀρετὴν, ἡ τοῦ βίου φυγὴ, ἀγαθή τε καὶ σύντομος.

β. Χρὴ τὸν ἐπιθυμοῦντα τῶν ἀφθάρτων, ἀντ' οὐδενὸς ἡγεῖσθαι τὰ φθειρόμενα.

γ. Εἰ τὴν ζωὴν τὴν ὄντως ποθεῖς, ἀεὶ προσδέχου τὸν ἀνθρώπινον θάνατον.

δ. Μίσει τὸν παρόντα βίον, ὁρᾷς γὰρ αὐτοῦ τὸν τροχὸν ἀτάκτως κινούμενον.

ε. Μὴ ποθήσῃς ἀγαθὰ, ὧν ἡ χρῆσις παρέρχεται, καὶ ἡ κτῆσις ἀπόλλυται.

ς. Γέλα τοὺς εὐπραγοῦντας, τοῖς δυσπραγοῦσι σύμπασχε. τοῦτο μὲν γὰρ μισθοῦ, ἐκεῖνο δὲ φιλοσοφίας πρόξενον.

ζ. Τὴν ὑπομονὴν ἄσκει. οἵαν αὐτὴν ἔγνωμεν γυμνασθεῖσαν τοὺς μάρτυρας ἐπειδὴ ὃ τῆς συνειδήσεως μαρτύριον καὶ ἡμεῖς ἀπαιτούμεθα.

η. Πάντων προτίμα τὴν ψυχὴν, καὶ τῆς ἀρετῆς ὁ δρόμος ἀκαμάτως ἀνύεται, πάντα γὰρ φθαρτὰ, ἡ δὲ ψυχὴ ἀθάνατος, προτιμᾶσθαι τοίνυν τῶν φθαρτῶν, τὴν ἀθάνατον προσήκει.

θ. Ἑτοίμαζου πρὸς τὰ λυπηρὰ, καὶ κερδαίνεις τὰ πλείονα.

ι. Μὴ ζήτει παρὰ Θεοῦ τὰ ἡδέα, μόνα δὲ τὰ συμφέροντα, ἐκεῖνα γὰρ αἰτηθεὶς, οὐ δίδωσιν, εἰ δὲ καὶ λάβῃς φθείρονται,

ια. Μὴ μέμφου τὴν πενίαν, ἀπα-

EIVSDEM

S. P. N.

NILI

Sententię abducentes hominē à corruptibilibus,& incorruptibilibus unientes.

1 VIA ad virtutem bona,& breuis,eſt ſęculi fuga.

2 Oportet, vt qui concupiſcit incorruptibilia, pro nihilo ducat corruptibilia.

3 Si veram deſideras vitam,humanam mortem ſemper expecta.

4 Præſentem vitam odio habeas, vides quippè ipſius rotā abſque ordine conuolui.

5 Ne deſideres bona, quorum vſus præterit, & poſſeſſio deperit.

6 Rideto eos,quibus res proſperè ſuccedunt, & infeliciter degentibus cōpatere;hoc enim mercedē,illud verò ſapientiā cōparat.

7 Exerce Patientiam, eam, quam nouimus exercuiſſe Martyres, quandoquidem à nobis etiam conſcientiæ teſtimoniū repoſcitur

8 Præ omnibus animam ęſtima, ſicquè virtutis curſus ſine labore perficitur: omnia namque corruptibilia ſunt, anima vero immortalis;conuenit igitur, eam, quæ mortis eſt expers, pluris facere, quàm corruptibilia.

9 Præpara te ad ea,quæ moleſta ſunt, & plura lucraberis.

10 Ne quæras à Deo ſuauia, ſed ea ſola, quæ ſunt vtilia; illa enim requiſitus Deus, non dat; ſi autem& acceperis,corrumpuntur.

11 Ne conqueraris de Paupertate

tate, hæc quippè Certatorem efficit à lege indiſtractum.

12 Ne oblecteris diuitijs; nam curæ,quæ de ipſis habentur, vt plurimùm,& cõtrà animi ſententiam ſeparant hominem à Deo.

13 Propè eſt finis; qui pigritat, ad flagra præparetur.

14 Non procul eſt æſtas; agrũ igitur animæ è ſpinis liberemus.

15 Nihil Deum latet, itaut, dũ peccamus, fruſtrà Deum latere feſtinemus.

16 Prę hominibus verecundare Angelos, multi nempè nobis adſtant; ideòquè ab omni ſeiungere turpi actione.

17 Solicitus eſto de lance Iudicis, &, ſi quid tibi ſordidum eſt tentationis ſecularis, eijcietur.

18 Puta, otium,& requiem eſſe damnum, & feſtina facere quippiam eorum, quę à nobis ſunt repetenda.

19 Semper cogita inconſtantiam vitæ, nihilque illorum, quę in eâ ſunt, te poterit diſtrahere.

20 Splendida bona terrę nequam te delectent, quià temporaria ſunt, hami namque exiſtunt animam, veluti piſcem, decipientes,& retibus includentes.

21 Abſtine à tentationibus, teque promptum exhibe ad fortitudinem.

22 Nunquam pauperem deſpicias lacrymantem, netuæ Orationis lacrymæ deſpiciantur.

23 Sapientia,poſſeſſio eſt hominibus eximia, cumque ſola ſit hominibus, ſoli poſſidenti vult coniungi.

24 Virtus, tunica Dei eſt, ipſam texe,& eius euades veſtiarius,

ῥίπτασον γὰρ τῷ νόμῳ τὸν ἀθλητὴν ἐργάζεται.

ιβ. Μὴ εὐφραίνου πλούτῳ, αἱ περὶ γὰρ αὐτοῦ φροντίδες, χωρίζουσιν ὡς τὰ πολλά, καὶ παρὰ γνώμην τὸν ἄνθρωπον ἀπὸ τοῦ Θεοῦ.

ιγ. Ἐγγὺς τὸ τέλος, ὁ ῥαθυμῶν ἑτοιμαζέσθω πρὸς μάστιγας.

ιδ. Οὐ μακρὰν τὸ θέρος, ἀκανθῶν τοίνυν τὸν ἀγρὸν τῆς ψυχῆς ἀπαλλάξωμεν.

ιε. Οὐδὲν λανθάνει τὸν Θεόν, ὥστε μάτην λανθάνειν ἁμαρτάνοντες σπεύδωμεν.

ις. Πρὸ τῶν ἀνθρώπων, αἰσχύνου τοὺς ἀγγέλους, πολλοὶ γὰρ ἡμῖν πάρεισι, καὶ πάσης αἰσχρᾶς ἀποχωρίζου πράξεως.

ιζ. Μερίμνα τοῦ κριτοῦ τὸν ζυγόν, καὶ πᾶν εἴ τι σοι κίβδηλον τῆς πείρας τῆς βιωτικῆς ἐκβάλλεται.

ιη. Ζημίαν εἶναι τὴν σχολήν, καὶ ἄνεσιν νόμιζε, καὶ σπεῦδε τι πράττειν, ὧν ἀπαιτεῖσθαι μέλλομεν.

ιθ. Ἀεὶ τοῦ βίου λογίζου τὸ ἀβέβαιον, καὶ οὐδέν σε τῶν ἐν αὐτῷ περισπᾶσαι δυνήσεται.

κ. Τὰ φαιδρά σε τῆς γῆς μὴ τερπέτωσαν, πρόσκαιρα, ἄγκιστρα γὰρ ἐστὶ τὴν ψυχὴν ὡς ἰχθὺν δελεάζοντα, καὶ σαγηνεύοντα.

κα. Ἀπέχου τῶν πειρασμῶν, εἰς δὲ τὴν ἀνδρίαν ἐπίδειξον.

κβ. Μηδέποτε πτωχὸν παρίδῃς δακρύοντα, ἵνα μὴ παροφθῇ τῆς σῆς προσευχῆς τὰ δάκρυα.

κγ Ἡ φιλοσοφία κτῆμα τοῖς ἀνθρώποις ἐξαίρετον, οὖσα δὲ τοῖς ἀνθρώποις μόνη, μόνῳ συνεῖναι τῷ κεκτημένῳ βούλεται.

κδ. Χιτὼν ἡ ἀρετὴ τοῦ Θεοῦ, ταύτην ὕφαινε, καὶ γίνου στολιστὴς τῆς τῶν

iqu

κτίσιν ἐνδύοντος.

qui Terrarum induit Orbem.

κε. Ὅσα ἐπὶ γῆς, κλέπτεται, τὰ κατ' οὐρανὸν ἐργάζου, ταῦτα γὰρ τῶν συλώντων δακτύλους οὐκ εἰσέρχεται.

25 Quæcumque ſunt ſuper terram, furto ſubtrahuntur; operare tu cæleſtia, iſta quippe digitos rapientium non ſubeunt.

κϛ. Παραιτεῖσθαι δεῖ τὸ τρυφᾶν, ἕλκει γὰρ εἰς πράξεις, ἀφ' ὧν στεναγμοὶ μετὰ τὴν νῆψιν γίνονται.

26 Recuſare oportet delicias, trahunt enim ad actus, à quibus, poſt ſobrietatem, gemitus procreantur.

κζ. Τοὺς λογισμοὺς ἄμεινον τοὺς φιλοσάρκους βδελύττεσθαι, φθείρουσι γὰρ τὸ σῶμα, καὶ τὴν ψυχὴν μολύνουσιν.

27 Melius eſt abominari cogitationes amicas carnis, corrumpunt enim corpus,& Animam inquinant.

κη. Οὐ δὲ τὰ τῆς γῆς ἀγαθὰ χωρὶς κόπων ἀνύεται, ἀνθ' ὅτου τὰ οὐράνια, διὰ τὸν μόχθον ἐκκλίνομεν;

28 Neque bona terrena quis comparabit abſque laboribus; cur igitur cæleſtia propter laborem declinamus?

κθ. Βούλει τὴν ἀρετὴν κόπου χωρὶς ἐργάζεσθαι; λογίζου τὸν κόπον, ὅτι πρόσκαιρος, καὶ τὸν μισθὸν ὡς αἰώνιον.

29 Vis abſque labore operari Virtutem? cogita, quod labor temporarius eſt,& merces æterna.

λ. Ὅσοι πρὸς τὰς ἡδονὰς τὰς ἀτόπους τετήκασι, τῆς ἀπολαύσεως τὸ βραχὺ, καὶ τῆς τιμωρίας τὸ μακρὸν λογιζέσθωσαν.

30 Quicunque ad inhoneſtas voluptates tabefacti, ſeù conſumpti ſunt, breuitatem fruitionis, & prolixitatem ſupplicij computent.

λα. Οἷος ὁ βίος ῥυπαρὸς, κτηνώδης, εἰκότως ἡ ψυχὴ, καὶ πενθεῖν, ὡς τὸ λογικὸν, καὶ ὑφ' ἑαυτῶν ζημιωθέντες ὀφείλουσι.

31 Quàm ſordida, beſtialis, ac ſtolida hæc vita ſit, iure merito, tùm Anima, tùm rationalis mens, tùm ij, quià ſemetipſis detrimentum perpeſſi ſunt, lugere debent.

λβ. Πάντα νόμιζε φθαρτὰ, καὶ τὴν ἀρετὴν ἄφθαρτον.

32 Omnia exiſtima corruptibilia, virtutem vero eſſe incorruptibilem.

λγ. Ἀμέλει τῶν ἄλλων ὅσα κτηνώδη κατασκευάζει τὸν ἄνθρωπον.

33 Neglige alia, quæcumque pecudis inſtar euadere faciunt hominem.

λδ. Ἐπιμελοῦ τῆς ἀρετῆς, αὕτη γὰρ Θεὸν διὰ φιλοσοφίας, τὸν Ἀδὰμ ἀποδείκνυσι.

34 Curam habeto virtutis, ipſa quippe Adamum exhibet Deum per Sapientiam.

λε. Κρατεῖς γαστρός; κράτει καὶ γλώττης, ἵνα μὴ τῷ μὲν ὑποδοχῆς δοῦλος, τῷ δὲ τυγχάνῃς ἀνόνητος ἐλεύθερος.

35 Contines ventrem? contine & linguam, ne pèr hunc fias ſeruus, per illam verò liber euadas inutilis.

λϛ. Ἀγάπα τὸν Θεὸν, ὑπὲρ αὐτὸν δὲ τοῖς οἰκείοις μὴ προσπάσχε, μήπως αὐτοῦ, κατὰ τὴν αὐτοῦ φωνὴν εὑρεθῇς, ὡς οὐ

36 Dilige Deum, ſuprà ipſum autem, ne ſis addictus, ſeù affectione adhæreas domeſticis, neforte

ſecun-

ſecundùm eius vocem, eo,vti non vis, indignus comperiaris.

37 Conſtanter perfer tribulationes,ac ęrumnas; in ipſis quippe Certantibus plectitur corona.

38 Beata res eſt male pati, at malè facere miſerrimum eſt; qui namque patitur, fit Chriſti heres, qui verò male facit, Diaboli euadit coheres.

39 Bonus eſt ieiunij Panis; quandoquidē liber eſt à voluptatum fermento.

40 Sancta eſt ara Orationis, quià trahit ad nos SanctūSanctorū.

41 Ne cenſeas, iuſtitiam eſſe virtutis appendicem; nam abſque illa omnis actio eſt impura.

42 Si diſſemines pauperibus, tua diſſemina, aliena quippe ſunt Zizanijs amariora.

43 Miſericors cęcus eſt, niſi fuerit iuſtus, dum agrum excolit, quem metere minimè poteſt.

44 Semper quidem expecta mortem, at ne timeas; vtrumque enim vera eſt nota Philoſophiæ.

45 Virtutis figuram indue, nō vt decipias, ſed vt adiuues aſpicientes.

46 Dicere oportet honeſta eum etiam, qui eadem non facit honeſta,vt incipiat opera,reueritus ſermones.

47 Si Cęlum deſideras, nihil tibi, & terræ,nec enim iſta ſinit ad illud euolare.

48 Ne diteſcere velis cauſſā mendicis caritatiuè opitulandi; Deus enim lege ſanciuit, quod Iuſtus è proprijs miſereatur.

49 Si poculum aquæ frigidæ iuſtificat miſericordem, quanta ſuccedet retributio ei, qui mendicis omnia diſpergit?

θέλεις, ἀνάξιος.

λζ. Καρτέρει τὰς θλίψεις, ἐν αὐταῖς γὰρ τοῖς ἀθλοῦσιν ὁ στέφανος.

λη. Μακάριος πάσχειν κακῶς, τὸ ποιεῖν δὲ τρισάθλιος, τοῦ Χριστοῦ γὰρ κληρονόμος ὁ πάσχων, ποιῶν δὲ τοῦ διαβόλου συγκληρονόμος.

λθ. Καλὸς ὁ τῆς νηστείας ἄρτος, ἐπειδὴ τῆς ζύμης ἐστὶ τῶν ἡδονῶν ἐλεύθερος.

μ. Ἅγιος ὁ τῆς προσευχῆς βωμός, ἕλκει γὰρ πρὸς ἡμᾶς τὸν τῶν ἁγίων ἅγιον.

μα. Μὴ δόκει τὴν δικαιοσύνην, ἀρετῆς εἶναι πάρεργον, αὐτῆς γὰρ χωρίς, πᾶσα πρᾶξις ἀκάθαρτος.

μβ. Εἰ σπείρεις πτωχοῖς, τὰ σαυτοῦ σπεῖρον, τὰ γὰρ ἀλλότρια, ζιζανίων πικρότερα.

μγ. Τυφλὸς ἐλεήμων, εἰ μὴ ὑπάρχει δίκαιος, γεωργῶν ἀγρόν, ὃν θερίζειν οὐ δύναται.

μδ. Προσδόκα μὲν ἀεὶ τὸν θάνατον, μὴ φοβοῦ δέ, ἀληθὴς γὰρ χαρακτὴρ φιλοσοφίας ἑκάτερον.

με. Σχημάτιζου τὴν ἀρετὴν, οὐχ ὅπως ἀπατᾷς, ἀλλ' ὅπως ὠφελῇς τοὺς βλέποντας.

μϛ. Λέγειν χρὴ καλὰ καὶ τὸν μὴ καλὰ πράττοντα, ὅπως ἄρξηται τῶν ἔργων, τοὺς λόγους αἰσχυνόμενος.

μζ. Εἰ τὸν οὐρανὸν ποθεῖς μηδὲν σοι καὶ τῇ γῇ, οὐκ ἐᾷ γὰρ ἐκείνη πρὸς ἐκεῖνον ἀνίπτασθαι.

μη. Μὴ βούλου πλουτεῖν, φιλοπτωχίας ἕνεκα, ἀπὸ γὰρ τῶν ὄντων, ἐλεεῖν ὁ Θεὸς νομοθετεῖ τὸν δίκαιον.

μθ. Εἰ ποτήριον ψυχροῦ δικαιοῖ τὸν οἰκτίρμονα, πόση τίς ἀμοιβὴ τὸν πάντα σκορπίζοντα τοῖς πτωχοῖς διαδέχεται;

ν. Πατέρες τῶν ἀρετῶν ἁγνεία, καὶ συμπάθεια, οὐ τοίνυν ἔνι τοῦ Χριστοῦ δίχα ταύτης ἢ ἐκείνης στρατεύεσθαι.

να. Μὴ ἀμέλει τῆς συμπαθείας, τὸ γὰρ ἐξ αὐτῆς ἔργον, τὸν δι' ἡμᾶς σαρκωθέντα τοῖς ἀνθρώποις παρέστησεν.

νβ. Μὴ εἴπῃς, τίσομαι τὸν ἐχθρόν, κριτὴν γὰρ δίκαιον ἐν οὐρανῷ κεκτήμεθα.

νγ. Μὴ βούλου πλουτεῖν, μὴ δοξάζεσθαι, φθορὰ γὰρ ταῦτα τοῦ βίου, ἡμεῖς δὲ οὐκ ἐσμὲν ὡς οἱ φθειρόμενοι.

νδ. Ἐπὶ νεκρῷ μὴ θρήνει, κοινὴ γὰρ ἡ ὁδὸς, ὁ δὲ φθάνων μακάριος.

νε. Τὸν ἁμαρτάνοντα πένθησον, οὐχὶ δὲ τὸν πτωχεύοντα, στεφανοῦται γὰρ αὐτὸς, ἐκεῖνος δὲ κολάζεται.

νϛ. Γέλα μὲν τοῦ βίου τὸν τροχὸν ἀτάκτως κυλιόμενον, φυλάττου δὲ τὸν τροχὸν εἰς ὃν κυλίει, τοὺς ἐν αὐτῷ νυστάζοντας.

νζ. Λάλει τῷ Θεῷ πολλὰ, καὶ τοῖς ἀνθρώποις ἐλάχιστα, τῇ μελέτῃ δὲ τοῦ νόμου κατορθώσεις ἑκάτερα.

νη. Λουτὴρ ἀγαθὸς τῇ ψυχῇ τὸ τῆς προσευχῆς δάκρυον, ἀλλὰ μετὰ τὴν προσευχὴν μέμνησο τίνος χάριν ἐδάκρυσας.

νθ. Τοὺς δυνατοὺς τοῦ βίου μὴ μακάριζε, δυνατοὶ γὰρ δυνατῶς ἐτασθήσονται, ὅθεν αὐτοὶ τὸν κριτὴν αὐστηρότερον ἕξουσιν.

ξ. Δεῖ πονεῖν τὸν Ἀδάμ, ἡμεῖς δὲ πονοῦντες ἐν τῷ νόμῳ, τὴν ἀμοιβὴν κερδαίνομεν.

ξα. Ἀνάγκη τῆς Εὔας τοὺς κληρονόμους, θλίβεσθαι, ἀλλ' ὅταν εὐχαρίστως τὰς θλίψεις ὑπομένωμεν, εἰς εὐλογίαν ἡμῖν ἡ κατάρα μετέρχεται.

50 Patres virtutum ſunt caſtitas, & compaſſio; igitur ſine hac, vel illâ non licet ſub Chriſto militare.

51 Ne compaſſionem negligas, opus enim, quod ex ipſa proceſſit, exhibuit hominibus eum, qui propter nos carnem ſuſcepit.

52 Ne dicas, vltionem ſumam de inimico; Iudicem enim iuſtum obtinuimus in Cœlo.

53 Ne velis locupletari, neuè gloriæ cauſſâ æſtimari; ſunt quippe iſta ſeculi corruptio, nos autem non ſumus vt corruptibiles.

54 Super demortuo ne lugeas, communis namque eſt via, & qui peruenit, eſt beatus.

55 Peccantem defle, non autem mendicantem; iſtè quippe coronatur, ille verò punitur.

56 Ride quidem vitæ Rotam inordinatè volutam, at eam caue Rotam, in quam deuoluuntur ij, qui dormitant in ipſâ.

57 Multa cum Deo loquere, & pauciſſima cum hominibus; legis autem meditatione vtraque proſperè patrabis.

58 Lacryma Orationis lauacrũ bonum eſt animę, ſed poſt Orationem memento cuius gratiâ lacrymatus es.

59 Potentes ſeculi ne prædices beatos; Potentes namque potenter tormenta patientur; vnde ipſi Iudicem habebunt auſteriorem. *Sapient. c.6. v.7.*

60 Oportet, Adamum laborare; nos verò in lege laborantes lucrabimur retributionem.

61 Neceſſe eſt, vt heredes Euæ affligentur; at quando afflictiones cum gratiarum actione toleramus in benedictionem nobis commutatur maledictio.

62 Conſcientiâ vtere veluti lucernâ ad actiones tuas;demonſtrat enim iſta quales in vitâ bonæ ſint.

63 Nos ipſos iudicemus, & Iudex reconciliatus eſt; gaudet enim vt bonus, dum videt peccatorem onus diſpergentem.

64 Si quid ſordidum factũ fuerit poenitentiâ perluamus; debemus namque puram imaginem architectari.

65 Antequàm denudemur, animæ vlcera curemus, vt flagella, ſeù Diuinam vltionem vitando lucremur.

66 Quemadmodùm vincti difficulter gradiuntur, ita ſæculo impliciti, purum virtutis curriculum non perficiunt.

67 Oportet odiſſe peccatum, ſic enim ex ipſius reti celerius quis exibit, etſi in illud fuerit delapſus.

68 Qui non odit peccatum, etſi minimè faciat peccatum, inter peccatores iudicatur.

69 Super proximo peccante geme, vt & ſuper te ipſo gemas, omnes enim ſumus peccatis obnoxij.

70 Commemora Iudicis amicum, qui lapſus eſt, tuumque illinies vulnus; remedium quippè conſilij commune eſt.

71 Cum dicturus, aut facturus es aliquid curam gere defenſionis paulò poſt adhibendæ, ſicque à timore correctus, eris temperans.

72 Time peccati ſupplicium, & dedecus non ſuſtineas; moleſtia namque vtriuſque immenſa.

73 Futurorum bonorum, & pulchritudo, & multitudo infinita; iſta verò ſunt vmbra, & fumus, & bullæ.

74 Ne ſemines male, quia propè imminet æſtas, & ſpinarum a-

ξβ. Λύχνῳ πρὸς τὰς πράξεις τῷ συνειδότι κέχρησο· τοῦτο γάρ σοι ἐν βίῳ ποίας ἀγαθὰς δείκνυσιν.

ξγ. Ἑαυτοὺς κρίνωμεν, καὶ ὁ κριτὴς κατήλλακται, χαίρει γὰρ ὡς ἀγαθὸς, τὸν ἁμαρτωλὸν θεωρῶν, τὸ φορτίον σκορπίζοντα.

ξδ. Εἴ τι ῥυπαρὸν πέπρακται, τῇ μετανοίᾳ πλυνώμεθα, μέλλομεν γὰρ τὴν εἰκόνα καθαρὰν μεθοδεύεσθαι

ξε. Πρὶν γυμνωθῆναι, τὰ ἕλκη τῆς ψυχῆς θεραπεύωμεν, ἵνα κερδάνωμεν τοῖς φαρμάκοις τὰς μάστιγας.

ξϛ. Ὥσπερ δυσχερῶς οἱ δεσμῶται βαδίζουσιν, οὕτως τὸν δρόμον τῆς ἀρετῆς οἱ συμπλακέντες τῷ βίῳ καθαρὸν οὐκ ἀνύουσιν.

ξζ. Χρὴ τὴν ἁμαρτίαν μισεῖν, οὕτως γὰρ ἐκ τῆς αὐτῆς παγίδος θᾶττον, κἂν ὀλισθήσῃ τις πρὸς αὐτὴν, ἐξελεύσεται.

ξη. Ὃς οὐ μισεῖ τὴν ἁμαρτίαν, ἐν ἁμαρτωλοῖς, εἰ καὶ μὴ πράττει τὴν ἁμαρτίαν, κρίνεται

ξθ. Ἐπὶ τῷ πλησίον ἁμαρτάνοντι στέναξε, ἵνα καὶ σ' αὐτὸν στενάξῃς, πάντες γὰρ ἐσμὲν ἁμαρτίαις ὑπεύθυνοι.

ο. Ἀναμίμνησκε τοῦ κριτοῦ τὸν φίλον ὀλισθήσαντα, καὶ τὸ σὸν ἐμπλάττεις τραῦμα, κοινὸν γὰρ τῆς συμβουλῆς τὸ φάρμακον.

οα. Λέγειν τι μέλλων, ἢ πράττειν, τῆς μετὰ μικρὸν ἀπολογίας φρόντιζε, καὶ σωφρονεῖς τῷ φόβῳ διορθούμενος.

οβ Τῆς ἁμαρτίας τὴν τιμωρίαν φοβοῦ, τὴν αἰσχύνην δὲ νάρκα, τὸ χαλεπὸν γὰρ ἑκατέρων ἄμετρον.

ογ. Τῶν μελλόντων ἀγαθῶν, καὶ τὸ κάλλος, καὶ πλῆθος ἄπειρον. ταῦτα δὲ σκιὰ, καὶ καπνὸς, καὶ πομφόλυγες.

οδ. Μὴ σπεῖρε πονηρὰ, τὸ γὰρ θέρος ἐγγὺς, καὶ τὸ πῦρ τὸν γεωργὸν τῶν

gri-

ἀκανθῶν ἐκδέχεται.

οε. Ῥόδα τοῦ βίου ὑποκριταὶ πλεονέκται, φιλήδονοι, ἀλλὰ μικρὸν καρτέρεις, καὶ τὸν χόρτον θεωρεῖς πατούμενον.

ος. Πᾶσα πονηρὰ πρᾶξις ὁπλίζει τὸν διάβολον, ὁ ὁπλισθεὶς δὲ χαλεπῶς τοῖς ὁπλίσασι κέχρηται.

οζ. Βούλει τὸν ἐχθρὸν ἀσθενεῖν; τὴν ἁμαρτίαν περίκοπτε, καὶ γυμνωθεὶς τῶν πτερῶν, ὡς στρουθίον ἐμπαίζεται.

οη. Οὐαὶ τῷ ἀσεβεῖ, ὅτι ὅταν πάντες φωτίζονται, τότε ἐκεῖνος σκοτίζεται.

οθ. Οὐαὶ τῷ βλασφήμῳ, δεσμεῖται γὰρ τὴν γλῶτταν, καὶ πῶς ἀπολογεῖσθαι πρὸς τὸν κριτὴν οὐ δύναται.

π. Οὐαὶ τῷ ἀνόμῳ, πρὸς κριτὴν γὰρ αὐστηρόντε, καὶ δίκαιον τὸν νομοθέτην ἀπέρχεται.

πα. Οὐαὶ τῷ πλεονέκτῃ, ὁ πλοῦτος αὐτὸν φεύγει, καὶ τὸ πῦρ ὑποδέχεται.

πβ. Οὐαὶ τῷ ῥαθύμῳ, ζητήσει τὸν καιρὸν, ὃν κακῶς ἐδαπάνησεν.

πγ. Οὐαὶ τῷ ἀλαζόνι, ὅταν εἰσέλθῃ τὸν τάφον, τίς ὑπάρχει διδάσκεται.

πδ. Οὐαὶ τῷ φιλοπόρνῳ, ῥυποῦντι στολὴν νυμφικὴν, καὶ τοῦ βασιλικοῦ γάμου μετ' αἰσχύνης ἐκβάλλεται:

πε. Οὐαὶ τῷ λοιδόρῳ, καὶ σὺν αὐτῷ τῷ μεθύσῳ, ὅτι μετὰ φονευτῶν τάττονται, καὶ μετὰ μοιχῶν κολάζονται.

πς. Οὐαὶ τῷ τρυφῶντι χρόνον ὀλίγον, ὡς μόσχος εἰς σφαγὴν ἑτοιμασθεὶς, σιτεύεται.

πζ. Οὐαὶ τῷ ὑποκριτῇ, ὁ ποι-

gricolam ignis expectat.

75 Hypocritę, ſeù ſimulatores, auidi plus habendi, voluptatibus dediti, roſæ ſunt ſęculi, ſed tantillum expecta, inſpiciesque conculcatam herbam.

76 Omnis actio mala Diabolū obarmat, obarmatus autem moleſtijs afficit eos, qui ipſum armarunt.

77 Vis, vt inimicus debilitetur? peccatum præſcinde, ſicque alijs denudatus ille, veluti paſſerculus deluditur.

78 Væ impio, quia, quando illuminantur omnes, tunc ille obtenebratur.

79 Væ blaſphemo, alligatur nēpe ipſi lingua, & vllo modo ſe defendere apud Iudicem non poteſt.

80 Væ iniuſto, ad Iudicem quippe auſterum, iuſtumque abit Legiſlatorem.

81 Væ alienorum auido, diuitiæ ipſum fugiunt, & ignis ſuſcipit.

82 Væ Pigro, quæret tempus, quod malè inſumpſit.

83 Væ ſuperbo, quando ſepulcrum ingreſſus fuerit, quiſnam exiſtat, edocetur.

84 Væ meretricum amatori, inquinanti veſtem nuptialem, iam quoque è Regijs nuptijs eijcitur cum dedecore.

85 Væ contumelioſo, & cum ipſo ſimul ebrioſo, quia cum homicidis collocantur, & cum adulteris puniuntur.

86 Væ luxurianti paruo tempore, is, quaſi vitulus ad occiſionem deſtinatus, impinguatur.

87 Væ hypocritæ, ſeù ſimulatori, Paſtor ipſum abnegat, & lu-

pum Iudex demonſtrat.

88 Beatus, qui per anguſtam viam iter facit, coronã quippè geſtans Cælum ingreditur.

89 Beatus, qui voluptates conculcat, tremunt enim Dęmones coram ipſo.

90 Beatus, qui purus eſt virtute caretque ſimulatione in anima, quià iudicaturus eſt mundum, non verò à Mundo iudicandus.

91 Beatus, qui ſublimem agit vitam, ſenſum verò humilem; Chriſtum etenim imitatur, cumque ipſo conſidet.

92 Beatus, cuius à lingua lex minimè deficit, ab eius namque tabernaculo Deus nequaquam ſeparatur.

93 Beatus, qui plurimis benefacit, multos enim, dum iudicatur, inueniet Aduocatos.

94 Beatus, qui non adulterat virtutem; quia Iudicis non illuditur ventilabrum.

95 Beatus, qui actiones ſuas adornat, antequàm appareat ignis, quo probantur omnia.

96 Beatus, qui ad futuram vitam feſtinat; res namquè præſentes redolent corruptionem, & ad mortem trahuntur.

97 Beatus, qui diſpergit improba, quę congregauit, & purus puro Iudici adſtat.

98 Præcipuum autem, ſummũ que ſermonis eſt. Anima ne ſis negligens; nam paulò poſt ſubibis lancem tremendi Iudicij Chriſti Dei noſtri.

99 Sicut namque miſericordes non dolent, imminutis diuitijs ex largitione per ſingulos dies; magis autem delectantur, cum illæ in egenos fuerint expenſæ; ita nec inn-

μὴν αὐτὸν ἀρνεῖται, καὶ λύκος ὁ κριτὴς ἀποφαίνεται.

πη. Μακάριος ὁ στενὴν ὁδεύων ὁδὸν, στεφανηφορῶν γὰρ τὸν οὐρανὸν εἰσέρχεται.

πθ. Μακάριος ὁ τὰς ἡδονὰς πατῶν, τρέμουσι γὰρ πρὸς αὐτὸν οἱ Δαίμονες.

ϟ. Μακάριος ὁ τὴν ἀρετὴν καθαρὸς καὶ τὴν ψυχὴν ἀνυπόκριτος, κρίνειν γὰρ μέλλει τὸν κόσμον, οὐχὶ δὲ μετὰ τοῦ κόσμου κρίνεσθαι.

ϟα. Μακάριος ὁ τὸν βίον ἔχων ὑψηλὸν, ταπεινὸν δὲ τὸ φρόνημα, Χριστὸν γὰρ μιμεῖται, καὶ αὐτῷ συγκαθέζεται.

ϟβ. Μακάριος, οὗ τῆς γλώττης ὁ νόμος οὐκ ἀφίσταται, τούτου γὰρ τῆς σκηνῆς ὁ Θεὸς οὐ χωρίζεται.

ϟγ. Μακάριος ὁ πολλοὺς εὖ ποιῶν, πολλοὺς γὰρ εὑρήσει συνηγόρους κρινόμενος.

ϟδ. Μακάριος ὁ μὴ νοθεύων τὴν ἀρετὴν, τοῦ κριτοῦ γὰρ τὸ πτύον οὐκ ἐμπαίζεται.

ϟε. Μακάριος ὁ τὰς ἑαυτοῦ πράξεις κοσμῶν, πρὶν ὀφθῆναι τὸ πῦρ, ᾧ πάντα δοκιμάζεται.

ϟϛ. Μακάριος ὁ σπεύδων πρὸς τὴν ζωὴν τὴν μέλλουσαν, τὰ παρόντα γὰρ ὄζει φθορᾶς, καὶ πρὸς θάνατον ἕλκεται.

ϟζ. Μακάριος ὁ τὰ φαῦλα σκορπίζων, ἃ συνήγαγε, καὶ καθαρὸς τῷ καθαρῷ κριτῇ παριστάμενος.

ϟη. Κεφάλαιον μὲν τοῦ λόγου. ψυχὴ μὴ ἀμέλει, μέλλεις γὰρ τὸν ζυγὸν μετὰ μικρὸν μετέρχεσθαι τοῦ φοβεροῦ κριτηρίου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

ϟθ. Ὡς γὰρ οἱ ἐλεήμονες οὐ λυποῦνται μειουμένου τοῦ πλούτου τῇ μεταδό-

σι καθ' ἑκάστην ἡμέραν, εὐφραίνονται τε μᾶλλον εἰς ἐπιδεεῖς δαπανώμενοι, ὅπως οὐ θλίβει τοὺς ἀκτήμονας ἐπιθυμία τῶν παρόντων, σκιρτᾶν δὲ παρασκευάζει, καὶ γάννυσθαι, ὅτι τε καταφρονητικῶς ἔχουσι τοῖς ἄλλοις νομιζομένοις τιμίων, καὶ ὅτι τῆς τῶν ματαίων ἀσχολίας ἀπηλλαγμένοι, ἐλευθέρῳ τῷ λογισμῷ τῇ τῶν κρειττόνων προσεδρεύουσιν ἐργασίᾳ, ἐκεχειρίαν ἄγοντες τούτων, ὧν οἱ πολλοὶ δουλείαν εἵλοντο ἀνωφελῆ, καὶ ἀνόνητον. ἡμῖν δὲ καὶ τροφὴ παρεσκεύασται πολυχρόνιος, καὶ ἐσθὴς ταῖς ὥραις κατάλληλος, καὶ οἶκος κρυμοῦ, καὶ θάλπους ὁμοίως ἀπαλλάττων πάσης ἐπηρείας. χρημάτων δὲ, καὶ κτημάτων, καὶ τῆς ἄλλης περιττῆς ὕλης ἡ κτῆσις οὐκ ἠμέληται. καὶ ποῦ τοῖς ἐκείνων τὰ ἡμέτερα ἐστὶν ἴσα; οἷς οὐδὲν ὀχλεῖ σωματικῆς φαντασίας, ἐνθύμιον, ἀκραιφνὴς δέ τις πόθος τῶν θείων μετεωρίζει αὐτοὺς αἴρων ἀεί, ἀμνημονεῖν ἀναπείθει τῶν ἐν τῇ γῇ νομιζομένων λαμπρῶν. τοῦτο γὰρ ὁ νόμος διαγορεύει σαφῶς, ἐὰν ἐν τῷ διορύγματι (λέγων) ὁ κλέπτης εὑρεθῇ, καὶ πληγεὶς ἀποθάνῃ, οὐκ ἔστιν αὐτῷ φόνος, ἐὰν δὲ ὁ ἥλιος ἐπ' αὐτῷ ἐπανατείλῃ, φόνος λογισθήσεται. τὴν ἐν τῷ λογισμῷ περιστᾶσαν τῶν φαύλων ἐννοιῶν, καθάπερ νυκτερινὴν φαντασίαν, συγγνώμην ἔχειν δηλῶν. ἀπάτη γάρ ἐστιν ἀληθῶς πᾶσα συναρπαγὴ τῶν ἐχθρῶν τῆς ἀθρόας προσβολῆς, καὶ δεῖται συγγνώμης, μετὰ δὲ μελέτην τοῦ συλῶντος πολλὴν, καὶ σαφῆ τοῦ βλάπτοντος κατανόησιν, εἰκότως λοιπὸν ἀκολουθεῖ τιμωρία. γνώμης γάρ ἐστι τὸ πταῖσμα αὐθαίρετος συγκατάθεσις, καὶ οὐκ ἀγνοίας ἀκούσιον ἔθος, καὶ τῷ προδήλῳ κακῷ δικαίως ὁ συνθέμενος ὑπο-

inopes affligit concupiſcentia rerum prꝑſentium, efficit verò, vt exultent, & gaudeant, tum quià deſpectui habent, quæ ab alijs habentur in pretio, tùm etiam quià occupatione circa res futiles liberati, liberâ cogitatione meliorum operationi incumbunt aſſidui, ceſſationem earum rerum agentes, quarum inutili ſeruituti, nihilque iuuanti multi ſeſe addixerunt: nobis verò tùm alimentum diuturnum paratum eſt, tum veſtis ſubindè mutanda per tempeſtates, tùm domus ſimiliter à frigoris, ac æſtus omni defendens moleſtiâ; quin & pecuniarum, & prędiorum, & alterius ſuperfluæ materiæ poſſeſſio non eſt neglecta: & quomodo illorum rebus, ac facultatibus noſtra bona erunt æqualia? quibus imaginationis corporeę cogitatio nullam ingerit perturbationem, at purum quoddam deſiderium rerum Diuinarum nos ipſos ſublimes extollens, perſuadet, vt obliuiſcamur earum rerum, quę ſplendidæ in terra ęſtimantur. Iſtud enim lex luculenter edicit, aiens; ſi fur inueniatur Exod. 22
inter perfodiendum parietem, & v. 3.
percuſſus obierit, non erit homicidium; ſi autem ſol in ipſo exoriatur, imputabitur homicidium: oſtendens, veniâ donari in cogitatione affectionem turpibus adhærentem intellectionibus, ac ſi nocturna foret imaginatio, etenim verè deceptio furtiua eſt inimicorum omnis correptio inſultationis repentinæ, egetque veniâ; at poſt multam de prædatore meditationem, perſpicuamque nocentis conſiderationem meritò ſubſequitur poſteà ſupplicium; peccatum namque eſt propoſiti, ſeù voluntatis ſpontaneus conſenſus, & non ignorantiæ inuita conſuetudo

tudo, quiue manifeſto malo conſentit, iuſtè reus euadit, inflexus veluti per affectus propenſionem hoſti tamquam in lumine Solari deprehenſo.

δῆλος γίνεται, καμφθεὶς ὡς διὰ προσπάθειαν τῷ καθάπερ ἐν ἡλιακῷ φωτὶ φωραθέντι πολεμίῳ.

100 Perſeuerare quidem in oratione præclarum eſt,& mentẽ ad Dei colloquium exercere, tantum autem,vt,quod pacis tempus eſt, non facias eſſe belli.

ρ. Προσκαρτερεῖν μὲν γὰρ καλὸν τῇ προσευχῇ, καὶ τὸν νοῦν γυμνάζειν εἰς ὁμιλίαν Θεοῦ, τοσοῦτον δὲ, ὅσον τὸν τῆς εἰρήνης μὴ ποιῆσαι πολέμου καιρόν.

101 Verùm quis ſermo triſtitiâ moleſtiâ que non afficietur? quòd nimirùm is, qui dicit, ſe liberatũ à ſæculo, huiuſce diſtractionibus implicitus adhùc ſit; qui gloriatur ſe Mundum contempſiſſe, adhùc negotia, quæ in eo agitantur, inſanè, ſtolideque amplexetur; qui profitetur, ſe terrena deſpicere, operibus profeſſionem ementiatur; qui habet vt ludibria, quæ apud homines ſunt, quippe quæ, vt ait,lepida, facetaque videntur, adhuc pluſquam alij homines eis operam dedat; qui vale dixit vanitati; adhùc ab illâ non ſit ſeparatus; quiuè mortẽ, crucẽq;mundo renuntiando faſſus eſt,nullũ dein mortificationis exhibeat ſignum.

ρα. Τίς δὲ οὐ στυγνάσει λόγος; τὸν ἀπηλλάχθαι λέγοντα τοῦ βίου, καὶ τοῖς τούτου περισπασμοῖς ἐμπλεκόμενον, καταπεφρονηκέναι τοῦ κόσμου καυχώμενον, καὶ τῶν ἐν αὐτῷ πραγμάτων μανικῶς ἀντεχόμενον, ὑπεροχὴν τῶν γηΐνων ἐπαγγελλόμενον, καὶ τοῖς ἔργοις ψευδόμενον τὴν ὑπόσχεσιν, χλεύην τὰ ἐν ἀνθρώποις ἡγούμενον, ὥς φησι, δοκοῦντα κομψὰ, καὶ σπουδάζοντα τῶν ἄλλων ἀνθρώπων πλέον αὐτοῖς, χαίρειν εἰπόντα τῇ ματαιότητι, καὶ οὐ κεχωρισμένον αὐτῆς, σταυρὸν, καὶ θάνατον τὴν ἀποταγὴν ὁμολογήσαντα, καὶ οὐδὲν νεκρώσεως τεκμήριον δεικνύμενον.

102 Exiſti heus tu ex Aegypto quid ergò tibi, & operi lateritio? per deſertum iter agis, ad terram promiſſionis concitato gradu feſtinans, quid immoraris adhùc in vanis laborum ſtudijs, ad longinquam peregrinationem tardus euadens viator?

ρβ. Ἐξῆλθες ἐξ Αἰγύπτου ὦ οὗτος, τί σοι καὶ τῇ πλινθείᾳ λοιπόν; ὁδοιπορεῖς τὴν ἔρημον, ἐπὶ τὴν γῆν τῆς ἐπαγγελίας ἐπειγόμενος, τί ταῖς ματαίαις ἐγχρονίζεις φιλοπονίαις, βραδὺς ὁδίτης πρὸς τὴν μακρὰν ἀποδημίαν γινόμενος;

103 Multo indiget ſtudio propoſitus curſus; ne per imperuium iter diuageris, vt à requie non excidas: aratri ſtiuæ manum admouiſti, quid ad poſteriora conuerteris, ineptus Regno Cœlorũ euadens? dimiſiſti Pentapoleos incendium, quid circumſpieis deſiderans videre ea, quæ fiunt? Crucem ſuſtuliſti, Chriſtum ſeque-

ργ. Πολλῆς σπουδῆς χρήζει ὁ προκείμενος δρόμος, μὴ ἐμπλάζου ταῖς ἀνοδίαις, ἵνα μὴ ἐκπέσῃς τῆς καταπαύσεως, ἐπέβαλες τῇ ἐχέτλῃ τοῦ ἀρότρου τὴν χεῖρα, τί στρέφῃ εἰς τὰ ὀπίσω, ἀσύνθετος τῇ τῶν οὐρανῶν βασιλείᾳ γινόμενος; ἀφῆκας τὸν ἐμπρησμὸν τῆς

πενταπόλεως, τί περιβλέπῃ πόθων ἰδεῖν τὰ γινόμενα; ἦρας τὸν σταυρὸν, ἀκολουθεῖ Χριστῷ, πάντα καταλιπὼν, πατέρα, πλοῖον, δίκτυα, καὶ πάσης ὄργανα τέχνης, καὶ μετὰ τούτων πᾶσαν σχέσιν, καὶ μνήμην συγγενικὴν, πλεῖον γὰρ τούτων ἁπάντων φιλεῖσθαι θέλει ᾧ συνετάξω Χριστῷ, ἀπέθανες σὺν αὐτῷ, συνετάφης αὐτῷ τὴν μακαρίαν τῆς ἀπαθείας ταφὴν, τί τὰ τῶν ζώντων πάλιν ὑφίστασαι πάθη, πολλὴν φροντίδα τῆς σαρκὸς, εἰς ἐπιθυμίας ποιούμενος;

quere, derelinquens omnia, Patrem, nauigium, retia, & omnis artis inſtrumenta, & cum iſtis omnem cognatorum naturalem affectionem, & memoriam; quià pluſquàm iſta omnia Chriſtus, cui coordinatus es, vult amari: mortuus es cum ipſo, cōſepultus cum ipſo fuiſti beato tumulo vacuitatis paſſionum, quid rurſùs eas, quę ſunt viuentium, paſſiones ſubis, plurimam carnis gerens curam ad cupiditates?

ρδ. Οὐαὶ ὁ συνάγων ἑαυτῷ τὰ οὐκ ὄντα, καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς. πᾶν δὲ μὴ πρὸς ἀρετὴν συντελοῦν, ἀνοίκειον ἄχθος εἶναι τῷ πονοῦντι διαβεβαιοῦ, ἵνα τὴν ἀπὸ τῶν ματαίων σπουδὴν ἀποστρέψῃς, καὶ μεταγάγῃς ταύτην ἐπὶ τὰ χρήσιμα.

104 Væ ei, qui congregat ſibi ea, quæ non ſunt, ſibique aggrauat colli vinculum. Omne, quod non conducit ad virtutem, alienum eſſe laboranti onus affirma, vt ſtudium à vanis rebus auertas, ipſumque ad ea, que ſunt vtilia, transferas.

ρε. Τύπους δὲ εἶναι τῶν ἄλλων ἀνθρώπων ἡμᾶς οἱ θεῖοι βούλονται νόμοι, καὶ τὸ ἀπρόσκοπον πᾶσι παρέχειν τῷ ἀνεπιλήπτῳ τοῦ βίου.

105 Diuinæ leges volunt, nos eſſe aliorum hominum formas, & irreprehenſibili vitâ offendiculorum carentiam omnibus exhibere.

ρϛ. Τίνος οὖν αὐτοῖς τύπος γινόμεθα οἱ μᾶλλον αὐτῶν ταῖς σπουδαῖς περὶ τὰ μάταια κατατεινόμεθα; πῶς δὲ αὐτοὶ σεσώσμεθα, καὶ ἀδιάσκοποι, πλέον αὐτῶν ἀντεχόμενοι τούτων, ὧν καταφρονεῖν ἐδιδάχθημεν, καὶ τῷ δοκεῖν, συνεθέμεθα; καὶ τούτῳ προσκόμματα τιθέντες αὐτοῖς, καὶ μυρία ὁσημέραι σκάνδαλα. διὰ τοῦτο καλῶς ὁ τὸν ἐνάρετον κανονίσας βίον, ὁ μέγας Παῦλος ἐπισκοπῶν τοῖς καταφρονοῦσι τὴν βλάβην τῶν ἀκεραιοτέρων φησὶν, ἐὰν ἴδῃ σέ τις ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; τὴν ἐν ὁποιᾳδήποτε διαφορίαν τῷ ἑνὶ ἀναστέλλων ἐγκλήματι. καὶ οἰκοδομεῖτε ἀλλήλους λέγων, εἷς τὸν ἕνα, τὴν ἐξ ἀλλήλων

106 Cuius igitur rei forma ipſis erimus, qui pluſquàm ij circa vanitates diſtendimur? quo pacto ipſi ſaluabimur, & inoffenſo gradu procedemus, dum, pluſquā illi his rebus adhęreſcimus, quas contemnere ſumus edocti, ipſiſque, vt videtur, aſſentimur, & adſtipulamur, hoc modo offendicula ipſis apponentes, & millia quotidiè ſcandala. Eamobrem magnus Paulus, qui vitam virtute pręditam, ac regulam præclarè direxit, inſtans crimen intendendo his, qui contemnunt ſimpliciorum noxam, dicit. Si viderit te quis habentem ſcientiam, in Idolorum tē- 1.Cor 8.
plo recumbentem, non ne conſcientia eius, cum ſit infirma, ædificabitur ad manducandum v.10.

Ido-

Idolis oblata in Sacrificijs? indifferentiam in vnaquaque re vno reprimens crimine; etenim dicẽs, ædificate vos inuicem vnus alterum, vtilitatem, quæ ex mutuo prouenit, lege ſancit, vt vnuſquiſque, bonum operando, excitet alium ad ipſius operationem, ſingulis additamentis euadens ipſi ad perfectionem exemplum.

εἰς ἀλλήλους ὠφέλειαν νομοθετεῖ, ἵνα τὸ καλὸν ἕκαστος ἐργαζόμενος, προτρέπηται τὸν ἄλλον πρὸς τὴν τούτου συνεργίαν, ὑπογραμμὸς αὐτῷ πρὸς τὴν τελείωσιν ταῖς κατὰ μέρος προσθήκαις γινόμενος.

107 Quibus nam vero Molis Aſinarijs, quibuſque marinis profunditatibus digni ſunt ad ſupplicium hi tales, qui huiuſcemodi ſcandalorum auctores ſimplicioribus exiſtunt, quiuè eos, qui forſan magis inclinant ad incedendũ cum frugalitate, prouocant ad multimodam materiam contentione contrà ipſos, itaut manifeſtè eligant inutilia?

ρζ. Ποίων δὲ μύλων ὀνικῶν, καὶ ποίων θαλασσίων βυθῶν ἄξιοι πρὸς τιμωρίαν οἱ τοιοῦτοι, σκανδάλων αἴτιοι, τοῖς ἀκεραιοτέροις καθιστάμενοι, καὶ ῥέποντας ἴσως μᾶλλον αὐτῶν ἐπὶ τὸ στοιχεῖν τῇ αὐταρκείᾳ, προσκαλούμενοι ἐπὶ τὸ πολύϋλον ἐρίδι τῇ πρὸς αὐτῶν, καὶ τὰ προφανῶς αἱρουμένους ἀσύμφορα;

108 Arduum namque, ac difficile eſt, vt paſſionem, quæ iam à multo tempore depaſcebatur, deponant, dimoueantque habitum longâ diſtentum conſuetudine, ſi non multo ſtudio vſi fuerint, ad peruerſorum morum correctionẽ, ij, qui illo detinenrur, ac velut indiſſolubilibus vinculis deuincti ſunt, ſi qui ex illis prauis moribus vtcumque exire potuerint, neceſſum eſt, vt retrò trahantur, tamquàm adhùc ipſis deditì, ac veluti ex ijs pendentes, retroacti eorum memoriâ, in quibus paulò ante fuerunt.

ρη. Χαλεπὸν γὰρ ἀποθέσθαι πολλῷ χρόνῳ νεμόμενον πάθος, καὶ παραλῦσαι ἕξιν μακρυνθεῖσαν μακρᾷ συνηθείᾳ, μὴ πολλῇ σπουδῇ χρησαμένους πρὸς τὴν διόρθωσιν τοῦ πονηροῦ ἤθους τοὺς ἐνεχομένους αὐτῷ, καὶ καθάπερ δεσμοῖς ἀλύτοις κατεχομένους, κἂν διεκδῦναι τούτου δυνηθῶσιν ὅπως ποτε, ὡς ἔτι προσηρτημένους ἕλκεσθαι ἀνάγκη ὀπίσω, τῇ μνήμῃ τούτων ἐν οἷς ἦσαν ἔναγχος ἀναποδιζομένους.

109 Hocce pacto, qui aſſuetudine detinetur, difficilè eſt, vt ad inſolitum transferatur, malens eſſe in eo, in quo eſt, etſi ex confeſſo ſit inutile, quàm tranſire ad inaſſuetum, licèt manifeſtam, ac euidentem habeat vtilitatem.

ρθ. Οὕτως ὁ τῷ ἐθισμῷ κεκρατημένος περὶ τὸ ἀηθὲς ἐστι δυσμετάβλητος, ἀγαπῶν ἐν ᾧ ἐστιν εἶναι, κἂν ὁμολογουμένως ᾖ ἀσύμφορον, ἢ μεταβῆναι πρὸς τὸ ἀσύνηθες, κἂν ἔχῃ πρόδηλον, καὶ προφανές, τὸ ὠφέλιμον.

110 Qui generosè, ac magnanimè ſub Chriſto militant, quiuè ſæculi negotiationibus nõ implicantur, quò placeant exercitus Duci, hi legitimè certant, ac

ρι. Οἱ γενναίως στρατευόμενοι, καὶ μεγαλοψύχως Χριστῷ, καὶ ταῖς τοῦ βίου πραγματείαις οὐκ ἐμπλεκόμενοι διὰ τὴν πρὸς τὸν στρατολογήσαντα ἀρέσκειαν,

οὗτοι νομίμως ἀθλοῦσι, καὶ τὰς λαβὰς τῶν ἀντιπάλων τῷ λείῳ τῆς ἀκτημοσύνης, ὡς ἠλειμμένοι διαδιδράσκουσι.

ρια. Διὰ τοῦτο γεγόναμεν κατ' εἰκόνα Θεοῦ, ἵνα τὰ ἰδιώματα σώζωμεν τῶν χαρακτήρων ἐκείνων, καὶ τῷ ἐπισήμῳ τῆς πολιτείας τοῖς ὁρῶσιν παρέχωμεν, τῆς πρὸς αὐτὸν ὁμοιώσεως σαφῆ τὰ γνωρίσματα, ἐγώ, φησιν ὁ Θεός, οἰκτίρμων, καὶ ἐλεήμων, μακρόθυμος, καὶ δικαιοσύνην διατηρῶν, τούτοις γράφεται τοῖς χρώμασιν ἡ τῆς θείας ὁμοιώσεως εἰκών, οὗτοι χαρακτῆρες τῆς ἀσωμάτου μορφῆς, τούτοις ἐπιγινώσκεται ψυχὴ συγγενὴς οὖσα Θεῷ, ζηλοῦσα μὲν τὸ ἀπροσδεὲς ἐκείνου πόθῳ τῆς ἀκραιφνοῦς καθαρότητος, κωλυομένη δὲ τῷ πρὸς τὸ σῶμα δεσμῷ.

ριβ. Οὐδεὶς γὰρ οὕτω ξένος πάντη καὶ ἔκφυλος ἀσκήσει πονηρίας γενόμενος τῆς ἀνθρωπίνης φύσεως, ὡς μὴ δυσωπεῖσθαι τοῖς, οἷς πέπονθεν ἀντιδρᾶσαι τὰ ἴσα, δυνάμενος τῇ δυνάμει ἐπ' ἀγαθῷ κεχρημένῳ, καταδυόμενος, ἐφ' οἷς ἀδικήσας, τὰς τοῦ ὠφεληκότος ἀντιλαμβάνει χάριτας, κακίζων μὲν ἑαυτὸν τῆς πονηρίας εἰκότως, θαυμάζων δὲ τῆς φιλοσοφίας εὐλόγως ἐκεῖνον, οὗ τῷ παραδείγματι, τὸ ἀποστῆναι τῆς πονηρίας ὠφέληται, καὶ μεταβαλεῖν ἐπὶ τὸ γνωσθὲν τῇ πείρᾳ καλόν.

ριγ. Εἰ ἀπεθάνετε ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν τῷ κόσμῳ δογματίζεσθε; μὴ ἅψῃ, μηδὲ γεύσῃ, μηδὲ θίγῃς. πάντα γὰρ εἰς φθορὰν τῇ ἀποχρήσει τοῖς παύσασι τῷ θανάτῳ τὴν πρὸς αὐτὰ τῆς ὀρέξεως ὁρμὴν, ἀλλὰ καὶ παραστήσατε ἑαυτοὺς λέγει τῷ

læuore abdicationis poſſeſſionum velut vnguento ad certamen delibuti, hoſtium prehenſiones effugiunt.

111 Idcireò facti ſumus ad imaginem Dei, vt conſeruemus proprietates illorum characterum, inſignique conuerſatione videntibus luculenta præbeamus indicia ſimilitudinis ad ipſum. Ego (inquit Deus) miſerator, & miſericors, longanimis, & euſtodiens iuſtitiam: huiuſcemodi coloribus imago Diuinæ ſimilitudinis deſcribitur; hæcce incorporeę formę ſunt indicia; ex hiſce dignoſcitur quę Deo cognata eſt anima, ęmulans quidem illius ſummam non indigentiam, deſiderio illæſę puritatis; at corporis vinculo impedita. *Pſal. 102 v. 8.*

112 Nemo quippè eſt adeò peregrinus, ac naturæ humanæ expers, talis effectus exercitio in malitiâ, vt non exoretur ex his, quæ paſſus eſt, ad eadem viciſſim facienda, cũ poſſit, ipſâ in bono vtẽdo poteſtate, verecundatus, quod ipſe propter ea, quæ iniuſtè egit, viciſſim recipit gratias adiutoris; & meritò quidem ſeipſum ob malitiam improbans, ac vituperans, rationabiliter verò illum ob ſapiẽtiam admirans, euius exemplo iuuamentum in eo recepit, quòd abſceſſerit à malitiâ, inque cognitũ experientiâ bonũ pertranſijt.

113 Si mortui eſtis ab elementis Mundi, cur, quaſi viuentes decernitis, ne tangas, ne guſtes, neque contrectes? omnia namque ad corruptionem ex abuſu ijs, qui ceſſare fecerunt cupiditatis impetum ad ea; ſed & vos ipſos (inquit) Deo exhibete quemadmodũ *Ad Coloſ. ſenſ. 2. v. 20. 21.*

è mortuis viuentes.

114 Vnde vos quidem (ò dilecti) iuxtà metam currentes ad præmium ſupernæ vocationis, ac propè coronas cum ſitis, ne abijciatis bonã veſtri animi alacritatem, ſed vt eam à maioribus recepiſtis florentem, ita poſteris ipſam tranſmittite; eorum autem, qui hactenùs oblectãtur vanitate, quiuè labores ad virtutem ſpectantes in terrenis occupationibus inſumunt, miſereamini quidem, tamquam inutiliter laborantium, ac ſeminantiũ in carne, è qua licet tantùm metere corruptionem; at non valdè contentioſè cum illis rixemini, vtpotè qui peccant in his, quæ vitam decent Apoſtolicam; nam quos minimè cõuertit opus, eos ſermo nullatenùs pudefaciet.

Θεῷ ὡσεὶ ἐκ νεκρῶν ζῶντας.

ριδ. Οὕτω ὑμεῖς μὲν, ἀγαπητοὶ, κατὰ σκοπὸν τρέχοντες, ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ τῶν στεφάνων ὄντες πλησίον, μὴ ἐκλύετε τὴν ἀγαθὴν προθυμίαν, οὕτως δὲ ταύτην τοῖς μεθ' ὑμᾶς παραπέμψατε, ὡς αὐτὴν παρελάβετε παρὰ τῶν προλαβόντων ἀκμάζουσαν. τοὺς δὲ περιπομένους τέως τῇ ματαιότητι, καὶ τοὺς ἐπιβάλλοντας τῇ ἀρετῇ πόνους ταῖς γηΐναις φιλοπονίαις προσαναλίσκοντας, ἐλεεῖτε μὲν ὡς μοχθοῦντας ἀνόητα, καὶ σπείροντας εἰς τὴν σάρκα, ἐξ ἧς ἐστὶ θερίσαι φθοράν, μὴ πάνυ δὲ πρὸς αὐτοὺς ἐρεσχελεῖτε φιλονείκως ὡς πλημμελοῦντας εἰς τὰ καθήκοντα τῷ ἀποστολικῷ βίῳ, οὓς γὰρ οὐκ ἐπέστρεψεν ἔργον, τούτους οὐ δυσωπήσει λόγος.

115 Si namque promptè ſe haberent ad correctionem, præ humanis vtique adhortationibus magis Doctrinales Domini reueriti fuiſſent ſermones, quos ipſe ad diuitem plura prędia poſſidentem ediſſerens dicebat: ſi vis perfectus eſſe, vende tuam ſubſtantiã, & da pauperibus, & accipe Crucem, & retrò ſequere me.

ριε. Εἰ γὰρ πρὸς διόρθωσιν εἶχον ἐπιτηδείως, πάντως ἂν πρὸ τῶν ἀνθρωπίνων παραινέσεων, τοὺς τοῦ κυρίου διδασκαλικοὺς μᾶλλον ᾐδέσθησαν λόγους, οὓς πρὸς τὸν πολυκτήμονα ποιούμενος ἔλεγεν. εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ λάβε τὸν σταυρόν, καὶ δεῦρο ἀκολούθει μοι.

116 Quemadmodùm ſitiens, qui ſomniat, perinde ac ſi biberet, & experrectus, adhuc ſitit, anima verò eius ſperauit in vanum, ſic tale quid eſt vanorum ſpes, quæ nimirùm voluptas eſt quædam nocturnæ comeſſationis dilectione ſomnij oblectans, nec vnquam exiſtimatæ lætitiæ faciens experiẽtiam. cur igitur de his quæ noſtra non ſunt, ſoliciti curamus, perindè ac forent noſtra, & alienis, vti proprijs ſtudemus, tempus rerum neceſſariarum diſpectionis inanibus in cogitatis inſumentes?

ρις. Ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν ὡς ὁ πίνων, καὶ ἐξαναστὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπισε, τοιοῦτον ἡ τῶν ματαίων ἐλπίς, ἡδονή τις ἐστὶ νυκτερινῆς εὐωχίας, τῇ ἀγάπῃ τοῦ ὀνείρου εὐφραίνουσα, καὶ πεῖραν οὐ ποιοῦσα ποτὲ τῆς νομιζομένης εὐφροσύνης. τί οὖν τὰ οὐχ ἡμέτερα μεριμνῶμεν διὰ παντὸς ὡς ἡμέτερα, καὶ τὰ ἀλλότρια ὡς οἰκεῖα σπουδάζομεν τὸν καιρὸν τῆς σκέψεως τῶν ἀναγκαίων προσδαπανῶντες τοῖς κενοῖς ἐνθυμίοις;

117 Quodnam tempus ſuper-

ριζ. Ποῖος καιρὸς ὑπολέλειπται

πρὸς ἄδειαν σκέψεως τῶν οὐ καθηκόντων, ἡμῖν ἑκάστου τῶν ἐπιτεταγμένων ὅλον ἀπαιτοῦντος τὸν χρόνον, καὶ παραχωροῦντος τοῖς ἄλλοις οὐδένα; πῶς γὰρ ἀδιαλείπτως προσεύξεται ὁ μὴ μελετῶν ἐν τῷ νόμῳ ἡμέρας καὶ νυκτός; πῶς δὲ διόλου εὐλογήσει τὸν κύριον, ὁ ἕν τι τῶν εἰρημένων ποιῶν, μόλις τοῦ καιροῦ φθάνοντος ὑπουργῆσαι τῇ ἀκριβείᾳ οὔτινος οὖν τῶν κατ' ἀρετὴν γινομένων.

eſt ad vacationem diſpectionis eorum, quæ non conueniunt, dũ quodlibet ex ijs, quæ nobis præcipiũtur totum exigat tempus, nullumque alijs præbeat? quo namque pacto indeficienter orabit qui non meditatur in lege die ac nocte? ſed & quomodo aſſiduè benedicet Dominum, qui vnum aliquod prædictorum (mundi negotiorum) operatur, tempore vix ſufficiente ſummæ adminiſtrandæ curæ cuiuſlibet eorum, quæ fiunt ſecundùm virtutem?

ριη. Καί τινα μὲν τεχνιτῶν ἔργων ὅρον ἔχει, καὶ πέρας πρὸς ὃ ἐν ὁ σκοπὸς τῶν ἀρχομένων ὁρᾷ, καὶ κατορθοῦται τούτων ἕκαστον, ἐν οὐ πολλῷ χρόνῳ, ἐν ὕλαις ἐνεργούμενον, καὶ τὸ τέλος ἔχον ἑστώς, καὶ περιμένον τὸν περικόπτοντα. ἡ δὲ ἀρετή, μακρὸν ἔχει τὸ μῆκος, καὶ τάχα ἀπέραντον τὴν δύναμιν τοῦ μετερχομένου αὐτὴν κενοῦσα, καὶ ἔτι ἀφεστῶσα τῆς καταλήψεως.

118 Et nonnulla quidem artificum opera terminum habent, ac finem, ad quem intentio incipientium reſpicit, & vnumquodque ipſorum non diutino perficitur tempore, quippe quod in materijs fabrefit, finemquè habet præſentem, & expectantem eum tantùm, qui circumſecaturus eſt: virtus autem longam habet protenſionem, & forſan interminatam, vtpote quæ vires eius, qui eam cōſectatur, inanes reddit, & adhùc tamen longe abeſt à comprehenſione.

ριθ. Ὅτι πλησμονὴ γαστρὸς ἀρδείας εἰσάγει τῶν ὑπογαστρίων, πικροῖς ὥσπερ ὀχετοῖς τοῖς ἐκ τοῦ κόρου φερομένοις ποτιζομένων πλημμυροῦσι ῥείθροις, κνησμοὺς ἐκ τούτων ποιούντων τραχεῖς, καὶ τὸν τῆς σωφροσύνης ἀγῶνα, τοῖς γαργαλισμοῖς παρεχόντων ἐπίπονον.

119 Quandoquidem ventris repletio inducit irrigationem eorum, quæ ſub ventre ſunt, genitalium, dum irrigantur per inundātia fluenta, veluti per amaros ductus è ſatietate perlatos, & ex his aſperos efficiant pruritus, ac titillationibus exhibeant temperantiæ laborioſum certamen.

ρκ. Ὁ πρὸς τὸ θαυμασθῆναι παρὰ τῶν ἀνθρώπων ἀναδεξάμενος ὅντινα οὖν κάματον, οὐδὲν τῶν ἐπὶ σκηνῆς παραδοξοποιούντων διαφέρει, μισθῷ τῷ παρὰ τῶν τερπομένων ἀρκούμενος, καὶ παρὰ τοῦ Θεοῦ ἆθλον αἰτεῖν, οὐκέτι εὔλογος ὤν, ὅτι μὴ τὸν παρὰ τοῦ Θεοῦ λαβεῖν ἐξ ἀρχῆς, ἀλλὰ τὸν παρ' ἐκείνων προέθετο.

120 Qui, vt admirationi ſit apud homines, laborem quempiam amplexatur, nihil differt ab his, qui in ſcenis exhibent admirāda; quippe qui mercede contentus eſt ex ijs, qui delectantur, acceptâ, nullâ que ratione prēmium à Deo petere poteſt, eò quòd ab initio eam, quæ ab illis prouenit, & non quæ à Deo, recipere ſibi propoſuerit.

121 Ecquid igitur in ſolens inflatur, ac faſtuoſus immurmurat, ac ſi pro alijs decertaret, exiſtatque communis generis Saluator? ignorans, quod minùs lædit incuria, quàm nocere ſoleat arrogans exiſtimatio ſui, vtpote quæ tùm ad eum, qui ſupereſt, progreſſum animi præpedit alacritatem, quaſi iam perfecerit, quod propoſitum erat, tum etiam quia ex eo quòd reſpuat relapſos, magnam ſibi conciliat punitionem.

ρκα. Τί οὖν ὁ σοβαρὸς φυσιοῦται, καὶ βρενθύεται ὡς ὑπὲρ ἄλλων ἀθλῶν, κοινὸς ὥσπερ τοῦ γένους σωτὴρ διακείμενος, οὐκ εἰδὼς ἔλαττον βλάπτειν ἀμέλειαν, ἤπερ βλάπτειν πέφυκεν οἴησις, καὶ πρὸς τὸ λειπόμενον τῆς διακοπῆς ἐμποδίζουσα τῇ προθυμίᾳ ὡς ἠνυσμένου τοῦ προκειμένου, καὶ ἐκ τοῦ διαπτύειν τοὺς ἀναπεπτωκότας, μεγάλην αὐτῇ προξενοῦσα τὴν κόλασιν.

122 Quod enim per viſionem non fuit menti impreſſum, forſan non faceſſit negotium, malam que meditationem intellectui non porrigit; quod autem nec in meditatione fuit, ad opus non procedit, nec habet ſpatium, vt exterius indicio quopiam innoteſcat.

ρκβ. Τὸ γὰρ μὴ τυπωθὲν διὰ τῆς ὁράσεως, ἴσως οὐ δίδωσιν ἔργον, καὶ μελέτην τῇ διανοίᾳ κακήν· τὸ δὲ μὴ μελετηθὲν εἰς ἔργον οὐ πρόεισιν, οὐδὲ ἔχει χώραν ἔξω γνωσθῆναι τεκμηρίῳ τινί.

123 Non profert contumeliam lingua, ſopitâ interiùs irâ, nec oculus luxurioſè aſpicit, cogitatione illum frænante, & indecentem obtutum cohibente; nec auditus turpem ſuſcipit ſermonem, mente hunc ſenſum tutante, & cuſtodiente; nullum membrum peccatum operatur, vigilante interiùs gubernatore, qui cogitationes moderetur, & gradum, ſiue carceres ipſos receptaculi paſſionum fortiter retineat.

ρκγ. Οὐ προφέρεται λοιδορίαν γλῶσσα, ἔνδον κατευνασθέντος θυμοῦ. οὐχ ὁρᾷ πορνικῶς ὀφθαλμός, λογισμοῦ τοῦτον ἡνιοχοῦντος, καὶ τῆς μὴ καθηκούσης εἴργοντος θέας. οὐ δέχεται λόγον αἰσχρὸν ἀκοή, τοῦ νοῦ ταύτην φρουροῦντος τὴν αἴσθησιν. οὐδὲν τῶν μελῶν πλημμελῶς ἐνεργεῖ, νήφοντος ἔσω, τοῦ κυβερνήτου κυβερνῶντος τὰ ἐνθύμια, καὶ τὴν βαλβῖδα κατέχοντος αὐτὴν τοῦ ὁρμητηρίου τῶν παθῶν ἰσχυρῶς.

124 Quomodo igitur, qui actualiter non peccat, eo, qui intellectualiter non errat, maiori dignus erit honore? quia (inquit) ipſe laceſſitus non flectitur rebus, eſt que probatior, eo, qui viſis concupiſcentiæ potentiam non vellicat ad appetitum; ſed ſi iſte nullam mundanarum nouerit rerum non habet pugnam aduersùs illas; Si verò viſu earum perceperit notitiam, iam habet memoriam materias mouentem, ſicuti mo-

ρκδ. Πῶς οὖν ὁ κατὰ πρᾶξιν μὴ πταίων, τοῦ κατ᾽ ἔννοιαν μὴ σφαλλομένου ἐστὶ προτιμότερος; ἐπειδή, φησιν, αὐτὸς ἐρεθιζόμενος οὐ κάμπτεται τοῖς πράγμασι, καὶ δοκιμώτερός ἐστι, τοῦ μὴ τοῖς ὁρωμένοις τὸ ἐπιθυμητικὸν κνιζομένου πρὸς ἔφεσιν. εἰ μὲν μηδέν, οὗτος ἔγνω τῶν τοῦ κόσμου πραγμάτων, οὐκ ἔχει πρὸς αὐτὰ μάχην. εἰ δὲ τῇ ὄψει τούτων ἐν γνώσει γένηται, ἔχει τὴν μνήμην κινοῦσαν τὰς ὕλας, ὡς κινεῖ τὰ ὁρώμενα, καὶ ἡ πάλη συνέστηκεν αὐτῷ ἀδιάστατος, τῶν παθῶν ἄδειαν ἐχόντων

ἐν τῇ ἡσυχίᾳ, πλέον ὄψεως ὀχλεῖν τῷ περὶ μηδὲν τῶν ἔξω περισπωμένῳ τὴν ἔννοιαν.

mouent viſa,ipſique cõtinua conflata eſt lucta; cum paſſiones vacationem nactæ fuerint in loco quietis, perturbandi, pluſquàm viſus, intellectum eius,qui à nullis exterioribus diſtrahitur.

ρκε. Ὁ μὲν γὰρ ἐν συντυχίαις ὤν, καὶ συνδιαιτήσεσι, καὶ τὴν ὄψιν ἀργοτέραν ἔχει πρὸς τὰ σκανδαλίζοντα, πολλοῖς ἐπιμεριζομένην προσώποις, καὶ τὸν λογισμὸν μόλις φθάνοντα νύκτωρ τὰς μεθημερινὰς διεξέρχεσθαι συντυχίας. ὁ δὲ μιᾷ μάχεται δι᾽ ὅλου μορφῇ, εἴτε ὄψεως ἀρεσάσης εἴτε ποτὲ λυπήσαντος εἰδώλου, τοῦ μὲν ἔτι γαργαλιζούσης τὴν ἐπιθυμίαν, τοῦ δὲ τὸν θυμὸν ἀναφλέγοντος, καὶ πᾶσαν ἔχει σπουδὴν τοῦ διενοχλοῦντος ἐξῶσαι τὴν ἔννοιαν, καὶ τὴν ὑπόμνησιν ἀφανίσαι τῶν κινούντων τὰ πάθη.

125 Quandoquidem qui inter colloquia, & congreſſus conuerſatur, vſum etiam habet pigriorem, ad ea, quæ ſcandalizant, in plures diſpertitum perſonas, & cogitationem pariter inertiorem habet, quæ vix noctu poteſt quotidianos repetere diſcurſus: is autem cum vnâ formâ continuò pugnat, ſiue vultus, qui placuit quondam, ſiue imaginis,quæ dolore affecit; illo quidem adhùc titillante cupiditatem, iſtâ verò iracundiam inflammante, omneque adhibet ſtudium expellendi perturbantis rei cogitationem, & eorum abolendi recordationem,quæ commouent paſſiones.

ρκϛ. Καὶ ὥσπερ ὁ τῶν ἄγαν ἡδέων ὄψων, καὶ ποτῶν, οὔτε ἡ ὄψις, οὔτε ἡ μνήμη κινεῖ τοῦ μὴ ἐφιεμένου τὴν ὄρεξιν· οὕτως οὐδὲν τῶν αἰσθητῶν, οὔτε ὁρώμενον, οὔτε ἀκουόμενον, οὔτε τὴν ἐνθύμησιν ἐπεισερχόμενον τῷ ἠρεμεῖν τὸ παθητικὸν ἐθίσαντι, δελεάζει πρὸς πάθος, τῆς ἕξεως οὐκ ἔτι κινεῖσθαι συγχωρούσης, τὸν ἀπομαθόντα τῇ πολλῇ ἡσυχίᾳ τὴν κίνησιν.

126 Et quemadmodùm neque viſus,neque memoria eduliorum, ac potuum valdè ſuauiuum mouent eum, qui appetitum non habet; ità nullum ſenſibile,neque viſum, neque auditum, neque cogitationem ſubiens,ineſcabit ad paſſionem eum, qui ſedare aſſolet partes animi paſſioni obnoxias; habitu nequaquàm permittente commoueri eum,qui præ multâ quiete dedidicit commotionem.

ρκζ. Πῶς οὖν τὸν ἀπείρως, καὶ ἐπικινδύνως τὴν ἄσκησιν μετερχόμενον, τοῦ εὐμεθόδως, καὶ ἀσφαλῶς τὴν ἄσκησιν μετιόντος δοκιμώτερον ἐστὶν εἰπεῖν;

127 Quo pactoergò eum, qui imperitè, ac periculoſè Monaſticam conſectatur exercitationem, licet probatiorem dicere eo, qui cum dexteritate, & ſecurè eidem incumbit exercitationi?

ρκη. Οὐκ οἶδε ταῦτα, οὐδὲ σχολὴν ἔχει ποτὲ γνῶναι, ὁ ἐν πόλεσι διατρίβων, καὶ ὁ προστασίαν ἄλλοις νέμειν δοκῶν.

128 Neſcit iſta, nec otium habet vnquam ea cognoſcendi, qui in Vrbibus diuerſatur, quique videtur præſidatũ alijs obtinere.

ρκθ. Ἐμπρησμοῦ δὲ χεῖρον τὰ τῆς διανοίας ἑκάστῃ διάκειται τῶν αἰσθη-

129 Incendio verò pernicioſius intellectualia, quæque vnicuique ſen-

ſenſui ſunt, niſi quis incrementa recuſarit, materias inſerentia igni ardenti, ipſaſque, velut cremia, coacervantia naturæ ſuccenſâ flā-mâ, dum memoria veluti flabellum ipſam naturæ flammā euentilet per meditationē, efficiatque latiorem populantis ignis vaſtitate, ac perdifficilem extinctu.

σειωσεί μὴ τις τὰς προσόδους παραιτοῖτο, τροφίμους ὕλας εἰσφερούσας τῷ καιομένῳ πυρί, καὶ ταύτας ἐπισωρευούσας ὡς φρύγανα τῇ τῆς φύσεως ἀναπτομένῃ φλογὶ, τῆς μνήμης, ὥσπερ φυσητῆρι τῇ μελέτῃ ῥιπιζούσης αὐτὴν, καὶ ποιούσης λαυροτέραν τῷ πυρπολουμένῳ, καὶ δυσσβεστον.

130 Quin, & congregare ſtipulam ad paleas, lateritij eſt operis, in Aegypto diuagantium, nec vllatenùs pertinet ad quieſcentes. congregat quippe, & inuitus, qui commiſtus multitudinibus indiſcriminatim, materias effectiuas peccati, & paſſionis otioſum lutum in cubum efformat, quod in ſeipſo informe erat, figuramque recipit perſpicuam meditatione illorum, quæ per ſenſum velut imagines depinguntur.

ρλ. Καὶ τὸ συνάγειν δὲ καλάμην εἰς ἄχυρα, τῆς ἐν αἰγύπτῳ πλινθείας, τῶν ῥεμβομένων, καὶ οὐ τῶν ἡσυχαζόντων ἐστί. Συνάγει γὰρ καὶ ἄκων ὁ πλήθεσι συμφυρόμενος ἀδιαφόρως τὰς ποιητικὰς ὕλας τῆς ἁμαρτίας, καὶ τὸν ἀργὸν τοῦ πάθους εἰς κύβον σχηματίζει πηλὸν, ἄμορφον ὄντα καθ᾽ ἑαυτὸν, καὶ τρανὸν τύπον τῇ μελέτῃ τῶν δι᾽ αἰσθήσεως εἰδωλογραφουμένων δεχόμενον.

131 Paſſio quippè ſolùm mouere nouit, naturalem appetitum, eò debiliorem, quò minus exterioribus materijs cooperantem; quando verò formas libidinoſas, ac deceptrices receperit, tunc determinatis notis ſenſibilium rerum cogitationem retinet illigatam.

ρλα. Τὸ μὲν πάθος γὰρ, τὴν φυσικὴν ὁρμὴν κινεῖν οἶδε μόνον, καὶ ταύτην ἀσθενεστέραν, μὴ συνεργοῦ μένων ταῖς ἔξωθεν ὕλαις, ὅταν δὲ μορφὰς λίχνους, καὶ ἀπατηλὰς περιλάβῃ, ὡρισμένοις τῶν αἰσθητῶν χαρακτῆρσι κατέχει τὸν λογισμὸν πεπεδημένον.

132 Ideò quies præclara res eſt, quià in eá non videtur, quod noceat; quod autem non videtur, illud nō ſuſcipit intellectus; quod autem non eſt in intellectu, non mouet imaginatione memoriā, & quod non mouet memoriam non proritat paſſionem; paſſione minimè motâ, interior animi pars profundâ tranquillitate fruitur, ac pace.

ρλβ. Διὰ τοῦτο καλὸν ἡσυχία, ὅτι τὸ βλάπτον οὐχ ὁρᾶται, τὸ δὲ μὴ ὁραθὲν, οὐ δέχεται διάνοια. τὸ δὲ μὴ γινόμενον ἐν ταύτῃ, οὐ κινεῖ τῇ φαντασίᾳ τὴν μνήμην, τὸ δὲ μὴ κινοῦν τὴν μνήμην οὐκ ἐρεθίζει τὸ πάθος, πάθους οὐ κινουμένου γαλήνην ἔχει βαθεῖαν, καὶ εἰρήνην τὸ ἔνδον.

133 Eamobrem Ieſus Naue nō exibat è tentorio, viſionis euitans intempeſtiuos bellicos inſultus, ac damna.

ρλγ. Διὰ τοῦτο Ἰησοῦς ὁ τοῦ ναυῆ οὐκ ἐξεπορεύετο ἔξω τῆς σκηνῆς, τὰς ἀκαίρους τῆς ὄψεως ἐκτρεπόμενος ἐπηρείας.

Quid

ρλδ. Τί οὖν βέλτιον, ἑαυτὸν ἐλεεῖν, καὶ περιΐστασθαι τὰ σκάνδαλα, ἢ τῷ δῆθεν ἄλλους ἐλεεῖν, βρόχοις δυσελίκτοις ἐμπλέκεσθαι, καὶ κακοῖς ἐμπίπτειν ἀφύκτοις τῷ βοηθεῖν θέλειν ἑτέροις; καλὸν τῷ κρημνιζομένῳ χεῖρα διδόναι εἰ ἔξεστι μὴ συναπολέσθαι αὐτῷ κινδυνεύοντι, εἰ δὲ τῷ δοκεῖν συμπάσχειν τὸ πάσχειν ἀκολουθεῖ, τὸ οἰκεῖον συμφέρον σπουδαστέον. ὅτι μὴ οὕτως τῷ ἄλλῳ πλησίον, ὡς ἕκαστος ἑαυτοῦ. διὰ τοῦτο τῷ κεραυνείῳ πυρὶ τῆς πενταπόλεως φλεγομένης, ὁ ἄγγελος ἔλεγε τῷ δικαίῳ, καὶ φιλοξενίας ἐπιμελουμένῳ Λώτ, σῴζων, σῶζε τὴν σεαυτοῦ ψυχήν, εἰς τὸ ὄρος σῴζου, μήποτε συμπαραληφθῇς, παρεὶς τῶν ἀπολλυμένων τῆς ἑαυτοῦ φρόντιζε σωτηρίας.

134 Quid igitur meliùs, ſemetipſum miſerari, & ſcandala euadere, aut, miſerando videlicèt alios, difficillimis ſolutione laqueis implicari, inquè mala ineuitabilia incidere, alijs opem ferre volendo? bonum eſt manum dare præcipitem ſe proijcienti, ſi fieri poteſt, vt vnà cum periclitante nō pereamus, ſin, dum videmur cōpati, conſequatur, vt ipſi quoque patiamur, proprio ſtudendum eſt commodo; quilibet enim, non ſic eſt alteri proximus, vt ſibi ipſi; ideò, dum fulmineo conflagraret igne Pentapolis, dicebat Angelus iuſto, ac hoſpitalitatis ſtudioſo Lot: Saluans ſalua tuam ipſius animam, in montem ſaluare, ne *Geneſ.c. 19.v.17* fortè comprehendaris, præ pereuntibus, tui ipſius ſalutem cura.

ρλε. Τὸ γὰρ μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω, μηδένα λόγον ἔχειν τῶν ἀπολλυμένων διδάσκει.

135 Quod enim ipſi fuit dictū, vt non circumſpiceret ad poſteriora, docet, quod nulla pereuntium ratio haberi debet.

ΤΟΥ ΑΥΤΟΥ ΜΑΚΑΡΙΟΥ

ΝΕΙΛΟΥ

ΛΟΓΟΣ

Εἰς τὸ ῥητὸν τοῦ εὐαγγελίου τὸ φάσκον. νῦν ὁ ἔχων βαλάντιον, ἀράτω ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν.

ΚΕΦΑΛ. α'.

ΤΟ' προκείμενον ῥητόν, κατὰ μὲν τὴν ἱστορίαν, πολλὴν ἔχειν δοκεῖ τὴν ἐναντιότητα, καὶ μάχεσθαι ταῖς λοιπαῖς τοῦ

EIVSDEM

BEATI

NILI

SERMO.

In effatum illud Euangelij, quod dicit. Nunc, qui habet ſacculum, tollat, ſimiliter, & peram, & qui non habet, vendat pallium ſuum, & emat gladium.

CAPVT I.

PRopoſitum effatū, ſecundùm hiſtoriã quidem multã habere videtur contrarietatem, & pugnat

Digitized by Google

gnat cum reliquis Domini adhortationibus; at iuxtà ſublimitatem reconditioris ſenſus, tùm ediſcentium in medio profert vtilitatem, tùm edocentis ſtudium indicat accuratum; quomodo nimirùm (Præceptor ille Diuinus) ſermones hortatorios ſtatibus accõmodatos inſtituat pro ætatibus ſecundùm animam conſideratis, dum progrediuntur ad perfectionem iuxtà incrementi proportionem. Quo enim pacto nunc iubet ijs, vt aſſumant gladium, quos iam inſtituerat præbere maxillam infligentibus alapam? & quomodo vt veſtimentum diuendant, emantque gladium ijs iubet, qui ſecundum ab ipſo habitam traditionem non habendi duas tunicas, vnum tantùm poſſidebant, quod geſtabant, veſtimentum? niſi nudos circumire vellet Apoſtolos, ſed ex confeſſo iſtud inhoneſtum erat, neque Domini traditioni conſonum: nec enim qui curam geſſit ipſorum libertatis, quoad animam, conſeruando ipſis immunitatem à curis, ex eo quod nihil poſſiderent, potuit vmquam negligere conueniens, nudum corpus circumferre mandans. Sicut enim alienum eſt à ſapientiæ ſtudio vltrà indigentiam progredi, & animam ſuperfluis, inanibuſque induere ſolicitudinibus,ità repudiare neceſſarium corporis miniſterium, inſana res eſt, & à ſtatu temperantiæ extranea; oportet itaque vtriſque præceptis adaptatam inquirere ſolutionem, & demonſtrare rationabile, & conueniens, quod ex vtriſque procedit; quià nimirùm recenter introductos decebat pri-

Κυρίου παραινέσιν. κατὰ δὲ τὴν ἀναγωγὴν, καὶ τὸ τῶν διδασκομένων παρίστησιν ὠφέλιμον, καὶ τὸ τοῦ διδάσκοντος κηδεμονικὸν, ὅπως ταῖς κατὰ ψυχὴν ἡλικίαις ἐν τῷ προκόπτειν ἐπὶ τὴν τελειότητα, κατὰ τὴν τῆς αὐξήσεως ἀναλογίαν, ἁρμοζούσας ταῖς καταστάσεσι ποιεῖται τὰς παραινέσεις. Πῶς γὰρ νῦν μάχαιραν λαβεῖν κελεύει, οὓς ἤδη παιδευθέντας παρατιθέναι τὴν σιαγόνα τοῖς ῥαπίζουσιν; πῶς δὲ καὶ πωλεῖν τὸ ἱμάτιον, καὶ ἀγοράζειν μάχαιραν, τοῖς διὰ τὸ παρειληφέναι μὴ ἔχειν δύο χιτῶνας, μόνον κεκτημένοις ὃ ἐφόρουν ἱμάτιον; εἰ μὴ γεγυμνωμένους περιιέναι ἐβούλετο τοὺς Ἀποστόλους, ἀλλ' ὁμολογουμένως ἄσεμνον τοῦτό γε, καὶ οὐ κατὰ τὴν τοῦ Κυρίου παράδοσιν. οὐ γὰρ ἂν ὁ φροντίσας τῆς κατὰ τὴν ψυχὴν αὐτῶν ἐλευθερίας ἐκ τοῦ μηδὲν κεκτῆσθαι περιποιῶν αὐτοῖς τὸ ἀμέριμνον, πάλιν τοῦ πρέποντος ἠμέλησε, γυμνὸν περιφέρειν κελεύων τὸ σῶμα. ὡς γὰρ τῷ περαιτέρω προελθεῖν τῆς χρείας, καὶ τὴν ψυχὴν ἐνδῦσαι περιτταῖς, καὶ ματαίαις φροντίσιν ἀφιλόσοφον, οὕτως τὸ παραιτήσασθαι λειτουργίαν, μανιῶδες, καὶ σωφροσύνης ἀλλότριον καταστάσεως. δεῖ τοίνυν ζητῆσαι ἀμφοτέροις ἐφαρμόζουσαν τοῖς προστάγμασι λύσιν, καὶ δεῖξαι τί τὸ ἐξ ἑκατέρων εὔλογον, ὅτι εἰσαγομένοις μὲν ἔπρεπεν ἡ προτέρα ἐντολὴ, τελειωθεῖσι δὲ ἡ δευτέρα. εἰ γὰρ καὶ ἄσεμνον κατὰ τὴν λέξιν τὸ γε γυμνοῦσθαι κατὰ τὸ σῶμα, ἀλλὰ γοῦν κατὰ τὴν θεωρίαν, οὐ μόνον εὐπρεπὲς, ἀλλὰ καὶ χρήσιμον λίαν. ἔστι μὲν οὖν τῇ ἱστορίᾳ συνηγοροῦντα παραμυθήσασθαι τὴν τοῦ ῥητοῦ δυσχέρειαν, οὕτως, ὅτι ἀρχομένοις μὲν τῆς θεοσεβείας τοῖς ἀποστόλοις ὁ κύριος ἀκτημοσύνην ἐπέταττεν, πρὸς μόνην αὐτοὺς ἀσχολεῖσθαι τὴν μελέτην τῶν θείων μαθημάτων βουλόμενος, καὶ εἰδὼς τοῖς ἀτελεστέροις ἐπικίνδυνον τὴν τῶν χρη-

mum

μάτων κτῆσιν, περικόψασι δὲ, καὶ τὴν τούτων λοιπὸν οὐκ ἐπιδεχομένοις βλάβην, ἐπιτρέπει τούτοις ἀδεῶς οὐθὲν κεχρῆσθαι, οὐκ ἔτι κατὰ τοὺς πολλοὺς τῷ ἀργυρίῳ προσπάσχοντας, οὐδὲ νικωμένους φιλαργυρίας ἀπάτῃ, φησὶν γὰρ, ὅταν ἀπέστειλα ὑμᾶς χωρὶς βαλαντίου, καὶ πήρας, μή τινος ὑστερήσατε; νῦν δὲ λέγω ὑμῖν, ὁ ἔχων βαλάντιον, λαβέτω, καὶ πήραν ὁμοίως. ἔδει γὰρ αὐτοὺς ἐν ἀρχῇ μηδὲν ἐπιφερομένους, πεῖραν λαβεῖν τῆς τοῦ διδασκάλου δυνάμεως, χορηγούσης αὐτοῖς καθεκάστην ἀμερίμνως τὴν χρείαν τοῦ σώματος. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὃ πρὸ μικροῦ εἰρημένον, ἵνα ἐγγυμνασθέντες τῇ ἀκτημοσύνῃ, ἕξιν ταύτης λάβωσι δυσμετακίνητον, ὃ ἀπερισπαστῶς ἑαυτοῖς κατ' ὀλίγον κατορθώσαντες, διὰ τὴν πολλοὺς ἀπολέσασαν φιλαργυρίαν. αὕτη γὰρ, καὶ τὸν Ἰούδαν εἰς τὸ τῆς προδοσίας κατέβαλε βάραθρον, ἐνεθισθέντα τοῖς χρήμασιν ἐκ τοῦ πεπιστεῦσθαι τὸ τῆς διακονίας τῶν πιστῶν γλωσσόκομον.

mum mandatum, perfectos verò, fecũdum; etenim etſi inhoneſtum ſit, iuxtà literam verbalem, denudatum corpus circumferre; attamen, ſpeculatiuè, non ſolù n id optimè decet, ſed etiam perutile eſt. Licet itaque, quod, qui defendit hiſtoriam, talibus emulceat verbis effati difficultatem; quod ſcilicèt Apoſtolis incipientibus quidem Pietatis, cultuſque Diuini ſtudium Dominus paupertatem mandauit, volens, vt ſoli vacarêt Diuinarum Diſciplinarum meditationi, ſciensque imperfectioribus periculoſam eſſe pecuniarum poſſeſſionem; at iam progreſſum facientibus, noxamque ex illis de cætero nullam admittentibus, permittit, vt ipſis licenter, impunèque iterum vtantur, vtpotè qui, non ampliùs (vt multi aſsolent) argento adhæreſcebant cum paſſione, neque ab auaritiæ deceptione vincebantur; & ait: quando miſi vos ſine ſacculo, Matth. 10.c.10
& perâ, nunquid aliquid defuit vobis? nunc autem dico vobis, qui habet ſacculum accipiat & perã ſimiliter. oportebat quippè ipſos initio nihil circumferendo, experientiam facere Magiſtri potentiæ, quæ ipſis quæcumque erant quotidie ad corporis indigentiam neceſsaria, ſubminiſtrabat ex tempore. Verùm non ſolùm hoc, ſed & quod paulò antè dictum fuit, vt nimirùm paupertatis exercitio probati, huius habitum compararent, qui difficulter mutari poſset, ſibimetipſis paulatim perficientes paſſionum carentiam, propter auaritiam, quæ plurimos perdidit; ipſa namque & Iudam in foueam proditionis egit præcipitem, pecunijs aſsuefactum, ex eo quod ipſi marſupium miniſterij fidelium fuiſſet concreditum.

ΚΕΦΑΛ. ϛ'.

Οὐκ οἶδα δὲ λοιπὸν, περὶ τοῦ ὁ ἔχων μάχαιραν λαβέτω, καὶ ὁ μὴ ἔχων πωλησάτω τὸ ἱμάτιον αὐτοῦ,

CAPVT II.

Ceterùm circa hoc, qui habet gladium, aſsumat, & qui non habet, vendat veſtimentum ſuum, & emat gladium, neſcio quamnam defenſiuam reſponſionem dabit, qui literam tutatur hiſtoricam; cum Dominus velit, pacificos, & benignos eſse

Diſcipulos vbicumque. Age igitur videamus, quòd præceptum hoc corporaliter, & ad verbum ſit impoſſibile, ſpiritualiter autem, & poſſibile, & vtile. Dominus cum ſuæ propinquus eſſet Paſſioni, & ad Crucẽ acceſſurus Iudæorum quidem inſidijs, at ex proprij animi ſententiâ propter humani generis ſalutare myſteriũ, hæc dicit, præparans ad prælium diſcipulos aduersùs eos, qui contrà veritatẽ inſtructâ conſiſtebant acie; prælium (inquam) non rixoſum, quod eſt affectus ab irâ, tamquam Duce, directus, ſed prælium habens contentionis diuinæ ſtudium quoddam virtuoſum, zelumque cultus Diuini ſtudio inflammatum: videbat quippè impudentes canes Iudæos iam actos rabie aduersùs Diuinam Doctrinam, præconiumque ſalutare euertere feſtinantes; ideò ad illud contrà eos certamen ſuos erigens, dimittere quidem iubet primam manſuetudinem, & prodire ad arguendos eos, qui pugnaciori ſermone conabãtur deſtruere veritatem. Etenim ante omnia opus eſt Chriſtiano indumento neceſſario, quod nomini conditionis conueniat; ornat quippè Chriſtianum, non minus veſtitu, honeſta in habitu modeſtia, moreſque beneuoli, ac manſueti: ſed & prælij tempore contrà oppoſitos propulſatorijs ſermonibus
Luc. 22. n. 35. opus eſt. Etenim tẽpore (inquit) quo miſi vos in Iſrael Doctores, benè pacificum demonſtraſtis ſtatum, ad obediẽtiam inobedientes per huiuſcemodi trahendo inſtitutum, ipſoſque manſuetudine inducentes ad obtemperan-

καὶ ἀγορασάτω μάχαιραν, πῶς ἀπολογήσεται ὁ τῆς ἱστορίας προϊστάμενος εἰρηνικοὺς εἶναι τοῦ κυρίου, καὶ ἐπιεικεῖς πανταχοῦ βουλομένου τοὺς μαθητάς. φέρε δὴ οὖν ἴδωμεν, πῶς τὸ αὐτὸ πρόσταγμα, σωματικῶς μὲν, καὶ πρὸς λέξιν ἐστὶν ἀδύνατον, πνευματικῶς δὲ καὶ δυνατὸν, καὶ ὠφέλιμον. ἐγγὺς τοῦ πάθους γενόμενος ὁ Κύριος, καὶ μέλλων τῷ σταυρῷ προσέρχεσθαι, ἐπιβουλῇ μὲν τῶν Ἰουδαίων, γνώμῃ δὲ οἰκείᾳ διὰ τὴν σωτήριον οἰκονομίαν, ταῦτα φησὶν, παρασκευάζων πρὸς μάχην τοὺς μαθητὰς, τῶν ἀντιπαραταττομένων τῇ ἀληθείᾳ, μάχην οὐκ ἐρεσχελον, διάθεσιν στρατηγουμένην θυμῷ, ἀλλ᾽ ἀγῶνος ἅμιλλαν ἔνθεον, καὶ ζῆλον θεοσεβείας ἔχουσαν πεπυρωμένον. ἑώρα γὰρ ἤδη τοὺς ἀναιδεῖς κύνας Ἰουδαίους λυττῶντας κατὰ τῆς θείας διδασκαλίας, καὶ καταλύειν σπεύδοντας τὸ σωτήριον κήρυγμα, διὸ πρὸς τὸν κατ᾽ ἐκείνων αὐτοὺς διεγείρων ἀγῶνα, ἀφεῖναι μὲν κελεύει τὴν προτέραν ἐπιείκειαν, χωρεῖν δὲ πρὸς ἔλεγχον τῶν ἀνατρέπειν πειρωμένων τὴν ἀλήθειαν μαχημωτέρῳ λόγῳ. χρεία μὲν γὰρ τῷ χριστιανῷ πρὸ ἁπάντων, ἀναγκαίου ἐνδύματος, τῆς προσηκούσης τῷ ὀνόματι καταστάσεως. κοσμεῖ γὰρ ἐνδύματος οὐκ ἔλαττον σεμνὴ καταστολὴ, καὶ ἦθος ἐπιεικὲς τὸν χριστιανόν, χρεία δὲ καὶ λόγων ἀμυντηρίων ἐν καιρῷ τῆς πρὸς τοὺς ἐναντιουμένους μάχης. ἐν μὲν οὖν τῷ καιρῷ, φησὶν, ᾧ ἀπέστειλα ὑμᾶς ἐν τῷ Ἰσραὴλ διδασκάλους καλῶς εἰρηνικὴν ἐπεδείκνυσθε κατάστασιν, πρὸς ὑπακοὴν τοὺς ἀπειθεῖς διὰ τῆς τοιαύτης ἕλκοντες πολιτείας, καὶ ὑπαγόμενοι πρὸς τὸ εὐπειθὲς αὐτοὺς τῇ ἡμερότητι (ἀσυστημώτερος γὰρ τῆς τῶν λόγων δεινότητος πρὸς τὸ πεῖσαι βίος ὀρθὸς, ἀξιόπιστον δυσώπημα ἑαυτὸν τῷ γνωρίμῳ προσφέρων) ἐπειδὴ δὲ μετὰ τὴν ἐμὴν ἀνάληψιν ὡς ἐχθροὶ τῆς

ἀληθείας ἐπιθήσονται ταύτῃ, ἕκαστος τῶν ἐπιμελουμένων τῆς ἠθικῆς καταστάσεως ἐκβαινέτω τῆς σπουδῆς ταύτης, καὶ πρὸς ἅμιλλαν παρασκευαζέσθω. οὐδὲν γὰρ ἄτοπον τῶν προηγουμένων ἕνεκεν ἀπολιπεῖν πρὸς καιρὸν τὰ ἥττονα, καὶ τὴν πραότητα μεταθέμενον, γενέσθαι πολεμιστήν.

dum; (vita namque recta ad perſuadendum eſt efficacior vi verborum, ſeipſam agnito cuique proferens exorationem fide dignam) ſed quoniam poſt meam Aſcenſionẽ veritatis hoſtes hanc inuadent, quilibet, qui moralis ſtatus curam gerit, exeat è tali ſtudio, & ad certamen præparetur. Nullum enim abſurdum eſt, propter præcipua prætermittere minora ad tempus, & manſuetudinem tranſponendo, euadere bellatorem.

ΚΕΦΑΚ γ'.

Τοῦτο γὰρ καὶ ὁ προφήτης παραινεῖ λέγων· ὁ πραῢς ἔστω μαχητής, καὶ ὥσπερ τὸ προφητικὸν τὸ λέγον, συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζηβύνας εἰς δρέπανα, ἐν τῷ τὰς δυνάμεις τῆς ψυχῆς ποιεῖν σκεύη γεωργικά, παυσαμένου τοῦ πρὸς τὰ πάθη πολέμου, οὕτως πάλιν ἐκ τοῦ ἐναντίου καλὸν ἀφεῖναι τὸν πρέποντα κόσμον, καὶ πρὸς μάχην ἑτοιμάζεσθαι, ὅταν πόλεμος ὁ καλῶν ᾖ· καὶ μάχαιραν μεταχειρίζεσθαι ὑπὲρ τῶν δεσποτικῶν ἐντολῶν, ἀποδυόμενον τὸ τῶν ἠθικῶν ἀρετῶν ἱμάτιον, κἂν γυμνὸν δέῃ πολεμεῖν. τάχα δὲ μᾶλλον ἀσφαλέστερον οὗτος τοῦ ἐνδεδυμένου πολεμήσει. τοῦτο γὰρ ὁ προφήτης δηλοῖ· ἀπολεῖται φυγὴ ἐκ δρομαίου, καὶ ὁ κραταιὸς οὐ μὴ κρατήσει τῆς ἰσχύος αὐτοῦ, καὶ ὁ μαχητὴς οὐ μὴ σώσῃ τὴν ψυχὴν αὐτοῦ, καὶ ὁ ὀξὺς τοῖς ποσὶν, οὐ μὴ διασωθῇ. καὶ ἐπιφέρει· ὁ γυμνὸς διώξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. τοιοῦτον γυμνὸν εἶναι βούλεται, καὶ τὸν πωλοῦντα τὸ ἱμάτιον, καὶ ἀγοράζοντα μάχαιραν, μὴ παραιτούμενον τὸ κατὰ τὴν λέξιν δοκοῦν ἀπρεπὲς, διὰ τὴν τοῦ σημαινομένου ἀλήθειαν. τοῖς γὰρ συμβαίνουσιν ἀεὶ σὺν αὐ-

CAPVT III.

Hoc enim admonet etiam Propheta dicens; Mitis, ſit *Eſai. 2. v. 4.*
pugnator, & ſicut Propheticum illud effatum ait: concident gladios ſuos in aratra, & lanceas in falces, dum, bello deſinente aduerſus paſſiones, vires animæ fiunt agriculturæ inſtrumenta; ſic è contrario bonum eſt, conuenientem ornatum dimittere, &, ſi bellum aduocans adſit, præparari ad pugnam, gladiumque pro Dominicis Præceptis apprehendere, veſtem moralium exuendo virtutum, etſi oporteat, nudum bellare; quià fortaſſis ſecuriùs iſte, quàm qui veſtitus eſt, belligerabit: hoc namque Propheta *Amoſ. 2. ver. 14.*
ille ſignificat (aiens) peribit fuga à veloce, & fortis non retinebit robur ſuum, & pugnator minimè ſaluabit animam ſuam, & velox pedibus ſuis nequaquàm ſaluabitur: & ſubdit: Nudus in illa die perſequetur; talem nudum etiam eſſe vult vendentem veſtimentum, & ementem gladium, nec recuſantem id, quod ad literam indecens videtur, propter veritatem rei ſignificatæ. Volens namque, vt homines ſemper accommodentur his, quæ contingunt, ſæpiùs etiam contraria contulit;

ſulit; & nonnunquam quidem, (vt iam diximus) cædi colaphis, & nequaquàm indignari docet, interdùm verò gladium geſtare, bellicum habitum, ac profeſſionem exhibendo, & ſolo aſpectu ante conatum hoſtes percellēdo. Quin etiam præcipienti paulò antè Prophetæ, arma bellica vertere in aratoria inſtrumenta, cōtrarium alter Propheta iubet, vt nimirùm agriculturæ inſtrumenta faciamus bellica. Ille quidem ait: exſcindite gladios veſtros in vomeres, & lāceas in falces. Iſte verò: concidite aratra veſtra in gladios, & falces veſtras in iacula: qui contraria quidèm conſulunt, ſecundùm dictiōnem, ſed nequaquàm contraria, iuxtà intelligentiam; hic enim incipientibus bellum aduersùs paſſiones; ille verò his, qui verterunt hoſtes in fugam, ſuggerit quid ſit faciendū. ad tempus igitur, & indutum eſſe bonum eſt, & è diuerſo, exui, quando gladiū oporteat pro veſte comparare; nec enim tantum confert veſtis, quātum gladius in ratione ſecuritatis; veſtis enim, eſt quidem ornamentum, ſed non ſecuritas; gladius verò plurimam præbet pugnanti cuſtodiam. & quod ad tempus vtilis ſit huiuſmodi veſtis (indè patèt) quòd is, qui pertigerit ad perfectionem, & vſque ad contemplationis tectum aſcenderit, vetatur retrocedere. Luculenter enim hoc docet Dominus, aiens: Qui eſt in tecto, non deſcendat tollere veſtem ſuam.

Eſai. 2. v.4.

Ioel. 3. v.10.

Matth. 24.v.17

ἀρχομένους ἁρμόζεσθαι θέλων, πολλάκις, καὶ τὰ ἐναντία συμβουλεύει. καὶ ποτὲ μὲν, ὡς ἤδη φθάσαντες εἴπαμεν, ῥαπίζεσθαι, καὶ μὴ ἀγανακτεῖν διδάσκει. ποτὲ δὲ μάχαιραν φορεῖν, πολεμικὸν ἐπιδεικνυμένους σχῆμα, καὶ ἐπάγγελμα, τῇ ὄψει πρὸ τῆς πείρας καταπλήττοντας τοὺς πολεμίους. καὶ τῷ ἐπιτάσσοντι δὲ πρὸ ὀλίγου προφήτῃ, τὰ πολεμικὰ ὅπλα ποιεῖν σκεύη γεωργικὰ, τὸ ἐναντίον ἕτερος προφήτης παρεγγυᾷ, τὰ γεωργικὰ ποιῆσαι πολεμικά. ὁ μὲν γάρ φησι, συγκόψατε τὰς μαχαίρας ὑμῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας εἰς δρέπανα, ὁ δὲ, συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας, καὶ τὰ δρέπανα εἰς σιρομάστας. ἐναντία μὲν συμβουλεύοντες κατὰ τὴν λέξιν ἀλλ' οὐκ ἐναντία κατὰ τὴν διάνοιαν. ὁ μὲν γὰρ ἀρχομένοις τοῦ πρὸς τὰ πάθη πολέμου, ὁ δὲ ἐπιτρεψαμένοις τοὺς πολεμίους τὸ πρακτέον ὑποτίθεται. ἕως καιροῦ τοίνυν, καὶ ἐνδεδυμένον εἶναι καλὸν, καὶ πάλιν ἀποδύεσθαι, ὅταν μάχαιραν ἀντὶ ἱματίου κτήσασθαι δέοι. οὔτε γὰρ τοσοῦτον ἱμάτιον ὅσον μάχαιρα εἰς ἀσφαλείας λόγον. ἱμάτιον γὰρ, κόσμος μὲν, οὐ μὴν καὶ ἀσφάλεια, μάχαιρα δὲ πολλὴν τῷ μαχομένῳ παρέχει τὴν φυλακήν. καὶ ὅτι ἕως καιροῦ χρήσιμον τὸ τοιοῦτον ἱμάτιον, καὶ φθάσας ἐπὶ τὴν τελειότητα, καὶ ἐπὶ τοῦ δώματος τῆς θεωρίας ἀνελθὼν ἐπιστρέφειν κεκώλυται. σαφῶς γὰρ διδάσκει λέγων ὁ κύριος, ὁ ἐπὶ τοῦ δώματος μὴ καταβαινέτω ἆραι τὸ ἱμάτιον αὐτοῦ.

CAPVT IV.

VErùm ſunt etiam tecta arrogantis exiſtimationis ſui, ſuper quæ aſcendentes accuſat

ΚΕΦΑΛ. δʹ.

Ἔστι δὲ καὶ οἰήσεως δώματα, ἐφ' ὧν τοὺς ἀναβάντας μέμφεται εἰπὼν ὁ προφητικὸς λόγος,

Pro-

φάσκων. τί ἐγένετο, ὅτι πάντες ἀνέβητε εἰς δώματα μάταια; οὐ γὰρ ἀρετῆς ἦν ὕψος τὸ δῶμα καλῶς τεθεμελιωμένης ἀλλὰ κενοῦ φυσήματος οἴδημα, σφαλερὰν τὴν ἐπὶ τοῦ τοιούτου ποιοῦντος ὕψους διαγωγήν. τὸ δὲ τῆς ἀληθείας δῶμα βέβηκεν ἑδραίως, παγίαν ἔχον τὴν μετὰ μετρίου φρονήματος οἰκοδομηθεῖσαν ἀρετήν, ἀφ᾽ ἧς πεσεῖν οὐκ ἔστιν. στεφάνη γὰρ αὕτη ἀσφαλὴς τοῦ δώματός ἐστι, γυμνὸν καὶ ἄκακον ἄνω τὸν ἀνελθόντα ὡς ἐν τῷ παραδείσῳ φυλάττουσα. εἰ δὲ καὶ μὴ ἀποδύσαιτό τις τὸ τοιοῦτον ἱμάτιον, λωφήσαντος τοῦ πρὸς τὰ πάθη πολέμου, καὶ τὸν ἐν ταῖς ἠθικαῖς ἀρεταῖς πόνον μὴ μεταθείη ἐπὶ τὸ κτήσασθαι τὴν τοῦ λόγου δύναμιν, μηδὲ βούληται λοιπὸν ἀκαίρου πόνου ἀπολύειν τὸ σῶμα μετὰ τὸ παρελθεῖν τὸν εἰς τοῦτο διὰ τῶν ἡδονῶν ἐξυβρίζοντα, ἐπιπλήττεται ὡς οὐ δεόντως ἔτι, τήν τε τοῦ ἱματίου πρᾶσιν, καὶ τὴν τῆς μαχαίρας ἀγορασίαν ἀναβαλλόμενος, ὡς ἔστιν ἀκοῦσαι τοῦ παροιμιαστοῦ λέγοντος. ἀφελοῦ τὸ ἱμάτιον σεαυτοῦ, παρῆλθε γὰρ ὑβριστής. οὐκ ἐλάττων γὰρ τῆς ἐν τῇ πρακτικῇ σκληραγωγίας ἡ περὶ τὴν ἄσκησιν τῶν θείων λογίων σπουδὴ καταπονεῖ τὸ σῶμα, παρέχει δέ τι καὶ πλέον τῷ πονοῦντι πρὸς καθαρότητα, μὴ ἐχούσης καιρὸν τῆς διανοίας ἐπιστρέφεσθαι, καὶ σχολάζειν τοῖς παρενοχλεῖν ἐθέλουσι πάθεσι, διὰ τὴν περὶ τὰ κρείττονα τοῦ λογισμοῦ προσεδρίαν. ὁ μὲν γὰρ τῆς σκληραγωγίας πόνος, κεκοπωμένου τοῦ σώματος, καιρὸν δίδωσιν ἴσως τοῖς πάθεσι, κινῆσαι πρὸς τὰς ἰδίας ὕλας σχολάζουσαν τὴν ἐνθύμησιν. ἡ δὲ θεωρία ὅλον πρὸς ἑαυτὴν κατέχουσα τὸν νοῦν περισπώμενον, οὐ παραχωρεῖ, οὐ λέγω πάθει, ἀλλ᾽ οὐδὲ ἀνθρωπίνῳ λογισμῷ πρὸς

Propheticus ſermo, dicens. Quid factum fuit, quod omnes aſcendiſtis in tecta vana? nec enim illud tectum erat altitudo benè fundatæ virtutis, ſed tumor quidam vanæ inflationis, ſeù animi elationis, efficientis vitæ inſtitutum ſuper tali altitudine periculoſum, & lapſans; at veritatis tectum, eſt firmiter fundatum, ac fixum, habens virtutem ſtabilem cum moderatâ animi elatione ædificatam, à qua prolabi quis non poteſt; hæc quippè ſecurum eſt tecti cacumen conſeruans nudum, & innocentem velut in Paradiſo eum, qui ſursùm aſcenderit. Quod ſi quis, interquieſcente bello aduerſus paſſiones, huiuſcemodi veſtem nō exuerit, laboremque in moralibus virtutibus non tranſtulerit ad comparandam vim ſermonis, nec de cętero ab intempeſtiuo labore voluerit corpus liberare, poſtquam præterierit is, qui aduersùs illud per voluptates inſolentius ſeſe extulit; ille talis, inquam, increpatur, eò quòd, tùm veſtis venditione, tùm gladij emptione nōdum decenter ſit indutus; vti licet audire Prouerbiorum Scriptorem dicentem. Tolle veſtimētum tuum, tranſijt enim, qui infert iniuriam. Quandoquidem ſtudium, quod fit in exercitio Diuinorum ſermonum, non minori labore conficit, ac defatigat corpus, quàm ſtudioſum inſtitutum, quod in actiuâ vitâ auſteritatis habetur: quin etiam præbet aliquid plus laboranti ad vitę puritatem; cùm Intellectus non habeat tempus pedem referendi, ac vacandi paſſionibus volentibus perturbare, propter perſeuerantiam, & aſſiduitatem cogitationis circa meliora: nam labor auſteræ vitæ, dum

Eſai. c. 22. v. 1.

Prou. 20 v. 16. & 27. v. 13

dum corpus affligitur, tempus forſan dat paſſionibus, vt moueant ad proprias mũdanas ſordes intellectum, contemplatio autem ad ſeipſam detinẽs totam mentem, nequaquàm permittit, vt diſtrahatur, non dico à paſſione, ſed nec ab humanâ cogitatione, euocante forſan ad neceſſariam indigentiam: voluptas nãque contemplationis pellax quid, placidumque cum vtili attemperatum habens, ſuperat, non ſolùm voluptatem paſſione imbutam, ſed etiam naturalem neceſſitatem. Iſtud cum & Paulus benè noſſet, ait: corporale exercitium ad parum eſt vtile, ſed pietas ad omnia vtilis eſt; & illi quidem teſtatus vtilitatem in tempore, & huic perpetuum concedens ac ſtabile, & duraturum iuuamentum; quandoquidem & in futuro ſæculo corporale quidem exercitium ceſſat; cognitio verò recipit perfectionis additamentum, progrediens à viſione per ſpeculum, & in ænigmate ad videndum facie ad faciem quæ ſperantur.

Timoth. 4. v. 8.

ἀναγκαίαν ἴσως καλοῦντι χρείαν. νικᾷ γὰρ οὐ μόνον ἡδονὴν ἐμπαθῆ, ἀλλὰ καὶ φυσικὴν ἀνάγκην ἡ τῆς θεωρίας ἡδονή, τὸ τερπνὸν τῷ ὠφελίμῳ συγκεκραμένον ἔχουσα. τοῦτο καὶ ὁ Παῦλος εἰδὼς φησίν, ἡ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, ἡ δὲ εὐσέβεια εἰς πάντα ὠφέλιμός ἐστι, κἀκείνῃ τὸ ἐν καιρῷ χρήσιμον μαρτυρῶν, καὶ ταύτῃ διδοὺς τὸ διηνεκὲς τῆς ὠφελίας, καὶ μόνιμον, ἐπεὶ καὶ ἐν τῷ μέλλοντι πέπαυται καὶ ἄσκησις σωματική, γνῶσις δὲ προσθήκην δέχεται τελειότητος, ἀπὸ τοῦ διεσόπτρου, καὶ ἐν αἰνίγματι προκόπτουσα ἐπὶ τὸ πρόσωπον ὁρᾶν πρὸς πρόσωπον τὰ ἐλπιζόμενα:

CAPVT V.

Exuenda igitur, tamquam veſtis, corporalis exercitatio, eiuſque labores, vt pretium rei diuenditæ comparandus eſt pietatis gladius, qui vtilis erit ad facultatum, bonorumque cuſtodiam, & ſecuritatem; hic gladius fit etiam gloriatio, gloriatio, inquam, non ſuperbientis ſtoliditatis exitialis faſtus, ſed affectio quædam gratias agnoſcens auxilij Dei; vti dictum fuit ad quemdam: propugnabit adiutor tuus, & gladius gloriatio tua, fallentq; te inimici tui, & tu ſuper colla eorum aſcendes. Sic diuenditur veſtimentum, ſicque emitur gladius, quod veſtimentũ tùm præbet eius rei poſſeſſionem, quæ

Deuter. 33. v. 29

ΚΕΦΑΛ. ε'.

Ἀποδυτέον οὖν ὡς ἱμάτιον τὴν σωματικὴν γυμνασίαν, καὶ σὺν ἐκείνης τοῖς πόνοις, ὡς τιμῆς τοῦ πεπραμένου, τὴν τῆς εὐσεβείας κτητέον μάχαιραν, χρησίμην ἐσομένην πρὸς φυλακὴν τῶν ὑπαρχόντων, καὶ ἀσφάλειαν. αὕτη καὶ καύχημα γίνεται ἡ μάχαιρα, καύχημα οὐκ ἀλαζονικῆς ἀπονοίας ὀλέθριον φρύαγμα, βοηθείας δὲ Θεοῦ εὐχάριστος διάθεσις, ὡς εἴρηται πρός τινα, ὑπερασπιεῖ ὁ βοηθός σου, καὶ ἡ μάχαιρα καύχημά σου, καὶ ψεύσονταί σε οἱ ἐχθροί σου, καὶ σὺ ἐπὶ τὸν τράχηλον αὐτῶν ἐπιβήσῃ. οὕτως πωλεῖται τὸ ἱμάτιον, καὶ οὕτως ἀγοράζεται ἡ μάχαιρα καὶ τούτου τὴν κτῆσιν παρέχον οὐχ ὑπάρχουσαν πρότερον, καὶ αὐτὸ περιεμένον καθέξιν, κἂν οἰκονομικῶς

priùs

σχολάζῃ τῇ ἐνεργείᾳ. ἕξις γὰρ κἂν ἀργίαν ἄγοι τῆς ἐπιβαλλούσης ἐργασίας, ἀλλ᾽ οὖν γε τὴν δύναμιν ἔχουσα ἐῤῥωμένην, ὅτε βούλεται ἐνεργεῖν ἀνεμπόδιστος πέφυκεν, τεχνίτου δίκην ἐν ταῖς ὕλαις ἐπιδεικνυμένου τὴν τῆς ἐπιστήμης ἀκρίβειαν, ἀπορίᾳ δὲ τούτων ἀργοῦντος, ἡσυχαζούσης οὐκ ἀφανιζομένης τῆς ἐπιστήμης. πῶς γὰρ ἡ τὸ τοιοῦτον ἀποδυσαμένη ἱμάτιον, καὶ πάλιν αὐτοῦ χρῄζει διὰ τὴν πρὸς τοὺς ἀτελεστέρους συγκατάβασιν ἀναγκαζομένη, φησὶν, ἐξεδυσάμην τὸν χιτῶνά μου πῶς ἐνδύσωμαι αὐτόν; εἰ μὴ καὶ παρέμενε τὸ τοιοῦτον ἱμάτιον, σχολάζον τῇ ἐνεργείᾳ καὶ ὑπάρχον δυνάμει τῆς ἕξεως. ὁ οὖν πωλήσας τὸ ἱμάτιον ὠνήσατο πάντως τὴν μάχαιραν, κἀκεῖνο μὴ ἐκποιήσας, καὶ τοῦτο κτησάμενος. μάχαιραν δὲ ἠγόρασε, ποίαν; ἢ περὶ ἧς ὁ Χριστὸς φησὶν, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; μάχαιραν καλῶν τὸν τοῦ κηρύγματος λόγον. ὡς γὰρ ἡ μάχαιρα διαιρεῖ τὰ συμπεφυκότα, καὶ τὸ συνεχὲς σῶμα διατέμνει εἰς μέρη, οὕτως ὁ τοῦ κηρύγματος λόγος εἰς ἑκάστην χωρήσας οἰκίαν, τότε τοὺς κακῶς ἐν τῇ ἀπιστίᾳ ἡνωμένους ἀπ᾽ ἀλλήλων διέτεμεν, υἱὸν ἀπὸ πατρὸς, θυγατέρα ἀπὸ μητρὸς, καὶ νύμφην ἀπὸ πενθερᾶς ἀποδιαιρῶν, αὐτὴν κατατέμνων τὴν φύσιν ἐδείκνυε τὸ πέρας τῆς τοῦ κυρίου παραγγελίας, ὅτι σφόδρα χρησίμως, καὶ ἐπὶ συμφέροντι τῶν ἀνθρώπων μάχαιραν λαβεῖν τοὺς ἀποστόλους ἐκέλευσεν.

priùs non habebatur, tùm res ipſa perdurat per habitum, licèt prouidè vacet operationi. Habitus quippè, licèt agat otium ab operatione aliquò tendente, attamen, cum vires habeat corroboratas, quando vult operari, à naturâ cōparatā obtinuit impedimenti carentiam, artificis inſtar, in materijs oſtendentis ſcientiæ ſuæ induſtriam, cuius ſcientia quieſcens minimè aboletur, ſi ipſe propter earum penuriam otietur. etenim illa, quæ tale exuit veſtimentum, eodemque denuò cogitur vti propter condeſcendentiam ad imperfectiores, quomodo ait: exſpoliaui me tunica meâ, quomodo induar eā? nisi talis veſtis, etiam depoſita permaneret, vacans operationi, ac per habitus potentiam ſubſiſtens. Itaque qui veſtem diuendit, omninò gladium emit, tùm illam minimè amittens, tùm iſtum acquirens. Verùm qualem gladiū emit? An illum, de quo Chriſtus ait: nō veni mittere pacem, ſed gladium? gladium vocās prædicationis ſermonem; vt enim gladius diuidit ea, quæ mutuò ſunt à naturâ connexa, & corpus continuum diſſecat in partes; ita ſermo prædicationis in vnamquamque domum accedēs, tunc eos, qui male erant vniti per infidelitatem, ab inuicem diſcindit, filium à Patre, filiam à matre, & ſponſam à ſocru dirimendo, ac diſſociando, ipſamqua naturam diſſecando, demonſtrabat finem prædicationis Dominicæ, quòd valde vtiliter, & ad hominum commodum iuſſerat, vt Apoſtoli gladium acciperent.

Cantic. c.5.v.3.

Matth. 10.v.34

ΚΕΦΑΛ ϛ'.

Εὐθέως οὖν ὁ Πέτρος ἀποκρίνεται δύο λέγων ἔχειν μαχαίρας, ἃς ἱκανὰς πρὸς τὸν προκείμενον ἔφη·

CAPVT VI.

STatim igitur Petrus reſpondit, duos dicens habere gladios, quos & ſufficientes eſſe ad certa-

certamē, quod inſtabat. dixit Dominus. ipſi verò ſunt, vt ait Apoſtolus, nimirùm redargutio oppoſitorum, & exhortatio fidelium; ſic enim Tito ſcribens, hos in ma-
Tit. 1. v. 9. nus tradit Doctoribus, dum ait: vt potens ſit & in Doctrina exhortari, & contradicentes arguere; ſermonem in ſpecies duas diſtinguens; alia eſt enim ſpecies Doctrinæ ergà fideles, & alia contrà Veritatis inimicos; hæc enim eſt redargutio falſitatis; illa verò confirmatio Veritatis. quòd autem ſermonem vocet gladium, manifeſtum eſt omnibus, cum ea dictio trita exiſtat, eò quòd ſit ad manū
ad Hebr. 4. v. 12. ſita, quæ dicit: Viuens quippe ſermo Dei, & efficax, & penetrabilior ſuper omnem gladium ancipitem. hîc namque biceps, ſeù ſcindens vtrimque, vt dictum eſt, demonſtratur per eſſe anceps ſermonis. Poſſet autem aliquis duos gladios dicere, explanationem, ac veritatem. illæ nempè, quando ſermoni ſunt cōnexæ ſufficienter domant oppoſitos; Idcircò Princeps Sacerdotum in Rationali circa pectora myſticè impoſitas habuit ſignificationem, & veritatem, ſignificationem ad declarationem eorum, quæ dicuntur, & veritatē ad refutationem mendacij. Videtur itaque Petrus etiam vſus perſpicuè gladio, quando auriculam ſerui Principis Sacerdotum abſcidit, myſticè ſimul, ac ſymbolicè hoc perficiens; Apoſtoli namque in principio prædicationis, tùm Legale faciebant, adducentes ad oſtium, nimirùm ad eum, qui dixit, ego ſum oſtium eos, qui affirmabant, ſeſe Legis Dominatum dilexiſſe; tùm Diſciplinæ fibulam

ζεν ἀγῶνα ὁ κύριος ἦν. αὗται δὲ εἰσὶν ὡς φησὶν ὁ ἀπόστολος, ἔλεγχος τῶν ἀντιδιατιθεμένων, καὶ παράκλησις τῶν πιστῶν· οὕτως γὰρ τῷ Τίτῳ γράφων ταύτας ἐγχειρίζει τοῖς διδασκάλοις, λέγων· ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν, τὸν λόγον εἰς εἴδη δύο διαιρῶν. ἄλλο γὰρ εἶδος τὸ τῆς πρὸς τοὺς πιστοὺς διδασκαλίας, καὶ ἄλλο πρὸς τοὺς ἐχθροὺς τῆς ἀληθείας. τὸ μὲν γάρ ἐστιν ἔλεγχος ψεύδους, τὸ δὲ τῆς ἀληθείας βεβαίωσις. ὅτι δὲ μάχαιραν τὸν λόγον καλεῖ, πᾶσι δῆλον, τεθρυλλημένης διὰ τὸ πρόχειρον τῆς γραφικῆς λέξεως τῆς λεγούσης, ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. ἐνταῦθα γὰρ τὸ ἀμφῆκες ὡς εἴρηται διὰ τοῦ λόγου. δύναται δὲ τις δύο μαχαίρας λέγειν σαφήνειαν, καὶ ἀλήθειαν, αὗται γὰρ ὅταν ὦσι παρεζευγμέναι τῷ λόγῳ ἱκανῶς χειροῦνται τοὺς ἀντιδιατιθεμένους. διὰ τοῦτο καὶ ὁ ἀρχιερεὺς ἐπὶ τὰ τοῦ περὶ στέρνα λογίου μυστικῶς ἐπικειμένας εἶχε δήλωσιν καὶ ἀλήθειαν. δήλωσιν πρὸς σαφήνειαν τῶν λεγομένων, καὶ πρὸς ἀνατροπὴν ψευδοῦς ἀλήθειαν. φαίνεται οὖν ὁ Πέτρος, καὶ χρησάμενος τῇ μαχαίρᾳ σαφῶς, ὅτε τὸ ὠτίον ἀπέκοψε τοῦ δούλου τοῦ ἀρχιερέως, καὶ τοῦτο μυστικῶς ἅμα, καὶ συμβολικῶς ἐπιτελῶν. ἐν ἀρχῇ μὲν γὰρ τοῦ κηρύγματος οἱ Ἀπόστολοι, καὶ τὸ νομικὸν ἐποίουν προσάγοντες τῇ θύρᾳ τῷ εἰπόντι, ἐγώ εἰμι ἡ θύρα, τοὺς λέγοντας ἠγαπηκέναι τὴν τοῦ νόμου δεσποτείαν, καὶ τὸ τῆς παιδείας λαβόντες ὠτίον, ἐπειρῶντο τὴν δουλικὴν ἀκοὴν μετ᾽ αὐτῶν εἰς ἐλευθερίας ὑπακοήν. ὅτε δὲ ἀναξίους ἔκριναν ἑαυτοὺς οἱ Ἰουδαῖοι τῆς αἰωνίου ζωῆς καὶ ἦν ἀνάγκη στραφῆναι λοιπὸν εἰς τὰ ἔθνη, τότε τῷ ῥήματι τοῦ πνεύματος ἀποκόπτουσι τελείως

acci-

αὐτῶν τὴν ἀκοὴν ὡς οὐκ ἔτι ἀξίων ὄντων διὰ τὴν ἀπείθειαν τοῦ τῆς ἐλευθερίας λόγου. τὸ γὰρ εἰπεῖν· ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ, μετατρῆσαι ἦν τὴν δουλικὴν ἀκοὴν εἰς ἐλευθερίαν, τὸ δὲ πάλιν ἐπιφῆσαι· ὅτι ἀναξίους ἐκρίνατε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, στρεφόμεθα εἰς τὰ ἔθνη, ἀποκόψαι ἦν τέλεον αὐτῶν τὴν ἀκοήν.

accipientes, tentabant auditum ſeruilem ad libertatis obediētiam perforare: quando verò Iudæi indignos ſeſe æternâ vitâ iudicarunt, ac de cætero neceſſum erat conuerti ad Gentes, tunc verbo Spiritus totaliter eorum abſcindunt auditum, vtpote qui nō ampliùs eſſent digni libertatis ſermone: etenim quòd dictum ijs fuerit: Vobis neceſſarium erat primùm loqui Dei ſermonem; erat hic quidam perforandi modus ſeruilem auditum ad libertatem; quòd autem fuerit eis denuò reſponſum: quià indignos iudicaſtis vos ipſos *Act.c.13*
æternâ vitâ, conuertimur ad Gentes, erat hic quidam totaliter abſcindendi modus ipſorum Auditum. *v.46.*

ΚΕΦΑΛ. ζ'.

Καὶ ὁ Παῦλος τὸ αὐτὸ φησὶν αὐτοῖς λέγων, οἵτινες ἐν νόμῳ δικαιοῦσθε τῆς χάριτος ἐξεπέσατε. τὸ γὰρ ἐκπεσεῖν τῆς χάριτος τοῦτο ἦν, τὸ ἀποκοπῆναι τοῦ τῆς ἐλευθερίας λόγου. διὰ τοῦτο καὶ ὁ κύριος φησὶν πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, μετὰ τὴν ἀποκοπὴν τοῦ ἐκείνων ὠτίου, τὸ τῶν ἐθνῶν πρὸς ὑπακοὴν ἀνοίγων ὠτίον. τοῦτο καὶ ἡ παλαιὰ γραφὴ πρὸ πολλοῦ καὶ ἄνωθεν μαρτύρεται, ἀμφότερα διαῤῥήδην προφητεύουσα, ὅτι κἀκείνων ἀποκοπήσεται τὸ ὠτίον, καὶ ὅτι προστεθήσεται τοῦτο τοῖς ἔθνεσι. πρὸς μὲν γὰρ τὴν συναγωγὴν ὁ Ἰεζεκιὴλ φησί. ῥῖνάς σου, καὶ ὦτά σου ἀποκόψουσιν, οὔτε γὰρ τῆς εὐωδίας τῶν μύρων ἀντελάβοντο Χριστοῦ, ὡς ἡ λέγουσα εἰς ὀσμὴν μύρων σου δραμοῦμεθα, οὐδὲ ὡς πρόβατα φωνῆς τοῦ ποιμένος ἀκοῦσαι ἠθέλησαν ἠκρωτηριασμένοι, καὶ λελωβημένοι τὰ καίρια τῶν αἰσθήσεων· ὁ δὲ Ἡσαΐας, αὐτὴν

CAPVT VII.

Qvin & Paulus idipſum ait, *Galat. c.*
eis dicens: qui in lege iu- *5. v.4.*
ſtificamini excidiſtis ex gratia: excidere namque ex gratia idem erat, ac abſcindi à libertatis ſermone. Idcircò Dominus etiam dicit: euntes docete omnes Gentes; poſt illorum auriculæ detruncationem, Gentium auriculam aperiens ad obedientiā. Hoc & antiqua Scriptura iam dudùm altiùs repetendo teſtatur, vtraque apertè prædicens; quòd & illorum abſcindetur auricula, & quòd hæc
applicabitur Gentibus: ait enim *Ezech.*
Ezechiel ad Synagogam:. nares *23. v.25*
tuas, & aures tuas abſcindent; nec enim bonum odorem vnguentorum Chriſti perceperunt, vt ea
(ſponſa), quæ dicebat: in odo- *Cantic.c.*
rem vnguentorum tuorum curre- *1. v.3.*
mus; nec, vt oues, vocem Paſtoris
audire voluerunt, mutilati in ex- *Ioan. c.*
tremis, ac præcipuis ſenſuum par- *10. v.3.*
tibus detruncati. Eſaias autem ipſam inducit, quæ è Gentibus ele- *Eſai.50.*
cta eſt, ſponſam dicentem: applicuit mihi aurem ad audiendum, & *v.5.*
diſciplina Domini aperit mihi aures: qualem namque iſti applicuit

auriculam, talem ab illâ abſcidit. & hæc quidem de his, qui venundederunt veſtem, gladiumque acceperunt dicta ſint ſatis. Videamus iam, an omnes in tali veſte ferendâ, illam rectè geſtemus: quandoquidem ſcriptum eſt de quibuſdam, quòd omnem veſtem immiſtam dolo, ac veſtimentum cum permutatione reddent; & de alijs, quod veſtes ſuas vincientes funibus, faciebant vela adumbrātia, pendentia ab Altari. Nonne igitur ſtolam commiſtam habent dolo, qui in hæreſibus, ad inſidiādum ſimplicioribus moraliū virtutum veſtimentis ſeſe circumamiciunt, & opinionis potiùs ſpeculatu, quàm veritate, vt aliena, iſta in medium proferunt, & ſpeciem manſuetam, ac benignam efformant, per quæ decipiant, quos ad perditionem, velut hamo ineſcant?

CAPVT VIII.

Isti verò in futuro ſæculo veſtes iſtas cum permutatione reddent; nec enim laborū repromiſſiones recipient, ſed ſupplicium, & punitionem deceptionis pendent, Deo iudicante vltionem aduersùs eos, qui alienas induunt veſtes, vti dicit apud illum Prophetam; etenim quodcumque non propter ipſum bonum, ſed gratiâ alicuius alterius rei fit, non ſolum abſque mercede erit, verùm eſt obnoxium reddendæ rationi, maximè quando fit ad inſidias videntium, cum ſit deceptio ſimplicioribus. Nam vana gloria laborē virtutis inutilem efficit, & effatigatum æternis priuat mercedibus; ipſa ma-

εἰσάγει τὴν ἐξ ἐθνῶν λέγουσαν, προσέθηκέ μοι ὠτίον ἀκούειν, καὶ ἡ παιδεία κυρίου ἀνοίγει μου τὰ ὦτα. οὐ γὰρ ταύτῃ προσέθηκεν ὠτίον, τοιοῦτον ἐκείνης ἀπέκοψεν. καὶ ταῦτα μὲν περὶ τῶν πεπρακότων τὸ ἱμάτιον, καὶ λαβόντων μάχαιραν ἀρκούντως εἴρηται, ἴδωμεν δὲ εἰ πάντες ἐν τῷ φορεῖν τὸ τοιοῦτον ἱμάτιον φορούμενοι ὀρθῶς, ἐπειδὴ περί τινων γέγραπται, ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσιν, καὶ περὶ ἄλλων, ὅτι τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις παραπετάσματα ἐποίουν ἐχόμενα τοῦ θυσιαστηρίου. μή ποτε οὖν στολὴν ἐπισυνηγμένην δόλῳ ἔχουσιν, οἱ ἐν ταῖς αἱρέσεσιν ἐπ' ἐνέδρᾳ τῶν ἁπλουστέρων, τὰ τῶν ἠθικῶν ἀρετῶν ἀμπεχόμενοι ἱμάτια, δοκησισοφίᾳ μᾶλλον ἢ ἀληθείᾳ ὡς ἀλλότρια ταῦτα παρατιθέμενοι καὶ σχῆμα πρᾶον, καὶ ἐπιεικὲς ἐπιμορφαζόμενοι, δι' ὧν δελεάζουσι τοὺς ἐπὶ τὴν ἀπώλειαν ἀγκιστρευομένους;

ΚΕΦΑΛ η'.

Οὗτοι δὲ μετὰ καταλλαγῆς ἐν τῷ μέλλοντι αἰῶνι, τὰ τοιαῦτα ἀποτίσουσιν ἱμάτια, οὐ γὰρ ἀμοιβὰς πόνων ἀπολήψονται, ἀλλὰ τιμωρίαν καὶ κόλασιν τῆς ἀπάτης ἐκτίσουσιν, ἐκδικοῦντος ἐκδίκησιν τοῦ Θεοῦ ἐπὶ τοὺς ἐνδεδυμένους ἐνδύματα ἀλλότρια, ὡς ἐν τῷ προφήτῃ φησίν. πᾶν γὰρ ὃ μὴ αὐτοῦ ἕνεκεν τοῦ καλοῦ, ἄλλου δὲ τινὸς γίνεται χάριν, οὐ μόνον ἄμισθον, ἀλλὰ καὶ ὑπεύθυνον μάλιστα ὅταν ἐπ' ἐνέδρᾳ πράττηται τῶν ὁρώντων δέλεαρ ἀπωλείας τοῖς ἁπλουστέροις γινόμενον. κενοδοξία μὲν γὰρ ἀνόνητον ποιεῖ τὸν πόνον τῆς ἀρετῆς, καὶ τῶν αἰωνίων μισθῶν ἀποστερεῖ τὸν κάμνοντα, αὕτη μεγάλων πόνων ὀλίγος γινομένη μισθός. καὶ πρόσκαιρος ἐπιπόνων ἀθ-

gno-

λων εὐφημία, καὶ τιμὴ ὠκύμορος, πρὶν ἀνθῆσαι μαραινομένη, καὶ παρηβῶσα πρὶν ἀκμάζειν δεόντως. εὐσεβείας δὲ μόρφωσις ἐπὶ ἀπάτῃ τεχναζομένη, οὐκ εἰκαῖον ἔχει μόνον τὸν κάματον, ἀλλὰ καὶ ἐπικίνδυνον, οὐ ζημίαν μισθῶν, κόλασιν δὲ μακρὰν καταδικαζομένη, καὶ λίαν ἐπώδυνον. οὕτως μοχθήσασί τισι, καὶ τοιοῦτον ἀναδεξαμένοις πόνον, ὁ ἀπόστολος ἔλεγε, Τοσαῦτα ἐπάθετε εἰκῆ, εἴγε καὶ εἰκῆ. τὸ μὲν εἰκῆ τάξας ἐπὶ τῆς τῶν μισθῶν ζημίας, τὸ δὲ εἴγε καὶ εἰκῆ, ἐπὶ σχετλιασμῷ προσδοκωμένης κολάσεως. ἐχόμενα δὲ τοῦ θυσιαστηρίου ποιοῦσι παραπετάσματα δεσμεύοντες σχοινίοις τὰ ἱμάτια τάχα τινὲς καὶ τῶν ἐκκλησιαστικῶν μιμούμενοι τῇ ὑποκρίσει τοὺς ἐντὸς τῶν Ἁγίων ὑπὸ τῷ καταπετάσματι λειτουργοῦντας ἁγνῶς. ἄλλο γὰρ ἐστὶ καταπέτασμα, καὶ ἄλλο παραπέτασμα, εἰ καὶ ἡ ὁμοιότης τῶν ὀνομάτων τὴν ἐν τοῖς πράγμασιν ἀποκρύπτεται διαφοράν. τὸ μὲν γὰρ παραπέτασμα ὡς ἔτυχε σχεδιάζεται δι᾽ ἀνάγκην τοῦ μὴ αἰθρίως δημοσιεύεσθαι τὰ συγκαλύψεως δεόμενα, πλαγίοις ἴσον ἑκατέρωθεν προσηρτημένα δεσμοῖς δεξιῷ μέρει, καὶ ἀριστερῷ, καὶ οὐδὲν ὑπερέχοντι κατὰ τὸ ὕψος. τὸ δὲ καταπέτασμα ἐξ ὑπερεχόντων δεσμῶν καταπεώρηται, τὴν ἄνωθεν κατάστασιν τῆς ὀθόνης ἐπιμολογοῦντος τοῦ ὀνόματος. καὶ τάχα ὅταν μὲν τὸν ἐπὶ ταῖς ἀρεταῖς πόνον ἀναδεχώμεθα, διὰ τὸν ἐν τῷ κρυπτῷ βλέποντα δεσπότην, καὶ τοὺς τῶν ἀνθρώπων κάτω λανθάνοντες ὀφθαλμούς, τῷ ἄνωθεν ὁρῶντι μόνῳ φανερούμενον τὸ γινόμενον.

gnorum laborũ merces vilis pretij facta, ac temporalis eſt laborioſorum certaminum celebritas, honoſque velociter tranſiens, antequã effloruerit marcida,& priuſquàm conuenienter viguerit pube conſeneſcens exuta. Pietatis autem religioſæ forma cùm deceptione artificioſè ficta, non ſolùm habet laborem futilem; verùm etiam periculoſum, dum non ad mercedum ſolùm detrimentum, ſed etiam ad punitionem prolixã, ac valdè ærumnoſam adiudicetur. Ita quibuſdam effatigatis, tantumque laborem amplexantibus dicebat Apoſtolus. Tanta paſſi eſtis ad Gal. 3. v. 4.
ſine cauſſa, ſeu futiliter, ſi tamen ſine causâ: primum illud ſine cauſsâ poſuit propter detrimentum mercedum; ſecundum vero ſine cauſsâ, in lamentationem punitionis expectandæ. quin etiam pendentia vela ab Altari colligantes funibus veſtimenta faciunt forſitan aliqui ex Eccleſiaſticis, illos ſimulatione imitántes, qui ſub obtendente velo intrà ſancta, purè ſacra adminiſtrabant: aliud eſt nempè velum obtegens, & aliud velum obumbrans, & ſi nominum ſimilitudo occultet diſcrimẽ, quod eſt in rebus: & velum adumbrans, ob neceſſitatem, vt ſors tulerit, ex tempore apparatur, ne ſub dio publicentur quæ occultatione indigent, obliquis vtrinquè vinculis quibuſdã appenſum è dexterâ, & ſiniſtrâ parte nihil ſupereminente quo ad altitudinem: at velum obtegens à ſupereminentibus vinculis deorsùm fertur, nominis ipſius (ſcilicèt velum) origine deſignante lintei volatum à ſuperiori parte. & forte, quandò virtutibus laborem amplexamur propter videntem in occulto Dominum, oculoſque hominum infrà exiſtentes latemus, ei qui deſuper ſolùs videt, quod fit, expandimus.

CAPVT IX.

QVandoquidem & ea menſa Propoſitionis dicta deſuper habet cauſſam, quippe quę à complacentiâ Dei dependet; & ſimiliter velum obtegens ſuſpenditur deſuper laxatum, & ſub hoc velo obtêdente ſacroſancta adminiſtramus, dum bonum quodpiam perficimus: quando verò, temperantiæ, aut paupertatis ſpeciem præferentes, contraria facimus in occulto, velaque adumbrantia peccatorum funibus diſtendentes, alia quidem velut in attexto operamur, alia verò efformamus, ſpecie efficta latentem turpitudinem graui obtegentes honeſtate, atque fraude hominum viſus decipientes ad piam gloriã, virtuteque præditam aſſequendã, tunc ſub velo adumbrante reprehenſibiliter occultamus quę digna ſunt condemnatione, ſi perueſtigentur: ſicut enim virtus clàm exercita Deum habet laudatorem, ac declarata dilucidè prædicatur, ita & malitia latitans, habet quidem ſuſpenſum ſupplicium, & punitionem, redarguta verò, ac deprehenſa, fert ad extremam condemnationem. quamuis autem iſti tales lateant hîc non animaduerſi, habitu ſcilicèt graui, & honeſto corruptum obtendentes ſtudium, illic omninò denudabuntur; opinione quidem, quæ de ipſis habebatur, ſublatâ, patefactâ verò, & ex ſeipsâ ſublucente veritate: de his quippe forſitan Eſaias dicit: Reuelabit Dominus figuram ipſorum in illâ die. Sed non omnes, qui bonum conſectantur, tales ſunt, & ſi quidam exiſtant, qui humanæ gloriæ venatione Pietatis cultum

Eſai. 22. v. 8.

ΚΕΦΑΛ. θʹ.

Ἐπειδὴ καὶ ἡ πρόθεσις ἄνωθεν ἔχει τὴν αἰτίαν τῆς πρὸς Θεὸν εὐαρεστήσεως ἐξημμένην, καὶ τὸ καταπέτασμα ὁμοίως ἄνωθεν ἤρτηται χαλασθέν. ὑπὸ τῷ καταπετάσματι λειτουργοῦμεν ἱερατικῶς, τὸ καλὸν ἐπιτελοῦντες, ὅταν δὲ σωφροσύνης, ἢ ἀκτημοσύνης σχῆμα προβαλλόμενοι τὰ ἐναντία πράττομεν ἐν κρυπτῷ καὶ παραπετάσματα τοῖς τῶν ἁμαρτημάτων σχοινίοις διατείναντες, ἄλλα μὲν πράττομεν ἐν παρυφῇ, ἄλλα δὲ ἐπιμορφαζόμεθα πεπλασμένῳ σχήματι σεμνοποιοῦντες τὴν λανθάνουσαν αἰσχύνην, καὶ ἀπάτῃ τὰς τῶν ἀνθρώπων δελεάζοντες ὄψεις πρὸς δόξαν εὐσεβῆ, καὶ ἐνάρετον, τότε ὑπὸ παραπετάσματι κρύπτομεν ψεκτῶς τὰ καταγνώσεως εἰ φωραθείη ἄξια. ὡς γὰρ ἡ ἀρετὴ κεκρυμμένως γινομένη Θεὸν ἔχει τὸν ἐπαινετὴν καὶ φανερουμένη λαμπρῶς ἀνακηρύττεται, οὕτως ἡ κακία, λανθάνουσα μὲν τιμωρίαν ἐπηρτημένην ἔχει καὶ κόλασιν, ἐλεγχομένη δὲ φέρει εἰς ἐσχάτην κατάγνωσιν. ἀλλὰ κἂν ἐνταῦθα λάθωσιν οἱ τοιοῦτοι, διεφθαρμένον ἐπιτήδευμα σεμνῷ δῆθεν συγκαλύψαντες σχήματι, ἐκεῖ γυμνωθήσονται πάντως, τῆς μὲν δοκήσεως περιαιρουμένης, φανερουμένης δὲ, καὶ ὑπολαμπούσης αὐτομάτως τῆς ἀληθείας, περὶ τούτων γὰρ ὁ ἡσαΐας τάχα φησὶν, ἀποκαλύψει κύριος τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἀλλ᾽ οὐ πάντες οἱ τὸ καλὸν μετερχόμενοι τοιοῦτοι, κἂν τινες θήρᾳ δόξης ἀνθρωπίνης τὸ τῆς θεοσεβείας ἐπιτήδευμα μετιᾶσιν οὐχ ἁγνῶς, οὐ γὰρ διὰ τῶν ἀπαταιώνας ἐπηρεαστέον, καὶ τοῖς σπουδαίοις. εἰσὶ γὰρ οἱ κατ᾽ ἀλήθειαν

τὴν ἀρετὴν μετερχόμενοι, καὶ οὐ ψευδόμενοι τοῖς ἔργοις τὸ ἐπάγγελμα, ἀλλὰ τῷ ὁρωμένῳ τὸ κρυπτόμενον ἐξομοιοῦντες, καὶ τὸ σχῆμα ἔχοντες ἑρμηνείαν τοῦ πράγματος· οὐ φαινόμενοι μόνον ὃ ἐπαγγέλλονται, ἀλλὰ καὶ ὄντες, ὃ ὀνομάζονται, ἢ καὶ τοῦ νομίζεσθαι μᾶλλον εἶναι σπουδάζοντες, διὰ τὸν πάντα, καὶ τὰ ἐν μυχοῖς τῆς καρδίας ἐρευνῶντα Θεόν, καὶ ἀποδιδόντα ἑκάστῳ κατὰ τὸ ἴδιον ἔργον, οὐ κατὰ τὴν ὑπόληψιν. ἄλλως δὲ πάλιν τινὲς ἐν τούτοις τοῦ ἀληθοῦς σκοποῦ διαμαρτάνουσιν, ἐπαιρόμενοι, καὶ νομίζοντες ἰδίᾳ δυνάμει τὸν κόσμον περιποιεῖσθαι τῆς ἀρετῆς.

